II.

# SOPHOCLIS

# TRAGOEDIAE SUPERSTITES

ET

# PERDITARUM FRAGMENTA.

# PRAEFATIO.

Nova haec Sophoclis tragoediarum editio pars est secunda *Poetarum Scenicorum* uno volumine comprehensorum editionis quintae. Iterata autem operis editio quum Prolegomenis aucta sit de vita, scriptis, dialecto et metris horum poetarum, annotationem criticam, quae ipsa quoque in hac quinta demum editione accessit, quam brevissimam esse oportuit, ne qui per longam annorum seriem lectoribus plurimis placuit modicus libri ambitus ultra modum extenderetur. Quamobrem lectores rationes emendationum vel ab me vel ab aliis factarum, quatenus non sunt per se manifestae, ex Commentariis meis Oxoniensibus, annis 1836—1841 editis, vel aliunde petere debebunt, et, quod ad Sophoclem attinet, editionem meam Oxoniensem tertiam, quae anno 1860. prodiit, et Praefationem ad editionem Lipsiensem quartam anni 1864. adhibebunt. Alias quaestiones in Praefationibus ad fabulas singulas separatim edendas tractabo, quarum specimen nuper proposui, quum Aeschyli Prometheum cum Praefatione ederem. Nec mirabuntur lectores si nec mea neque aliorum multorum opera exhauserit omnem materiam, sed etiam in posterum nova in lucem proditura sint reperta. Nam poetarum scenicorum emendatio novissimis demum his tribus quattuorve decenniis, collatis in hos poetas multorum studiis, insigniores fecit progressus quam maiorum nostrorum aetate exspectari poterat, qui et subsidiis plurimis carebant, quibus utuntur qui hodie literis Graecis operam dant, et codicum rationis tantum non prorsus ignari erant, quorum de origine et auctoritate subtilius et acri adhibito iudicio quaerere nemini facile in mentem veniebat. Sciebant codices antiquiores, qui tamen vix ulli supersunt seculo undecimo superiores, plerumque praestare recentioribus. Quamobrem satis egisse sibi videbantur si verba poetarum ad vetustiorum potissimum librorum exemplum, collatis quae exiguo usui sunt grammaticorum testimoniis et scholiastarum annotationibus, in quibus interdum diversae scripturae vel diserte memorantur vel interpretationibus indicantur, conformarent, nec discedere ab codicibus audebant nisi ubi tradita in iis scriptura vel vulgares artis grammaticae metricaeve regulas violaret vel sententias praeberet tam putidas et ineptas ut ne admotis quidem, quibus iam grammaticos Alexandrinos usos esse novimus, spinosae interpretationis machinis defendi posse videretur. Cuiusmodi in locis emendandis hoc potissimum spectare solebant ut si quid ex coniectura mutarent, id literis in codicibus traditis quam simillimum esset. Quae etsi primaria est artis criticae lex recteque adhibetur corrigendis consuetis librariorum peccatis, tamen saepe nihil prodest locis gravius corruptis ubi librarii quae in exemplaribus antiquioribus, unde codices superstites originem ducunt, situ et vetustate aliisque casibus[a]) vel obscurata vel obliterata erant utcunque instaurare tentarunt, et prorsus absurde adhibetur corrigendis non paucis interpolatorum commentis, qui multis ante codices nostros seculis plurima quae corrupta essent vel quacunque de caussa displicerent ita ad arbitrium suum conformarunt ut literarum similitudinem, quam hodierni critici consectari solent, nihili facientes sua ipsorum inventa vel traditae in codicibus scripturae substituerent vel, quod non raro factum esse novimus, locis defectis, quos redintegrare conarentur, inferrent. Ad quae mala aliud accessit interpolationis genus ab histrionibus aliisque veteribus versificatoribus Atheniensibus[b]) inchoatum et ab inferiorum

[a]) Huiusmodi casuum exempla etiam in codicibus qui supersunt passim observare licet, velut in ipso codice Laurentiano folio 82[a], quo Aeschyli Supplicum versus 775—853. continentur: quod folium etsi in codice omni ex parte integrum est servatum, tamen plura praebet monstrose corrupta, quae e libro antiquiore, in quo haec pagina pessime habita erat, propagata esse patet, velut τῶν πρόμαρπτι κάμνοις | ἰόφ | ὄμ | αὖθι κάκκας | νυ | δυιαν βοὰν ἀμφαίνω, et αἵμονες ὥς ἐπαμιδα | ησυδουπια τάπιτα. Similem in antiquiore codice Pindari, ex quo libri superstites sunt derivati, foliorum plurium condicionem fuisse probabilis Boeckhii coniectura est in commentatione de crisi Pindari, in Actis Academiae Borussicae a. 1822. p. 375.

[b]) Fabularum scenicarum exemplaria manuscripta non solis qui eas in scena agerent histrionibus tradita, sed multiplicata esse, ut etiam ab aliis domi legi possent, ex Dïonysi verbis apud Aristophanem Ran. 52.

temporum grammaticis continuatum, qui poetarum scenicorum fabulis magnum versuum ab se ipsis fictorum numerum inseruerunt. Amplissima huiusmodi interpolationum exempla reperiuntur in Euripidis Iphigenia Aulidensi, quam fabulam quum Euripides non absolvisset, sed singulas tantum eius partes elaboratas quidem, sed nondum inter se cohaerentes reliquisset, post mortem eius ab aliis partim antiquioribus, partim infimae aetatis versificatoribus, veterum tragicorum linguae imperitis, est continuata: de quo dixi in Annotationibus Oxoniensibus ad Euripidem p. 444—446. Aliud et insigne, etsi minus amplum, huiusmodi interpolationis exemplum exstat in Ranis Aristophanis post v. 1430. ubi quum poeta hoc composuisset inter Dionysum, Aeschylum et Euripidem colloquium

ΕΥ. εὖ γ', ὦ Πόσειδον· σὺ δὲ τίνα γνώμην ἔχεις;
ΑΙ. μάλιστα μὲν λέοντα μὴ 'ν πόλει τρέφειν,
ἣν δ' ἐκτραφῇ τις, τοῖς τρόποις ὑπηρετεῖν.
ΔΙ. νὴ τὸν Δία τὸν σωτῆρα δυσκρίτως γ' ἔχω·
ὁ μὲν σοφῶς γὰρ εἶπεν, ὁ δ' ἕτερος σαφῶς.
ἀλλ' ἔτι μίαν γνώμην ἑκάτερος εἴπατον
περὶ τῆς πόλεως ἥντιν' ἔχετον σωτηρίαν.
ΕΥ. ἐγὼ μὲν οἶδα καὶ θέλω φράζειν. ΔΙ. λέγε.
ΕΥ. ὅταν τὰ νῦν ἄπιστα πίσθ' ἡγώμεθα,
τὰ δ' ὄντα πίστ' ἄπιστα. ΔΙ. πῶς; οὐ μανθάνω.
ἀμαθέστερόν πως εἰπὲ καὶ σαφέστερον.
ΕΥ. εἰ τῶν πολιτῶν οἷσι νῦν πιστεύομεν,
τούτοις ἀπιστήσαιμεν, οἷς δ' οὐ χρώμεθα,
τούτοισι χρησαίμεσθ', ἴσως σωθεῖμεν ἄν.
ΔΙ. τί δαὶ λέγεις σύ;

vetus interpolator Atheniensis, non longo, ut videtur, post Aristophanem tempore, genuinis poetae versibus haec ab se inventa immiscuit, quae ei haud dubie κωμικώτερα visa sunt,

ΔΙ. εὖ γ', ὦ Πόσειδον; σὺ δὲ τίνα γνώμην ἔχεις;
ΑΙ. οὐ χρὴ λέοντος σκύμνον ἐν πόλει τρέφειν.
ΔΙ. νὴ τὸν Δία τὸν σωτῆρα δυσκρίτως γ' ἔχω·
ὁ μὲν σοφῶς γὰρ εἶπεν, ὁ δ' ἕτερος σαφῶς.
ἀλλ' ἔτι μίαν γνώμην ἑκάτερος εἴπατον
περὶ τῆς πόλεως ἥντιν' ἔχετον σωτηρίαν.
ΕΥ. εἴ τις πτερώσας Κλεόκριτον Κινησίᾳ,
αἴροιεν αὖραι πελαγίαν ὑπὲρ πλάκα.
ΔΙ. γέλοιον ἂν φαίνοιτο· νοῦν δ' ἔχει τίνα;
ΕΥ. εἰ ναυμαχοῖεν, κᾆτ' ἔχοντες ὀξίδας
ῥαίνοιεν ἐς τὰ βλέφαρα τῶν ἐναντίων.
ΔΙ. εὖ γ', ὦ Παλάμηδες, ὦ σοφωτάτη φύσις.
ταυτὶ πότερ' αὐτὸς ηὗρες, ἢ Κηφισοφῶν;
ΕΥ. ἐγὼ μόνος· τὰς δ' ὀξίδας Κηφισοφῶν.
ΔΙ. τί δαὶ λέγεις σύ;

Quae omnia in unum coniuncta, sublata manifestissima versuum 1436. et 1442. cohaerentia et additis duobus aliis alius interpolatoris versibus 1449. 1450., in quibus γε propter metri necessitatem inepte dictum est ubi γάρ necessario dicendum erat, non in nostris demum leguntur codicibus, sed iam in exemplaribus Alexandrinis lecta fuerunt, fraude ab Aristarcho, criticorum veterum sagacissimo, et Apollonio animadversa, ut ex scholiastarum annotationibus novimus, et ab me clariore in luce collocata in Prolegomenis ad Fragmentorum Aristophanis editionem Oxoniensem vol. 2. p. 515—524.

ΔΙ. εὖ γ', ὦ Πόσειδον· σὺ δὲ τίνα γνώμην ἔχεις;
ΑΙ. οὐ χρὴ λέοντος σκύμνον ἐν πόλει τρέφειν.
μάλιστα μὲν λέοντα μὴ 'ν πόλει τρέφειν·
ἣν δ' ἐκτραφῇ τις, τοῖς τρόποις ὑπηρετεῖν.
ΔΙ. νὴ τὸν Δία τὸν σωτῆρα, δυσκρίτως γ' ἔχω·
ὁ μὲν σοφῶς γὰρ εἶπεν, ὁ δ' ἕτερος σαφῶς.
ἀλλ' ἔτι μίαν γνώμην ἑκάτερος εἴπατον
περὶ τῆς πόλεως ἥντιν' ἔχετον σωτηρίαν.
ΕΥ. εἴ τις πτερώσας Κλεόκριτον Κινησίᾳ,
αἴροιεν αὖραι πελαγίαν ὑπὲρ πλάκα.
ΔΙ. γέλοιον ἂν φαίνοιτο· νοῦν δ' ἔχει τίνα;
ΕΥ. εἰ ναυμαχοῖεν, κᾆτ' ἔχοντες ὀξίδας
ῥαίνοιεν ἐς τὰ βλέφαρα τῶν ἐναντίων.
ἐγὼ μὲν οἶδα καὶ θέλω φράζειν. ΔΙ. λέγε.
ΕΥ. ὅταν τὰ νῦν ἄπιστα πίσθ' ἡγώμεθα,
τὰ δ' ὄντα πίστ' ἄπιστα. ΔΙ. πῶς; οὐ μανθάνω.
ἀμαθέστερόν πως εἰπὲ καὶ σαφέστερον.
ΕΥ. εἰ τῶν πολιτῶν οἷσι νῦν πιστεύομεν,
τούτοις ἀπιστήσαιμεν, οἷς δ' οὐ χρώμεθα,
τούτοισι χρησαίμεσθ', ἴσως σωθεῖμεν ἄν.
εἰ νῦν γε δυστυχοῦμεν ἐν τούτοισι, πῶς
τἀναντί' ἂν πράξαντες οὐ σῳζοίμεθ' ἄν;
ΔΙ. εὖ γ', ὦ Παλάμηδες, ὦ σοφωτάτη φύσις.
ταυτὶ πότερ' αὐτὸς ηὗρες ἢ Κηφισοφῶν;
ΕΥ. ἐγὼ μόνος· τὰς δ' ὀξίδας Κηφισοφῶν.
ΔΙ. τί δαὶ λέγεις σύ;

Aliae eiusdem generis interpolationes veteres longiores reperiuntur in Aeschyli Choephoris et Eumenidibus, de quibus in Praefatione ad Aeschyli tragoediarum editionem Lipsiensem quintam exposui, nonnullae apud Sophoclem in Antigona et Trachiniis, plures apud Euripidem, in quattuor potissimum fabulis, Troadibus, Supplicibus, Bacchabus et Iphigenia Taurica, de quibus non opus est ut hoc loco repetam quae in Annotationibus Oxoniensibus dixi. Longe maior breviorum interpolationum numerus est ex versu uno vel versibus aliquot deinceps positis constantium, rarius apud Aeschylum, frequentius apud Sophoclem, saepissime apud Euripidem. Et huiusmodi quidem interpolationes, modo longiores modo breviores, plerumque non est difficile ab genuinis dis-

colligi potest, καὶ δῆτ' ἐπὶ τῆς νεὼς ἀναγιγνώσκοντί μοι | τὴν Ἀνδρομέδαν πρὸς ἐμαυτὸν ἐξαίφνης πόθος | τὴν καρδίαν ἐπάταξε πῶς οἴει σφόδρα, quod non potuisset fingi ab Aristophane, si fabularum legendarum nemini praeter histriones copia fuisset. Multiplicatis autem exemplaribus et fabulis non paucis etiam post mortem poetarum iterum iterumque in scenam productis fieri non poterat quin multa partim ab scribis corrumperentur partim ab interpolatoribus aliter conformarentur versibusque subditiciis augerentur, praesertim ab histrionibus, quorum licentiam Lycurgus noto illo psephismate coercere studuit, cuius memoriam Plutarcho debemus in vita Lycurgi oratoris p. 841 F. de quo novissima est Ottonis Kornii dissertatio, *De publico Aeschyli, Sophoclis, Euripidis, fabularum exemplari Lycurgo auctore confecto*, Bonnae edita a. 1863.

cernere poetarum versibus, si quis veterum poetarum Atticorum cogitandi dicendique rationi ita sit adsuetus ut si quid dissonum inferatur statim persentiat. Difficilius interdum est iudicium de versibus qui partim ex poetarum verbis partim ex coniecturis sunt compositi interpolatorum, qui animadverso unius pluriumve vocabulorum vel defectu vel corruptela suas intulerunt coniecturas, quibus etsi non dubitandum quin saepe verum attigerint ubi facilis erat emendatio, tamen multo saepius ab vero aberrarunt nec raro tantam prodiderunt imbecillitatem ut ne manifestissimos quidem veterum librariorum errores recte corrigere possent, sed quae leviter corrupta essent ita ulterius corrumperent ut aut nulla aut tenuia verae scripturae vestigia relinquerent. In quo genere nullum novi exemplum insignius quam quod in initio Ionis Euripidis latere videtur. Cuius fabulae qui prologum agit Mercurius generis sui originem spectatoribus expositurus, ut in prologis facere solet Euripides, sic fere orationem suam inchoare debebat "*Atlas, qui aeneis humeris coelum, antiquam deorum sedem, sustinet, ex trium quibuscum consuevit dearum una Maiam procreavit, quae me peperit.*" Credas non magno labore constare potuisse Euripidi hanc sententiam ita eloqui ut verba omni ex parte digna essent poeta qui tot aliarum tragoediarum prologos dexterrime composuit, hoc vel simili aliquo modo,

Ἄτλας ὁ χαλκόνωτος οὐρανὸν θεῶν
ὀχῶν παλαιὸν οἶκον ἐκ τριῶν μιᾶς
θεῶν ἔφυσε Μαῖαν, ἥ 'μ' ἐγείνατο,

pro quibus nunc hos in codicibus legimus versus, tirone prima versuum pangendorum pericula faciente digniores quam Euripide, poeta exercitatissimo,

Ἄτλας ὁ χαλκέοισι νώτοις οὐρανὸν,
θεῶν παλαιὸν οἶκον, ἐκτρίβων θεῶν
μιᾶς ἔφυσε Μαῖαν, ἥ μ' ἐγείνατο,

nec dubitandum quin eadem omnia sic scripta suo in codice legerit Philodemus Epicureus, scriptor Ciceroni aequalis, cuius in libro περὶ εὐσεβείας, servato in voluminibus Herculanensibus (Tab. 87. in Gomperzii Studiis Hercul. fasc. 2. p. 37.) haec nunc supersunt ad hunc locum referenda,

. . . . . ΕΥΡΙΠΙΔΗϹ
. . . . . ΑΛΚΕ Κ
. . . . . ΝΩΤΟΙϹ Ο
. . . . . ΙΩΝΙ ΠΕΠΟΙ
. . . . . ΙΜΩΝΙΔΗϹ
. . . . . ΟΥΡΑΝΟΝ etc.

quae Nauckius (in *Mélanges Gréco-Romains* vol. 3. a. 1864. p. 635.) recte sic redintegravit, ΕΥΡΙΠΙΔΗΣ | ΧΑΛΚΕΟΙϹΙ | ΝΩΤΟΙϹ | ΟΥΡΑΝΟΝ | ΕΝ ΙΩΝΙ ΠΕΠΟΙΗΚΕΝ, ceterum versus interpolatos esse verissime iudicavit, non obstante Philodemi auctoritate, quem non mirum est codice usum esse interpolato, qualibus iam grammaticos Alexandrinos aliquot ante Philodemum seculis usos fuisse exemplis non paucis novimus. Ac primo quidem inscitum est tertiam primi versus dipodiam ab syllaba finali longa vocabuli praecedentis inchoari contra tragicorum usum, cui facillime satisfieri poterat verbis sic collocatis, ut Elmsleius voluit, νώτοις χαλκέοισιν οὐρανόν. Deinde Atlas aeneis humeris coelum *exterere* dicitur, quocum Wakefieldus comparari posse putabat quod Lucilius in Aetna dixit v. 49.

*Construitur magnis ad proelia montibus agger:*
*Pelion Ossa terit, summus premit Ossan Olympus.*

Verum non animadvertit *terit* illud non ab Lucilio scriptum, sed infelicem esse Pithoei coniecturam pro *creat,* quod legitur in codicibus, corruptum haud dubie ex verbo *onerat,* non *gravat,* quod Fridericus Iacobus coniecit. Nec si verum esset *terit,* defendendo Graeco ἐκτρίβων sufficeret. Nam mons quidem ex humo et lapidibus compositus alium cui superimpositus est montem *terere* quodammodo dici potest, etsi parum apte, quum montes immoti iaceant: perabsurdum vero est Atlantem humeris aeneis coelum, aetheriam deorum sedem, exterere dici. Porro qui filiam procreat non θυγατέρα γυναικός τινος φῦσαι, sed ἔκ τινος φῦσαι Graece dicitur: quod non fugit Wakefieldum, qui hanc ipsam ob caussam μιᾶς | θεῶν ἐξέφυσε corrigi volebat. Denique ipsum illud θεῶν μιᾶς indicio est maiorem, ad quem μιᾶς refertur, numerum praecessisse, qui vix dubitari potest quin in verbo lateat ΕΚΤΡΙΒΩΝ, quod veteris librarii errore pro ΕΚΤΡΙΩΝ scriptum fuisse videtur, ut apud Sophoclem Philoct. 554. ἀμφὶ ΣΟΥΝΕΚΑ (σ' οὕνεκα) βουλεύματ' ἐστί ex ΣΟΥΝΕΑ (σοῦ νέα) depravatum legebatur, donec rectam scripturam restitueret Ioannes Auratus, perspicacior quam antiquus Euripidis corrector, qui absurdum illud ΕΚΤΡΙΒΩΝ bona fide pro ἐκτρίβων accepit, unde reliqua praecedentium verborum interpolatio necessario sequebatur, sublato quod cum ἐκτρίβων consociari non poterat participio priore ὀχῶν et χαλκόνωτος in χαλκέοισι νώτοις diducto, ut duas quas ipse perdiderat syllabas recuperaret. Quae ineptiae omnes evanescunt versibus eum in modum quem supra proposui correctis. Adiectivi χαλκόνωτος duo alia exempla sunt apud Euripidem Troad. 1136. 1193. qui pariter σιδηρόνωτος dixit Phoen. 1130. Verbum ὀχεῖν de Atlante dictum, qui *coeli sustinet axes,* legitur apud Diodorum 3, 59. (τὸν σύμπαντα κόσμον ἐπὶ τῶν Ἄτλαντος ὤμων ὀχεῖσθαι) aliosque, inter quos Aeschylus est Prometh. 430. Ἄτλας — σθένος κραταιὸν γᾶς οὐράνιόν τε πόλον νώτοις ὀχῶν στενάζει. Nam sic correxi quod in codice Mediceo legitur νώτοις ὑποστενάζει, inutili addita praepositione, omisso vero quo multo magis opus erat participio ὀχῶν, cuiusmodi verbum hic requiri senserunt qui ὑποστενάζει per ὑποβαστάζει vel ὑπανέχει interpretati sunt glossatores Byzantini et auctor scholii in codice Mediceo adscripti λείπει ἔχων· ἢ μετὰ στεναγμοῦ φέρει, quo ipso verbo ἔχειν de Atlante coelum sustinente usi sunt Homerus, Hesiodus, Apollodorus aliique. Alii ἀνέχειν, ὑπανέχειν, φέρειν dixerunt, et magis poetice ὤμοις ἐρείδειν Aeschylus Prom. 350. Porro recte et, quum Πληιόνης nomen metro incommodum nominare nollet Euripides, aptissime dictum est ἐκ τριῶν μιᾶς | θεῶν ἔφυσε Μαῖαν.

Nam triplex fuit Atlantis progenies, prima ex Pleiona, quae Pleiades peperit, suscepta, secunda ex Aethra, quae Hyades, tertia ex Hesperide, quae Hesperides peperit, ut Pherecydes aliique veterum fabularum scriptores sunt testati. Ad collocationem verborum quod attinet, ἐκ τριῶν θεῶν | μιᾶς minus probabile est quam ἐκ τριῶν μιᾶς | θεῶν, nomine potiore θεῶν in initio versus collocato et numeris iuxta se positis, ut ἐκ τριῶν σ' ἓν εἱλόμην est apud Sophoclem Trach. 734. et τῶν τριῶν μίαν λαβεῖν | εὔσοιαν fragm. 124. Credo haec suffectura esse ad evertendam codicum scripturam et commendandam quam de his versibus proposui coniecturam, a qua non longe abfuit Nauckius, quum coniiceret Ἄτλας ὁ χαλκέοισι νώτοισιν φέρων | θεῶν παλαιὸν οἶκον, reliqua aliis expedienda relinquens, eiecto οὐρανόν, quo alii omnes usi sunt qui de Atlante sunt locuti et quo omisso Atlas veterem et caducam deorum domum humeris sustinere videretur. Praecedente vero οὐρανόν in verbis θεῶν παλαιὸν οἶκον nihil est ridiculi.

Nihilo acutiores correctores veteres in Sophoclis tragoediis se praebuerunt, in quibus etsi haud dubie plura nunc leguntur recte ab illis emendata, tamen aliis in locis non paucis satis manifestum est corruptam vel defectam antiquiorum librorum scripturam ita esse ab illis interpolatam ut veri vestigia, quae in librorum veterum corruptelis relicta fuisse credibile est, temerariis coniecturis vel obscurarentur vel prorsus tollerentur, quod pluribus exemplis quum ab aliis est ostensum tum ab me ipso in editione Oxoniensi tertia a. 1860. et in Praefatione ad editionem Lipsiensem quartam a. 1864.

AIACIS fabula quum in libris antiquissimis integrior quam ceterae Sophoclis tragoedia servata esset, interpolatorum conatibus minus quam illae exposita fuit, etsi ipsa quoque non intacta mansit. Versuum ab aliena manu illatorum, de quibus plura dixi in editione Oxoniensi, antiquissimi esse videntur quattuor post v. 838. lecti, quos νοθεύεσθαι ὑποβληθέντας πρὸς σαφήνειαν τῶν λεγομένων scholiasta annotavit. Eadem aetate conficti esse possunt v. 966—968. et 1105. 6. Minus certum de aetate singulorum versuum iudicium est, quibus passim aucta est haec tragoedia, quorum tamen ex numero eximendus est versus τὸ μὴ φρονεῖν γὰρ κάρτ' ἀνώδυνον κακόν post v. 554. ἐν τῷ φρονεῖν γὰρ μηδὲν ἥδιστος βίος non interpolatoris consilio illatus, sed veteris errore librarii, qui alius poetae (fortasse Euripidis) versum illum Sophocleo similem ab scholiasta aliquo comparatum ex margine in textum transtulit, quemadmodum apud Aeschylum Persarum versui 253. κακὸν μὲν πρῶτον ἀγγέλλειν κακά in apographis pluribus Sophoclis ex Antigona versus 277. στέργει γὰρ οὐδεὶς ἄγγελον κακῶν ἐπῶν adiunctus est, quem in codice Mediceo scholiasta in margine comparavit, et apud Maximum in Eclogis p. 166. post Sophoclis Aiacis versum 1252. hic additus est, quem Chaeremonis esse novimus ex Stobaei Floril. 3, 17., ὁ γὰρ φρονῶν εὖ πάντα συλλαβὼν ἔχει. Quattuor alii versus quum eodem omnes illati sint consilio, ut sententiae poetae satis per se perspicuae verbosius explicarentur, ab uno eodemque auctore scriptos esse coniicere licet. Eorum primus est 546. νεοσφαγῆ τοῦ τόνδε (τοῦτόν γε correctum in apographis nonnullis) προσλεύσσων φόνον. secundus 571. ubi qui post Sophoclis verba ὥς σφιν γένηται γηροβοσκὸς εἰσαεὶ addidit μέχρις οὗ μυχοὺς κίχωσι τοῦ κάτω θεοῦ, fraudem lectoribus factam suamque ipsius inscitiam linguae Atticae obtegere potuisset si, quod Elmsleius proposuit, ἐς τ' ἂν μυχοὺς scripsisset, ceterum non animadvertit versu suo nihil aliud contineri quam quod Sophocles brevius et aptius uno significaverat vocabulo εἰσαεί, quod eum omissurum fuisse credo si sententiam qualem interpolator finxit adiunxisset. Porro post verba Tecmessae v. 812. χωρῶμεν, ἐγκονῶμεν· οὐχ ἕδρας ἀκμή, etsi ex iis quae antea acta erant luce clarius sit cur festinandum esse dicat Tecmessa, nihilominus hic quoque interpolator lectoribus consulere studuit adiecto misero versiculo σώζειν θέλοντες ἄνδρα γ' ὃς σπεύδει θανεῖν. Notae non melioris est quartus versus, ab Nauckio notatus, quem Menelai verbis v. 1060. κεἰ μὴ θεῶν τις τήνδε πεῖραν ἔσβεσεν, | ἡμεῖς μὲν ἂν τήνδ', ἣν ὅδ' εἴληχεν τύχην, | θανόντες ἂν προυκείμεθ' αἰσχίστῳ μόρῳ, | οὗτος δ' ἂν ἔζη· νῦν δ' ἐνήλλαξαν θεοί, addidit interpolator τὴν τοῦδ' ὕβριν πρὸς μῆλα καὶ ποίμνας πεσεῖν, quo initium tantum ἐναλλαγῆς, quam dii immiserint, significatur, omittitur vero, quod maioris momenti erat, suicidium Aiacis. Aliquanto deterior est, ut in Annotationibus Oxoniensibus ostendi, qui extremis Teucri de Aiace verbis v. 1415. τῷδ' ἀνδρὶ πονῶν τῷ πάντ' ἀγαθῷ | κοὐδενί πω λῴονι θνητῶν adiunctus est versiculus Αἴαντος, ὅτ' ἦν, τότε φωνῶ, quasi Latine dicas *nemini mortalium praestantiori quam Aiaci, quum erat, tum dico.* Eum qui scripsit non versum paroemiacum paroemiaco addere voluit, sed ΛΩΙΟΝΙ quod in versu praecedente scriptum videbat quattuor syllabis pronunciasse videtur, ut versus esset acatalectus, syllaba aut secunda aut ultima producta, unde factum ut versum paroemiacum excidisse putaret, quod duplex quidem est documentum imperitiae, sed non mirandum in tali versificatore.

Inter versus spurios Antigonae illatos nulli esse videntur antiquiores quam 900—928. de quibus ego post alios dixi in editione Oxoniensi p. 95—99. Eos non solum Clemens Alexandrinus (Strom. 6. p. 748. ed. Pott.), scriptor seculi aerae nostrae secundi, legit, sed Aristoteles adeo, qui insiticiae huius declamationis auctoritate utitur Rhetor. 3, 16. quemadmodum idem ib. c. 11. versu utitur qui in prologo (v. 80.) legitur quem vetus interpolator Euripidis Iphigeniae Aulidensi post versum fabulae 48. loco perinepto intulit ex versibus compositum sex et sexaginta, de quo dixi in Annotationibus Oxoniensibus ad Euripidem vol. 3. p. 440. 441. Reliqui quibus Antigonae fabula ab falsariis aucta est versus (24. 46. 506. 507. 851. 941. 1080—1083. 1281.) neque ab eodem omnes scripti auctore esse videntur neque

aetate eadem. Antiquiores ceteris sunt v. 1080—1083. ab Wundero notati, et quem Δίδυμος (ut scholiastae verbis utar) φησὶν ὑπὸ τῶν ὑπομνηματιστῶν νενοθεῦσθαι versus 46. qui post verba Ismenae ἦ γὰρ νοεῖς θάπτειν σφ', ἀπόρρητον πόλει; et Antigonae responsum τὸν γοῦν ἐμὸν καὶ τὸν σόν, ἢν σὺ μὴ θέλῃς, illatus est violata stichomythia

ἀδελφόν· οὐ γὰρ δὴ προδοῦσ' ἁλώσομαι,

fraude si qua alia manifesta interpolatoris, quem pronomina τὸν ἐμόν et τὸν σόν sine substantivo posita offenderant, quod cur omiserit Sophocles et cur τὸν ἐμόν et τὸν σόν repetito articulo scripserit, qui offendit Zippmannum (in *Atheteseon Sophoclearum specimine,* Bonnae edito a. 1864. p. 17.) et cur ἢν σὺ μὴ θέλῃς dixerit ubi versu sic scripto ut adhuc legebatur potius κἂν σὺ μὴ θέλῃς dicendum fuisset, nunc demum intelligitur vera ab me restituta scriptura τὸν γοῦν ἐμὸν κοὐ τὸν σόν, ἢν σὺ μὴ θέλῃς. Acerbe Antigona Ismenae Creontis vindictam metuenti ita respondet ut Polynicem suum tantum, non Ismenae fratrem dicat, *ego meum sepeliam et non tuum, si tu non vis,* eademque acerbitate ad proxima Ismenae verba, ὦ σχετλία, Κρέοντος ἀντειρηκότος; respondet, ἀλλ' οὐδὲν αὐτῷ τῶν ἐμῶν μ' εἴργειν μέτα, ubi, nisi Ismenam iterum excludere voluisset, dicere potuisset ἀλλ' οὐδὲν αὐτῷ τῶν ἐμῶν καὶ σῶν μέτα.

Minor versuum spuriorum, partim antiquorum partim recentiorum, numerus in Oedipo Rege est (827. 1084. 1085. 1280. 1281.) in Oedipo Coloneo (301—304. 380. 381. 638—641. 1436.) in Electra (113. 114. 1125. 1173. 1485. 1486. 1505—1507.) in Philocteta (671—673. 1365. οἳ τὸν ἄθλιον usque ad ἔκριναν, 1442—1444.) rursus paullo maior in Trachiniis (84. 150—152. 166—168. 170. 295. 362. τὴν ταύτης usque ad πατέρα, 364. 584—587. 684. 696. 898. 899. 911. 1264—1277.) de quibus non repetam quae in editione Oxoniensi et in Praefatione editionis Lipsiensis quartae dixi, quibus nunc addendus Philoctetae versus 351. ὅπως ἴδοιμ' ἄθαπτον· οὐ γὰρ εἰδόμην, ab interpolatore, ut videtur, confictus qui στίχου ἑνὸς διάλειμμα, ut scholiastae loqui solent, in libro antiquiore relictum explere vellet, successu non meliore quam apud Aristophanem in Avibus post v. 1343. οὐκ ἔστιν οὐδὲν τοῦ πέτεσθαι γλυκύτερον Aristophanes Byzantius versum sive ab se fictum sive aliunde acceptum intulit, de quo scholiasta vol. 3. p. 256, 10. ed. Oxon. μετὰ τοῦτον ἑνὸς στίχου φέρουσί τινες διάλειμμα καὶ Ἀριστοφάνης (vel Ἀριστοφάνους) πλήρωμα οὕτως "ἐρῶ δ' ἐγώ τοι τῶν ἐν ὄρνισιν νόμων," qui ex versibus proximis, in quibus idem dicitur, confictus est, quemadmodum Sophoclis interpolator Neoptolemi versibus, ταῦτ', ὦ ξέν', οὕτως ἐννέποντες οὐ πολὺν | χρόνον μ' ἐπέσχον μή με ναυστολεῖν ταχύ, | μάλιστα μὲν δὴ τοῦ θανόντος ἱμέρῳ, | ⏑ – ⏑ – ⏑ – ⏑ – ⏑ – ⏑ – | ἔπειτα μέντοι καὶ λόγος καλὸς προσῆν cet., lacunae explendae caussa, quam in libro antiquiore vacuum spatium et verba proxima proderent ἔπειτα μέντοι — quae non est verisimile post μάλιστα μὲν δὴ τοῦ θανόντος ἱμέρῳ nulla alia interiecta sententia secuta esse — versum ab se compositum inseruit, ὅπως ἴδοιμ' ἄθαπτον· οὐ γὰρ εἰδόμην, cuius hanc, ut videtur, sententiam esse voluit, optasse Neoptolemum ut Achillem patrem adhuc insepultum videret, quem vivum nunquam vidisset: quae perinepte sunt excogitata. Nam neque exspectare poterat Neoptolemus, quo tempore Sigeum esset perventurus, patrem adhuc insepultum iacere, nec patrem viventem unquam se vidisse negare poterat, nisi quis Achillem cum exercitu in agrum Troianum se contulisse credat, antequam Neoptolemus filius nasceretur, et Neoptolemum vix novem annorum puerum arma patris mortui, de quibus infra dicit v. 362., ab Atridis repetivisse. Accedit ad haec quod, si hoc voluit interpolator, non satis erat οὐ γὰρ εἰδόμην dici, sed necessario dicendum erat οὐ γὰρ ζῶντα εἰδόμην, quod sensit Meinekius (Anal. Sophocl. p. 314.) quum coniiceret, ὅπως ἴδοιμι· ζῶν γάρ οὔ νιν εἰδόμην, eiecto quod ipsum quoque ad sententiae integritatem necessarium est ἄθαπτον. Nec melior interpolatoris condicio erit si οὐ γὰρ εἰδόμην pro ἀλλ' οὐκ εἰδόμην dictum accipiatur, quod nec fieri per linguae leges potest et, si posset, praeposterum foret. Nam ὁ τοῦ θανόντος ἵμερος quem successum habuerit ab Neoptolemo non hoc loco, sed infra demum erat dicendum et revera dictum est v. 355. seqq. ex quibus colligi potest versus post v. 350. amissi hanc fuisse sententiam, etsi verba ipsa praestari nequeunt, ὅπως περιστέλλοιμι τὸν κείνου τάφον.

Simile quid in versu non longe hinc remoto accidisse opinor, ex Sophoclis et, ut videtur, interpolatoris verbis composito, 421. ubi Philocteta ex Neoptolemo quaerit,

ὁ<br>
τί δ'; ὢ παλαιὸς κἀγαθὸς φίλος τ' ἐμός,<br>
Νέστωρ ὁ Πύλιος ἔστιν;

Sic haec in codice scripta, ὁ a m. pr. superscripto et spiritu leni super ω in asperum mutato. Prima versus verba τί δ' ὁ παλαιός per se spectata aptissime de Nestore sene dicuntur, suspecta vero sunt proxima κἀγαθὸς φίλος τ' ἐμός, quasi Latine quis dicat *vetus et bonus et amicus meus,* quod ut dici posse nemo negabit, ita non facile invenietur qui sic loqui malit quam ut alii omnes loqui solent, *vetus et bonus amicus meus:* nam τε particula post φίλος posita usum non alium habet quam ut ex pyrrhichio fiat iambus. Porro corruptum est ὁ, quod literae Ω superscriptum est in codice cum metri vitio, quod emendavit recentior corrector, qui recte, ut videtur, ὅς substituit, quod in pluribus legitur apographis. Eo autem restituto tertia verbi alicuius persona requiritur, quam obliteravit interpolator verbis etiam alia de caussa, ut modo dicebam, suspectis, κἀγαθὸς φίλος τ' ἐμός. Ex his indiciis colligi potest Sophoclem aliud quid dixisse, velut, τί δ'; ὅς παλαιὸς πατρὸς ἦν ἐμοῦ φίλος, | Νέστωρ ὁ Πύλιος ἔστιν; ut paullo post v. 434 dixit, Πάτροκλος, ὃς σοῦ πατρὸς ἦν τὰ φίλτατα. Quale quid si scripsit Sophocles, aptissime Philocteta, florente vir aetate, Nestorem, virum summam senectutem adeptum, patris,

qui ipse quoque senex est, veterem amicum vocat. Poeas autem, Philoctetae pater, utrum adhuc inter vivos versetur an pridem mortuus sit incertum relinquit Philocteta v. 492—499. ut nihil intersit utrum πατρὸς ἦν ἐμοῦ φίλος an πατρός ἐστ' ἐμοῦ φίλος scribatur.

Satis dictum de versibus spuriis. Aliquanto maior minorum interpolationum numerus est quibus correctores veteres vocabula in libris antiquis vel omissa supplere vel quae corrupta aut essent aut esse viderentur emendare sunt conati. Qualia non pauca quum pridem vel ab aliis vel ab me ipso sint notata, hic nonnulla addam post editionem meam Oxoniensem tertiam (a. 1860.) animadversa.

AIACIS v. 104. Aiaci quaerenti ἦ τοὐπίτριπτον κίναδος ἐξήρου μ' ὅπου; Minerva respondere creditur ἔγωγ'· Ὀδυσσέα τὸν σὸν ἐνστάτην λέγω, interpunctione post ἔγωγε (quod ἐγὼ δ' scriptum est in apographo Flor. Γ et apud Zonaram vol. 2. p. 1448.) ab aliis addita, ab aliis omissa, non animadvertentibus alienum ab hoc loco esse ἔγωγε, quo si uteretur Minerva, ad convicium ab Aiace in Ulixem iactum respicere videretur, quod personae eius parum convenit. Ex quo sequitur simplici potius ἐγώ, nulla plane convicii illius ratione habita, utendum fuisse, verbis sic scriptis et melius collocatis, ut ego nunc edidi,

Ὀδυσσέα 'γὼ τὸν σὸν ἐνστάτην λέγω.

Origo corruptelae ab antiquioris codicis scriptura Ὀδυσσέ' ἐγὼ repetenda videtur. Nam accusativos nominum in ευς exeuntium apud Atticos α longo terminari hodie quidem nemini ignotum est, sed ignotum fuit librariis plurimis, qui plerumque vel α eliserunt vel metri quod videbatur vitium inserta γε particula correxerunt, velut in hoc ipso Ulixis nomine apud Aristophanem Vesp. 181. ubi veram scripturam servarunt libri duo optimi

Ὀδυσσέα τιν'. ἀλλὰ ναὶ μὰ Δία φέρει,

interpolatam habent ceteri

Ὀδυσσέα τινά γ'. ἀλλὰ ναὶ μὰ Δία φέρει.

Ceterum simili errore ἔγωγε apud Sophoclem paullo post v. 112. legitur in codice

χαίρειν, Ἀθάνα, τἄλλ' ἔγωγέ σ' ἐφίεμαι,

fortasse ab librario scriptum qui ἐφίεμαι syllaba secunda brevi pronunciaret, qui error correctus est in apographis plerisque restituto ἐγώ σ' ἐφίεμαι, ut v. 116. est χωρῶ πρὸς ἔργον, σοὶ δ' ἐφίεμαι, θεά —. Nam sic correxi quod est in codice χωρῶ πρὸς ἔργον τοῦτο· σοὶ δ' ἐφίεμαι, eiecto quod interpolator inscite intulit τοῦτο, quum non animadvertisset excidisse θεά. Cui emendationi temere obiectum est Aiacem τοῦτό σοι δ' ἐφίεμαι — nam sic interpungi volunt, licet lectores Graeci τοῦτο cum ἔργον coniuncturi fuissent — propterea dicere ut appareret quantopere Minervae auxilio confideret. Sed vis tragica huius loci non in pronomine τοῦτο, eoque perinepte collocato, quum σοὶ δὲ τοῦτ' ἐφίεμαι potius dicendum fuisset, sed in verbis τοιάνδε ξύμμαχον posita est, quae aliter ab Aiace, qui Minervam sibi amicissimam esse opinatur, aliter ab spectatoribus intelliguntur, qui ex iis quae Minerva antea cum Ulixe erat collocuta inimicissimam Aiaci esse norunt: cuiusmodi ἀμφιβολίαις tragici non raro usi sunt.

V. 108—111. ΑΙ. πρὶν ἂν δεθεὶς πρὸς κίον' ἑρκείου στέγης | ΑΘ. τί δῆτα τὸν δύστηνον ἐργάσει κακόν; | ΑΙ. μάστιγι πρῶτον νῶτα φοινιχθεὶς θάνῃ.] Absurde legitur θάνῃ, sive librarii alicuius sive interpolatoris errore, syllabas duas omissas supplentis, ut paullo ante v. 116. τοῦτο perverse intulerat. θάνῃ si recte legeretur, Aiax bis moriendum Ulixi esse diceret, locutione hyperbolica non infrequenti et ab Aristophane usque ad εἴκοσι θανάτους exaggerata, qua si uti voluisset Sophocles, addidisset δὶς γὰρ θανεῖν νιν, οὐχ ἅπαξ μόνον, θέλω, vel simile quid, ut aliorum huiusmodi locorum comparatio docere potest, ne ineptire magis quam hyperbolice loqui videretur. Sed est eiusmodi hyperbola plane aliena ab hoc loco perversumque est Aiacem, qui modo dixerat θανεῖν γὰρ αὐτὸν οὔ τί πω θέλω, hic contrarium dicere, quum sententiarum ordo postulet ut hoc potius dicatur, nolle se Ulixem mori priusquam ille *vivus* senserit quantopere inferior esset Aiace, quale quid in loco simili Antig. 307. Creon custodibus non obedientibus minatur addito verbo ζῶντες, οὐχ ὑμὶν Ἅιδης μοῦνος ἀρκέσει, πρὶν ἂν | ζῶντες κρεμαστοὶ τήνδε δηλώσηθ' ὕβριν. Huic igitur sententiae exprimendae quum nullum aptius inveniri verbum possit quam δαμῇ, hoc restitui, posthabita debiliore Bothii coniectura φανῇ. Idem verbum in Antigonae v. 648. latere videri infra dicetur.

Carminis epodici versus quattuor postremi 196—200., quos emendatos exhibui, in codice sic scripti et divisi sunt

ἐχθρῶν δ' ὕβρις ὧδ' ἀτάρβητα (ἀταρβῆτα pr.)
ὁρμᾶτ' ἐν εὐανέμοις βάσσαις
πάντων καγχαζόντων γλώσσαις
βαρυάλγητ', ἐμοὶ δ' ἄχος ἕστακε.

quae correctoris metrici manum esse experta, versus dimetros pessimos quasi anapaesticos facientis, ostendi in Praefat. editionis Lipsiensis quartae p. VII. quae interpolatio, similis Triclinianis carminum melicorum interpolationibus, non ex codicibus Alexandrinis ducta, sed multis demum post illos seculis suscepta esse videtur, etsi diu ante Triclinium. Nam antiqui correctores metrici raro ultra vulgaria diverbiorum metra processerunt, posteriorum vero temporum correctores interdum paullo longius sunt progressi: cuius temeritatis exemplum insigne reperitur in Vespis Aristophanis, ubi versus viginti quinque (248—272.) asynartetos ex iambico dimetro et tripodia trochaica, sive versu ithyphallico, compositos corrector in iambicos tetrametros catalecticos convertit coniecturis ineptissimis, quarum pars magna iam in codicibus Ravennate et Veneto reperitur, tribus fere seculis ante Demetrium Triclinium scriptis.

V. 437. ἐγὼ δ' ὁ κείνου παῖς τὸν αὐτὸν ἐς τόπον | Τροίας ἐπελθὼν οὐκ ἐλάσσονι σθένει —] Verba τὸν αὐτὸν ἐς τόπον referuntur ad verba praecedentia (v. 434.) Ἰδαίας χθονός, ut nihil opus sit addito Τροίας nomine, quod non tam propter se ipsum est suspectum quam propter ἐπελθών, pro quo ἐλθών

potius dicendum erat. Ex his indiciis colligi potest versum in libris antiquioribus defectum non recte ab correctore esse expletum Sophoclemque aliud quid scripsisse, velut ἐλθὼν σὺν ἄλλοις, ut Agamemnon apud Aeschylum Choeph. 365. μετ' ἄλλων δουρικμῆτι λαῷ Troiam venisse dicitur.

V. 622. ἦ που παλαιᾷ μὲν σύντροφος (sic recte Nauckius pro ἔντροφος) ἁμέρᾳ, | λευκὰ δὲ γήρᾳ μάτηρ —] Inter παλαιᾷ σύντροφος ἁμέρᾳ et λευκὰ γήρᾳ aut nullum aut tam leve intercedit discrimen ut absurdum sit haec per μέν et δέ discerni. Non dubitandum igitur quin παλαιᾷ vel librarii debeatur errori vel correctoris literas partim obscuratas non recte restituentis, Sophocles autem scripserit ταλαίνᾳ μὲν σύντροφος ἁμέρᾳ, ut λυπρὰν ἄγειν ἡμέραν dixit Euripides Hecub. 364.

Manifestior interpolatoris fraus est v. 678. ubi quum Aiax dixisset ἡμεῖς δὲ πῶς οὐ γνωσόμεσθα σωφρονεῖν, sententiae suae rationem his verbis reddit

ἐγὼ δ' ἐπίσταμαι γὰρ ἀρτίως ὅτι
ὅ τ' ἐχθρὸς ἡμῖν ἐς τοσόνδ' ἐχθαρτέος
ὡς καὶ φιλήσων αὖθις —.

ubi locum non esse δὲ — γὰρ particulis, sed simplex requiri γάρ, iam Porsonus perspectum habuit, etsi ab vera aberravit scriptura, cuius restituendae viam Sophocles ipse monstrat adverbio ἀρτίως utens, quod cum verbis cognoscendi, discendi, audiendi potius coniungitur quam cum ἐπίσταμαι, cui magis convenit νῦν, ut Aristophanes in Vespis v. 744. dixit ἔγνωκε γὰρ ἀρτίως, non facile ἐπίσταται γὰρ ἀρτίως dicturus, etiam si per metrum licuisset. Itaque satis certum haberi potest in versu Sophoclis sublato interpolatoris supplemento scribendum esse

ἐπίσταμαι γὰρ ἀρτίως μαθὼν ὅτι —.

Similiter erratum ab correctore vetere est in Antigonae v. 648. qui quum defectus esset in libro antiquiore

μή νύν ποτ', ὦ παῖ, φρένας ὑφ' ἡδονῆς,

interpolator τὰς φρένας, quod nunc in codice Laurentiano legitur, scripsit, quasi φρένας iambi mensuram habere possit, Triclinius autem, ut exspectari poterat, τὰς φρένας γ' ὑφ' ἡδονῆς. Neuter enim viderat participio hic potius opus esse quam articulo, idque in fine versus excidisse,

μή νύν ποτ', ὦ παῖ, φρένας, ὑφ' ἡδονῆς δαμείς,
γυναικὸς οὕνεκ' ἐκβάλῃς.

Non meliore successu interpolator in eadem Antigonae fabula v. 595.

ἀρχαῖα τὰ Λαβδακιδᾶν οἴκων ὁρῶμαι
πήματ' ⏑ ⏑ ⏑ ἐπὶ πήμασι πίπτοντ',
οὐδ' ἀπαλλάσσει γενεὰν γένος, cet.

trium quae exciderant syllabarum defectum sic supplevit ut nunc leguntur in codice

πήματα φθιμένων ἐπὶ πήμασι πίπτοντ',

nulla habita metri ratione, quod non fert dipodiam ex trochaeo et dactylo compositam, sed epitritum postulat, ut in versu strophico

οἷς γὰρ ἂν σεισθῇ θεόθεν δόμος ἄτας —

qui etiam versui antistrophico certissima restitui potest coniectura, quam non solum relicta in codice verba πήματα ἐπὶ πήμασι, sed etiam proxima monstrant verba poetae οὐδ' ἀπαλλάσσει γενεὰν γένος. Nam ut in his familiarum significatur successio, ita in praecedentibus verbis mala alia aliis in domo Labdacidarum successisse dixerat poeta,

πήματ' ἄλλ' ἄλλοις ἐπὶ πήμασι πίπτοντ' —

quemadmodum v. 139. dictum est, ἄλλα δ' ἐπ' ἄλλοις ἐπενώμα στυφελίζων μέγας Ἄρης.

In duobus aliis eiusdem carminis versibus metro quidem satisfecit vetus interpolator, sed verba intulit sensu cassa, v. 613.

τό τ' ἔπειτα καὶ τὸ μέλλον
καὶ τὸ πρὶν ἐπαρκέσει
νόμος ὅδ', ⏑ ⏑ ⏑ ⏑
θνατῶν βιότῳ πάμπολις ⏑ ⏑ ⏑ ⏑

ubi versus tertii lacuna in codice Laurentiano expleta legitur verbis οὐδὲν ἕρπει, ex v. 618. illatis εἰδότι δ' οὐδὲν ἕρπει, quarti verbis ἐκτὸς ἄτας, ex versu antistrophico 625. sumtis πράσσει δ' ὀλιγοστὸν χρόνον ἐκτὸς ἄτας. Sophoclis quae verba fuerint divinari nequit: qui si nihil amplius dicere vellet quam legem hanc aeternam esse et vim suam in omnium qui usquam exstent mortalium vitam exercere, scribere poterat νόμος ὅδ', ἐμβατεύων | θνατῶν βιότῳ πάμπολις, εἴ τις ἄλλος, quod tamen multum abest ut scriptum ab eo esse credam. Scripturam interpolatam interpretari conati sunt scholiastae, nec praecedentia verba satis recte explicuerunt, ad quae unus scholiastarum annotavit, τὸ ἐσόμενον καὶ μετ' ἐκεῖνο μέλλον καὶ πάλιν ἐσόμενον. τινὲς δὲ τὸ ἔπειτα ἰδίως ἐπὶ ἐνεστῶτος λελέχθαι φασὶν ἀντὶ τοῦ νῦν. Prudentior posterior est interpretatio quam prior, in qua tempus futurum duplicatur, omittitur vero praeteritum, quod recte addidit Sophocles, distinctis tribus ex quibus aeternitas conficitur temporibus, praeterito (πρίν), praesenti (ἔπειτα), futuro (μέλλον), etsi ordine minus logico verborum, quae si metrum permisisset, sic collocari potuissent, τὸ πρὶν τό τ' ἔπειτα καὶ τὸ μέλλον, ut Euripides Iph. T. 1263. dixit, τά τε πρῶτα τά τ' ἔπειθ' ὅσα τ' ἔμελλε τυχεῖν, quem ordinem Plutarchus quoque invertit Mor. p. 392 D. κινητὸν γάρ τι — ὁ χρόνος· οὗ γε δὴ τὸ μὲν ἔπειτα καὶ τὸ ἔσται λεγόμενον καὶ τὸ γέγονεν αὐτόθεν ἐξομολόγησίς ἐστι τοῦ μὴ ὄντος. Nam τὸ ἔπειτα non potest cogitari nisi relatum ad τὸ πρίν vel τὸ πρότερον. Quamobrem qui tempus praesens primo loco memorare volunt non, ut Sophocles et Plutarchus, ab ἔπειτα incipiunt, sed primum ponunt τὸ ὄν, ut Homerus Il. 1, 70.

ὃς ᾔδη τά τ' ἐόντα τά τ' ἐσσόμενα πρό τ' ἐόντα,

quem praeter alios imitatus Ezechiel tragicus apud Eusebium Praep. Evang. 9. p. 440 D. dixit

ὄψει τά τ' ὄντα τά τε πρὸ τοῦ τά θ' ὕστερον.

Non minore temeritate alii nonnulli huius fabulae versus defecti ab correctoribus veteribus sunt expleti, de quibus in editione Oxoniensi dixi: inter quos errores nullus est manifestior quam v. 796. ubi sic loquitur chorus de Haemone Antigonae amorem potiorem habente quam debitam legibus obedientiam,

νικᾷ δ' ἐναργὴς βλεφάρων ἵμερος εὐλέκτρου
νύμφας, τῶν μεγάλων ⏒ ⏑ ⏑ – –
θεσμῶν· ἄμαχος γὰρ ἐμπαίζει θεὸς Ἀφροδίτα.

quibus verbis antistropha finitur, post quam chorus pergit

νῦν δ' ἤδη 'γὼ καὐτὸς θεσμῶν
ἔξω φέρομαι τάδ' ὁρῶν —

Versus secundi lacuna in codice Laurentiano verbis πάρεδρος (δρ in litura literarum ργ) ἐν ἀρχαῖς, de quibus ineptissima est scholiastae annotatio, expleta est non minore cum metri quam sententiae detrimento. Nam ex verbis sequentibus καὐτὸς θεσμῶν ἔξω φέρομαι luce clarius est praecessisse participium aliquod cum adverbio ἔξω vel ἐκτός coniunctum, velut ἐκτὸς ἀλαίνων, cui ego ἐκτὸς ὁμιλῶν praetuli, non solum quia hac ipsa locutione Sophocles usus est in Aiace v. 640., idque eodem in metro,

οὐκέτι συντρόφοις
ὀργαῖς ἔμπεδος, ἀλλ' ἐκτὸς ὁμιλεῖ,

sed etiam propterea quod verbum ὁμιλεῖν aptissimum huic loco est ubi de amantibus agitur. Ad metrum autem quod attinet, verbis in stropha positis v. 789. φύξιμος οὐδείς in antistropha recte respondere πάρεδρος ἐν ἀρχαῖς, soluta arsi choriambica, credebat Erfurdtius, cuius annotationem ante sexaginta fere annos scriptam et illorum temporum infantiae condonandam iam Hermannus in editione tertia a. 1830. p. 192. explosit: quo commento interim alii quoque usi erant in versu leviter corrupto v. 970. (de quo dixi in editione Oxoniensi) opinione perabsurda in hac Antigonae fabula, superstitum antiquissima, in qua poeta severitati numerorum studuit prope Aeschyleae. De origine scripturae interpolatae πάρεδρος ἐν ἀρχαῖς coniecturam protuli in editione Oxoniensi tertia p. 86. quae vera an falsa sit nihil refert, quum certissimum sit non esse verba illa scripta ab Sophocle.

In Oedipo Rege complurium locorum tam manifesta est interpolatio ut neminem fallere possit, velut v. 943. ubi quum Sophocles haud dubie scripsisset quod partim ab Nauckio partim ab me est restitutum in Praefatione ad editionem Lipsiensem quartam p. XXVI.

ΙΟ. πῶς εἶπας; ἦ τέθνηκεν Οἰδίπου πατήρ;
ΑΓ. τέθνηκεν· εἰ δὲ μή, αὐτὸς ἀξιῶ θανεῖν,

verba autem poetae nonnulla obliterata essent, interpolator aliquis partim ex reliquiis partim ex sua ipsius mente duo composuit versus miserrimos

πῶς εἶπας; ἦ τέθνηκε Πόλυβος; ΑΓ. εἰ δὲ μὴ
λέγω γ' ἐγὼ τἀληθές, ἀξιῶ θανεῖν.

Incertior aliorum locorum nonnullorum emendatio est, velut v. 1090—1101.: latuit vero adhuc fucus lectoribus ab vetere correctore factus in egregiis versibus quibus haec tragoedia finitur,

ὦ πάτρας Θήβης ἔνοικοι, λεύσσετ' Οἰδίπους ὅδε,
ὃς τὰ κλείν' αἰνίγματ' ᾔδει καὶ κράτιστος ἦν ἀνήρ,
ὅστις οὐ ζήλῳ πολιτῶν καὶ τύχαις ἐπιβλέπων
εἰς ὅσον κλύδωνα δεινῆς ξυμφορᾶς ἐλήλυθεν —.

ubi versus tertius non solum structuram verborum impedit, sed etiam sententiam aut nullam aut ineptam praebet, quasi cogitari possit Oedipum Thebanis invidisse, quorum sospitator exstiterat et, soluto Sphingis aenigmate, rex factus erat, tam rara felicitate ut Oedipus Thebanis potius invidendus fuerit quam Thebani Oedipo, quae haud dubie Sophoclis quoque sententia fuit his, ut opinor, verbis expressa,

πᾶς ὃν ἐζήλου πολιτῶν καὶ τύχαις ἐπέβλεπον,

ut εὖ πράσσοντος ὀλβίσαι τύχας ἀνδρός dixit fragm. 572. et πᾶς cum genitivo sic coniunxit Oed. Col. 597. πᾶς τοῦτό γ' Ἑλλήνων θροεῖ, vel addito τις ibid. 25. πᾶς γάρ τις ηὔδα τοῦτό γ' ἡμὶν ἐμπόρων, quomodo etiam posteriorum temporum scriptores locuti sunt, etsi apud hos frequentius est ὁστισοῦν, vel coniuncto utroque πᾶς ὁστισοῦν, velut apud Eusebium Praep. Evang. 15. p. 841 B. et Dem. Evang. 5. p. 215 C. 10. p. 491 A. πᾶς ὁστισοῦν ὁμολογήσειεν ἄν, et addito genitivo ib. 8. p. 391 B. πάνθ' ὁντινοῦν τῶν ὡς θεοῦ ῥήμασιν αὐτοῖς προσεχόντων ὁμολογήσειν ἡγοῦμαι. Hinc suspicari licet simplici quo Sophocles usus erat πᾶς glossema ὁστισοῦν superscriptum fuisse, quod quum textui illatum esset, violato metro et sublata verborum structura,

ὁστισοῦν ἐζήλου πολιτῶν καὶ τύχαις ἐπέβλεπον,

interpolator utrique vitio medelam afferre conatus verba sic corrupit ut nunc in codice feruntur ὅστις οὐ ζήλῳ πολιτῶν καὶ τύχαις ἐπιβλέπων. Ad ἐπέβλεπον ab me restitutum quod attinet, poteram pari iure ἐπέβλεπεν scribere, sed pluralem numerum, qui saepe post πᾶς, quod collectivum est, sequitur (velut Philoct. 357. ὀμνύντες post στρατὸς πᾶς ἠσπάζετο), praetuli non tam propter versum proximum pariter in εν terminatum (ἐξελήλυθεν) quam quod ἐπέβλεπον facilius etiam quam ἐπέβλεπεν in ἐπιβλέπων corrumpi potuit.

In Oedipo Coloneo nonnulla ita sunt interpolata ut difficilis sit emendatio: alia plura facile corrigi possunt, velut v. 281. ubi quum Sophocles de poena maleficis imminente dixisset,

ἡγεῖσθε δὲ
βλέπειν μὲν αὐτοὺς (deos) πρὸς τὸν εὐσεβῆ βροτῶν,
βλέπειν δὲ πρὸς τοὺς δυσσεβεῖς, φυγὴν δέ του
μήπω γενέσθαι φωτὸς ἀνοσίου. τάδ' οὖν
ξυνεὶς σὺ μὴ κάλυπτε τὰς εὐδαίμονας
ἔργοις Ἀθήνας ἀνοσίοις ὑπηρετῶν,

ΞΥΝΕΙΣ autem in ΞΥΝΟΙΣ (ξὺν οἷς) corruptum esset, eoque illato τάδ' οὖν locum non haberet, vetus corrector, similis ei qui Ionis Euripidis versus tres primos interpolavit, de quibus supra dicebam, eiecit τάδ' οὖν et duas quas perdiderat syllabas inutili explevit vocabulo, ex verbis praecedentibus repetito,

μήπω γενέσθαι φωτὸς ἀνοσίου βροτῶν·
ξὺν οἷς σὺ μὴ κάλυπτε —

ineptum illud ξὺν οἷς futuris poetae interpretibus explicandum relinquens. Quo vitio nunc ab me correcto et τάδ' οὖν revocato nova in sexto pede trimetri incipit sententia, ut aliis in locis non paucis, velut τὰ δέ Oed. R. 1056. Oed. Col. 290. 577. Trach. 383. Phil. 449. τὸ δέ Ant. 78. τὸ γάρ Ant. 68. 238. Oed. R. 231. Trach. 434. 742. Phil. 674. τὰ γάρ Oed. R. 1420. τί γάρ Ant. 651.

Non minus facilis alius in Oedipo Coloneo loci, multorum coniecturis tentato, emendatio est v. 113.

σιγήσομαί τε (vel ᾽γὼ) καὶ σύ μ᾽ ἐξ ὁδοῦ πόδα
κρύψον κατ᾽ ἄλσος —.

in quo nihil est corrupti praeter vocabuli ΠΟΔΑ literas postremas duas male vel lectas vel scriptas pro ΩΝ, unde ΠΟΩΝ exit, scriptura antiqua, cuius exempla multa in codice Aeschyli et Sophoclis Laurentiano supersunt, pro ποιῶν, ut nunc scribere solemus.

Rursus difficilior aliorum quorundam versuum emendatio est, praesertim in extrema huius fabulae parte, etsi de his quoque non desperandum. Nam saepe iam evenisse vidimus ut diversissimae de uno eodemque versu opiniones criticorum multorum uno quasi ictu profligarentur felici unius coniectura, qualem in hac fabula Carolo Badhamo debemus (in Praefat. ad Platonis Euthydemum p. XI.) de v. 1082.

εἴθ᾽ ἀελλαία ταχύρρωστος πελειὰς
αἰθερίας νεφέλας κύρσαιμ᾽ αὐτῶν δ᾽ ἀγώνων
θεωρήσασα τοὐμὸν ὄμμα.

Facilis et certa erat postremorum verborum emendatio ab Wundero facta κύρσαιμι τῶνδ᾽ ἀγώνων, | ἐωρήσασα (vel αἰωρήσασα) τοὐμὸν ὄμμα, sed restabat inepta verbi κύρσαιμι, tanquam *in bivio* positi, ut alicubi loquitur Reiskius, structura cum diversis genitivis, altero αἰθερίας νεφέλας, altero τῶνδ᾽ ἀγώνων, quam praeclare correxit Badhamus restituto αἰθερίας ἐφ᾽ ἕδρας, nisi quod ἀφ᾽ ἕδρας scribere praestat, de quo, si recte memini, Arndtius alicubi monuit: quemadmodum Aeschylo Suppl. 101. ἑδράνων ἀφ᾽ ἁγνῶν restitutum est pro ἑδράνων ἐφ᾽ ἁγνῶν.

Aliquanto reconditior interpolatio latet in Electra in carmine melico, quo chorus gaudium exprimit ex somnio Clytaemnestrae conceptum, quod Orestem caedis paternae ultorem in patriam rediturum esse portendere videatur, postquam alia quae praecesserant indicia irrita omnia fuerant et spem Electrae fefellerant, ut ipsa dicit v. 169. τί γὰρ οὐκ ἐμοὶ | ἔρχεται ἀγγελίας ἀπατώμενον; et v. 303.

ἐγὼ δ᾽ Ὀρέστην τῶνδε προσμένουσ᾽ ἀεὶ
παυστῆρ᾽ ἐφήξειν ἡ τάλαιν᾽ ἀπόλλυμαι.
μέλλων γὰρ ἀεὶ δρᾶν τι τὰς οὔσας τέ μοι
καὶ τὰς ἀπούσας ἐλπίδας διέφθορεν.

quae tamen non impediunt chorum quominus somnium Clytaemnestrae eventum esse habiturum confidentius pronunciet his versibus in stropha positis v. 479.

ὕπεστί μοι θράσος
ἁδυπνόων κλύουσαν
ἀρτίως ὀνειράτων·
οὐ γάρ ποτ᾽ ἀμναστεῖ cet.

quibus in antistropha hi nunc respondent (495—499) in codice Laurentiano sic scripti,

πρὸ τῶνδέ τοί μ᾽ ἔχει
μήποθ᾽ ἡμῖν
ἀψεγὲς πελᾶν τέρας
τοῖς δρῶσι καὶ συνδρῶσιν cet.

neque aliter scriptos legerunt scholiastae, quorum tres annotationes exstant in codice, πρὸ τῶνδέ τοί μ᾽ ἔχει: λείπει τὸ ἐλπίς· ἢ θάρσος με ἔχει μὴ — τοῦτο τὸ ὄναρ ἄψεκτον ἡμῖν προσπελάζειν, ἀλλ᾽ ἀκουσόμεθα ψεγομένου αὐτοῦ παρὰ τῶν θεασαμένων αὐτὸν, λεγόντων ὅτι κακῶν ἦν σημαντικός. Ἄλλως. θαρρῶ ὅτι τοῖς δρῶσι ταῦτα τὰ ἄδικα καὶ συνδρῶσιν αὐτοῖς οὐκ ἔσται ἄψεκτος ὁ ὄνειρος· παθόντες γὰρ ψέξουσι τὸ ὀφθέν. τοῖς δρῶσι καὶ συνδρῶσιν: ὑμῖν ταῖς δρώσαις ὑπὲρ Ἀγαμέμνονος καὶ ἡμῖν ταῖς συνδρώσαις καὶ συναχθομέναις. Absurde in scholio postremo ἡμῖν ad solum refertur συνδρῶσι, ad praecedens autem δρῶσι suppletur ὑμῖν. Versum secundum, cuius syllabae tres primae exciderunt, recentior aliquis corrector supplevit μήποτε duplicato, μήποτε μήποθ᾽ ἡμῖν, quod legitur in apographis nonnullis, ut μήποτε μήποτε Aeschylus Prom. v. 804. et Euripides in Phoenissis v. 190. dixerunt, quanquam in sententia libera, non ex alio verbo pendente, et οὔποτ᾽ οὔποτε Aeschylus Prometh. v. 688. οὔποτ᾽ οὔποτ᾽ ηὔχουν — μολεῖσθαι λόγους εἰς ἀκοὰν ἐμάν. Quae coniectura probari posset, nisi eam suspectam redderent praecedentia verba πρὸ τῶνδέ τοί μ᾽ ἔχει, ubi θάρσος vel ἐλπίς intelligi voluerunt scholiastae, quemadmodum παρίσταταί μοι intellecto substantivo aliquo Plato aliique dixerunt. Quod ut dici possit, tamen qui dixerit nemo dum est inventus, nec probabile sic esse locutum Sophoclem, quem fugere non poterat nomine quo significaretur id quo ἔχεσθαι se dicit chorus magis hic opus esse quam inutiliter duplicato μήποτε. Quamobrem multo verisimilius est tres alias excidisse syllabas, quas ἁδύ τι fuisse ex verbis in versu strophico positis ἁδυπνόων ὀνειράτων colligi potest, quemadmodum δεινόν τι, μέγα τι et alia huiusmodi sine substantivo dicuntur, et hoc ipsum ἁδύ τι ab Aeschylo dictum est Prometh. v. 536. ἁδύ τι θαρσαλέαις τὸν μακρὸν τείνειν βίον ἐλπίσι. Quod sequitur ἡμῖν si recte legeretur, necessario cum verbis τοῖς δρῶσι καὶ συνδρῶσι, non de occisoribus, sed de ultoribus Agamemnonis intelligendis, iungendum foret, quam interpretationem ego ipse quo tempore vitium pronominis ἡμῖν nondum perspexeram aegre sum secutus, recte reiectam ab aliis, inter quos est novissimus huius fabulae editor Londinensis R. C. Jebb, qui ad τοῖς δρῶσι καὶ συνδρῶσιν annotavit "*i. e. Aegisthus and Clytaemnestra: Dindorf understands these words of the avengers. — But for* δρᾶν *of crime, see Aesch. Choeph.* 305. δράσαντι παθεῖν, | τριγέρων μῦθος τάδε φωνεῖ. *Eurip. Androm.* 336. καὶ σὺ τόνδ᾽ ἀγωνιεῖ | φόνον· τὸ συνδρῶν γάρ σ᾽ ἀναγκάσει χρέος", etsi ipse quoque ἡμῖν vitiosum esse non animadvertit, sed interpretari est conatus "*That never, to our discomfiture* (ἡμῖν *dativus incommodi*), *never will this portent come harmless to the murderer and his accomplice*": qui perincommodus foret dativus incommodi tantoque ineptius additus quum prorsus supervacaneus sit. Ex his sequitur ἡμῖν ab interpolalatore positum esse, qui versum de quo nihil praeter μήποτε et fortasse ne hoc quidem supererat explere voluit, Sophoclem autem scripsisse μήποτ᾽ αὖθις. Nam hoc dicendum ab choro erat, novissimum de quo hic agitur portentum non iterum irritum fore ut priora signa omnia fuerant. Quod autem portentum illud non ἀψεγές fore dicit, etsi defendi potest, quum signa priora, quippe irrita, ψεκτά fuerint Electrae,

ἀψεγῆ vero occisoribus Agamemnonis, tamen probabile est Sophoclem significantiore usum esse vocabulo ἀψεφές, restituto ab me in Annotationibus Oxon. a. 1836. p. 156. quod si intactum reliquissent librarii magis mirandum foret quam quod notum sibi et vulgare vocabulum ἀψεγές substituerunt. Ἀψεφές, quod ἀφρόντιστον significet, ex Sophoclis Phaedra (Fragm. 618.) memorat Hesychius. Idem ἀψεφέων per ἀμελῶν, et ψέφει inter alia per δέδοικεν et φροντίζει explicat, et composita quoque καταψέφειν et μεταψέφειν annotavit: ex quibus colligi potest ἀψεφὲς τέρας portentum dici quod negligi possit nullamque sollicitudinem moveat. Ceterum πελᾶν non praesentis temporis est infinitivus, sed futuri, ut chorus supra v. 475. et 478. εἶσιν et μέτεισιν, et ἥξει v. 488. dixerat, et recte quidem, quum somnium Clytaemnestrae post reditum demum Orestis eventum habiturum esse auguretur.

In Trachiniis versus nonnullos in libro antiquiore ab interpolatoribus inscite esse expletos clarissimo documento sunt quae v. 79—81. leguntur Deianirae verba

ὡς ἢ τελευτὴν τοῦ βίου μέλλει τελεῖν,
ἢ τοῦτον ἄρας ἆθλον εἰς τὸν ὕστερον
τὸν λοιπὸν ἤδη βίοτον εὐαίων' ἔχειν,

quae ut tolerabiliora redderem ego olim, sublatis quae lacunae explendae caussa addita sint verbis εἰς τὸν ὕστερον, scribendum esse conieci ἢ τοῦτον ἄρας ἆθλον εὐτόλμῳ φρενί, vel simile quid, in quo acquiescere liceret, nisi ἄρας quoque suspectum esset, quod ἀράμενος potius dicendum fuisse monuit Nauckius, qui haec sic in ordinem redigi posse credebat, ἢ τοῦτ' ἀνατλὰς βίοτον εὐαίων' ἔχειν, cui praeferendum foret, adscita docti Batavi coniectura ὕστατον πόνων, ἢ τόνδ' ἀνατλὰς ἆθλον, ὕστατον πόνων, | τὸ λοιπὸν ἤδη βίοτον εὐαίων' ἔχειν, nisi multo probabilius esset versum illum ἢ τοῦτον ἄρας ἆθλον εἰς τὸν ὕστερον recte quidem scriptum, sed lacunae explendae caussa totum ab interpolatore confictum esse, cui condonandum quod ἄρας propter metri necessitatem pro ἀράμενος posuit, non minus vitiosum quam μηδὲ δειλίαν ἀρεῖς, quod olim Ai. v. 75. ex apographis quibusdam illatum erat pro ἄρῃς, quod est in codice, ab librario positum pro APHI, quae est forma vulgaris ἀρῇ pro Attica ἀρεῖ, quam Schneidewinus restituit. Alia eiusdem generis interpolatio latere videtur v. 57.

πῶς παισὶ μὲν τοσοῖσδε πληθύεις, ἀτὰρ
ἀνδρὸς κατὰ ζήτησιν οὐ πέμπεις τινά,
μάλιστα δ' ὅνπερ εἰκὸς Ὕλλον, εἰ πατρὸς
νέμοι τιν' ὥραν τοῦ καλῶς πράσσειν δοκεῖν.

ubi in editione Oxoniensi a. 1860. aliis praeeuntibus haec annotavi "*Verba recte interpretatus est Wunderus, si patris aliquam curam gerat, an ille rebus secundis uti videatur. Apte dictum* τοῦ καλῶς πράσσειν δοκεῖν, *quum non sit in Hylli potestate positum ut Hercules rebus secundis utatur, sed hoc tantum ei sit agendum ut bonum, si fieri possit, nuncium de eo afferat, quo fit ut Hercules* καλῶς πράσσειν δοκῇ. *Scholiasta,* ὁ δὲ νοῦς, ἵνα μάθῃς εἰ φροντίζει τοῦ πατρὸς ὑπὲρ τοῦ δοκεῖν καλῶς διαπράττεσθαι". Quae omnia ex eo sunt interpretationis genere quod philologorum scholas redolet, in quibus multa excogitari solent ceterorum mortalium nemini facile in mentem ventura: qualia non mihi placere, sed interdum ab me tolerari, donec melius quid suppetat, dixi in Praefatione vol. 1. p. XVIII. Manifestum est nihil aliud hic dici potuisse quam Hylli potissimum, quattuor Herculis filiorum natu maximi, officium esse ut patris per menses quindecim domo absentis (ut Deianira dicit v. 44.) quaerendi laborem suscipiat, si quam eius curam gerat, non eo consilio ut pater pulcre valere *videatur,* sed ut ante omnia constet utrum adhuc vivat an periculosis succubuerit laboribus, quos ei subeundos fuisse Deianira supra dixerat. Ex his sequitur verba τοῦ καλῶς πράσσειν δοκεῖν (fortasse ex glossemate τοῦ καλῶς πράττειν ad ὥραν olim adscripto orta, cui versus explendi caussa δοκεῖν addidit interpolator) verborum ab Sophocle scriptorum locum occupare, quae fortasse sic sunt restituenda,

μάλιστα δ' ὅνπερ εἰκὸς Ὕλλον, εἰ πατρὸς
νέμοι τιν' ὥραν, τόνδ' ὑποστῆναι πόνον.

ut ὑφίσταμαι πόνον dictum est in Rheso v. 157. et πόνους καὶ κινδύνους ὑποστῆναι ab Demosthene p. 158, 1. aliisque.

In Philocteta nonnulla ita sunt depravata ut non satis appareat quid antiquiores librarii commiserint, quid interpolatoribus sit imputandum vel defecta sarcientibus vel corrupta utcunque corrigentibus, ut in systemate tetrametrorum dactylicorum v. 855 — 864. cuius hae in codice Laurentiano exstant reliquiae

οὖρός τοι τέκνον, οὖρος· ἀνὴρ
δ' ἀνόμματος οὐδ' ἔχων ἀρωγὰν
ἐκτέταται νύχιος,
ἀλεὴς ὕπνος ἐσθλὸς
οὐ χερὸς, οὐ ποδὸς, οὔ τινος ἄρχων,
ἀλλ' ὥς τις Ἀΐδα παρακείμενος
ὁρᾷ. βλέπει καίρια φθέγγει.
τὸ δ' ἀλώσιμον ἐμᾷ φροντίδι παῖ
πόνος ὁ μὴ φοβῶν κράτιστος.

in quibus, omissis quae vel corrupta vel interpolata sunt, hae contineri videntur versuum fragmenta genuina οὖρός τοι, τέκνον, οὖρος ⏑ –́ –

–́ ⏑ ⏑ –́ ⏑ ⏑ – ⏑ ἀρωγὰν
ἐκτέταται νύχιος ⏑ ⏑ –́ –
–́ ⏑ ⏑ –́ ⏑ ⏑ –́ ὕπνος ἐσθλὸς,
οὐ χερὸς, οὐ ποδὸς, οὔ τινος ἄρχων,
ἀλλ' ὥς τίς τ' Ἀΐδᾳ παρακείμενος
–́ ⏑ ⏑ –́ ⏑ ⏑ καίρια –́ –
–́ ⏑ ⏑ – τὸ δ' ἀλώσιμον ἀμᾷ
φροντίδι, παῖ, πόνος
ὁ μὴ φοβῶν κράτιστος

systemate in versum dactylicum tetrametrum, dactylicum dimetrum et iambicum dimetrum exeunte, ut in Oedipo Coloneo v. 234. systema dactylicum iisdem plane metris finitur

αὖθις ἄφορμος ἐμᾶς χθονὸς ἔκθορε,
μή τι πέρα χρέος
ἐμᾷ πόλει προσάψῃς,

ex quo apparet, quod per se satis manifestum est, verba τὸ δ' ἀλώσιμον ἐμᾷ φροντίδι παῖ πόνος absurde in codice in unum redacta esse verum quasi anapaesticum.

Facilior aliorum Philoctetae locorum emendatio est ubi unum tantum vocabulum vel ab librariis vel ab correctoribus est depravatum, qualia plura partim ab aliis partim ab me ipso in Annotationibus Oxoniensibus sunt indicata, quibus addendus v. 228.

ἀλλ᾽ οἰκτίσαντες ἄνδρα δύστηνον, μόνον,
ἔρημον ὧδε κἄφιλον καλούμενον,
φωνήσατ᾽, εἴπερ ὡς φίλοι προσήκετε,

ubi verbi καλούμενον, quod alienum ab hoc loco est, satis certa emendatio esse videtur προκείμενον, ut Aiax in fabula cognomine v. 422. dicit, τανῦν δ᾽ ἄτιμος ὧδε πρόκειμαι. προκείμενον autem ab Sophocle scriptum esse ex v. 268. colligi potest

ξὺν ἥ μ᾽ ἐκεῖνοι, παῖ, προθέντες ἐνθάδε
ᾤχοντ᾽ ἔρημον.

cui accurate respondet προκείμενον, quod passivi προτεθειμένον locum tenet: nam praeterito τεθεῖσθαι Attici veteres verbum κεῖσθαι substituere solent. Eodem sensu ἄφιλος αὐανῶ βίον dictum in Electra v. 819. et αὐανοῦμαι τῷδ᾽ εν αὐλίῳ μόνος ab Philocteta infra v. 954.

Satis diximus pro huius editionis consilio de veterum correctorum et interpolatorum studiis, quae qua aetate fervere coeperint facilius dictu est, ut supra ostendi, quam qua deferbuerint. Nam codices poetarum scenicorum, si ab centum et quinquaginta Phaethontis, fabulae Euripideae, versibus in codice Epistolarum Pauli Parisino Claromontano servatis discesseris, nulli supersunt seculo undecimo ineunte superiores, et Aeschyli quidem ac Sophoclis unus tantum Florentinus Laurentianus, ex quo reliqui libri manuscripti omnes sunt derivati, Aristophanis duo, Ravennas et Venetus, nec plures Euripidis. In vetustioribus autem his codicibus correctorum veterum coniecturae cum aliorum grammaticorum multo recentiorum correctionibus ita sunt permixtae ut, quum par fere utrorumque inscitia fuerit, ad suum quaeque seculum revocari nequeant, nec raro una eademque scriptura interpolata pari iure primo secundove ac nono decimove aerae nostrae seculo adscribi possit. Nec scholiastarum annotationes, in quibus haud raro vel scripturae antiquitus corruptae vel temerariae correctorum coniecturae utcunque explicantur, multum conferunt ad istiusmodi dubitationes solvendas, quum excerpta scholiorum veterum Alexandrinorum in codicibus saepissime mixta sint cum infimae aetatis grammaticorum annotationibus, cuius perversitatis exempla duo omnium manifestissima in scholio reperiuntur codicis Laurentiani ad Sophoclis Oedipum Col. 1375. ubi versus quindecim de Oedipo ab ignoto aliquo medii aevi versificatore compositi leguntur, et in scholio ad Electrae v. 691. ubi duo de ludis Pythicis versus memoriales sunt illati, qui syllabis tantum numeratis, nulla mensurae ratione habita, extremam produnt medii aevi barbariem,

πένθ᾽, ἅλμα δίσκον ἄκοντα δρόμον πάλην·
ταῦτ᾽ ἐν μιᾷ τις ἠγωνίζεθ᾽ ἡμέρᾳ,

de quibus dixi in Praefatione ad Scholia Odysseae vol. 1. p. VII. et in Praefatione ad Sophoclis editionem Lipsiensem quartam p. V.

Longe certius de correctoribus, qui postremis medii aevi seculis poetarum scenicorum fabulas tractarunt, iudicare licet, quos nullis usos esse novimus codicibus aut antiquioribus aut melioribus quam quorum nobis quoque etiamnum copia est. Quod manifestissimum est in Aeschyli et Sophoclis tragoediis, quorum codex archetypus, nunc Laurentianus, a Pantaleone exeunte seculo quarto decimo Byzantio in Italiam translatus, si cum apographis ex eo derivatis comparetur, facile perspicitur — quod in Praefationibus ad Aeschyli Prometheum et ad Sophoclis editionem Oxoniensem vol. 1. et vol. 8. p. VI—XVI. demonstravi et propediem aliis argumentis comprobabo — correctores Byzantinos, etsi ipsi quoque multa quae corrupta vel essent vel esse viderentur temere mutaverint, tamen longe abfuisse ab antiquiorum interpolatorum licentia. Versus ab ipsis ficti, lacunae explendae caussa, in quattuordecim Aeschyli et Sophoclis fabulis duo tantum reperiuntur, alter apud Aeschylum post Sept. ad Theb. v. 194. illatus, τοιαῦτά τἂν γυναιξὶ συνναίων ἔχοις, alter apud Sophoclem in Oedipo Rege post v. 799. additus et in margine codicis Laurentiani ex apographo aliquo ab manu recenti annotatus, καί σοι, γύναι, τἀληθὲς ἐξερῶ, τριπλῆς —. In mutanda vero codicis archetypi scriptura etsi non inutilem operam posuerunt correctis levioribus illius vitiis, inprimis de genere orthographico, non paucis, tamen multo plura corrigendo depravarunt, praesertim si qua reconditior tollenda esset corruptela, velut in versibus Philoctetae 220—223. sic scriptis in codice archetypo

τίνες ποτ᾽ ἐς γῆν τήνδε κἀκ ποίας πάτρας
κατέσχετ᾽ οὔτ᾽ εὔορμον οὔτ᾽ οἰκουμένην;
ποίας πάτρας ἂν ὑμᾶς ἢ γένους ποτὲ
τύχοιμ᾽ ἂν εἰπών;

Animadverterat corrector πάτρας versui primo male illatum esse ex versu tertio, sed quum aliud nomen femininum cum κἀκ ποίας coniungendum (quale nunc ab Nauckio optime restitutum habemus, κἀκ ποίας τύχης) non statim ei in mentem veniret, molimine multo quam opus erat maiore, sublatis verbis κἀκ ποίας πάτρας, intulit ναυτίλῳ πλάτῃ, quod in apographo Parisino 2712., ab correctore aliquo per omnes Sophoclis tragoedias aequaliter interpolato, ceterisque apographis praeter duo omnibus legitur, in quod ut incideret corrector fortasse verbis v. 355. factum est, κἀγὼ πικρὸν Σίγειον οὐρίῳ πλάτῃ | κατηγόμην, cui, quum οὐρίῳ loco superiori non conveniret, ναυτίλῳ πλάτῃ substituit, ut Euripides in prologo Archelai apud Aristophanem Ran. 1207. dixit ναυτίλῳ πλάτῃ | Ἄργος κατασχών. Non melius versus tertii emendatio cessit correctoribus Byzantinis, aliis ποίας πάτρας ὑμᾶς ἂν ἢ γένους ποτέ, aliis ποίας πάτρας ἂν ἢ γένους ὑμᾶς ποτε scribentibus, neutris animadvertentibus Sophoclem scripsisse ποίας ἂν ὑμᾶς πατρίδος ἢ γένους ποτέ, ut ostendi in Annotationibus Oxoniensibus.

# ADDENDA.

Fragm. 25. In glossa Hesychii, Ἀρρύθμων: θω ἀσυμφώνων. Σοφοκλῆς αἰγί, recte Musurus Αἰγίσθῳ correxisse putandus erit, si Sophoclis nomen recte suppletum est in verbis Philodemi περὶ εὐσεβείας in Gomperzii Studiis Herculanensibus fasc. 2. p. 22.

[Αἰσχύλος] δ' ἐν Ἡλιά-
[σιν τὸν] Δία καὶ αἰθέ-
[ρα λέγει κ]αὶ γῆν καὶ
[οὐρανὸ]ν καὶ τὰ πάν-
[τα καὶ ὑ]πὲρ τὰ πάν-
[τ'· Εὐριπί]δης (?) δ' ἐν Μυ-
[σοῖς (?) καὶ] τὸν Δία καὶ
[οὐρανὸ]ν ἠλιωπὸν,
[Σοφοκλῆς] δ' Αἰγίσθῳ
[οὐρανὸν μ]όνον, ἐν Οἰ-
[νεῖ δὲ καὶ τ]ὸν Δία —.

Fragm. 145. ΑΧΑΙΩΝ ΣΥΛΛΟΓΟΣ Η ΣΥΝΔΕΙΠΝΟΙ] Ad hanc fabulam spectant Philodemi verba in libro de ira in volum. Hercul. col. XVIII. (p. 66, 20. ed. Gomperz.):

. . χαλκοῦν . . . .
. . . . . . κ-
άτω ἄνω μιγνύωσι π-
αραπεμφθέντες ὑπό
τινος ἑστιῶντος ὥσπερ
ὁ Σοφοκλέους Ἀχιλλεύς —.

Fragm. 267. γενεᾶς] Bergkii emendationem γέννας confirmat Philodemus περὶ εὐσεβείας in Gomperzii Studiis Herculan. fasc. 2. p. 51. καὶ τῆς | ἐπὶ Κρόνου ζωῆς | εὐδαιμονεστάτης | οὔσης, ὡς ἔγραψαν Ἡ|σίοδος καὶ ὁ τὴν Ἀλ|κμεωνίδα ποιήσας | καὶ Σοφοκλῆς "εὐδαί|μονες οἱ τότε [γέν]νας" εἰπών . . .

Eundem librariorum errorem apud Aristoph. Avium v. 1376. correxi in nova hac Poetarum scenicorum editione.

Post fragm. 278. adde, 278 b. Philodemus περὶ εὐσεβείας in Gomperzii Studiis Herculan. fasc. 2. p. 23. καὶ Σοφοκλῆς ἐν Ἰνάχῳ τὴν Γῆν μητέρα τῶν θεῶν φησιν, ἐν Τριπτολέμῳ δὲ καὶ Ἑστίαν εἶναι.

Fragm. 423. ὑπὲρ ἀτρυγέτου] ὑπὲρ αἰθέρος ἀτρυγέτου Kockius.

Inter incertarum fabularum fragmenta male a quibusdam numeratur Pollucis notatio 2, 154. ἀχείρωτον δὲ Σοφοκλῆς εἴρηκε τὸ ἀχειρούργητον, δυσχείρωτα δὲ Δημοσθένης. quae recte ab aliis relata est ad Oedip. Col. 698. ubi olea appellatur φύτευμ' ἀχείρητον, αὐτόποιον. Sic codex Laurentianus et apographa nonnulla: in aliis apographis ἀχείρωτα, de quo L. Dindorfius in Thesauro vol. 1. part. 2. p. 2744. "ἀχείρητον unde ducatur, quum nullum sit verbum simplex in έω, non intelligitur, et certe ἀχείριστον dicendum fuisse videtur. Sophocles si scripsit per ω, conferendum Aeschyleum τυμβοχόα χειρώματα Sept. 1022. quod scholiasta Byzantinus explicat θύματα τὰ ἐπὶ τοῖς νεκροῖς διὰ χειρῶν ἐργαζόμενα τῷ τύμβῳ τοῦ νεκροῦ, Thomas Mag. θύματα τὰ διὰ τῆς χειρὸς γενόμενα". Si Sophocles adiectivo hoc non *indomiti* significatione, cui quodammodo conveniunt verba proxima ἐγχέων φόβημα δαΐων, sed nova quam Pollux ei tribuit significatione usus est, comparari potest quod ex Ioanne Chrysostomo de manna dictum memoravit Suicerus, ἄρτον ἀχειρογεώργητον ἔτρωγον, quod adiectivum ad similitudinem adiectivi ἀχειροποίητος, quo Novi Testamenti scriptores utuntur, formatum videtur.

# ΣΟΦΟΚΛΕΟΥΣ ΑΙΑΣ.

---

## ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ

ΑΘΗΝΑ.
ΟΔΥΣΣΕΥΣ.
ΑΙΑΣ.
ΧΟΡΟΣ ΣΑΛΑΜΙΝΙΩΝ ΝΑΥΤΩΝ.
ΤΕΚΜΗΣΣΑ.
ΑΓΓΕΛΟΣ.
ΤΕΥΚΡΟΣ.
ΜΕΝΕΛΑΟΣ.
ΑΓΑΜΕΜΝΩΝ.

## ΚΩΦΑ ΠΡΟΣΩΠΑ

ΕΥΡΥΣΑΚΗΣ. ΠΑΙΔΑΓΩΓΟΣ. ΣΤΡΑΤΟΚΗΡΥΞ.

---

## ΥΠΟΘΕΣΙΣ.

Τὸ δρᾶμα τῆς Τρωικῆς ἐστι πραγματείας, ὥσπερ οἱ ΑΝΤΗΝΟΡΙΔΑΙ καὶ ΑΙΧΜΑΛΩΤΙΔΕΣ καὶ ΕΛΕΝΗΣ ΑΡΠΑΓΗ καὶ ΜΕΜΝΩΝ. πεπτωκότος γὰρ ἐν τῇ μάχῃ τοῦ Ἀχιλλέως ἐδόκουν Αἴας τε καὶ Ὀδυσσεὺς ἐπ᾽ αὐτῷ πλέον τι ἀριστεύειν περὶ τὴν τοῦ σώματος κομιδήν· καὶ κρινομένων περὶ τῶν ὅπλων κρατεῖ Ὀδυσσεύς. ὅθεν ὁ Αἴας τῆς κρίσεως μὴ τυχὼν παρακεκίνηται καὶ διέφθαρται τὴν γνώμην, ὥστε ἐφαπτόμενος τῶν ποιμνίων δοκεῖν τοὺς Ἕλληνας διαχρήσασθαι. καὶ τὰ μὲν ἀνεῖλε τῶν τετραπόδων, τὰ δὲ δήσας ἀπάγει ἐπὶ τὴν σκηνήν· ἐν οἷς ἐστί τις καὶ κριὸς ἔξοχος, ὃν ᾤετο εἶναι Ὀδυσσέα, ὃν δήσας ἐμαστίγωσεν· ὅθεν καὶ τῇ ἐπιγραφῇ πρόσκειται ΜΑΣΤΙΓΟΦΟΡΟΣ, ἢ πρὸς ἀντιδιαστολὴν τοῦ ΛΟΚΡΟΥ. Δικαίαρχος δὲ ΑΙΑΝΤΟΣ ΘΑΝΑΤΟΝ ἐπιγράφει. ἐν δὲ ταῖς διδασκαλίαις ψιλῶς ΑΙΑΣ ἀναγέγραπται.

---

ΑΘΗΝΑ.

Ἀεὶ μέν, ὦ παῖ Λαρτίου, δέδορκά σε
πεῖράν τιν᾽ ἐχθρῶν ἁρπάσαι θηρώμενον·
καὶ νῦν ἐπὶ σκηναῖς σε ναυτικαῖς ὁρῶ
Αἴαντος, ἔνθα τάξιν ἐσχάτην ἔχει,
πάλαι κυνηγετοῦντα καὶ μετρούμενον
ἴχνη τὰ κείνου νεοχάραχθ᾽, ὅπως ἴδῃς
εἴτ᾽ ἔνδον εἴτ᾽ οὐκ ἔνδον. εὖ δέ σ᾽ ἐκφέρει

---

Scripturae sine nomine auctoris vel in lemmatis vel pone lemmata positae sunt codicis archetypi Florentini (L) Bibliothecae Laurentianae (XXXII, 9.) Correctiones ab διορθωτῇ huius codicis factas litera S notavimus, quia ab huius grammatici manu scholia codicis scripta sunt. Emendationes ex uno pluribusve codicis Laurentiani apographis factas asterisco notavimus, omissis quas ex editione nostra Oxoniensi tertia (a. 1860) cognoscere licet, sed quas hoc loco notari omnes non erat operae pretium, minutiis orthographicis aliisque quisquiliis. Nec pravas versuum in carminibus melicis descriptiones, quae ipsae quoque omnes in editione Oxoniensi indicatae sunt, in nova hac editione repetendas esse putavimus, nisi ubi opus esset, velut de Aiacis v. 196—200. ab vetere metrorum correctore interpolatis. Coniecturis editoris litera D est apposita.

ΥΠΟΘΕΣΙΣ] Veterem hanc ὑπόθεσιν, quae excidit ex L, servarunt apographa, adiuncta verbosa grammatici alicuius Byzantini expositione, ταῦτα μὲν οὖν πράττει — τρωτὸν ἔμεινε, quam vide in Scholiorum editione Oxoniensi vol. 2. p. 26, 3—28, 4.

1. Λαρτίου pr. Λάρτίου cum spiritu a m. rec.

κυνὸς Λακαίνης ὥς τις εὔρινος βάσις.
ἔνδον γὰρ ἁνὴρ ἄρτι τυγχάνει, κάρα
στάζων ἱδρῶτι καὶ χέρας ξιφοκτόνους.
καί σ᾽ οὐδὲν εἴσω τῆσδε παπταίνειν πύλης
ἔτ᾽ ἔργον ἐστίν, ἐννέπειν δ᾽ ὅτου χάριν
σπουδὴν ἔθου τήνδ᾽, ὡς παρ᾽ εἰδυίας μάθῃς.

ΟΔΥΣΣΕΥΣ.

ὦ φθέγμ᾽ Ἀθάνας φιλτάτης ἐμοὶ θεῶν,
ὡς εὐμαθές σου, κἂν ἄποπτος ᾖς ὅμως,
φώνημ᾽ ἀκούω καὶ ξυναρπάζω φρενὶ
χαλκοστόμου κώδωνος ὡς Τυρσηνικῆς.
καὶ νῦν ἐπέγνως εὖ μ᾽ ἐπ᾽ ἀνδρὶ δυσμενεῖ
βάσιν κυκλοῦντ᾽, Αἴαντι τῷ σακεσφόρῳ.
κεῖνον γάρ, οὐδέν᾽ ἄλλον, ἰχνεύω πάλαι.
νυκτὸς γὰρ ἡμᾶς τῆσδε πρᾶγος ἄσκοπον
ἔχει περάνας, εἴπερ εἴργασται τάδε·
ἴσμεν γὰρ οὐδὲν τρανές, ἀλλ᾽ ἀλώμεθα·
κἀγὼ ᾽θελοντὴς τῷδ᾽ ὑπεζύγην πόνῳ.
ἐφθαρμένας γὰρ ἀρτίως εὑρίσκομεν
λείας ἁπάσας καὶ κατηναρισμένας
ἐκ χειρὸς αὐτοῖς ποιμνίων ἐπιστάταις.
τήνδ᾽ οὖν ἐκείνῳ πᾶς τις αἰτίαν νέμει.
καί μοί τις ὀπτὴρ αὐτὸν εἰσιδὼν μόνον
πηδῶντα πεδία σὺν νεορράντῳ ξίφει
φράζει τε κἀδήλωσεν· εὐθέως δ᾽ ἐγὼ
κατ᾽ ἴχνος ᾄσσω, καὶ τὰ μὲν σημαίνομαι,
τὰ δ᾽ ἐκπέπληγμαι, κοὐκ ἔχω μαθεῖν ὅτου.
καιρὸν δ᾽ ἐφήκεις· πάντα γὰρ τά τ᾽ οὖν πάρος
τά τ᾽ εἰσέπειτα σῇ κυβερνῶμαι χερί.
ΑΘ. ἔγνων, Ὀδυσσεῦ, καὶ πάλαι φύλαξ ἔβην
τῇ σῇ πρόθυμος εἰς ὁδὸν κυναγίᾳ.
ΟΔ. ἦ καί, φίλη δέσποινα, πρὸς καιρὸν πονῶ;
ΑΘ. ὡς ἔστιν ἀνδρὸς τοῦδε τἄργα ταῦτά σοι.
ΟΔ. καὶ πρὸς τί δυσλόγιστον ὧδ᾽ ᾖξεν χέρα;
ΑΘ. χόλῳ βαρυνθεὶς τῶν Ἀχιλλείων ὅπλων.
ΟΔ. τί δῆτα ποίμναις τήνδ᾽ ἐπεμπίπτει βάσιν;
ΑΘ. δοκῶν ἐν ὑμῖν χεῖρα χραίνεσθαι φόνῳ.
ΟΔ. ἦ καὶ τὸ βούλευμ᾽ ὡς ἐπ᾽ Ἀργείοις τόδ᾽ ἦν;
ΑΘ. κἂν ἐξεπράξατ᾽, εἰ κατημέλησ᾽ ἐγώ.
ΟΔ. ποίαισι τόλμαις ταῖσδε καὶ φρενῶν θράσει;
ΑΘ. νύκτωρ ἐφ᾽ ὑμᾶς δόλιος ὁρμᾶται μόνος.
ΟΔ. ἦ καὶ παρέστη κἀπὶ τέρμ᾽ ἀφίκετο;
ΑΘ. καὶ δὴ ᾽πὶ δισσαῖς ἦν στρατηγίσιν πύλαις.
ΟΔ. καὶ πῶς ἐπέσχε χεῖρα μαιμῶσαν φόνου;
ΑΘ. ἐγώ σφ᾽ ἀπείργω, δυσφόρους ἐπ᾽ ὄμμασι
γνώμας βαλοῦσα, τῆς ἀνηκέστου χαρᾶς,
καὶ πρός τε ποίμνας ἐκτρέπω σύμμικτά τε
λείας ἄδαστα βουκόλων φρουρήματα.
ἔνθ᾽ ἐσπεσὼν ἔκειρε πολύκερων φόνον
κύκλῳ ῥαχίζων· κἀδόκει μὲν ἔσθ᾽ ὅτε
δισσοὺς Ἀτρείδας αὐτόχειρ κτείνειν ἔχων,
ὅτ᾽ ἄλλοτ᾽ ἄλλον ἐμπίτνων στρατηλατῶν.
ἐγὼ δὲ φοιτῶντ᾽ ἄνδρα μανιάσιν νόσοις
ὤτρυνον, εἰσέβαλλον εἰς ἕρκη κακά.
κἄπειτ᾽ ἐπειδὴ τοῦδ᾽ ἐλώφησεν πόνου,
τοὺς ζῶντας αὖ δεσμοῖσι συνδήσας βοῶν
ποίμνας τε πάσας ἐς δόμους κομίζεται,
ὡς ἄνδρας, οὐχ ὡς εὔκερων ἄγραν ἔχων,
καὶ νῦν κατ᾽ οἴκους συνδέτους αἰκίζεται.
δείξω δὲ καὶ σοὶ τήνδε περιφανῆ νόσον,
ὡς πᾶσιν Ἀργείοισιν εἰσιδὼν θροῇς.
θαρσῶν δὲ μίμνε μηδὲ συμφορὰν δέχου
τὸν ἄνδρ᾽· ἐγὼ γὰρ ὀμμάτων ἀποστρόφους
αὐγὰς ἀπείρξω σὴν πρόσοψιν εἰσιδεῖν.
οὗτος, σὲ τὸν τὰς αἰχμαλωτίδας χέρας
δεσμοῖς ἀπευθύνοντα προσμολεῖν καλῶ·
Αἴαντα φωνῶ· στεῖχε δωμάτων πάρος.
ΟΔ. τί δρᾷς, Ἀθάνα; μηδαμῶς σφ᾽ ἔξω κάλει.
ΑΘ. οὐ σῖγ᾽ ἀνέξει μηδὲ δειλίαν ἀρεῖ;
ΟΔ. μὴ πρὸς θεῶν, ἀλλ᾽ ἔνδον ἀρκείτω μένων.
ΑΘ. τί μὴ γένηται; πρόσθεν οὐκ ἀνὴρ ὅδ᾽ ἦν;
ΟΔ. ἐχθρός γε τῷδε τἀνδρὶ καὶ τανῦν ἔτι.
ΑΘ. οὔκουν γέλως ἥδιστος εἰς ἐχθροὺς γελᾶν;
ΟΔ. ἐμοὶ μὲν ἀρκεῖ τοῦτον ἐν δόμοις μένειν.
ΑΘ. μεμηνότ᾽ ἄνδρα περιφανῶς ὀκνεῖς ἰδεῖν;
ΟΔ. φρονοῦντα γάρ νιν οὐκ ἂν ἐξέστην ὄκνῳ.
ΑΘ. ἀλλ᾽ οὐδὲ νῦν σε μὴ παρόντ᾽ ἴδῃ πέλας.
ΟΔ. πῶς, εἴπερ ὀφθαλμοῖς γε τοῖς αὐτοῖς ὁρᾷ;
ΑΘ. ἐγὼ σκοτώσω βλέφαρα καὶ δεδορκότα.
ΟΔ. γένοιτο μέντἂν πᾶν θεοῦ τεχνωμένου.
ΑΘ. σίγα νυν ἑστὼς καὶ μέν᾽ ὡς κυρεῖς ἔχων.
ΟΔ. μένοιμ᾽ ἄν· ἤθελον δ᾽ ἂν ἐκτὸς ὢν τυχεῖν.
ΑΘ. ὦ οὗτος, Αἴας, δεύτερόν σε προσκαλῶ.
τί βαιὸν οὕτως ἐντρέπει τῆς συμμάχου;

ΑΙΑΣ.

ὦ χαῖρ᾽ Ἀθάνα, χαῖρε Διογενὲς τέκνον,
ὡς εὖ παρέστης· καί σε παγχρύσοις ἐγὼ
στέψω λαφύροις τῆσδε τῆς ἄγρας χάριν.

---

9. ἁνὴρ] ἀνὴῤ L. Articulum hic et alibi addidit Brunckius, etsi crasi male expressa ὡ᾽ νήρ, pro quo posteriores editores recte ἁνήρ: de quo semel monemus. 24. *᾽θελοντὴς] θελοντὴς 28. *νέμει] τρέπει 33. ὅτου] του in litura. Fuit ὅπου: unde in
τ
Lb. ὅπου, et ὅπου in quattuor codicibus Suidae s. v. σημαίνομαι, quod scholiasta quoque legit. 38. πονῶ] πονῶι, ut iota terminationi α η et ω in hoc codice aliorumque scriptorum codicibus vetustis et inscriptionibus interdum sine ratione adscribitur, de quo dictum est ab me in Praefatione ad Sophoclis edit. Lipsiensem quartam p. XIII., ab Usenero in Fleckeiseni Annalibus vol. 91. p. 237. et Ritschelio in Museo Rhen. vol. 21. p. 138. Frequens in inscriptionibus Aegyptiacis ΗΚΩΙ, de quo Letronnius, *Recueil des inscriptions* vol. 2. p. 31. et Deville in *Archives des missions scientifiques* vol. 2. (a. 1866.) p. 458. 44. *βούλευμ᾽] βούλημ᾽ 45. ἐξεπράξατ᾽] γρ. ἐξέπραξεν schol.

50. μαιμῶσαν] γρ. διψῶσαν schol. (ex versu tragici ap. Athen. 10. p. 433. ἴσχειν κελεύω χεῖρα διψῶσαν φόνου).

55. ἐσπεσὼν] εἰσπεσών. ἐς vel simplex vel in compositis ante consonantem partim ab me partim a Brunckio aliisque est restitutum hic et v. 63. 729. 751. 1006. 1109. 1249., ex apographis 1082. 1090. 1278.
57. ἔχων] γρ. παρών ab S. 58. ἐμπίτνων Elmsleius]
τνῶν
ἐμπίπτων (τνῶν a m. rec.) 60. εἰς ἕρκη κακά] γρ. εἰς ἐρινὺν κακὴν ab S. 61. *πόνου] φόνου 70. *ἀπείρξω]
ξ
ἀπείργω, ξ a m. recentissima superscripto: quo apographorum significatur scriptura ἀπείρξω. Eadem, ut videtur, manus v. 51. super ἀπείργω scripsit ξω; ubi ἀπεῖρξα est in apogr. Flor. Γ, sed verum est ἀπείργω, ut in verbis proximis ἐκτρέπω dictum est.

71. *αἰχμαλωτίδας] αἰχμαλώτιδας 74. μηδαμῶς σφ᾽ ἔξω] μηδαμῶς ἔξω pr., σφ᾽ a m. recentissima inserto, ut est in apographis. 75. *ἀνέξει] ἀνέξηι, quae terminatio passim ex apographis, multo saepius a Brunckio aliisque editoribus recentioribus correcta est, velut in hac fabula v. 75. 90. 109. 164. 215. 284. 369. 553. 592. 999. 1041. 1141. 1256. 1307. 1314. 1356. 1369. Recta terminatio servata in L. 195. (ubi corrector στηρίζηι). ἀρεῖ Schneidewinus] ἄρηις, εἶς superscripto a m. rec., iuxta posito ἀρῆι, quod est ἀρεῖ 79. *οὔκουν] οὐκοῦν 80. *ἐν δόμοις]
ἐν οις
ἐς δόμους, ἐν et οις a m. recentissima ex apographis.

85. δεδορκότα] δεδορκότος anonymus.

ΑΘ. καλῶς ἔλεξας. ἀλλ᾽ ἐκεῖνό μοι φράσον,
ἔβαψας ἔγχος εὖ πρὸς Ἀργείων στρατῷ;
ΑΙ. κόμπος πάρεστι κοὐκ ἀπαρνοῦμαι τὸ μή.
ΑΘ. ἦ καὶ πρὸς Ἀτρείδαισιν ἤχμασας χέρα;
ΑΙ. ὥστ᾽ οὔποτ᾽ Αἴανθ᾽ οἵδ᾽ ἀτιμάσουσ᾽ ἔτι.
ΑΘ. τεθνᾶσιν ἄνδρες, ὡς τὸ σὸν ξυνῆκ᾽ ἐγώ.
ΑΙ. θανόντες ἤδη τἄμ᾽ ἀφαιρείσθων ὅπλα.
ΑΘ. εἶεν, τί γὰρ δὴ παῖς ὁ τοῦ Λαερτίου,
ποῦ σοι τύχης ἕστηκεν; ἦ πέφευγέ σε;
ΑΙ. ἦ τοὐπίτριπτον κίναδος ἐξήρου μ᾽ ὅπου;
ΑΘ. Ὀδυσσέα ᾽γὼ τὸν σὸν ἐνστάτην λέγω.
ΑΙ. ἥδιστος, ὦ δέσποινα, δεσμώτης ἔσω
θακεῖ· θανεῖν γὰρ αὐτὸν οὔ τί πω θέλω.
ΑΘ. πρὶν ἂν τί δράσῃς ἢ τί κερδάνῃς πλέον;
ΑΙ. πρὶν ἂν δεθεὶς πρὸς κίον᾽ ἑρκείου στέγης
ΑΘ. τί δῆτα τὸν δύστηνον ἐργάσει κακόν;
ΑΙ. μάστιγι πρῶτον νῶτα φοινιχθεὶς δαμῇ.
ΑΘ. μὴ δῆτα τὸν δύστηνον ὧδέ γ᾽ αἰκίσῃ.
ΑΙ. χαίρειν, Ἀθάνα, τἄλλ᾽ ἐγώ σ᾽ ἐφίεμαι·
κεῖνος δὲ τίσει τήνδε κοὐκ ἄλλην δίκην.
ΑΘ. σὺ δ᾽ οὖν, ἐπειδὴ τέρψις ἥδε σοι τὸ δρᾶν,
χρῶ χειρί, φείδου μηδὲν ὧνπερ ἐννοεῖς.
ΑΙ. χωρῶ πρὸς ἔργον· σοὶ δ᾽ ἐφίεμαι, θεά,
τοιάνδ᾽ ἀεί μοι σύμμαχον παρεστάναι.
ΑΘ. ὁρᾷς, Ὀδυσσεῦ, τὴν θεῶν ἰσχὺν ὅση;
τούτου τίς ἂν σοι τἀνδρὸς ἢ προνούστερος,
ἢ δρᾶν ἀμείνων ηὑρέθη τὰ καίρια;
ΟΔ. ἐγὼ μὲν οὐδέν᾽ οἶδ᾽· ἐποικτείρω δέ νιν
δύστηνον ἔμπας, καίπερ ὄντα δυσμενῆ,
ὁθούνεκ᾽ ἄτῃ συγκατέζευκται κακῇ,
οὐδὲν τὸ τούτου μᾶλλον ἢ τοὐμὸν σκοπῶν.
ὁρῶ γὰρ ἡμᾶς οὐδὲν ὄντας ἄλλο πλὴν
εἴδωλ᾽ ὅσοιπερ ζῶμεν ἢ κούφην σκιάν.
ΑΘ. τοιαῦτα τοίνυν εἰσορῶν ὑπέρκοπον
μηδέν ποτ᾽ εἴπῃς αὐτὸς ἐς θεοὺς ἔπος,
μηδ᾽ ὄγκον ἄρῃ μηδέν᾽, εἴ τινος πλέον
ἢ χειρὶ βρίθεις ἢ μακροῦ πλούτου βάθει.
ὡς ἡμέρα κλίνει τε κἀνάγει πάλιν
ἅπαντα τἀνθρώπεια· τοὺς δὲ σώφρονας
θεοὶ φιλοῦσι καὶ στυγοῦσι τοὺς κακούς.

ΧΟΡΟΣ.

Τελαμώνιε παῖ, τῆς ἀμφιρύτου
Σαλαμῖνος ἔχων βάθρον ἀγχιάλου,
σὲ μὲν εὖ πράσσοντ᾽ ἐπιχαίρω·
σὲ δ᾽ ὅταν πληγὴ Διὸς ἢ ζαμενὴς
λόγος ἐκ Δαναῶν κακόθρους ἐπιβῇ,
μέγαν ὄκνον ἔχω καὶ πεφόβημαι
πτηνῆς ὡς ὄμμα πελείας.
ὡς καὶ τῆς νῦν φθιμένης νυκτὸς
μεγάλοι θόρυβοι κατέχουσ᾽ ἡμᾶς
ἐπὶ δυσκλείᾳ, σὲ τὸν ἱππομανῆ
λειμῶν᾽ ἐπιβάντ᾽ ὀλέσαι Δαναῶν
βοτὰ καὶ λείαν,
ἥπερ δορίληπτος ἔτ᾽ ἦν λοιπή,
κτείνοντ᾽ αἴθωνι σιδήρῳ.
τοιούσδε λόγους ψιθύρους πλάσσων
εἰς ὦτα φέρει πᾶσιν Ὀδυσσεύς,
καὶ σφόδρα πείθει. περὶ γὰρ σοῦ νῦν
εὔπιστα λέγει, καὶ πᾶς ὁ κλύων
τοῦ λέξαντος χαίρει μᾶλλον
τοῖς σοῖς ἄχεσιν καθυβρίζων.
τῶν γὰρ μεγάλων ψυχῶν ἱεὶς
οὐκ ἂν ἁμάρτοις· κατὰ δ᾽ ἄν τις ἐμοῦ
τοιαῦτα λέγων οὐκ ἂν πείθοι.
πρὸς γὰρ τὸν ἔχονθ᾽ ὁ φθόνος ἕρπει.
καίτοι σμικροὶ μεγάλων χωρὶς
σφαλερὸν πύργου ῥῦμα πέλονται·
μετὰ γὰρ μεγάλων βαιὸς ἄριστ᾽ ἂν
καὶ μέγας ὀρθοῖθ᾽ ὑπὸ μικροτέρων.
ἀλλ᾽ οὐ δυνατὸν τοὺς ἀνοήτους
τούτων γνώμας προδιδάσκειν.
ὑπὸ τοιούτων ἀνδρῶν θορυβεῖ
χἠμεῖς οὐδὲν σθένομεν πρὸς ταῦτ᾽
ἀπαλέξασθαι σοῦ χωρίς, ἄναξ.
ἀλλ᾽ ὅτε γὰρ δὴ τὸ σὸν ὄμμ᾽ ἀπέδραν,
παταγοῦσιν ἅπερ πτηνῶν ἀγέλαι·
μέγαν αἰγυπιὸν δ᾽ ὑποδείσαντες
τάχ᾽ ἄν, ἐξαίφνης εἰ σὺ φανείης,
σιγῇ πτήξειαν ἄφωνοι.

ἦ ῥά σε Ταυροπόλα Διὸς Ἄρτεμις,
ὦ μεγάλα φάτις, ὦ
μᾶτερ αἰσχύνας ἐμᾶς,
ὥρμασε πανδάμους ἐπὶ βοῦς ἀγελαίας,
ἤ πού τινος νίκας ἀκάρπωτον χάριν,
ἤ ῥα κλυτῶν ἐνάρων
ψευσθεῖσ᾽, ἀδώροις εἴτ᾽ ἐλαφαβολίαις;
ἢ χαλκοθώραξ ἤντιν᾽ Ἐνυάλιος
μομφὰν ἔχων ξυνοῦ δορὸς ἐννυχίοις
μαχαναῖς ἐτίσατο λώβαν;
οὔποτε γὰρ φρενόθεν γ᾽ ἐπ᾽ ἀριστερά,
παῖ Τελαμῶνος, ἔβας
τόσσον ἐν ποίμναις πίτνων·
ἥκοι γὰρ ἂν θεία νόσος· ἀλλ᾽ ἀπερύκοι
καὶ Ζεὺς κακὰν καὶ Φοῖβος Ἀργείων φάτιν.
εἰ δ᾽ ὑποβαλλόμενοι
κλέπτουσι μύθους οἱ μεγάλοι βασιλῆς,
ἢ τᾶς ἀσώτου Σισυφιδᾶν γενεᾶς,
μὴ μή μ᾽, ἄναξ, ἔθ᾽ ὧδ᾽ ἐφάλοις κλισίαις
ὄμμ᾽ ἔχων κακὰν φάτιν ἄρῃ.
ἀλλ᾽ ἄνα ἐξ ἑδράνων, ὅπου μακραίωνι
στηρίζει ποτὶ τᾷδ᾽ ἀγωνίῳ σχολᾷ
ἄταν οὐρανίαν φλέγων. ἐχθρῶν δ᾽ ὕβρις

172—182 = 183—193.

---

97. *χέρα] χέραι 98. ὥστ᾽] ὡς Elmsleius. οἵδ᾽] οἶδ᾽ pr.: unde inepta scholiastae dubitatio orta est utrum οἵδ᾽ an οἶδ᾽ scribendum sit. 104. Ὀδυσσέα ᾽γὼ D.] ἔγωγ᾽ ὀδυσσέα 108. ἑρκείου Elmsleius] ἑρκίου 110. δαμῇ D.] θάνῃ. φανῇ Meinekius. 112. *ἐγώ σ᾽] ἔγωγέ σ᾽ 115. ἐννοεῖς] γρ. ἐννέπεις ab S. 116. σοὶ δ᾽ ἐφίεμαι, θεὰ D.] τοῦτό σοι δ᾽ ἐφίεμαι 120. ηὑρέθη D.] εὑρέθη. Augmento hoc verbum constanter caret in L: de quo semel monemus. 122. ἔμπας scholiasta] ἔμπης 145. *βοτὰ] βωτὰ

149. *πᾶσιν] πάντων 151. εὔπιστα] εὔπειστα pr. 155. ἁμάρτοις] σ per lineolam deletum a m. rec., quo apographorum significatur scriptura ἁμάρτοι 167. ἀπέδραν] ἐπέδραν pr., ut videtur. 167. ἅπερ pr. et lemma scholii] ἅτε corr., quod est in apographis. 169. δ᾽ addidit Dawesius. 178. ψευσθεῖσ᾽, ἀδώροις Musgravius] ψευσθεῖσα δώροις ἐλαφαβολίαις D.] ἐλαφηβολίαις (ἐλαφηβολείαις pr.) 179. ἥντιν᾽ Iohnsonus] ἤ (ἢ pr.) τιν᾽ (την pr.). σοί τιν᾽ Reiskius. 180. δορὸς] δουρὸς (ου uno ductu) pr. 185. *ποίμναις] ποίμναισι πίτνων] πίτνῶν (altero accentu a m. rec.) 189. βασιλῆς] βασιλεῖς rec. 194. μακραίωνι] suspectum propter syllabam penultimam longam. 195. στηρίζει] στηρίζηι rec. ποτὶ Ritschelius] ποτὲ 196. ἄταν — ἕστακεν D.] ἄταν οὐρανίαν φλέγων | ἐχθρῶν δ᾽ ὕβρις ὧδ᾽ ἀτάρβητα (ἀταρβῆτα pr.) | ὁρμᾶτ᾽ (ὁρμᾶται Triclinius) ἐν εὐανέμοις βάσσαις | πάντων κακχαζόντων (καγχαζόντων rec.) γλώσσαις | βαρυάλγητ᾽, ἐμοὶ δ᾽ ἄχος ἕστακεν

ἀτάρβητος ὁρμᾶται
ἐν εὐανέμοις βάσσαις,
ἁπάντων καχαζόντων
γλώσσαις βαρυαλγήτως·
ἐμοὶ δ᾽ ἄχος ἕστακεν.

ΤΕΚΜΗΣΣΑ.

ναὸς ἀρωγοὶ τῆς Αἴαντος,
γενεᾶς χθονίων ἀπ᾽ Ἐρεχθειδῶν,
ἔχομεν στροναχὰς οἱ κηδόμενοι
τοῦ Τελαμῶνος τηλόθεν οἴκου.
νῦν γὰρ ὁ δεινὸς μέγας ὠμοκρατὴς
Αἴας θολερῷ
κεῖται χειμῶνι νοσήσας.

ΧΟ. τί δ᾽ ἐνήλλακται τῆς ἠρεμίας
νὺξ ἥδε βάρος;
παῖ τοῦ Φρυγίου σὺ Τελεύταντος,
λέγ᾽, ἐπεί σε λέχος δουριάλωτον
στέρξας ἀνέχει θούριος Αἴας·
ὥστ᾽ οὐκ ἂν ἄϊδρις ὑπείποις.

ΤΕΚ. πῶς δῆτα λέγω λόγον ἄρρητον;
θανάτῳ γὰρ ἴσον πάθος ἐκπεύσει.
μανίᾳ γὰρ ἁλοὺς ἡμὶν ὁ κλεινὸς
νύκτερος Αἴας ἀπελωβήθη.
τοιαῦτ᾽ ἂν ἴδοις σκηνῆς ἔνδον
χειροδάϊκτα σφάγι᾽ αἱμοβαφῆ,
κείνου χρηστήρια τἀνδρός. [οὐδὲ φευκτὰν,

ΧΟ. οἵαν ἐδήλωσας ἀνδρὸς αἴθονος ἀγγελίαν ἄτλατον
τῶν μεγάλων Δαναῶν ὕπο κληζομέναν,
τὰν ὁ μέγας μῦθος ἀέξει.
οἴμοι φοβοῦμαι τὸ προσέρπον. περίφαντος ἁνὴρ
θανεῖται, παραπλήκτῳ χερὶ συγκατακτὰς
κελαινοῖς ξίφεσιν βοτὰ καὶ βοτῆρας ἱππονώμας.

ΤΕΚ. ὤμοι· κεῖθεν κεῖθεν ἄρ᾽ ἡμὶν
δεσμῶτιν ἄγων ἤλυθε ποίμνην·
ὧν τὴν μὲν ἔσω ᾽σφαζ᾽ ἐπὶ γαίας,
τὰ δὲ πλευροκοπῶν δίχ᾽ ἀνερρήγνυ.
δύο δ᾽ ἀργίποδας κριοὺς ἀνελὼν
τοῦ μὲν κεφαλὴν καὶ γλῶσσαν ἄκραν
ῥιπτεῖ θερίσας, τὸν δ᾽ ὀρθὸν ἄνω
κίονι δήσας
μέγαν ἱπποδέτην ῥυτῆρα λαβὼν
παίει λιγυρᾷ μάστιγι διπλῇ,
κακὰ δεννάζων ῥήμαθ᾽, ἃ δαίμων
κοὐδεὶς ἀνδρῶν ἐδίδαξεν.

221—232. = 245—256.

ΧΟ. ὥρα τιν᾽ ἤδη κάρα καλύμμασι κρυψάμενον ποδοῖν κλοπὰν ἀρέσθαι,
ἢ θοὸν εἰρεσίας ζυγὸν ἑζόμενον
ποντοπόρῳ ναῒ μεθεῖναι.
τοίας ἐρέσσουσιν ἀπειλὰς δικρατεῖς Ἀτρεῖδαι
καθ᾽ ἡμῶν· πεφόβημαι λιθόλευστον Ἄρη
ξυναλγεῖν μετὰ τοῦδε τυπεὶς, τὸν αἶσ᾽ ἄπλατος ἴσχει.

ΤΕΚ. οὐκέτι· λαμπρᾶς γὰρ ἄτερ στεροπῆς
ᾄξας ὀξὺς νότος ὣς λήγει,
καὶ νῦν φρόνιμος νέον ἄλγος ἔχει.
τὸ γὰρ ἐσλεύσσειν οἰκεῖα πάθη,
μηδενὸς ἄλλου παραπράξαντος,
μεγάλας ὀδύνας ὑποτείνει.

ΧΟ. ἀλλ᾽ εἰ πέπαυται, κάρτ᾽ ἂν εὐτυχεῖν δοκῶ·
φρούδου γὰρ ἤδη τοῦ κακοῦ μείων λόγος.

ΤΕΚ. πότερα δ᾽ ἄν, εἰ νέμοι τις αἵρεσιν, λάβοις
φίλους ἀνιῶν αὐτὸς ἡδονὰς ἔχειν,
ἢ κοινὸς ἐν κοινοῖσι λυπεῖσθαι ξυνών;

ΧΟ. τό τοι διπλάζον, ὦ γύναι, μεῖζον κακόν.

ΤΕΚ. ἡμεῖς ἄρ᾽ οὐ νοσοῦντες ἀτώμεσθα νῦν.

ΧΟ. πῶς τοῦτ᾽ ἔλεξας; οὐ κάτοιδ᾽ ὅπως λέγεις.

ΤΕΚ. ἀνὴρ ἐκεῖνος, ἡνίκ᾽ ἦν ἐν τῇ νόσῳ,
αὐτὸς μὲν ἥδεθ᾽ οἷσιν εἴχετ᾽ ἐν κακοῖς,
ἡμᾶς δὲ τοὺς φρονοῦντας ἠνία ξυνών·
νῦν δ᾽ ὡς ἔληξε κἀνέπνευσε τῆς νόσου,
κεῖνός τε λύπῃ πᾶς ἐλήλαται κακῇ
ἡμεῖς θ᾽ ὁμοίως οὐδὲν ἧσσον ἢ πάρος.
ἆρ᾽ ἔστι ταῦτα δὶς τόσ᾽ ἐξ ἁπλῶν κακά;

ΧΟ. ξύμφημι δή σοι καὶ δέδοικα μὴ ᾽κ θεοῦ
πληγή τις ἥκει. πῶς γάρ, εἰ πεπαυμένος
μηδέν τι μᾶλλον ἢ νοσῶν εὐφραίνεται;

ΤΕΚ. ὡς ὧδ᾽ ἐχόντων τῶνδ᾽ ἐπίστασθαί σε χρή.

ΧΟ. τίς γάρ ποτ᾽ ἀρχὴ τοῦ κακοῦ προσέπτατο;
δήλωσον ἡμῖν τοῖς ξυναλγοῦσιν τύχας.

ΤΕΚ. ἅπαν μαθήσει τοὔργον, ὡς κοινωνὸς ὤν.
κεῖνος γὰρ ἄκρας νυκτός, ἡνίχ᾽ ἕσπεροι
λαμπτῆρες οὐκέτ᾽ ἦθον, ἄμφηκες λαβὼν
ἐμαίετ᾽ ἔγχος ἐξόδους ἕρπειν κενάς.
κἀγὼ ᾽πιπλήσσω καὶ λέγω, τί χρῆμα δρᾷς,
Αἴας; τί τήνδ᾽ ἄκαιρος οὔθ᾽ ὑπ᾽ ἀγγέλων
κληθεὶς ἀφορμᾷς πεῖραν οὔτε του κλύων
σάλπιγγος; ἀλλὰ νῦν γε πᾶς εὕδει στρατός.
ὁ δ᾽ εἶπε πρός με βαί᾽, ἀεὶ δ᾽ ὑμνούμενα·
γύναι, γυναιξὶ κόσμον ἡ σιγὴ φέρει.
κἀγὼ μαθοῦσ᾽ ἔληξ᾽, ὁ δ᾽ ἐσσύθη μόνος.
καὶ τὰς ἐκεῖ μὲν οὐκ ἔχω λέγειν πάθας·
εἴσω δ᾽ ἐσῆλθε συνδέτους ἄγων ὁμοῦ
ταύρους, κύνας βοτῆρας, εὔερόν τ᾽ ἄγραν.
καὶ τοὺς μὲν ηὐχένιζε, τοὺς δ᾽ ἄνω τρέπων
ἔσφαζε κἀρράχιζε, τοὺς δὲ δεσμίους
ᾐκίζεθ᾽ ὥστε φῶτας ἐν ποίμναις πίτνων.
τέλος δ᾽ ἀπᾴξας διὰ θυρῶν σκιᾷ τινι
λόγους ἀνέσπα τοὺς μὲν Ἀτρειδῶν κάτα,
τοὺς δ᾽ ἀμφ᾽ Ὀδυσσεῖ, συντιθεὶς γέλων πολὺν,

---

202. γενεᾶς] γενεὰν D. γενεὰ Reiskius. *Ἐρεχθειδῶν] ἐρεχθειδᾶν 205. μέγας Lobeckius] ὁ μέγας 208. ἠρεμίας Thierschius] ἁμερίας. Scholiasta, γρ. δὲ ἀημερίας, quod ortum ex ἁμερίας superscriptoque ή, i. e. ἡμερίας 210. σὺ addidit Porsonus ad Eur. Hec. 123. Τελεύταντος] τελλεύταντος, altero λ a m. rec. inserto ex apographis. 211. δουριάλωτον Brunckius] δοριάλωτον 212. στέρξας ἀνέχει] στέρ-
·β· ·ρ·
ξασαν ἔχει pr. 215. πάθος] πάθος 216. *ἡμὶν] ἡμῖν. Alibi non raro ἧμιν scriptum in L. Nos ubique ἡμῖν et ὑμῖν scripsimus ubi metrum spondeum vel fert vel postulat, ἡμίν et ὑμίν ubi trochaeus re-
π
quiritur. 221. αἴθονος D.] αἴθο . . νος, π a m. rec. superscripto ex apographis, quae partim αἴθωνος partim αἴθοπος 225. *ὕπο κληζομέναν (κληϊζομέναν scriptum)] ὑποκληϊζομέναν 229. *οἴμοι] ὤιμοι 230. συγκατακτὰς] συνκατακτὰς pr. 231. ἱππονώμας Porsonus] ἱππονόμους, sed ό in litura alius literae et ουσ ex ασ facto. 234. ποίμνην Ellendtius] ποίμναν 236. *τὰ] τὰς 241. ἱπποδέτην] ἱππολέτην pr. et lemma scholii.

245. *ἤδη] ἤδη τοι κάρα Triclinius] κρᾶτα 257. στεροπῆς D.] στεροπᾶς 259. φρόνιμος] φρό-
ν
νιμος, ν a m. paullo recentiore. 269. ἡμεῖς] ἡμεῖς δ᾽ D. 273. φρονοῦντας] γρ. βλέποντας ab S. 279. *ἥκει] ἥκῃ 289. ἄκαιρος Herwerdenus] ἄκλητος: quo servato κληθείς in συθείς mutandum foret.

297. εὔερον Schneidewinus] εὔκερων 299. κἀρράχιζε] Alterum ρ a m. rec. 300. πίτνων] πιτνῶν, circumflexo a m. rec. scripto. 301. ἀπᾴξας] ἀπᾶξας pr., ὑπαΐξας (ut apographa multa) a m. rec. ἀπάιξας in lemmate scholii. ἐπαΐξας apographa nonnulla.

ὅσην κατ᾽ αὐτῶν ὕβριν ἐκτίσαιτ᾽ ἰών·
κἄπειτ᾽ ἐπᾴξας αὖθις ἐς δόμους πάλιν
ἔμφρων μόλις πως ξὺν χρόνῳ καθίσταται,
καὶ πλῆρες ἄτης ὡς διοπτεύει στέγος,
παίσας κάρα ᾿θώϋξεν· ἐν δ᾽ ἐρειπίοις
νεκρῶν ἐρειφθεὶς ἕζετ᾽ ἀρνείου φόνου,
κόμην ἀπρὶξ ὄνυξι συλλαβὼν χερί.
καὶ τὸν μὲν ἧστο πλεῖστον ἄφθογγος χρόνον·
ἔπειτ᾽ ἐμοὶ τὰ δείν᾽ ἐπηπείλησ᾽ ἔπη,
εἰ μὴ φανοίην πᾶν τὸ συντυχὸν πάθος,
κἀνήρετ᾽ ἐν τῷ πράγματος κυροῖ ποτε.
κἀγώ, φίλοι, δείσασα τοὐξειργασμένον
ἔλεξα πᾶν ὅσονπερ ἐξηπιστάμην.
ὁ δ᾽ εὐθὺς ἐξῴμωξεν οἰμωγὰς λυγράς,
ἃς οὔποτ᾽ αὐτοῦ πρόσθεν εἰσήκουσ᾽ ἐγώ·
πρὸς γὰρ κακοῦ τε καὶ βαρυψύχου γόους
τοιούσδ᾽ ἀεί ποτ᾽ ἀνδρὸς ἐξηγεῖτ᾽ ἔχειν·
ἀλλ᾽ ἀψόφητος ὀξέων κωκυμάτων
ὑπεστέναζε ταῦρος ὣς βρυχώμενος.
νῦν δ᾽ ἐν τοιᾷδε κείμενος κακῇ τύχῃ
ἄσιτος ἀνήρ, ἄποτος, ἐν μέσοις βοτοῖς
σιδηροκμῆσιν ἥσυχος θακεῖ πεσών,
καὶ δῆλός ἐστιν ὥς τι δρασείων κακόν.
[τοιαῦτα γάρ πως καὶ λέγει κὠδύρεται.]
ἀλλ᾽, ὦ φίλοι, τούτων γὰρ οὕνεκ᾽ ἐστάλην,
ἀρήξατ᾽ εἰσελθόντες, εἰ δύνασθέ τι.
φίλων γὰρ οἱ τοιοίδε νικῶνται λόγοις.
ΧΟ. Τέκμησσα δεινὰ παῖ Τελεύταντος λέγεις
ἡμῖν, τὸν ἄνδρα διαπεφοιβάσθαι κακοῖς.
ΑΙ. ἰώ μοί μοι.
ΤΕΚ. τάχ᾽, ὡς ἔοικε, μᾶλλον· ἢ οὐκ ἠκούσατε
Αἴαντος οἵαν τήνδε θωΰσσει βοήν;
ΑΙ. ἰώ μοί μοι.
ΧΟ. ἀνὴρ ἔοικεν ἢ νοσεῖν, ἢ τοῖς πάλαι
νοσήμασι ξυνοῦσι λυπεῖσθαι παρών.
ΑΙ. ἰὼ παῖ παῖ.
ΤΕΚ. ὤμοι τάλαιν᾽· Εὐρύσακες, ἀμφὶ σοὶ βοᾷ.
τί ποτε μενοινᾷ; ποῦ ποτ᾽ εἶ; τάλαιν᾽ ἐγώ.
ΑΙ. Τεῦκρον καλῶ. ποῦ Τεῦκρος; ἢ τὸν εἰσαεὶ
λεηλατήσει χρόνον; ἐγὼ δ᾽ ἀπόλλυμαι.
ΧΟ. ἀνὴρ φρονεῖν ἔοικεν. ἀλλ᾽ ἀνοίγετε.
τάχ᾽ ἄν τιν᾽ αἰδῶ κἀπ᾽ ἐμοὶ βλέψας λάβοι.
ΤΕΚ. ἰδού, διοίγω· προσβλέπειν δ᾽ ἔξεστί σοι
τὰ τοῦδε πράγη, καὐτὸς ὡς ἔχων κυρεῖ.
ΑΙ. ἰὼ φίλοι ναυβάται, μόνοι ἐμῶν φίλων,
μόνοι ἔτ᾽ ἐμμένοντες ὀρθῷ νόμῳ,
ἴδεσθέ μ᾽ οἷον ἄρτι κῦμα φοινίας ὑπὸ ζάλης
ἀμφίδρομον κυκλεῖται.
ΧΟ. οἴμ᾽ ὡς ἔοικας ὀρθὰ μαρτυρεῖν ἄγαν·
δηλοῖ δὲ τοὔργον ὡς ἀφροντίστως ἔχει.
ΑΙ. ἰὼ γένος ναΐας ἀρωγὸν τέχνας,
ἅλιον ὃς ἐπέβας ἑλίσσων πλάταν,

348—355. = 356—363.

σέ τοι σέ τοι μόνον δέδορκα πημονὰν ἐπαρκέ-
ἀλλά με συνδάϊξον. [σοντ᾽·
ΧΟ. εὔφημα φώνει· μὴ κακὸν κακῷ διδοὺς
ἄκος πλέον τὸ πῆμα τῆς ἄτης τίθει.
ΑΙ. ὁρᾷς τὸν θρασύν, τὸν εὐκάρδιον,
τὸν ἐν δαΐοις ἄτρεστον μάχαις,
ἐν ἀφόβοις με θηρσὶ δεινὸν χέρας;
ὤμοι γέλωτος, οἷον ὑβρίσθην ἄρα.
ΤΕΚ. μή, δέσποτ᾽ Αἴας, λίσσομαί σ᾽, αὔδα τάδε.
ΑΙ. οὐκ ἐκτός; οὐκ ἄψορρον ἐκνεμεῖ πόδα;
αἰαῖ αἰαῖ.
ΤΕΚ. ὦ πρὸς θεῶν ὕπεικε καὶ φρόνησον εὖ.
ΑΙ. ὦ δύσμορος, ὃς χερὶ μὲν μεθῆκα τοὺς ἀλάστορας,
ἐν δ᾽ ἑλίκεσσι βουσὶ καὶ κλυτοῖς πεσὼν αἰπο-
ἐρεμνὸν αἷμ᾽ ἔδευσα. [λίοις
ΧΟ. τί δῆτ᾽ ἂν ἀλγοίης ἐπ᾽ ἐξειργασμένοις;
οὐ γὰρ γένοιτ᾽ ἂν ταῦθ᾽ ὅπως οὐχ ὧδ᾽ ἔχειν.
ΑΙ. ἰὼ πάνθ᾽ ὁρῶν, ἁπάντων τ᾽ ἀεὶ
κακῶν ὄργανον, τέκνον Λαρτίου,
κακοπινέστατόν τ᾽ ἄλημα στρατοῦ,
ἦ που πολὺν γέλωθ᾽ ὑφ᾽ ἡδονῆς ἄγεις.
ΧΟ. ξύν τοι θεῷ πᾶς καὶ γελᾷ κὠδύρεται.
ΑΙ. ἴδοιμι μήν νιν, καίπερ ὧδ᾽ ἀτώμενος.
ἰώ μοί μοι.
ΧΟ. μηδὲν μέγ᾽ εἴπῃς. οὐχ ὁρᾷς ἵν᾽ εἶ κακοῦ;
ΑΙ. ὦ Ζεῦ, προγόνων προπάτωρ, πῶς ἂν τὸν αἱ-
μυλώτατον,
ἐχθρὸν ἄλημα, τούς τε δισσάρχας ὀλέσσας βα-
τέλος θάνοιμι καὐτός. [σιλῆς
ΤΕΚ. ὅταν κατεύχῃ ταῦθ᾽, ὁμοῦ κἀμοὶ θανεῖν
εὔχου· τί γὰρ δεῖ ζῆν με σοῦ τεθνηκότος;
ΑΙ. ἰὼ σκότος, ἐμὸν φάος,
ἔρεβος ὦ φαεννότατον, ὡς ἐμοί,
ἕλεσθ᾽ ἕλεσθέ μ᾽ οἰκήτορα,
ἕλεσθέ μ᾽· οὔτε γὰρ θεῶν γένος οὔθ᾽ ἁμερίων
ἔτ᾽ ἄξιος βλέπειν τιν᾽ εἰς ὄνασιν ἀνθρώπων.
ἀλλά μ᾽ ἁ Διὸς
ἀλκίμα θεὸς
ὀλέθρι᾽ αἰκίζει.
ποῖ τις οὖν φύγῃ;
ποῖ μολὼν μενῶ;
εἰ τὰ μὲν φθίνει, φίλοι, τίσις δ᾽
ὁμοῦ πέλει, μώραις δ᾽ ἄγραις προσκείμεθα,
πᾶς δὲ στρατὸς δίπαλτος ἄν με
χειρὶ φονεύοι.
ΤΕΚ. ὦ δυστάλαινα, τοιάδ᾽ ἄνδρα χρήσιμον
φωνεῖν, ἃ πρόσθεν οὗτος οὐκ ἔτλη ποτ᾽ ἄν.
ΑΙ. ἰὼ πόροι ἁλίρροθοι
πάραλά τ᾽ ἄντρα καὶ νέμος ἐπάκτιον,
πολὺν πολύν με δαρόν τε δὴ

364—378. = 379—393.
394—411. = 412—429.

---

305. *ἐπᾴξας] ἀπάξαις pr. ἀπαΐξας sec. 308. ᾿θώϋξεν Brunckius] θώϋξεν. Coronidem a Brunckio aliisque hic et alibi restitutam L omittere solet: de quo semel monemus. 309. ἐρειφθεὶς] ἐρεφθεὶς pr. γρ. ἐρεισθεὶς ab S, qui primo scripserat γρ. ἐρισθεὶς, sed ipse correxit. 313. *φανοίην] φανείην
314. κυροῖ] κύροι (quod diserte agnoscit scholiasta) pr. κυρεῖ m. rec., ut apographa. 316. ἐξηπιστάμην] ἐξεπιστάμην 324. θακεῖ rec. θάκει pr. 327. τοιαῦτα — κὠδύρεται] Seclusit Nauckius. 330. λόγοις ex Stobaeo Floril. 113, 8.] φίλοι 331. δεινὰ] δεινοῖς Nauckius, sublato commate post ἡμῖν 332. *διαπεφοιβάσθαι] διαπεφοιβᾶσθαι 350. ἔτ᾽ Hermannus] τ᾽ 359. ἅλιον Hermannus] ἁλίαν

360. πημονὰν Reiskius] ποιμένων 368. *οἴμοι] ὤμοι 370. *αἰαῖ αἰαῖ] αἶ αἶ αἶ. Correctum ex apographis nonnullis quae quater αἶ 372. χερὶ Hermannus] χερσὶ 379. ἁπάντων τ᾽ a m. rec. πάντων, sine τ᾽, pr. 380. *Λαρτίου] λαερτίου 383. ξύν τοι Schneidewinus] ξὺν τῷ 384. μήν addidit L. Dindorfius. 389. προπάτωρ] γένετορ D.
390. δισσάρχας] Secundum σ inseruit m. rec. ὀλέσσας Turnebus] ὀλέσας 396. ἕλεσθ᾽ ἕλεσθέ μ᾽ Elmsleius] ἕλεσθέ μ᾽ ἕλεσθέ μ᾽ 399. γένος] τινος Wyttenbachius. 400. ὄνασιν Brunckius] ὄνησιν
402. ὀλέθρι᾽ D.] ὀλέθριον 403. φύγῃ] γρ. τράπῃ ab S. 405. τίσις δ᾽ ὁμοῦ πέλει D.] τοῖσδ᾽ ὁμοῦ πέλας 406. μώραις Elmsleius] μωραῖς 412. ἰὼ addidit Brunckius.

κατείχετ᾽ ἀμφὶ Τροίαν χρόνον· ἀλλ᾽ οὐκέτι μ᾽ οὐκ
ἔτ᾽ ἀμπνοὰς ἔχοντα· τοῦτό τις φρονῶν ἴστω.
ὦ Σκαμάνδριοι
γείτονες ῥοαί,
εὔφρονες Ἀργείοις,
οὐκέτ᾽ ἄνδρα μὴ
τόνδ᾽ ἴδητ᾽, ἔπος
ἐξερῶ μέγ᾽, οἷον οὔτινα
Τροία στρατοῦ δέρχθη χθονὸς μολόντ᾽ ἀπὸ
Ἑλλανίδος· τανῦν δ᾽ ἄτιμος
ὧδε πρόκειμαι.

ΧΟ. οὔτοι σ᾽ ἀπείργειν, οὐδ᾽ ὅπως ἐῶ λέγειν
ἔχω, κακοῖς τοιοῖσδε συμπεπτωκότα.

ΑΙ. αἰαῖ· τίς ἄν ποτ᾽ ᾤεθ᾽ ὧδ᾽ ἐπώνυμον
τοὐμὸν ξυνοίσειν ὄνομα τοῖς ἐμοῖς κακοῖς;
νῦν γὰρ πάρεστι καὶ δὶς αἰάζειν ἐμοὶ
καὶ τρίς· τοιούτοις γὰρ κακοῖς ἐντυγχάνω·
ὅτου πατὴρ μὲν τῆσδ᾽ ἀπ᾽ Ἰδαίας χθονὸς
τὰ πρῶτα καλλιστεῖ᾽ ἀριστεύσας στρατοῦ
πρὸς οἶκον ἦλθε πᾶσαν εὔκλειαν φέρων·
ἐγὼ δ᾽ ὁ κείνου παῖς, τὸν αὐτὸν ἐς τόπον
Τροίας ἐπελθὼν οὐκ ἐλάσσονι σθένει,
οὐδ᾽ ἔργα μείω χειρὸς ἀρκέσας ἐμῆς,
ἄτιμος Ἀργείοισιν ὧδ᾽ ἀπόλλυμαι.
καίτοι τοσοῦτόν γ᾽ ἐξεπίστασθαι δοκῶ,
εἰ ζῶν Ἀχιλλεὺς τῶν ὅπλων τῶν ὧν πέρι
κρίνειν ἔμελλε κράτος ἀριστείας τινί,
οὐκ ἄν τις αὔτ᾽ ἔμαρψεν ἄλλος ἀντ᾽ ἐμοῦ.
νῦν δ᾽ αὔτ᾽ Ἀτρεῖδαι φωτὶ παντουργῷ φρένας
ἔπραξαν, ἀνδρὸς τοῦδ᾽ ἀπώσαντες κράτη.
κεἰ μὴ τόδ᾽ ὄμμα καὶ φρένες διάστροφοι
γνώμης ἀπῇξαν τῆς ἐμῆς, οὐκ ἄν ποτε
δίκην κατ᾽ ἄλλου φωτὸς ὧδ᾽ ἐψήφισαν.
νῦν δ᾽ ἡ Διὸς γοργῶπις ἀδάματος θεὰ
ἤδη μ᾽ ἐπ᾽ αὐτοῖς χεῖρ᾽ ἐπεντύνοντ᾽ ἐμὴν
ἔσφηλεν ἐμβαλοῦσα λυσσώδη νόσον,
ὥστ᾽ ἐν τοιοῖσδε χεῖρας αἱμάξαι βοτοῖς·
κεῖνοι δ᾽ ἐπεγγελῶσιν ἐκπεφευγότες,
ἐμοῦ μὲν οὐχ ἑκόντος· εἰ δέ τις θεῶν
βλάπτοι, φύγοι τἂν χὠ κακὸς τὸν κρείσσονα.
καὶ νῦν τί χρὴ δρᾶν; ὅστις ἐμφανῶς θεοῖς
ἐχθαίρομαι, μισεῖ δέ μ᾽ Ἑλλήνων στρατός,
ἔχθει δὲ Τροία πᾶσα καὶ πεδία τάδε.
πότερα πρὸς οἴκους, ναυλόχους λιπὼν ἕδρας
μόνους τ᾽ Ἀτρείδας, πέλαγος Αἰγαῖον περῶ;
καὶ ποῖον ὄμμα πατρὶ δηλώσω φανεὶς
Τελαμῶνι; πῶς με τλήσεταί ποτ᾽ εἰσιδεῖν
γυμνὸν φανέντα τῶν ἀριστείων ἄτερ,
ὧν αὐτὸς ἔσχε στέφανον εὐκλείας μέγαν;
οὐκ ἔστι τοὔργον τλητόν. ἀλλὰ δῆτ᾽ ἰὼν
πρὸς ἔρυμα Τρώων, ξυμπεσὼν μόνος μόνοις
καὶ δρῶν τι χρηστόν, εἶτα λοίσθιον θάνω;
ἀλλ᾽ ὧδέ γ᾽ Ἀτρείδας ἂν εὐφράναιμί που.
οὐκ ἔστι ταῦτα. πεῖρά τις ζητητέα
τοιάδ᾽ ἀφ᾽ ἧς γέροντι δηλώσω πατρὶ
μή τοι φύσιν γ᾽ ἄσπλαγχνος ἐκ κείνου γεγώς.
αἰσχρὸν γὰρ ἄνδρα τοῦ μακροῦ χρῄζειν βίου,
κακοῖσιν ὅστις μηδὲν ἐξαλλάσσεται.
τί γὰρ παρ᾽ ἦμαρ ἡμέρα τέρπειν ἔχει
προσθεῖσα κἀναθεῖσα τοῦ γε κατθανεῖν;
οὐκ ἂν πριαίμην οὐδενὸς λόγου βροτὸν
ὅστις κεναῖσιν ἐλπίσιν θερμαίνεται.
ἀλλ᾽ ἢ καλῶς ζῆν, ἢ καλῶς τεθνηκέναι
τὸν εὐγενῆ χρή. πάντ᾽ ἀκήκοας λόγον.

ΧΟ. οὐδεὶς ἐρεῖ ποθ᾽ ὡς ὑπόβλητον λόγον,
Αἴας, ἔλεξας, ἀλλὰ τῆς σαυτοῦ φρενός.
παῦσαί γε μέντοι καὶ δὸς ἀνδράσιν φίλοις
γνώμης κρατῆσαι τάσδε φροντίδας μεθείς.

ΤΕΚ. ὦ δέσποτ᾽ Αἴας, τῆς ἀναγκαίας τύχης
οὐκ ἔστιν οὐδὲν μεῖζον ἀνθρώποις κακόν.
ἐγὼ δ᾽ ἐλευθέρου μὲν ἐξέφυν πατρός,
εἴπερ τινὸς σθένοντος ἐν πλούτῳ Φρυγῶν·
νῦν δ᾽ εἰμὶ δούλη. θεοῖς γὰρ ὧδ᾽ ἔδοξέ που
καὶ σῇ μάλιστα χειρί. τοιγαροῦν, ἐπεὶ
τὸ σὸν λέχος ξυνῆλθον, εὖ φρονῶ τὰ σά,
καί σ᾽ ἀντιάζω πρός τ᾽ ἐφεστίου Διὸς
εὐνῆς τε τῆς σῆς, ᾗ συνηλλάχθης ἐμοί,
μή μ᾽ ἀξιώσῃς βάξιν ἀλγεινὴν λαβεῖν
τῶν σῶν ὑπ᾽ ἐχθρῶν, χειρίαν ἐφείς τινι.
ᾗ γὰρ θάνῃς σὺ καὶ τελευτήσας ἀφῇς,
ταύτῃ νόμιζε κἀμὲ τῇ τόθ᾽ ἡμέρᾳ
βίᾳ ξυναρπασθεῖσαν Ἀργείων ὕπο
ξὺν παιδὶ τῷ σῷ δουλίαν ἕξειν τροφήν.
καί τις πικρὸν πρόσφθεγμα δεσποτῶν ἐρεῖ
λόγοις ἰάπτων, ἴδετε τὴν ὁμευνέτιν
Αἴαντος, ὃς μέγιστον ἴσχυσε στρατοῦ,
οἵας λατρείας ἀνθ᾽ ὅσου ζήλου τρέφει.
τοιαῦτ᾽ ἐρεῖ τις. κἀμὲ μὲν δαίμων ἐλᾷ,
σοὶ δ᾽ αἰσχρὰ τἄπη ταῦτα καὶ τῷ σῷ γένει.
ἀλλ᾽ αἴδεσαι μὲν πατέρα τὸν σὸν ἐν λυγρῷ
γήρᾳ προλείπων, αἴδεσαι δὲ μητέρα
πολλῶν ἐτῶν κληροῦχον, ἥ σε πολλάκις
θεοῖς ἀρᾶται ζῶντα πρὸς δόμους μολεῖν·
οἴκτειρε δ᾽, ὦναξ, παῖδα τὸν σόν, εἰ νέας
τροφῆς στερηθεὶς σοῦ διοίσεται μόνος
ὑπ᾽ ὀρφανιστῶν μὴ φίλων, ὅσον κακὸν
κείνῳ τε κἀμοὶ τοῦθ᾽, ὅταν θάνῃς, νεμεῖς.
ἐμοὶ γὰρ οὐκέτ᾽ ἐστὶν εἰς ὅ τι βλέπω
πλὴν σοῦ. σὺ γάρ μοι πατρίδ᾽ ᾔστωσας δόρει,
καὶ μητέρ᾽ ἄλλη μοῖρα τὸν φύσαντά τε
καθεῖλεν Ἅιδου θανασίμους οἰκήτορας.
τίς δῆτ᾽ ἐμοὶ γένοιτ᾽ ἂν ἀντὶ σοῦ πατρίς;
τίς πλοῦτος; ἐν σοὶ πᾶς ἔγωγε σῴζομαι.
ἀλλ᾽ ἴσχε κἀμοῦ μνῆστιν. ἀνδρί τοι χρεὼν
μνήμην προσεῖναι, τερπνὸν εἴ τί που πάθοι.
χάρις χάριν γάρ ἐστιν ἡ τίκτουσ᾽ ἀεί·
ὅτου δ᾽ ἀπορρεῖ μνῆστις εὖ πεπονθότος,
οὐκ ἂν γένοιτ᾽ ἔθ᾽ οὗτος εὐγενὴς ἀνήρ.

---

417. ὦ Brunckius] ἰὼ 424. ἐξερῶ Porsonus] ἐξερέω 428. οὐδ᾽ Elmsleius] οὔθ᾽: quo servato Hermannus οὔτ᾽ οὖν pro οὔτοι 438. Τροίας ἐπελθὼν] ἐλθὼν σὺν ἄλλοις D. 447. ὄμμα] ὄνομα, sed correctum a m. pr. 450. ἀδάματος Elmsleius] ἀδάμαστος 451. ἐπευθύνοντ᾽ pr. ἐπεντύνοντ᾽ corr. 455. οὐχ ἑκόντος] γρ. οὐκ ἔχοντος ab S. 466. τἂν Erfurdtius] γ᾽ ἂν 469. *εὐφράναιμι] εὐφραίναιμι

ε
476. κἀναθεῖσα] καναθεῖσα, ε a m. rec. γε a m. rec. in litura pro δε 482. σαυτοῦ a m. rec. αυτοῦ pr., ut hoc pronomen saepe in codicibus spiritu caret. 488. τινὸς] ες super ος a m. recenti. 493.
ἀ
*συνηλλάχθης] συναλλάχθης 495. ἐφείς] ἐφείς, ἀ a m. recentissima, ut apographa pleraque. 496. ᾗ Bothius] εἰ θάνῃς factum ex θάνεις *τελευτήσας] τελευτήσεις pr., τελευτήσης sec. ἀφῇς] μ᾽ ἀφῇς Brunckius. 499. δουλίαν ex δούλιον factum. δούλιον in lemmate scholii. 501. ἰάπτων] γρ. ἀτίζων ab S. 515. *σὺ] σοὶ δόρει D.] δορί 516. *ἄλλη] ἀλλ᾽ ἡ *τε] τε με, τε eraso et με a m. rec. scripto. 519. πᾶσ᾽] ex πᾶ . . superscripto a m. rec. πᾶσιν 521. *πάθοι] πάθῃ που πάθοι] προύπαθεν Badhamus.

ΧΟ. Αἴας, ἔχειν σ᾽ ἂν οἶκτον ὡς κἀγὼ φρενὶ
θέλοιμ᾽ ἄν· αἰνοίης γὰρ ἂν τὰ τῆσδ᾽ ἔπη.
ΑΙ. καὶ κάρτ᾽ ἐπαίνου τεύξεται πρὸς γοῦν ἐμοῦ,
ἐὰν μόνον τὸ ταχθὲν εὖ τολμᾷ τελεῖν.
ΤΕΚ. ἀλλ᾽, ὦ φίλ᾽ Αἴας, πάντ᾽ ἔγωγε πείσομαι.
ΑΙ. κόμιζέ νύν μοι παῖδα τὸν ἐμόν, ὡς ἴδω.
ΤΕΚ. καὶ μὴν φόβοισί γ᾽ αὐτὸν ἐξελυσάμην.
ΑΙ. ἐν τοῖσδε τοῖς κακοῖσιν, ἢ τί μοι λέγεις;
ΤΕΚ. μὴ σοί γέ που δύστηνος ἀντήσας θάνοι.
ΑΙ. πρέπον γέ τἂν ἦν δαίμονος τοὐμοῦ τόδε.
ΤΕΚ. ἀλλ᾽ οὖν ἐγὼ ᾽φύλαξα τοῦτό γ᾽ ἀρκέσαι.
ΑΙ. ἐπῄνεσ᾽ ἔργον καὶ πρόνοιαν ἣν ἔθου.
ΤΕΚ. τί δῆτ᾽ ἂν ὡς ἐκ τῶνδ᾽ ἂν ὠφελοῖμί σε;
ΑΙ. δός μοι προσειπεῖν αὐτὸν ἐμφανῆ τ᾽ ἰδεῖν.
ΤΕΚ. καὶ μὴν πέλας γε προσπόλοις φυλάσσεται.
ΑΙ. τί δῆτα μέλλει μὴ οὐ παρουσίαν ἔχειν;
ΤΕΚ. ὦ παῖ, πατὴρ καλεῖ σε. δεῦρο προσπόλων
ἄγ᾽ αὐτὸν ὅσπερ χερσὶν εὐθύνων κυρεῖς.
ΑΙ. ἕρποντι φωνεῖς, ἢ λελειμμένῳ λόγου;
ΤΕΚ. καὶ δὴ κομίζει προσπόλων ὅδ᾽ ἐγγύθεν.
ΑΙ. αἶρ᾽ αὐτόν, αἶρε δεῦρο. ταρβήσει γὰρ οὔ,
εἴπερ δικαίως ἔστ᾽ ἐμὸς τὰ πατρόθεν.
ἀλλ᾽ αὐτίκ᾽ ὠμοῖς αὐτὸν ἐν νόμοις πατρὸς
δεῖ πωλοδαμνεῖν κἀξομοιοῦσθαι φύσιν.
ὦ παῖ, γένοιο πατρὸς εὐτυχέστερος,
τὰ δ᾽ ἄλλ᾽ ὅμοιος· καὶ γένοι᾽ ἂν οὐ κακός.
καίτοι σε καὶ νῦν τοῦτό γε ζηλοῦν ἔχω,
ὁθούνεκ᾽ οὐδὲν τῶνδ᾽ ἐπαισθάνει κακῶν.
ἐν τῷ φρονεῖν γὰρ μηδὲν ἥδιστος βίος,
ἕως τὸ χαίρειν καὶ τὸ λυπεῖσθαι μάθῃς.
ὅταν δ᾽ ἵκῃ πρὸς τοῦτο, δεῖ σ᾽ ὅπως πατρὸς
δείξεις ἐν ἐχθροῖς οἷος ἐξ οἵου ᾽τράφης.
τέως δὲ κούφοις πνεύμασιν βόσκου, νέαν
ψυχὴν ἀτάλλων, μητρὶ τῇδε χαρμονήν.
οὔτοι σ᾽ Ἀχαιῶν, οἶδα, μή τις ὑβρίσῃ
στυγναῖσι λώβαις, οὐδὲ χωρὶς ὄντ᾽ ἐμοῦ.
τοῖον πυλωρὸν φύλακα Τεῦκρον ἀμφὶ σοὶ
λείψω τροφῆς ἄοκνον ἔμπα κεἰ τανῦν
τηλωπὸς οἰχνεῖ, δυσμενῶν θήραν ἔχων.
ἀλλ᾽, ἄνδρες ἀσπιστῆρες, ἐνάλιος λεώς,
ὑμῖν τε κοινὴν τήνδ᾽ ἐπισκήπτω χάριν,
κείνῳ τ᾽ ἐμὴν ἀγγείλατ᾽ ἐντολήν, ὅπως
τὸν παῖδα τόνδε πρὸς δόμους ἐμοὺς ἄγων
Τελαμῶνι δείξει μητρί τ᾽, Ἐρίβοιαν λέγω,

546. νεοσφαγῆ τοῦ τόνδε προσλεύσσων φόνον
554ᵇ. τὸ μὴ φρονεῖν γὰρ κάρτ᾽ ἀνώδυνον κακόν.

---

530. κόμιζέ νυν] κόμιζε νῦν. Encliticum νυν hoc loco restitutum a Brunckio, aliis in locis non paucis partim a Brunckio partim ab aliis, uno alteroque loco (velut Ai. 87.) iam in editione Aldina: de quo satis erit hic in universum monuisse. In codice constanter νῦν, idque ne metri quidem ratione habita, velut Antig. 524. κάτω νῦν ἐλθοῦσ᾽, εἰ φιλητέον, φίλει. 535. ᾽φύλαξα Brunckius] φυλάξω pr., φύλαξα corr. 537. τῶνδ᾽ ἂν] τῶνδ᾽ ἔτ᾽ Schneidewinus.
ου
538. αὐτὸν a m. rec. additum. 543. λόγου] λόγων, ου a m. antiqua. 544. *ὅδ᾽] ὧδ᾽ 546. Delevi versum spurium νεοσφαγῆ τοῦ τόνδε (apographa alia που τόνδε, alia τοῦτόν γε) προσλεύσων (*προσλεύσσων) φόνον. 554. Versum spurium qui sequebatur τὸ μὴ — κακόν delevit Brunckius. 557. δείξεις a m. ant., δείξῃς pr. 564. τηλωπὸς] γρ. τηλουργὸς (calami lapsus pro τηλουρὸς) ab S. θήραν] γρ. φρουρὰν ab S. 565. *ἐνάλιος] εἰνάλιος 569. *δείξει] δείξῃ, εἰ ex o vel α facto. Ἐρίβοιαν Schaeferus] ἐριβοίᾳ

ὥς σφιν γένηται γηροβοσκὸς εἰσαεί,
καὶ τἀμὰ τεύχη μήτ᾽ ἀγωνάρχαι τινὲς
θήσουσ᾽ Ἀχαιοῖς μήθ᾽ ὁ λυμεὼν ἐμός.
ἀλλ᾽ αὐτό μοι σύ, παῖ, λαβὼν ἐπώνυμον,
Εὐρύσακες, ἴσχε διὰ πολυρράφου στρέφων
πόρπακος ἑπτάβοιον ἄρρηκτον σάκος·
τὰ δ᾽ ἄλλα τεύχη κοίν᾽ ἐμοὶ τεθάψεται.
ἀλλ᾽ ὡς τάχος τὸν παῖδα τόνδ᾽ ἤδη δέχου,
καὶ δῶμα πάκτου, μηδ᾽ ἐπισκήνους γόους
δάκρυε. κάρτα τοι φιλοίκτιστον γυνή.
πύκαζε θᾶσσον· οὐ πρὸς ἰατροῦ σοφοῦ
θρηνεῖν ἐπῳδὰς πρὸς τομῶντι πήματι.
ΧΟ. δέδοικ᾽ ἀκούων τήνδε τὴν προθυμίαν·
οὐ γάρ μ᾽ ἀρέσκει γλῶσσά σου τεθηγμένη.
ΤΕΚ. ὦ δέσποτ᾽ Αἴας, τί ποτε δρασείεις φρενί;
ΑΙ. μὴ κρῖνε, μὴ ᾽ξέταζε· σωφρονεῖν καλόν.
ΤΕΚ. οἴμ᾽ ὡς ἀθυμῶ· καί σε πρὸς τοῦ σοῦ τέκνου
καὶ θεῶν ἱκνοῦμαι, μὴ προδοὺς ἡμᾶς γένῃ.
ΑΙ. ἄγαν γε λυπεῖς. οὐ κάτοισθ᾽ ἐγὼ θεοῖς
ὡς οὐδὲν ἀρκεῖν εἴμ᾽ ὀφειλέτης ἔτι;
ΤΕΚ. εὔφημα φώνει.
ΑΙ. τοῖς ἀκούουσιν λέγε.
ΤΕΚ. σὺ δ᾽ οὐχὶ πείσει;
ΑΙ. πόλλ᾽ ἄγαν ἤδη θροεῖς.
ΤΕΚ. ταρβῶ γάρ, ὦναξ.
ΑΙ. οὐ ξυνέρξεθ᾽ ὡς τάχος;
ΤΕΚ. πρὸς θεῶν, μαλάσσου.
ΑΙ. μῶρά μοι δοκεῖς φρονεῖν,
εἰ τοὐμὸν ἦθος ἄρτι παιδεύειν νοεῖς.
ΧΟ. ὦ κλεινὰ Σαλαμίς, σὺ μέν που
ναίεις ἁλίπλακτος εὐδαίμων,
πᾶσιν περίφαντος ἀεί·
ἐγὼ δ᾽ ὁ τλάμων παλαιὸς ἀφ᾽ οὗ χρόνος
Ἰδαῖα μίμνω λειμῶνι᾽ ἄποινα, μηνῶν
ἀνήριθμος αἰὲν εὐνώμᾳ
χρόνῳ τρυχόμενος,
κακὰν ἐλπίδ᾽ ἔχων
ἔτι μέ ποτ᾽ ἀνύσειν
τὸν ἀπότροπον ἀΐδηλον Ἅιδαν.
καί μοι δυσθεράπευτος Αἴας
ξύνεστιν ἔφεδρος, ὤμοι μοι,
θείᾳ μανίᾳ ξύναυλος·
ὃν ἐξεπέμψω πρὶν δή ποτε θουρίῳ
κρατοῦντ᾽ ἐν Ἄρει· νῦν δ᾽ αὖ φρενὸς οἰοβώτας
φίλοις μέγα πένθος ηὕρηται,
τὰ πρὶν δ᾽ ἔργα χεροῖν
μεγίστας ἀρετᾶς
596—608. = 609—621.

571. μέχρις οὗ μυχοὺς κίχωσι τοῦ κάτω θεοῦ.

---

570. Versum spurium qui sequebatur μέχρις οὗ — θεοῦ delevit Elmsleius. 573. *Ἀχαιοῖς] ἀχαιοὺς 579. δῶμα πάκτου ex Eustathio p. 742, 43. 1532, 59. 1937, 62.] δῶμ᾽ ἀπάκτου 582. πήματι] γρ. τραύματι ab S. 593. *ξυνέρξεθ᾽] ξυνέρξεσθ᾽, altero ξ ex χ facto. 594. δοκεῖς] δοξεις pr. sine accentu, o ex ω facto. φρονεῖν] γρ. λέγειν ab S. 597. *ἁλίπλακτος] ἁλίπλαγκτος 601. Ἰδαῖα μίμνω λειμῶνι᾽ ἄποινα, μηνῶν Hermannus] ἰδαίαι μίμνων (μίμνω legit scholiasta) λειμώνια ποίαι μήλων 604. εὐνώμᾳ Triclinius] εὐνόμαι: quem dativum esse εὐνόμᾳ (vitiose scriptum pro εὐνώμᾳ) intellexit glossator, qui per εὐκινήτῳ explicuit. 610. ὤμοι μοι Brunckius] ἰώ μοι μοί μοι. Tertium μοι om. apographa plura. 617. ηὕρηται D.] εὕρηται. γρ. γεγένηται ab S. 618. χεροῖν μεγίστας Triclinius] χερσὶν μέγιστ᾽

ἄφιλα παρ' ἀφίλοις
ἔπεσ' ἔπεσε μελέοις Ἀτρείδαις
ἦ που παλαινᾷ μὲν σύντροφος ἁμέρᾳ,
λευκᾷ δὲ γήρᾳ μάτηρ νιν ὅταν νοσοῦντα
φρενομόρως ἀκούσῃ,
αἴλινον αἴλινον
οὐδ' οἰκτρᾶς γόον ὄρνιθος ἀηδοῦς
ἥσει δύσμορος, ἀλλ' ὀξυτόνους μὲν ᾠδὰς
θρηνήσει, χερόπλακτοι δ'
ἐν στέρνοισι πεσοῦνται
δοῦποι καὶ πολιᾶς ἄμυγμα χαίτας.
κρείσσων παρ' Ἅιδᾳ κεύθων ὁ νοσῶν μάταν,
ὃς ἐκ πατρῴας ἥκων γενεᾶς ἄριστος
πολυπόνων Ἀχαιῶν
οὐκέτι συντρόφοις
ὀργαῖς ἔμπεδος, ἀλλ' ἐκτὸς ὁμιλεῖ.
ὦ τλᾶμον πάτερ, οἵαν σε μένει πυθέσθαι
παιδὸς δύσφορον ἄταν,
ἂν οὔπω τις ἔθρεψεν
δίων Αἰακιδᾶν ἄτερθε τοῦδε.

ΑΙ. ἅπανθ' ὁ μακρὸς κἀναρίθμητος χρόνος
φύει τ' ἄδηλα καὶ φανέντα κρύπτεται·
κοὐκ ἔστ' ἄελπτον οὐδέν, ἀλλ' ἁλίσκεται
χὠ δεινὸς ὅρκος χαὶ περισκελεῖς φρένες.
κἀγὼ γάρ, ὃς τὰ δείν' ἐκαρτέρουν τότε,
βαφῇ σίδηρος ὣς ἐθηλύνθην στόμα
πρὸς τῆσδε τῆς γυναικός· οἰκτείρω δέ νιν
χήραν παρ' ἐχθροῖς παῖδά τ' ὀρφανὸν λιπεῖν.
ἀλλ' εἶμι πρός τε λουτρὰ καὶ παρακτίους
λειμῶνας, ὡς ἂν λύμαθ' ἁγνίσας ἐμὰ
μῆνιν βαρεῖαν ἐξαλύξωμαι θεᾶς·
μολών τε χῶρον ἔνθ' ἂν ἀστιβῆ κίχω
κρύψω τόδ' ἔγχος τοὐμόν, ἔχθιστον βελῶν,
γαίας ὀρύξας ἔνθα μή τις ὄψεται·
ἀλλ' αὐτὸ νὺξ Ἅιδης τε σῳζόντων κάτω.
ἐγὼ γὰρ ἐξ οὗ χειρὶ τοῦτ' ἐδεξάμην
παρ' Ἕκτορος δώρημα δυσμενεστάτου,
οὔπω τι κεδνὸν ἔσχον Ἀργείων πάρα.
ἀλλ' ἔστ' ἀληθὴς ἡ βροτῶν παροιμία,
ἐχθρῶν ἄδωρα δῶρα κοὐκ ὀνήσιμα.
τοιγὰρ τὸ λοιπὸν εἰσόμεσθα μὲν θεοῖς
εἴκειν, μαθησόμεσθα δ' Ἀτρείδας σέβειν.
ἄρχοντές εἰσιν, ὥσθ' ὑπεικτέον. τί μή;
καὶ γὰρ τὰ δεινὰ καὶ τὰ καρτερώτατα
τιμαῖς ὑπείκει· τοῦτο μὲν νιφοστιβεῖς
χειμῶνες ἐκχωροῦσιν εὐκάρπῳ θέρει.
ἐξίσταται δὲ νυκτὸς αἰανὴς κύκλος
τῇ λευκοπώλῳ φέγγος ἡμέρᾳ φλέγειν·
δεινῶν τ' ἄημα πνευμάτων ἐκοίμισε
στένοντα πόντον· ἐν δ' ὁ παγκρατὴς ὕπνος
λύει πεδήσας, οὐδ' ἀεὶ λαβὼν ἔχει.
ἡμεῖς δὲ πῶς οὐ γνωσόμεσθα σωφρονεῖν;
ἐπίσταμαι γὰρ ἀρτίως μαθὼν ὅτι
ὅ τ' ἐχθρὸς ἡμῖν ἐς τοσόνδ' ἐχθαρτέος
ὡς καὶ φιλήσων αὖθις, ἔς τε τὸν φίλον
τοσαῦθ' ὑπουργῶν ὠφελεῖν βουλήσομαι,
ὡς αἰὲν οὐ μενοῦντα. τοῖς πολλοῖσι γὰρ
βροτῶν ἄπιστός ἐσθ' ἑταιρείας λιμήν.
ἀλλ' ἀμφὶ μὲν τούτοισιν εὖ σχήσει· σὺ δὲ
εἴσω θεοῖς ἐλθοῦσα διὰ τέλους, γύναι,
εὔχου τελεῖσθαι τοὐμὸν ὧν ἐρᾷ κέαρ.
ὑμεῖς θ', ἑταῖροι, ταὐτὰ τῇδέ μοι τάδε
τιμᾶτε, Τεύκρῳ τ', ἢν μόλῃ, σημήνατε
μέλειν μὲν ἡμῶν, εὐνοεῖν δ' ὑμῖν ἅμα.
ἐγὼ γὰρ εἶμ' ἐκεῖσ' ὅποι πορευτέον·
ὑμεῖς δ' ἃ φράζω δρᾶτε, καὶ τάχ' ἄν μ' ἴσως
πύθοισθε, κεἰ νῦν δυστυχῶ, σεσωσμένον.

ΧΟ. ἔφριξ' ἔρωτι, περιχαρὴς δ' ἀνεπτάμαν.
ἰὼ ἰὼ Πὰν Πάν, [που
ὦ Πὰν Πὰν ἁλίπλαγκτε, Κυλλανίας χιονοκτύ-
πετραίας ἀπὸ δειράδος φάνηθ', ὦ
θεῶν χοροποί' ἄναξ, ὅπως μοι
Νύσια Κνώσσι' ὀρχήματ' αὐτοδαῆ ξυνὼν ἰάψῃς.
νῦν γὰρ ἐμοὶ μέλει χορεῦσαι.
Ἰκαρίων δ' ὑπὲρ πελαγέων μολὼν ἄναξ Ἀπόλλων
ὁ Δάλιος εὔγνωστος
ἐμοὶ ξυνείη διὰ παντὸς εὔφρων.
ἔλυσεν αἰνὸν ἄχος ἀπ' ὀμμάτων Ἄρης.
ἰὼ ἰώ, νῦν αὖ,
νῦν, ὦ Ζεῦ, πάρα λευκὸν εὐάμερον πελάσαι φάος
θοᾶν ὠκυάλων νεῶν, ὅτ' Αἴας
λαθίπονος πάλιν, θεῶν δ' αὖ
πάνθυτα θέσμι' ἐξήνυσ' εὐνομίᾳ σέβων μεγίστᾳ.
πάνθ' ὁ μέγας χρόνος μαραίνει, [πτων
κοὐδὲν ἀναύδατον φατίσαιμ' ἄν, εὖτέ γ' ἐξ ἀέλ-
Αἴας μετανεγνώσθη
θυμοῦ τ' Ἀτρείδαις μεγάλων τε νεικέων.

ΑΓΓΕΛΟΣ.

ἄνδρες φίλοι, τὸ πρῶτον ἀγγεῖλαι θέλω,
Τεῦκρος πάρεστιν ἄρτι Μυσίων ἀπὸ

622—634. = 635—645.

693—705. = 706—718.

---

620. *παρ' ἀφίλοις] παρὰ φίλοις. Utrumque explicat scholiasta. 622. ταλαίνᾳ D.] παλαιᾷ 623. σύντροφος Nauckius] ἔντροφος ἁμέρᾳ Brunckius] ἡμέρᾳ 624. λευκᾷ Schneidewinus] λευκῷ 626. φρενομόρως] Alterum ο in ω mutavit manus antiqua. 632. χερόπλακτοι Erfurdtius] χερόπληκτοι 633. *στέρνοισι] στέρνοις 634. ἄμυγμα Bothius] ἀμύγματα 635. κρείσσων] ει ex ε factum. παρ' Elmsleius] γὰρ Ἅιδᾳ] ἀΐδα, ut solet. ὁ Lobeckius] ἢ 636. *ἄριστος additum ex apographis nonnullis, sumtum ex annotatione scholiastae λείπει γὰρ τὸ ἄριστος 645. δίων Bergkius] αἰὼν 649. χαὶ Brunckius] καὶ 650. ἐκαρτέρουν τότε] γρ. ἐπηπείλησ' ἔπη ab S., ex v. 312. 656. ἐξαλύξωμαι ex Hesychio s. h. v.] ἐξαλεύσωμαι 667. *Ἀτρείδας] ἀτρείδα 672. *αἰανῆς] αἰανής. Utramque scripturam memorat Suidas s. v. αἰανὴς κύκλος. 674. δεινῶν] δεινόν pr.

675. ἐν] ἐκ Bothius. 678. ἐπίσταμαι γὰρ ἀρτίως μαθὼν ὅτι D.] ἐγὼ δ' ἐπίσταμαι γὰρ ἀρτίως ἡμῖν ὅτι 679. ἡμῖν] ἤμην, ἡμῖν a m. rec. superscripto. ἤμην etiam apud Suidam s. v. ἄημα et ἐχθραντέος, sed loco altero codex Paris. A. ἡμῖν ἐχθαρτέος] ἐχθραντέος a m. rec., ut apographa pleraque et Suidas s. h. v. 682. *πολλοῖσι] πολλοῖς 683. ἄπιστος] πι in litura: fuit fortasse ἄπειστος, ut v. 151. εὔπιστα ex εὔπειστα factum. 685. εἴσω D.] ἔσω τέλους] τάχους apud scholiastam: quae non interpretatio, sed diversa scriptura esse videtur. 689. *ὑμῖν ἅμα] ὑμῶν ἅμα. γρ. ὑπέρμεγα ab S. 693. ἀνεπτάμαν] In apographis nonnullis ἀνεπτάμην, ἀνεπτόμαν, ἀνεπτόμην. ἀνεπτόμην apud Suidam s. v. ἔφριξα (ubi editiones veteres ἀνεπτάμην) et sexies apud Eustathium. 695. *χιονοκτύπου] χιονοτύπου 702. *πελάγεων] πελαγέων 705. ξυνείη] ξυνείησ, σ a m. rec. addito. ξυνείης apogr. multa. 706. ἔλυσεν] ἔλυσε γὰρ ab alia m. ant. 712. *ἐξήνυσ'] ἐξήνυσεν 714. μαραίνει Heathius] μαραίνει γε (τε a m. sec.) καὶ φλέγει 715. ἀναύδατον[ Lobeckius ex Hesychio (ubi codex ἀναύδακτον)] ἀναύδητον φατίσαιμ' Lobeckius] φατίξαιμ' (φατίζαιμ' pr.) 718. θυμοῦ Hermannus] θυμὸν (γρ. θυμῶν apogr. Flor. Γ et Triclinius). *τ' Ἀτρείδαις] τ' om.

κρημνῶν· μέσον δὲ προσμολὼν στρατήγιον
κυδάζεται τοῖς πᾶσιν Ἀργείοις ὁμοῦ.
στείχοντα γὰρ πρόσωθεν αὐτὸν ἐν κύκλῳ
μαθόντες ἀμφέστησαν, εἶτ᾽ ὀνείδεσιν
ἤρασσον ἔνθεν κἄνθεν οὔτις ἔσθ᾽ ὃς οὔ,
τὸν τοῦ μανέντος κἀπιβουλευτοῦ στρατῷ
ξύναιμον ἀποκαλοῦντες, ὡς οὐκ ἀρκέσοι
τὸ μὴ οὐ πέτροισι πᾶς καταξανθεὶς θανεῖν.
ὥστ᾽ ἐς τοσοῦτον ἦλθον ὥστε καὶ χεροῖν
κολεῶν ἐρυστὰ διεπεραιώθη ξίφη.
λήγει δ᾽ ἔρις δραμοῦσα τοῦ προσωτάτω
ἀνδρῶν γερόντων ἐν ξυναλλαγῇ λόγου.
ἀλλ᾽ ἡμὶν Αἴας ποῦ ᾽στιν, ὡς φράσω τάδε;
τοῖς κυρίοις γὰρ πάντα χρὴ δηλοῦν λόγον.
ΧΟ. οὐκ ἔνδον, ἀλλὰ φροῦδος ἀρτίως, νέας
βουλὰς νέοισιν ἐγκαταζεύξας τρόποις.
ΑΓ. ἰοὺ ἰού.
βραδεῖαν ἡμᾶς ἆρ᾽ ὁ τήνδε τὴν ὁδὸν
πέμπων ἔπεμψεν, ἢ ᾽φάνην ἐγὼ βραδύς.
ΧΟ. τί δ᾽ ἐστὶ χρείας τῆσδ᾽ ὑπεσπανισμένον;
ΑΓ. τὸν ἄνδρ᾽ ἀπηύδα Τεῦκρος ἔνδοθεν στέγης
μὴ ᾽ξω παρήκειν, πρὶν παρὼν αὐτὸς τύχοι.
ΧΟ. ἀλλ᾽ οἴχεταί τοι, πρὸς τὸ κέρδιστον τραπεὶς
γνώμης, θεοῖσιν ὡς καταλλαχθῇ χόλου.
ΑΓ. ταῦτ᾽ ἐστὶ τἄπη μωρίας πολλῆς πλέα,
εἴπερ τί Κάλχας εὖ φρονῶν μαντεύεται.
ΧΟ. ποῖον; τί δ᾽ εἰδὼς τοῦδε πράγματος πάρει;
ΑΓ. τοσοῦτον οἶδα καὶ παρὼν ἐτύγχανον.
ἐκ γὰρ συνέδρου καὶ τυραννικοῦ κύκλου
Κάλχας μεταστὰς οἶος Ἀτρειδῶν δίχα,
ἐς χεῖρα Τεύκρου δεξιὰν φιλοφρόνως
θεὶς εἶπε κἀπέσκηψε παντοίᾳ τέχνῃ
εἶρξαι κατ᾽ ἦμαρ τοὐμφανὲς τὸ νῦν τόδε
Αἴανθ᾽ ὑπὸ σκηναῖσι μηδ᾽ ἀφέντ᾽ ἐᾶν,
εἰ ζῶντ᾽ ἐκεῖνον εἰσιδεῖν θέλοι ποτέ.
ἐλᾷ γὰρ αὐτὸν τῇδε θἠμέρᾳ μόνῃ
δίας Ἀθάνας μῆνις, ὡς ἔφη λέγων.
τὰ γὰρ περισσὰ κἀνόνητα σώματα
πίπτειν βαρείαις πρὸς θεῶν δυσπραξίαις
ἔφασχ᾽ ὁ μάντις, ὅστις ἀνθρώπου φύσιν
βλαστὼν ἔπειτα μὴ κατ᾽ ἄνθρωπον φρονῇ.
κεῖνος δ᾽ ἀπ᾽ οἴκων εὐθὺς ἐξορμώμενος
ἄνους καλῶς λέγοντος ηὑρέθη πατρός.
ὁ μὲν γὰρ αὐτὸν ἐννέπει, τέκνον, δόρει
βούλου κρατεῖν μέν, σὺν θεῷ δ᾽ ἀεὶ κρατεῖν.
ὁ δ᾽ ὑψικόμπως κἀφρόνως ἠμείψατο,
πάτερ, θεοῖς μὲν κἂν ὁ μηδὲν ὢν ὁμοῦ
κράτος κατακτήσαιτ᾽· ἐγὼ δὲ καὶ δίχα
κείνων πέποιθα τοῦτ᾽ ἐπισπάσειν κλέος.
τοσόνδ᾽ ἐκόμπει μῦθον. εἶτα δεύτερον
δίας Ἀθάνας, ἡνίκ᾽ ὀτρύνουσά νιν
ηὔδᾶτ᾽ ἐπ᾽ ἐχθροῖς χεῖρα φοινίαν τρέπειν,
τότ᾽ ἀντιφωνεῖ δεινὸν ἄρρητόν τ᾽ ἔπος·
ἄνασσα, τοῖς ἄλλοισιν Ἀργείων πέλας
ἵστω, καθ᾽ ἡμᾶς δ᾽ οὔποτ᾽ ἐκρήξει μάχη.
τοιοῖσδέ τοι λόγοισιν ἀστεργῆ θεᾶς
ἐκτήσατ᾽ ὀργήν, οὐ κατ᾽ ἄνθρωπον φρονῶν.
ἀλλ᾽ εἴπερ ἔστι τῇδε θἠμέρᾳ, τάχ᾽ ἂν
γενοίμεθ᾽ αὐτοῦ σὺν θεῷ σωτήριοι.
τοσαῦθ᾽ ὁ μάντις εἶφ᾽· ὁ δ᾽ εὐθὺς ἐξ ἕδρας
πέμπει με σοὶ φέροντα τάσδ᾽ ἐπιστολὰς
Τεῦκρος φυλάσσειν. εἰ δ᾽ ἀπεστερήμεθα,
οὐκ ἔστιν ἁνὴρ κεῖνος, εἰ Κάλχας σοφός.
ΧΟ. ὦ δαΐα Τέκμησσα, δύσμορον γένος,
ὅρα μολοῦσα τόνδ᾽ ὁποῖ᾽ ἔπη θροεῖ.
ξυρεῖ γὰρ ἐν χρῷ τοῦτο μὴ χαίρειν τινά.
ΤΕΚ. τί μ᾽ αὖ τάλαιναν ἀρτίως πεπαυμένην
κακῶν ἀτρύτων ἐξ ἕδρας ἀνίστατε;
ΧΟ. τοῦδ᾽ εἰσάκουε τἀνδρός, ὡς ἥκει φέρων
Αἴαντος ἡμῖν πρᾶξιν ἣν ἤλγησ᾽ ἐγώ.
ΤΕΚ. οἴμοι, τί φῄς, ὤνθρωπε; μῶν ὀλώλαμεν;
ΑΓ. οὐκ οἶδα τὴν σὴν πρᾶξιν, Αἴαντος δ᾽ ὅτι,
θυραῖος εἴπερ ἐστίν, οὐ θαρσῶ πέρι.
ΤΕΚ. καὶ μὴν θυραῖος, ὥστε μ᾽ ὠδίνειν τί φῄς.
ΑΓ. ἐκεῖνον εἴργειν Τεῦκρος ἐξεφίεται
σκηνῆς ὕπαυλον μηδ᾽ ἀφιέναι μόνον.
ΤΕΚ. ποῦ δ᾽ ἐστὶ Τεῦκρος, κἀπὶ τῷ λέγει τάδε;
ΑΓ. πάρεστ᾽ ἐκεῖνος ἄρτι· τήνδε δ᾽ ἔξοδον
ὀλεθρίαν Αἴαντος ἐλπίζειν φέρει.
ΤΕΚ. οἴμοι τάλαινα, τοῦ ποτ᾽ ἀνθρώπων μαθών;
ΑΓ. τοῦ Θεστορείου μάντεως, καθ᾽ ἡμέραν
τὴν νῦν ὃς αὐτῷ θάνατον ἢ βίον φέρει.
ΤΕΚ. οἲ ᾽γώ, φίλοι, πρόστητ᾽ ἀναγκαίας τύχης,
καὶ σπεύσαθ᾽ οἱ μὲν Τεῦκρον ἐν τάχει μολεῖν,
οἱ δ᾽ ἑσπέρους ἀγκῶνας, οἱ δ᾽ ἀντηλίους
ζητεῖτ᾽ ἰόντες τἀνδρὸς ἔξοδον κακήν.
ἔγνωκα γὰρ δὴ φωτὸς ἠπατημένη
καὶ τῆς παλαιᾶς χάριτος ἐκβεβλημένη.
οἴμοι, τί δράσω, τέκνον; οὐχ ἱδρυτέον.
ἀλλ᾽ εἶμι κἀγὼ κεῖσ᾽ ὅποιπερ ἂν σθένω.
χωρῶμεν, ἐγκονῶμεν, οὐχ ἕδρας ἀκμή.
ΧΟ. χωρεῖν ἑτοῖμος, κοὐ λόγῳ δείξω μόνον.
τάχος γὰρ ἔργου καὶ ποδῶν ἅμ᾽ ἕψεται.
ΑΙ. ὁ μὲν σφαγεὺς ἕστηκεν ᾗ τομώτατος
γένοιτ᾽ ἄν, εἴ τῳ καὶ λογίζεσθαι σχολή,
δῶρον μὲν ἀνδρὸς Ἕκτορος ξένων ἐμοὶ
μάλιστα μισηθέντος, ἐχθίστου θ᾽ ὁρᾶν.
πέπηγε δ᾽ ἐν γῇ πολεμίᾳ τῇ Τρῳάδι,
σιδηροβρῶτι θηγάνῃ νεηκονής·
ἔπηξα δ᾽ αὐτὸν εὖ περιστείλας ἐγώ,
εὐνούστατον τῷδ᾽ ἀνδρὶ διὰ τάχους θανεῖν.
οὕτω μὲν εὐσκευοῦμεν· ἐκ δὲ τῶνδέ μοι
σὺ πρῶτος, ὦ Ζεῦ, καὶ γὰρ εἰκός, ἄρκεσον.
αἰτήσομαι δέ σ᾽ οὐ μακρὸν γέρας λαχεῖν.
πέμψον τιν᾽ ἡμῖν ἄγγελον, κακὴν φάτιν
Τεύκρῳ φέροντα, πρῶτος ὥς με βαστάσῃ
πεπτῶτα τῷδε περὶ νεορράντῳ ξίφει,
καὶ μὴ πρὸς ἐχθρῶν του κατοπτευθεὶς πάρος
ῥιφθῶ κυσὶν πρόβλητος οἰωνοῖς θ᾽ ἕλωρ.
τοσαῦτά σ᾽, ὦ Ζεῦ, προστρέπω, καλῶ δ᾽ ἅμα
πομπαῖον Ἑρμῆν χθόνιον εὖ με κοιμίσαι,
ξὺν ἀσφαδάστῳ καὶ ταχεῖ πηδήματι

812. σώζειν θέλοντας ἄνδρα γ᾽ ὃς σπεύδῃ θανεῖν.

726. τὸν ab alia m. ant. additum. στρατῷ Schaeferus] στρατοῦ 737. Tertium ἰού delevit Turnebus. 743. *τύχοι] τύχηι 747. πάρει Schneidewinus] πέρι 756. τῇδε θἠμέρᾳ] τῆιδε θ᾽ ἡμέραι. τῇδ᾽ ἔθ᾽ ἡμέρᾳ Bothius. 768. κατακτήσαιτ᾽] καταστήσαιτ᾽ pr. 771. δίας Ἀθάνας] δίαν Ἀθάναν Mehlhornius. 776. τοι Hermannus] τοῖς 778. τῆιδε θ᾽ ἡμέραι radendo factum ex τῆιδ᾽ ἐν ἡμέραι

780. εἶφ᾽ ex εἶπεν factum in litura. 783. *κεῖνος] ἐκεῖνος 789. ὡς] ὃσ pr. ut videtur. 791. ὤνθρωπε] ἄνθρωπε pr. 794. μ᾽ ex κ᾽ factum. 799. ἐλπίζειν φέρει Bothius] ἐλπίζει φέρειν 802. ὃς Iacobsius] ὅτ᾽ 803. *οἲ ᾽γὼ] οἲ ἐγὼ 812. σώζειν θέλοντας (α a m. rec. in ε mutatum) ἄνδρα γ᾽ ὃς ἂν (ἂν delevit manus recentior) σπεύδῃ (in σπεύδει mutatum a m. ant.) θανεῖν] Delevi versum spurium. 825. λαχεῖν] λαβεῖν pr. 828. πεπτῶτα] πεπταότα pr. 830. *θ᾽] τ᾽ 831. τοσαῦτά σ᾽, ὦ] γρ. τοσαῦτά σοι ab S. 831. δ᾽] *θ᾽

πλευρὰν διαρρήξαντα τῷδε φασγάνῳ.
καλῶ δ᾽ ἀρωγοὺς τὰς ἀεί τε παρθένους
ἀεί θ᾽ ὁρώσας πάντα τἀν βροτοῖς πάθη,
σεμνὰς Ἐρινῦς τανύποδας, μαθεῖν ἐμὲ
πρὸς τῶν Ἀτρειδῶν ὡς διόλλυμαι τάλας.
ἴτ᾽, ὦ ταχεῖαι ποίνιμοί τ᾽ Ἐρινύες,
γεύεσθε, μὴ φείδεσθε πανδήμου στρατοῦ.
σὺ δ᾽, ὦ τὸν αἰπὺν οὐρανὸν διφρηλατῶν
. Ἥλιε, πατρῴαν τὴν ἐμὴν ὅταν χθόνα
ἴδῃς, ἐπισχὼν χρυσόνωτον ἡνίαν
ἄγγειλον ἄτας τὰς ἐμὰς μόρον τ᾽ ἐμὸν
γέροντι πατρὶ τῇ τε δυστήνῳ τροφῷ.
ἦ που τάλαινα, τήνδ᾽ ὅταν κλύῃ φάτιν,
ἥσει μέγαν κωκυτὸν ἐν πάσῃ πόλει.
ἀλλ᾽ οὐδὲν ἔργον ταῦτα θρηνεῖσθαι μάτην,
ἀλλ᾽ ἀρκτέον τὸ πρᾶγμα σὺν τάχει τινί.
ὦ Θάνατε Θάνατε, νῦν μ᾽ ἐπίσκεψαι μολών·
καίτοι σὲ μὲν κἀκεῖ προσαυδήσω ξυνών.
σὲ δ᾽, ὦ φαεννῆς ἡμέρας τὸ νῦν σέλας,
καὶ τὸν διφρευτὴν Ἥλιον προσεννέπω,
πανύστατον δὴ κοὔποτ᾽ αὖθις ὕστερον.
ὦ φέγγος, ὦ γῆς ἱρὸν οἰκείας πέδον
Σαλαμῖνος, ὦ πατρῷον ἑστίας βάθρον,
κλειναί τ᾽ Ἀθῆναι, καὶ τὸ σύντροφον γένος,
κρῆναί τε ποταμοί θ᾽ οἵδε, καὶ τὰ Τρωικὰ
πεδία προσαυδῶ, χαίρετ᾽, ὦ τροφῆς ἐμοί·
τοῦθ᾽ ὑμὶν Αἴας τοὔπος ὕστατον θροεῖ,
τὰ δ᾽ ἄλλ᾽ ἐν Ἅιδου τοῖς κάτω μυθήσομαι.

ΗΜΙΧΟΡΙΟΝ.

πόνος πόνῳ πόνον φέρει.
παπαῖ παπαῖ,
πᾶ γὰρ οὐκ ἔβαν ἐγώ;
κοὐδεὶς ἐπίσταταί με συμμαθεῖν τόπος.

839. καί σφας κακοὺς κάκιστα καὶ πανωλέθρους
ξυναρπάσειαν, ὥσπερ εἰσορῶσ᾽ ἐμὲ
αὐτοσφαγῆ πίπτοντα, τὼς αὐτοσφαγεῖς
842. πρὸς τῶν φιλίστων ἐκγόνων ὀλοίατο.

836. *θ᾽] δ᾽ *τἀν] τἀμ 839.—842. Versus spurios quattuor καί σφας — ὀλοίατο notavit scholiasta. 858. *κοὔποτ᾽] καὶ οὔποτ᾽ 859. ἱρὸν D.] ἱερὸν 863. τροφῆς Brunckius] τροφεῖς 866.
χ
ΗΜΙΧΟΡΙΟΝ] ημ, cum compendio sub litera μ 867. παπαῖ παπαῖ Lachmannus] πᾶι πᾶι, ut versu proximo non πᾶ, sed πᾶι 869. ἐπίσταται — συμμαθεῖν] ἐφίσταται — συμμαθὼν Meinekius. ἐπίσταται si recte legitur, συμμαθεῖν pro alio verbo illatum esse putandum erit, aut scribendum quod ego olim conieci κοὐδεὶς ἐπίσταταί σφε συμμαθὼν τόπος. Post haec verba versum dimetrum, qui responderit versui 866. πόνος πόνῳ πόνον φέρει, excidisse coniecit Hermannus, qui haec inter singulas utriusque ἡμιχορίου personas sic distribuit, στροφὴ ά. Ἡμιχορίου ά ὁ ά. πόνος — | ὁ β΄. πᾶ πᾶ | πᾶ — ἐγώ; | ὁ α΄. κοὐδεὶς — τόπος. | ἀντιστροφὴ α΄. ἡμιχορίου β΄ ὁ α΄. ⏑ ⏔ ⏑ –, ⏑ ⏔ ⏑ – | ὁ β΄. ἰδοὺ, | δοῦπον — τινά. | ὁ α΄. ἡμῶν — ὁμιλίαν. | στροφὴ β΄. ἡμιχορίου α΄ ὁ α΄. τί οὖν δή; | ἡμιχορίου β΄ ὁ α΄. πᾶν — νεῶν. | ἀντιστροφὴ β΄. ἡμιχορίου α΄ ὁ α΄. ἔχεις οὖν; | ἡμιχορίου β΄ ὁ α΄. πόνου — πλέον. | ἐπῳδός. ἡμιχορίου β΄ ὁ α΄. ἀλλ᾽ — φανείς. Versus hos non ab toto choro pronunciatos esse intellexit scholiasta, qui ad versum primum annotavit, οἱ ἀπὸ τοῦ χοροῦ προϊασιν ὥσπερ ἐκ διαφόρων τόπων κατ᾽ ἄλλην καὶ ἄλλην εἴσοδον, ζητοῦντες τὸν Αἴαντα, καὶ ἡ Τέκμησσα ἐξ ἄλλων, ἥτις καὶ πρώτη ἐπιτυγχάνει τῷ πτώματι. et ad initium carminis proximi ab toto choro cantati (v. 879.) ὅλος ὁ χορὸς εἰς ἓν συνελθὼν ταὐτά φησιν.

ἰδοὺ ἰδού,
δοῦπον αὖ κλύω τινά.
ΗΜ. ἡμῶν γε ναὸς κοινόπλουν ὁμιλίαν.
ΗΜ. τί οὖν δή;
ΗΜ. πᾶν ἐστίβηται πλευρὸν ἕσπερον νεῶν.
ΗΜ. ἔχεις οὖν;
ΗΜ. πόνου γε πλῆθος, κοὐδὲν εἰς ὄψιν πλέον.
ΗΜ. ἀλλ᾽ οὐδὲ μὲν δὴ τὴν ἀφ᾽ ἡλίου βολῶν
κέλευθον ἀνὴρ οὐδαμοῦ δηλοῖ φανείς.
ΧΟ. τίς ἂν δῆτά μοι, τίς ἂν φιλοπόνων
ἁλιαδᾶν ἔχων ἀμφ᾽ ἀΰπνους ἄγρας,
ἢ τίς Ὀλυμπιάδων θεᾶν, ἢ ῥυτῶν
Βοσπορίων ποταμῶν, τὸν ὠμόθυμον
εἴ ποθι πλαζόμενον λεύσσων
ἀπύοι; σχέτλια γὰρ
ἐμέ γε τὸν μακρῶν ἀλάταν πόνων
οὐρίῳ μὴ πελάσαι δρόμῳ,
ἀλλ᾽ ἀμενηνὸν ἄνδρα μὴ λεύσσειν ὅπου.
ΤΕΚ. ἰώ μοί μοι.
ΧΟ. τίνος βοὴ πάραυλος ἐξέβη νάπους;
ΤΕΚ. ἰὼ τλήμων.
ΧΟ. τὴν δουρίληπτον δύσμορον νύμφην ὁρῶ
Τέκμησσαν, οἴκτῳ τῷδε συγκεκραμένην.
ΤΕΚ. ᾤχωκ᾽, ὄλωλα, διαπεπόρθημαι, φίλοι.
ΧΟ. τί δ᾽ ἔστιν;
ΤΕΚ. Αἴας ὅδ᾽ ἡμῖν ἀρτίως νεοσφαγὴς
κεῖται, κρυφαίῳ φασγάνῳ περιπτυχής.
ΧΟ. ὤμοι ἐμῶν νόστων·
ὤμοι, κατέπεφνες, ἄναξ, σὸν
τόνδε συνναύταν, ὦ τάλας·
ὦ ταλαῖφρον γύναι.
ΤΕΚ. ὡς ὧδε τοῦδ᾽ ἔχοντος αἰάζειν πάρα.
ΧΟ. τίνος ποτ᾽ ἆρ᾽ ἔρξε χειρὶ δύσμορος;
ΤΕΚ. αὐτὸς πρὸς αὑτοῦ, δῆλον· ἐν γάρ οἱ χθονὶ
πηκτὸν τόδ᾽ ἔγχος περιπετὲς κατηγορεῖ.
ΧΟ. ὤμοι ἐμᾶς ἄτας, οἷος ἄρ᾽ αἱμάχθης, ἄφαρκτος
φίλων·
ἐγὼ δ᾽ ὁ πάντα κωφός, ὁ πάντ᾽ ἄϊδρις, κατημέλησα. πᾶ πᾶ
κεῖται ὁ δυστράπελος δυσώνυμος Αἴας;
ΤΕΚ. οὔτοι θεατός· ἀλλά νιν περιπτυχεῖ
φάρει καλύψω τῷδε παμπήδην, ἐπεὶ
οὐδεὶς ἄν, ὅστις καὶ φίλος, τλαίη βλέπειν
φυσῶντ᾽ ἄνω πρὸς ῥῖνας, ἔκ τε φοινίας
πληγῆς μελανθὲν αἷμ᾽ ἀπ᾽ οἰκείας σφαγῆς.

879—914. = 925—960.

ὧν
877. βολῶν] βολῆς, ὧν a m. pr. 879. δῆτα Hermannus] δὴ φιλοπόνων fuerunt quibus ex glossemate illatum videretur, quum in versu antistrophico 925. dochmii forma non soluta respondeat. Eidem dubitationi obnoxius est v. 887. ἀπύοι; σχέτλια γάρ, cui in antistropha v. 933. forma cretici respondet non soluta οὐλίῳ σὺν πάθει. 880. ἀμφ᾽ addidit Hermannus. ἄγρας] γρ. ἕδρας a manu seculi 14. 885. *ποταμῶν] ποταμῶν . . ἴδρις; duabus ante ἴδρις literis erasis. 889. οὐρίῳ — δρόμῳ] οὐρίων — δρόμων. sed ν utroque eraso. 890. ἀμενηνὸν] Prius ν ex μ factum. 891. ἰώ Turnebus] ἰὼ ἰώ 897. ᾤχωκ᾽ ex Herodiano περὶ μεγάλου ῥήματος ap. Koen. ad Greg. Cor. p. 66. et Choerobosco p. 554, 10 ed. Gaisf.] οἴχωκ᾽ 900. 901. *ὤμοι — ὤμοι] ἰώ μοι — ἰώ μοι 901. *σὸν addidit Hermannus. 902. *ὦ] ἰὼ 903. *ταλαῖφρον] ταλαίφρων 905. ἔρξε Hermannus] ἔπραξε 909. *ὤμοι] ἰώ μοι 910. ἄφαρκτος D.] ἄφρακτος 914. *δυσώνυμος] ὁ δυσώνυμος 919. μελανθὲν] κελαινὸν D.

οἴμοι, τί δράσω; τίς σε βαστάσει φίλων;
ποῦ Τεῦκρος; ὡς ἀκμαῖος, εἰ βαίη, μόλοι,
πεπτῶτ' ἀδελφὸν τόνδε συγκαθαρμόσαι.
ὦ δύσμορ' Αἴας, οἷος ὢν οἵως ἔχεις,
ὡς καὶ παρ' ἐχθροῖς ἄξιος θρήνων τυχεῖν.
ΧΟ. ἔμελλες, τάλας, ἔμελλες χρόνῳ
στερεόφρων ἄρ' *ὧδ' ἐξανύσειν κακὰν
μοῖραν ἀπειρεσίων πόνων. τοιά μοι
πάννυχα καὶ φαέθοντ' ἀνεστέναζες
ὠμόφρων ἐχθοδόπ' Ἀτρείδαις
οὐλίῳ σὺν πάθει.
μέγας ἄρ' ἦν ἐκεῖνος ἄρχων χρόνος
πημάτων, ἦμος ἀριστόχειρ
– ⏑́ ⏑ – ὅπλων ἔκειτ' ἀγὼν πέρι.
ΤΕΚ. ἰώ μοί μοι.
ΧΟ. χωρεῖ πρὸς ἧπαρ, οἶδα, γενναία δύη.
ΤΕΚ. ἰώ μοί μοι.
ΧΟ. οὐδέν σ' ἀπιστῶ καὶ δὶς οἰμῶξαι, γύναι,
τοιοῦδ' ἀποβλαφθεῖσαν ἀρτίως φίλου.
ΤΕΚ. σοὶ μὲν δοκεῖν ταῦτ' ἔστ', ἐμοὶ δ' ἄγαν φρονεῖν.
ΧΟ. ξυναυδῶ.
ΤΕΚ. οἴμοι, τέκνον, πρὸς οἷα δουλείας ζυγὰ
χωροῦμεν, οἷοι νῷν ἐφεστᾶσι σκοποί.
ΧΟ. ὤμοι, ἀναλγήτων
δισσῶν ἐθρόησας ἄναυδον
ἔργον Ἀτρειδᾶν τῷδ' ἄχει.
ἀλλ' ἀπείργοι θεός.
ΤΕΚ. οὐκ ἂν τάδ' ἔστη τῇδε μὴ θεῶν μέτα.
ΧΟ. ἄγαν ὑπερβριθὲς ἄχθος ἤνυσαν.
ΤΕΚ. τοιόνδε μέντοι Ζηνὸς ἡ δεινὴ θεὸς
Παλλὰς φυτεύει πῆμ' Ὀδυσσέως χάριν.
ΧΟ. ἦ ῥα κελαινώπαν θυμὸν ἐφυβρίζει πολύτλας
ἀνήρ,
γελᾷ δὲ τοῖσδε μαινομένοις ἄχεσιν πολὺν γέ-
λωτα, φεῦ φεῦ,
ξύν τε διπλοῖ βασιλῆς κλύοντες Ἀτρεῖδαι.
ΤΕΚ. οἱ δ' οὖν γελώντων κἀπιχαιρόντων κακοῖς
τοῖς τοῦδ'. ἴσως τοι, κεἰ βλέποντα μὴ 'πόθουν,
θανόντ' ἂν οἰμώξειαν ἐν χρείᾳ δορός.
οἱ γὰρ κακοὶ γνώμαισι τἀγαθὸν χεροῖν
ἔχοντες οὐκ ἴσασι, πρίν τις ἐκβάλῃ.
[ἐμοὶ πικρὸς τέθνηκεν ἢ κείνοις γλυκύς,
αὑτῷ δὲ τερπνός. ὧν γὰρ ἠράσθη τυχεῖν
ἐκτήσαθ' αὑτῷ, θάνατον ὅνπερ ἤθελεν.]
τί δῆτα τοῦδ' ἐπεγγελῷεν ἂν κάτα;
θεοῖς τέθνηκεν οὗτος, οὐ κείνοισιν, οὔ.
πρὸς ταῦτ' Ὀδυσσεὺς ἐν κενοῖς ὑβριζέτω.
Αἴας γὰρ αὐτοῖς οὐκέτ' ἐστίν, ἀλλ' ἐμοὶ
λιπὼν ἀνίας καὶ γόους διοίχεται.

ΤΕΥΚΡΟΣ.

ἰώ μοί μοι.
ΧΟ. σίγησον. αὐδὴν γὰρ δοκῶ Τεύκρου κλύειν
βοῶντος ἄτης τῆσδ' ἐπίσκοπον μέλος.
ΤΕΥ. ὦ φίλτατ' Αἴας, ὦ ξύναιμον ὄμμ' ἐμοί,
ἆρ' ἠμπόληκας, ὥσπερ ἡ φάτις κρατεῖ;
ΧΟ. ὄλωλεν ἁνήρ, Τεῦκρε, τοῦτ' ἐπίστασο.
ΤΕΥ. ὤμοι βαρείας ἆρα τῆς ἐμῆς τύχης.
ΧΟ. ὡς ὧδ' ἐχόντων ΤΕΥ. ὦ τάλας ἐγώ, τάλας.
ΧΟ. πάρα στενάζειν. ΤΕΥ. ὦ περισπερχὲς πάθος.
ΧΟ. ἄγαν γε, Τεῦκρε. ΤΕΥ. φεῦ τάλας. τί γὰρ
τέκνον
τὸ τοῦδε, ποῦ μοι γῆς κυρεῖ τῆς Τρῳάδος;
ΧΟ. μόνος παρὰ σκηναῖσιν. ΤΕΥ. οὐχ ὅσον τάχος
δῆτ' αὐτὸν ἄξεις δεῦρο, μή τις ὡς κενῆς
σκύμνον λεαίνης δυσμενῶν ἀναρπάσῃ;
ἴθ', ἐγκόνει, σύγκαμνε. τοῖς ἐχθροῖσί τοι
φιλοῦσι πάντες κειμένοις ἐπεγγελᾶν.
ΧΟ. καὶ μὴν ἔτι ζῶν, Τεῦκρε, τοῦδέ σοι μέλειν
ἐφίεθ' ἁνὴρ κεῖνος, ὥσπερ οὖν μέλει.
ΤΕΥ. ὦ τῶν ἁπάντων δὴ θεαμάτων ἐμοὶ
ἄλγιστον ὧν προσεῖδον ὀφθαλμοῖς ἐγώ,
ὁδός θ' ὁδῶν πασῶν ἀνιάσασα δὴ
μάλιστα τοὐμὸν σπλάγχνον, ἣν δὴ νῦν ἔβην,
ὦ φίλτατ' Αἴας, τὸν σὸν ὡς ἐπῃσθόμην
μόρον διώκων κἀξιχνοσκοπούμενος.
ὀξεῖα γάρ σου βάξις ὡς θεοῦ τινος
διῆλθ' Ἀχαιοὺς πάντας ὡς οἴχει θανών.
ἁγὼ κλύων δύστηνος ἐμποδὼν μὲν ὢν
ὑπεστέναζον, νῦν δ' ὁρῶν ἀπόλλυμαι.
οἴμοι.
ἴθ', ἐκκάλυψον, ὡς ἴδω τὸ πᾶν κακόν.
ὦ δυσθέατον ὄμμα καὶ τόλμης πικρᾶς,
ὅσας ἀνίας μοι κατασπείρας φθίνεις.
ποῖ γὰρ μολεῖν μοι δυνατόν, ἐς ποίους βροτοὺς
τοῖς σοῖς ἀρήξαντ' ἐν πόνοισι μηδαμοῦ;
ἦ πού με Τελαμών, σὸς πατὴρ ἐμός θ' ἅμα,
δέξαιτ' ἂν εὐπρόσωπος ἵλεώς τ' ἴσως
χωροῦντ' ἄνευ σοῦ. πῶς γὰρ οὔχ; ὅτῳ πάρα
μηδ' εὐτυχοῦντι μηδὲν ἵλεων γελᾶν.
οὗτος τί κρύψει; ποῖον οὐκ ἐρεῖ κακόν,
τὸν ἐκ δορὸς γεγῶτα πολεμίου νόθον,
τὸν δειλίᾳ προδόντα καὶ κακανδρίᾳ
σέ, φίλτατ' Αἴας, ἢ δόλοισιν, ὡς τὰ σὰ
κράτη θανόντος καὶ δόμους νέμοιμι σούς.
τοιαῦτ' ἁνὴρ δύσοργος, ἐν γήρᾳ βαρύς,
ἐρεῖ, πρὸς οὐδὲν εἰς ἔριν θυμούμενος.
τέλος δ' ἀπωστὸς γῆς ἀπορριφθήσομαι,
δοῦλος λόγοισιν ἀντ' ἐλευθέρου φανείς.
τοιαῦτα μὲν κατ' οἶκον· ἐν Τροίᾳ δέ μοι
πολλοὶ μὲν ἐχθροί, παῦρα δ' ὠφελήσιμα.
καὶ ταῦτα πάντα σοῦ θανόντος ηὑρόμην.
οἴμοι, τί δράσω; πῶς σ' ἀποσπάσω πικροῦ
τοῦδ' αἰόλου κνώδοντος, ὦ τάλας, ὑφ' οὗ
φονέως ἄρ' ἐξέπνευσας; εἶδες ὡς χρόνῳ
ἔμελλέ σ' Ἕκτωρ καὶ θανὼν ἀποφθίσειν;
σκέψασθε, πρὸς θεῶν, τὴν τύχην δυοῖν βροτοῖν.
Ἕκτωρ μέν, ᾧ δὴ τοῦδ' ἐδωρήθη πάρα,
ζωστῆρι πρισθεὶς ἱππικῶν ἐξ ἀντύγων

920 *βαστάσει] βαστάσῃ 921. ἀκμαῖος] ἀκμαῖ' ἂν Wakefieldus. 923. οἵως] οἷος pr. οἷος ὢν οἵων κυρεῖς Nauckius. 926. ὧδ' addidit Erfurdtius. *ἐξανύσειν] ἐξανύσσειν 933. σὺν] σὺμ pr. 936. Quattuor quae exciderunt syllabas alii aliter supplent. χρυσοδέτων Musgravius. ἔκειτ' ἀγὼν] ἔκειθ' ἀγὼν (ου superscr.) Wunderus. 941. ἀρτίως] ἀρτίως, ου fortasse a m. pr. 945. *ἐφεστᾶσι] ἐφεστᾶσιν 946. *ὤμοι] ὤιμοι cum γρ. ἰώ μοι ab S. 956. πολύτλας Porsonus] ὁ πολύτλας 957. τοῖσδε Elmsleius] τοῖς 959. *βασιλῆς] βασιλῆες 961. οἱ δ' Berglerus] οἵδ' 964. τἀγαθὸν] *τἀγάθ' ἐν 966.—968. Versus spurios seclusit D. 969. τί] πῶς a m. rec.

986. δῆτ' αὐτὸν ἄξεις δεῦρο] δεῦρ' αὐτὸν ἄξεις δῆτα Elmsleius. 988. ἐχθροῖσι Herwerdenus] θανοῦσι 994. πασῶν] ἁπασῶν pr., sed ἁ eraso. 1008. με addidit Kusterus. θ' ἅμα] τ' ἴσως pr., librario ad versum proximum aberrante. 1009. ἴσως] ἰδὼν Hermannus. 1011. εὐτυχοῦντι] ι in litura duarum literarum. ἵλεων (quod est etiam in apographis antiquioribus)] ἥδιον a m. seculi 15. quae correctoris recentis coniectura est. 1019. ἀπορριφθήσομαι] θ erasum. 1022. ὠφελήσιμα Iohnsonus] ὠφελήσιμοι 1024. *πῶς σ'] σ' om. 1029. τοῦδ'] τοῦτ' pr., τοῦδ' a m. rec. cum apographis.

ἐκνάπτετ᾽ αἰὲν, ἕς τ᾽ ἀπέψυξεν βίον·
οὗτος δ᾽ ἐκείνου τήνδε δωρεὰν ἔχων
πρὸς τοῦδ᾽ ὄλωλε θανασίμῳ πεσήματι.
ἆρ᾽ οὐκ Ἐρινὺς τοῦτ᾽ ἐχάλκευσε ξίφος
κἀκεῖνον Ἅιδης, δημιουργὸς ἄγριος;
ἐγὼ μὲν οὖν καὶ ταῦτα καὶ τὰ πάντ᾽ ἀεὶ
φάσκοιμ᾽ ἂν ἀνθρώποισι μηχανᾶν θεούς·
ὅτῳ δὲ μὴ τάδ᾽ ἐστὶν ἐν γνώμῃ φίλα,
κεῖνός τ᾽ ἐκεῖνα στεργέτω κἀγὼ τάδε.
ΧΟ. μὴ τεῖνε μακρὰν, ἀλλ᾽ ὅπως κρύψεις τάφῳ
φράζου τὸν ἄνδρα χὤ τι μυθήσει τάχα.
βλέπω γὰρ ἐχθρὸν φῶτα, καὶ τάχ᾽ ἂν κακοῖς
γελῶν ἃ δὴ κακοῦργος ἐξίκοιτ᾽ ἀνήρ.
ΤΕΥ. τίς δ᾽ ἐστὶν ὅντιν᾽ ἄνδρα προσλεύσσεις στρατοῦ;
ΧΟ. Μενέλαος, ᾧ δὴ τόνδε πλοῦν ἐστείλαμεν.
ΤΕΥ. ὁρῶ· μαθεῖν γὰρ ἐγγὺς ὢν οὐ δυσπετής.

ΜΕΝΕΛΑΟΣ.

οὗτος, σὲ φωνῶ τόνδε τὸν νεκρὸν χεροῖν
μὴ συγκομίζειν, ἀλλ᾽ ἐᾶν ὅπως ἔχει.
ΤΕΥ. τίνος χάριν τοσόνδ᾽ ἀνάλωσας λόγον;
ΜΕ. δοκοῦντ᾽ ἐμοὶ, δοκοῦντα δ᾽ ὃς κραίνει στρατοῦ.
ΤΕΥ. οὔκουν ἂν εἴποις ἥντιν᾽ αἰτίαν προθείς;
ΜΕ. ὁθούνεκ᾽ αὐτὸν ἐλπίσαντες οἴκοθεν
ἄγειν Ἀχαιοῖς ξύμμαχόν τε καὶ φίλον,
ἐξηύρομεν ζητοῦντες ἐχθίω Φρυγῶν·
ὅστις στρατῷ ξύμπαντι βουλεύσας φόνον
νύκτωρ ἐπεστράτευσεν, ὡς ἕλοι δόρει·
κεἰ μὴ θεῶν τις τήνδε πεῖραν ἔσβεσεν,
ἡμεῖς μὲν ἂν τήνδ᾽, ἣν ὅδ᾽ εἴληχεν τύχην,
θανόντες ἂν προυκείμεθ᾽ αἰσχίστῳ μόρῳ,
οὗτος δ᾽ ἂν ἔζη. νῦν δ᾽ ἐνήλλαξεν θεὸς
τὴν τοῦδ᾽ ὕβριν πρὸς μῆλα καὶ ποίμνας πεσεῖν.
ὧν οὕνεκ᾽ αὐτὸν οὔτις ἔστ᾽ ἀνὴρ σθένων
τοσοῦτον ὥστε σῶμα τυμβεῦσαι τάφῳ,
ἀλλ᾽ ἀμφὶ χλωρὰν ψάμαθον ἐκβεβλημένος
ὄρνισι φορβὴ παραλίοις γενήσεται.
πρὸς ταῦτα μηδὲν δεινὸν ἐξάρῃς μένος.
εἰ γὰρ βλέποντος μὴ 'δυνήθημεν κρατεῖν,
πάντως θανόντος γ᾽ ἄρξομεν, κἂν μὴ θέλῃς,
χερσὶν παρευθύνοντες. οὐ γὰρ ἔσθ᾽ ὅπου
λόγων ἀκοῦσαι ζῶν ποτ᾽ ἠθέλησ᾽ ἐμῶν.
καίτοι κακοῦ πρὸς ἀνδρὸς ἄνδρα δημότην
μηδὲν δικαιοῦν τῶν ἐφεστώτων κλύειν.
οὐ γάρ ποτ᾽ οὔτ᾽ ἂν ἐν πόλει νόμοι καλῶς
φέροιντ᾽ ἂν, ἔνθα μὴ καθεστήκῃ δέος,
οὔτ᾽ ἂν στρατός γε σωφρόνως ἄρχοιτ᾽ ἔτι
μηδὲν φόβου πρόβλημα μηδ᾽ αἰδοῦς ἔχων.
ἀλλ᾽ ἄνδρα χρὴ, κἂν σῶμα γεννήσῃ μέγα,
δοκεῖν πεσεῖν ἂν κἂν ἀπὸ σμικροῦ κακοῦ.
δέος γὰρ ᾧ πρόσεστιν αἰσχύνη θ᾽ ὁμοῦ,
σωτηρίαν ἔχοντα τόνδ᾽ ἐπίστασο·
ὅπου δ ὑβρίζειν δρᾶν θ᾽ ἃ βούλεται παρῇ,
ταύτην νόμιζε τὴν πόλιν χρόνῳ ποτὲ
ἐξ οὐρίων δραμοῦσαν ἐς βυθὸν πεσεῖν.
ἀλλ᾽ ἑστάτω μοι καὶ δέος τι καίριον,
καὶ μὴ δοκῶμεν δρῶντες ἂν ἡδώμεθα
οὐκ ἀντιτίσειν αὖθις ἂν λυπώμεθα.
ἕρπει παραλλὰξ ταῦτα. πρόσθεν οὗτος ἦν
αἴθων ὑβριστής, νῦν δ᾽ ἐγὼ μέγ᾽ αὖ φρονῶ.
καί σοι προφωνῶ τόνδε μὴ θάπτειν, ὅπως
μὴ τόνδε θάπτων αὐτὸς ἐς ταφὰς πέσῃς.
ΧΟ. Μενέλαε, μὴ γνώμας ὑποστήσας σοφὰς
εἶτ᾽ αὐτὸς ἐν θανοῦσιν ὑβριστὴς γένῃ.
ΤΕΥ. οὐκ ἄν ποτ᾽, ἄνδρες, ἄνδρα θαυμάσαιμ᾽ ἔτι,
ὃς μηδὲν ὢν γοναῖσιν εἶθ᾽ ἁμαρτάνει,
ὅθ᾽ οἱ δοκοῦντες εὐγενεῖς πεφυκέναι
τοιαῦθ᾽ ἁμαρτάνουσιν ἐν λόγοις ἔπη.
ἄγ᾽, εἴπ᾽ ἀπ᾽ ἀρχῆς αὖθις, ἦ σὺ φῂς ἄγειν
τὸν ἄνδρ᾽ Ἀχαιοῖς δεῦρο σύμμαχον λαβών;
οὐκ αὐτὸς ἐξέπλευσεν ὡς αὑτοῦ κρατῶν;
ποῦ σὺ στρατηγεῖς τοῦδε; ποῦ δὲ σοὶ λεὼν
ἔξεστ᾽ ἀνάσσειν ὧν ὅδ᾽ ἦγεν οἴκοθεν;
Σπάρτης ἀνάσσων ἦλθες, οὐχ ἡμῶν κρατῶν.
οὐδ᾽ ἔσθ᾽ ὅπου σοὶ τόνδε κοσμῆσαι πλέον
ἀρχῆς ἔκειτο θεσμὸς ἢ καὶ τῷδε σέ.
[ὕπαρχος ἄλλων δεῦρ᾽ ἔπλευσας, οὐχ ὅλων
στρατηγὸς, ὥστ᾽ Αἴαντος ἡγεῖσθαί ποτε.]
ἀλλ᾽ ὧνπερ ἄρχεις ἄρχε, καὶ τὰ σέμν᾽ ἔπη
κόλαζ᾽ ἐκείνους· τόνδε δ᾽, εἴτε μὴ σὺ φῂς
εἴθ᾽ ἅτερος στρατηγὸς, ἐς ταφὰς ἐγὼ
θήσω δικαίως, οὐ τὸ σὸν δείσας στόμα.
οὐ γάρ τι τῆς σῆς οὕνεκ᾽ ἐστρατεύσατο
γυναικὸς, ὥσπερ οἱ πόνου πολλοῦ πλέῳ,
ἀλλ᾽ οὕνεχ᾽ ὅρκων οἷσιν ἦν ἐνώμοτος,
σοῦ δ᾽ οὐδέν· οὐ γὰρ ἠξίου τοὺς μηδένας.
πρὸς ταῦτα πλείους δεῦρο κήρυκας λαβὼν
καὶ τὸν στρατηγὸν ἧκε, τοῦ δὲ σοῦ ψόφου
οὐκ ἂν στραφείην, ὡς ἂν ᾖς οἷός περ εἶ.
ΧΟ. οὐδ᾽ αὖ τοιαύτην γλῶσσαν ἐν κακοῖς φιλῶ.
τὰ σκληρὰ γάρ τοι, κἂν ὑπέρδικ᾽ ᾖ, δάκνει.
ΜΕ. ὁ τοξότης ἔοικεν οὐ σμικρὸν φρονεῖν.
ΤΕΥ. οὐ γὰρ βάναυσον τὴν τέχνην ἐκτησάμην.
ΜΕ. μέγ᾽ ἄν τι κομπάσειας, ἀσπίδ᾽ εἰ λάβοις.
ΤΕΥ. κἂν ψιλὸς ἀρκέσαιμι σοί γ᾽ ὡπλισμένῳ.
ΜΕ. ἡ γλῶσσά σου τὸν θυμὸν ὡς δεινὸν τρέφει.
ΤΕΥ. ξὺν τῷ δικαίῳ γὰρ μέγ᾽ ἔξεστιν φρονεῖν.
ΜΕ. δίκαια γὰρ τόνδ᾽ εὐτυχεῖν κτείναντά με;
ΤΕΥ. κτείναντα; δεινόν γ᾽ εἶπας, εἰ καὶ ζῇς θανών.
ΜΕ. θεὸς γὰρ ἐκσώζει με, τῷδε δ᾽ οἴχομαι.
ΤΕΥ. μή νυν ἀτίμα θεοὺς θεοῖς σεσωσμένος.
ΜΕ. ἐγὼ γὰρ ἂν ψέξαιμι δαιμόνων νόμους;
ΤΕΥ. εἰ τοὺς θανόντας οὐκ ἐᾷς θάπτειν παρών.
ΜΕ. τούς γ᾽ αὐτὸς αὑτοῦ πολεμίους· οὐ γὰρ καλόν.
ΤΕΥ. ἦ σοὶ γὰρ Αἴας πολέμιος προὔστη ποτέ;
ΜΕ. μισοῦντ᾽ ἐμίσει· καὶ σὺ τοῦτ᾽ ἠπίστασο.
ΤΕΥ. κλέπτης γὰρ αὐτοῦ ψηφοποιὸς ηὑρέθης.
ΜΕ. ἐν τοῖς δικασταῖς, κοὐκ ἐμοί, τόδ᾽ ἐσφάλη.

1031. ἐκνάπτετ᾽] ἐγνάπτετ᾽ a m. rec. 1040. κρύψεις] κρύψῃς pr., κρύψεις a m. rec. 1044. ὅντιν᾽] ὅν ex οὖν, ν᾽ ex σ factum. 1045. ἐστείλαμεν] ἐστειλάμην pr. 1049. *ἀνάλωσας] ἀνήλωσας

ξ

1053. ἄγειν] ἄγειν 1056. ὡς ἕλοι δόρει] γρ. ὡς ἐλοιδόρει ab S. δόρει Hermannus] δορί 1059. θανόντες] λαχόντες Morstadtius. ἂν addidit S. 1061. Secludit Nauckius. 1063. *τοσοῦτον] τοιοῦτον 1070. *λόγων] λόγων τ᾽ 1071. ἄνδρα] ὄντα Reiskius. 1074. καθεστήκῃ] καθεστήκει pr. παρεστήκει Stobaeus Flor. 43, 14. 1075. ἄρχοιτ᾽ rec. ἄχοιτ᾽ pr. ἔχοιτ᾽ vulgo ap. Stobaeum: sed codex Par. A. ἄρχοιτ᾽. 1081. παρῇ] πάρα margo a m. rec. ut v. 1160. παρῇ apud Stobaeum.

1100. *λεὼν] λαὼν 1101. ἦγεν Porsonus. ἡγεῖτ᾽, τ ex σθ facto ut videtur. ἤγαγ᾽ in apographo uno. 1104. ἢ καὶ τῷδε σέ] γρ. εἰ καὶ τοῦδέ σοι ab S. 1105. 1106. Seclusit Schneidewinus. 1113. ἐνώμοτος] ἐπώμοτος pr., ἐνώμοτος a m. multo recentiore. 1118. 1119. choro tribuit Brunckius] 1118. ΜΕ.

κ

1119. τευ 1120. σμικρὸν] σμικρὰ a m. rec. ut apographa multa cum schol. Aristoph. Acharn. 710. et Eustathio p.851,60. 1127. *γ᾽] τ᾽ 1129. ἀτίμα] ἄτιζε Elmsleius. 1132. *αὑτοῦ] αὐτοῦ

ΤΕΥ. πόλλ᾽ ἂν καλῶς λάθρα σὺ κλέψειας κακά.
ΜΕ. τοῦτ᾽ εἰς ἀνίαν τοὔπος ἔρχεταί τινι.
ΤΕΥ. οὐ μᾶλλον, ὡς ἔοικεν, ἢ λυπήσομεν.
ΜΕ. ἕν σοι φράσω· τόνδ᾽ ἐστὶν οὐχὶ θαπτέον.
ΤΕΥ. ἀλλ᾽ ἀντακούσει τοῦτον ὡς τεθάψεται.
ΜΕ. ἤδη ποτ᾽ εἶδον ἄνδρ᾽ ἐγὼ γλώσσῃ θρασὺν
ναύτας ἐφορμήσαντα χειμῶνος τὸ πλεῖν,
ᾧ φθέγμ᾽ ἂν οὐκ ἐνηῦρες, ἡνίκ᾽ ἐν κακῷ
χειμῶνος εἴχετ᾽, ἀλλ᾽ ὑφ᾽ εἵματος κρυφεὶς
πατεῖν παρεῖχε τῷ θέλοντι ναυτίλων.
οὕτω δὲ καὶ σὲ καὶ τὸ σὸν λάβρον στόμα
σμικροῦ νέφους τάχ᾽ ἄν τις ἐκπνεύσας μέγας
χειμὼν κατασβέσειε τὴν πολλὴν βοήν.
ΤΕΥ. ἐγὼ δέ γ᾽ ἄνδρ᾽ ὄπωπα μωρίας πλέων,
ὃς ἐν κακοῖς ὕβριζε τοῖσι τῶν πέλας.
κᾆτ᾽ αὐτὸν εἰσιδών τις ἐμφερὴς ἐμοὶ
ὀργήν θ᾽ ὅμοιος εἶπε τοιοῦτον λόγον,
ὤνθρωπε, μὴ δρᾶ τοὺς τεθνηκότας κακῶς·
εἰ γὰρ ποιήσεις, ἴσθι πημανούμενος.
τοιαῦτ᾽ ἄνολβον ἄνδρ᾽ ἐνουθέτει παρών.
ὁρῶ δέ τοί νιν, κἄστιν, ὡς ἐμοὶ δοκεῖ,
οὐδείς ποτ᾽ ἄλλος ἢ σύ. μῶν ᾐνιξάμην;
ΜΕ. ἄπειμι· καὶ γὰρ αἰσχρὸν, εἰ πύθοιτό τις,
λόγοις κολάζειν ᾧ βιάζεσθαι παρῇ.
ΤΕΥ. ἄφερπέ νυν· κἀμοὶ γὰρ αἴσχιστον κλύειν
ἀνδρὸς ματαίου φλαῦρ᾽ ἔπη μυθουμένου.
ΧΟ. ἔσται μεγάλης ἔριδός τις ἀγών.
ἀλλ᾽ ὡς δύνασαι, Τεῦκρε, ταχύνας
σπεῦσον κοίλην κάπετόν τιν᾽ ἰδεῖν
τῷδ᾽, ἔνθα βροτοῖς τὸν ἀείμνηστον
τάφον εὐρώεντα καθέξει.
ΤΕΥ. καὶ μὴν ἐς αὐτὸν καιρὸν οἵδε πλησίοι
πάρεισιν ἀνδρὸς τοῦδε παῖς τε καὶ γυνή,
τάφον περιστελοῦντε δυστήνου νεκροῦ.
ὦ παῖ, πρόσελθε δεῦρο, καὶ σταθεὶς πέλας
ἱκέτης ἔφαψαι πατρὸς, ὅς σ᾽ ἐγείνατο.
θάκει δὲ προστρόπαιος ἐν χεροῖν ἔχων
κόμας ἐμὰς καὶ τῆσδε καὶ σαυτοῦ τρίτου,
ἱκτήριον θησαυρόν. εἰ δέ τις στρατοῦ
βίᾳ σ᾽ ἀποσπάσειε τοῦδε τοῦ νεκροῦ,
κακὸς κακῶς ἄθαπτος ἐκπέσοι χθονὸς,
γένους ἅπαντος ῥίζαν ἐξημημένος,
αὕτως ὅπωσπερ τόνδ᾽ ἐγὼ τέμνω πλόκον.
ἔχ᾽ αὐτὸν, ὦ παῖ, καὶ φύλασσε, μηδέ σε
κινησάτω τις, ἀλλὰ προσπεσὼν ἔχου.
ὑμεῖς τε μὴ γυναῖκες ἀντ᾽ ἀνδρῶν πέλας
παρέστατ᾽, ἀλλ᾽ ἀρήγετ᾽, ἔς τ᾽ ἐγὼ μολὼν
τάφου μεληθῶ τῷδε, κἂν μηδεὶς ἐᾷ.
ΧΟ. τίς ἄρα νέατος ἐς πότε λήξει πολυπλάγκτων
ἐτέων ἀριθμὸς
τὰν ἄπαυστον αἰὲν ἐμοὶ δορυσσοήτων
μόχθων ἄταν ἐπάγων
ἀν᾽ εὐρώδη Τροΐαν,
δύστανον ὄνειδος Ἑλλάνων;
1185—1191. = 1192—1198.

ὄφελε πρότερον αἰθέρα δῦναι μέγαν ἢ τὸν πο-
λύκοινον Ἅιδαν
κεῖνος ἀνὴρ, ὃς στυγερῶν ἔδειξεν ὅπλων
Ἕλλασιν κοινὸν Ἄρη.
ἰὼ πόνοι πρόπονοι·
κεῖνος γὰρ ἔπερσεν ἀνθρώπους.
ἐκεῖνος οὔτε στεφάνων
οὔτε βαθειᾶν κυλίκων
νεῖμεν ἐμοὶ τέρψιν ὁμιλεῖν,
οὔτε γλυκὺν αὐλῶν ὄτοβον
δύσμορος οὔτ᾽ ἐννυχίαν
τέρψιν ἰαύειν.
ἐρώτων δ᾽ ἐρώτων ἀπέπαυσεν, ὤμοι.
κεῖμαι δ᾽ ἀμέριμνος οὕτως,
ἀεὶ πυκιναῖς δρόσοις
τεγγόμενος κόμας,
λυγρᾶς μνήματα Τροίας.
καὶ πρὶν μὲν ἐξ ἐννυχίου
δείματος ἦν μοι προβολὰ
καὶ βελέων θούριος Αἴας·
νῦν δ᾽ οὗτος ἀνεῖται στυγερῷ
δαίμονι. τίς μοι, τίς ἔτ᾽ οὖν
τέρψις ἐπέσται;
γενοίμαν ἵν᾽ ὑλᾶεν ἔπεστι πόντου
πρόβλημ᾽ ἁλίκλυστον, ἄκραν
ὑπὸ πλάκα Σουνίου,
τὰς ἱερὰς ὅπως
προσείποιμεν Ἀθάνας.
ΤΕΥ. καὶ μὴν ἰδὼν ἔσπευσα τὸν στρατηλάτην
Ἀγαμέμνον᾽ ἡμῖν δεῦρο τόνδ᾽ ὁρμώμενον·
δῆλος δέ μοὖστὶ σκαιὸν ἐκλύσων στόμα.

ΑΓΑΜΕΜΝΩΝ.

σὲ δὴ τὰ δεινὰ ῥήματ᾽ ἀγγέλλουσί μοι
τλῆναι καθ᾽ ἡμῶν ὧδ᾽ ἀνοιμωκτὶ χανεῖν;
σέ τοι, τὸν ἐκ τῆς αἰχμαλωτίδος λέγω,
ἦ που τραφεὶς ἂν μητρὸς εὐγενοῦς ἄπο
ὑψήλ᾽ ἐφώνεις κἀπ᾽ ἄκρων ὡδοιπόρεις,
ὅτ᾽ οὐδὲν ὢν τοῦ μηδὲν ἀντέστης ὕπερ,
κοὔτε στρατηγοὺς οὔτε ναυάρχους μολεῖν
ἡμᾶς Ἀχαιῶν οὔτε σοῦ διωμόσω,
ἀλλ᾽ αὐτὸς ἄρχων, ὡς σὺ φῄς, Αἴας ἔπλει.
ταῦτ᾽ οὐκ ἀκούειν μεγάλα πρὸς δούλων κακά;
ποίου κέκραγας ἀνδρὸς ὧδ᾽ ὑπέρφρονα;
ποῦ βάντος ἢ ποῦ στάντος οὗπερ οὐκ ἐγώ;
οὐκ ἄρ᾽ Ἀχαιοῖς ἄνδρες εἰσὶ πλὴν ὅδε;
πικροὺς ἔοιγμεν τῶν Ἀχιλλείων ὅπλων
ἀγῶνας Ἀργείοισι κηρῦξαι τότε,
εἰ πανταχοῦ φανούμεθ᾽ ἐκ Τεύκρου κακοὶ,
κοὐκ ἀρκέσει ποθ᾽ ὑμὶν οὐδ᾽ ἡσσημένοις
εἴκειν ἃ τοῖς πολλοῖσιν ἤρεσκεν κριταῖς,
ἀλλ᾽ αἰὲν ἡμᾶς ἢ κακοῖς βαλεῖτέ που
1199—1210. = 1211—1222.

---

κ
1137. καλῶς] καλῶς; scripto super κακῶς ab glossatore ἀντὶ τοῦ ἐμπείρως 1141. ἀλλ᾽ ἀντακούσῃ] γρ. σὺ δ᾽ ἀντ᾽ a m. seculi 13. 1144. ἐνεῦρες Hartungius] ἂν εὗρες 1160. παρῇ] πάρα a m. rec., ut v. 1081. παρῇ ap. Stobaeum Flor. 2, 28. ubi duo codices Schowii πάρα. 1179. *αὕτως] αὔτως 1184. μολὼν pr. cum Etym. M. p. 382, 52] μόλω corr. 1185. μεληθῶ Etym. M. (ubi cod. Dorv.
θ
μελη, Vossianus μεληθείς)] μεληθείς 1190. ἀν᾽ εὐρώδη Τροΐαν D.] ἀνὰ τὰν εὐρώδη τροίαν

1192. *ὄφελε] ὤφελε 1197. πόνοι πρόπονοι D.] πόνοι πρόγονοι πόνων 1205. *δ᾽ ἐρώτων] ἐρώτων δ᾽, sine interpunctione post ἰαύειν. 1212. ἐξ addidit D. 1214. ἀνεῖται] ἄγκειται pr., quod correxit m. recentior. στυγερῷ] στυγερῶς pr. 1225. μοὖστὶ Hermannus] μοἰστὶ 1227. *ἀνοιμωκτὶ] ἀνοιμωκτεὶ 1228. *αἰχμαλωτίδος] αἰχμαλώτιδος 1231. ἐφώνεις] ἐφρόνεις pr.: sed ἐφώνεις m. rec. ἐφρόνεις apud Suidam s. v. ὑψηλοτέρας. Apographa alia ἐφρόνεις, alia ἐφώνεις, alia ἐκόμπεις, quod est in scholio Aristoph. Ach. 638. recenti, ut videtur, quod neque in codice Ravennate neque apud Suidam (s. v. πυγιδίων) legitur. 1233. διωμόσω] γρ. διωρίσω ab S. 1236. *κέκραγας] κέκραγες 1238. *ἆρ᾽] ἄρ᾽ 1243. ἤρεσκεν ex ἤρκεσεν factum a m. pr.

ἢ σὺν δόλῳ κεντήσεθ᾽ οἱ λελειμμένοι.
ἐκ τῶνδε μέντοι τῶν τρόπων οὐκ ἄν ποτε
κατάστασις γένοιτ᾽ ἂν οὐδενὸς νόμου,
εἰ τοὺς δίκῃ νικῶντας ἐξωθήσομεν
καὶ τοὺς ὄπισθεν ἐς τὸ πρόσθεν ἄξομεν.
ἀλλ᾽ εἰρκτέον τάδ᾽ ἐστίν· οὐ γὰρ οἱ πλατεῖς
οὐδ᾽ εὐρύνωτοι φῶτες ἀσφαλέστατοι,
ἀλλ᾽ οἱ φρονοῦντες εὖ κρατοῦσι πανταχοῦ.
μέγας δὲ πλευρὰ βοῦς ὑπὸ σμικρᾶς ὅμως
μάστιγος ὀρθὸς εἰς ὁδὸν πορεύεται.
καὶ σοὶ προσέρπον τοῦτ᾽ ἐγὼ τὸ φάρμακον
ὁρῶ τάχ᾽, εἰ μὴ νοῦν κατακτήσει τινά·
ὃς ἀνδρὸς οὐκέτ᾽ ὄντος, ἀλλ᾽ ἤδη σκιᾶς,
θαρσῶν ὑβρίζεις κἀξελευθεροστομεῖς.
οὐ σωφρονήσεις; οὐ μαθὼν ὃς εἶ φύσιν
ἄλλον τιν᾽ ἄξεις ἄνδρα δεῦρ᾽ ἐλεύθερον,
ὅστις πρὸς ἡμᾶς ἀντὶ σοῦ λέξει τὰ σά;
σοῦ γὰρ λέγοντος οὐκέτ᾽ ἂν μάθοιμ᾽ ἐγώ·
τὴν βάρβαρον γὰρ γλῶσσαν οὐκ ἐπαΐω.
ΧΟ. εἴθ᾽ ὑμὶν ἀμφοῖν νοῦς γένοιτο σωφρονεῖν·
τούτου γὰρ οὐδὲν σφῷν ἔχω λῷον φράσαι.
ΤΕΥ. φεῦ, τοῦ θανόντος ὡς ταχεῖά τις βροτοῖς
χάρις διαρρεῖ καὶ προδοῦσ᾽ ἁλίσκεται,
εἰ σοῦ γ᾽ ὅδ᾽ ἀνὴρ οὐδ᾽ ἐπὶ σμικρῶν λόγων,
Αἴας, ἔτ᾽ ἴσχει μνῆστιν, οὗ σὺ πολλάκις
τὴν σὴν προτείνων προύκαμες ψυχὴν δόρει·
ἀλλ᾽ οἴχεται δὴ πάντα ταῦτ᾽ ἐρριμμένα.
ὦ πολλὰ λέξας ἄρτι κἀνόητ᾽ ἔπη,
οὐ μνημονεύεις οὐκέτ᾽ οὐδέν, ἡνίκα
ἑρκέων ποθ᾽ ὑμᾶς οὗτος ἐγκεκλῃμενους,
ἤδη τὸ μηδὲν ὄντας, ἐν τροπῇ δορὸς
ἐρρύσατ᾽ ἐλθὼν μοῦνος, ἀμφὶ μὲν νεῶν
ἄκροισιν ἤδη ναυτικοῖς θ᾽ ἑδωλίοις
πυρὸς φλέγοντος, ἐς δὲ ναυτικὰ σκάφη
πηδῶντος ἄρδην Ἕκτορος τάφρων ὕπερ;
τίς ταῦτ᾽ ἀπεῖρξεν; οὐχ ὅδ᾽ ἦν ὁ δρῶν τάδε
ὃν οὐδαμοῦ φῂς οὐδὲ συμβῆναι ποδί;
ἆρ᾽ ὑμὶν οὗτος ταῦτ᾽ ἔδρασεν ἔνδικα;
χὤτ᾽ αὖθις αὐτὸς Ἕκτορος μόνος μόνου
λαχών τε κἀκέλευστος ἦλθ᾽ ἐναντίος,
οὐ δραπέτην τὸν κλῆρον ἐς μέσον καθείς,
ὑγρᾶς ἀρούρας βῶλον, ἀλλ᾽ ὃς εὐλόφου
κυνῆς ἔμελλε πρῶτος ἅλμα κουφιεῖν;
ὅδ᾽ ἦν ὁ πράσσων ταῦτα, σὺν δ᾽ ἐγὼ παρών,
ὁ δοῦλος, οὑκ τῆς βαρβάρου μητρὸς γεγώς.
δύστηνε, ποῖ βλέπων ποτ᾽ αὐτὰ καὶ θροεῖς;
οὐκ οἶσθα σοῦ πατρὸς μὲν ὃς προὔφυ πατὴρ
ἀρχαῖον ὄντα Πέλοπα βάρβαρον Φρύγα;
Ἀτρέα δ᾽, ὃς αὖ σ᾽ ἔσπειρε δυσσεβέστατον,
προθέντ᾽ ἀδελφῷ δεῖπνον οἰκείων τέκνων;
αὐτὸς δὲ μητρὸς ἐξέφυς Κρήσσης, ἐφ᾽ ᾗ
λαβὼν ἐπακτὸν ἄνδρ᾽ ὁ φιτύσας πατὴρ
ἐφῆκεν ἐλλοῖς ἰχθύσιν διαφθοράν.
τοιοῦτος ὢν τοιῷδ᾽ ὀνειδίζεις σποράν;
ὃς ἐκ πατρὸς μέν εἰμι Τελαμῶνος γεγώς,
ὅστις στρατοῦ τὰ πρῶτ᾽ ἀριστεύσας ἐμὴν
ἴσχει ξύνευνον μητέρ᾽, ἣ φύσει μὲν ἦν
βασίλεια, Λαομέδοντος· ἔκκριτον δέ νιν
δώρημ᾽ ἐκείνῳ ᾽δωκεν Ἀλκμήνης γόνος.
ἆρ᾽ ὧδ᾽ ἄριστος ἐξ ἀριστέοιν δυοῖν
βλαστὼν ἂν αἰσχύνοιμι τοὺς πρὸς αἵματος,
οὓς νῦν σὺ τοιοῖσδ᾽ ἐν πόνοισι κειμένους
ὠθεῖς ἀθάπτους, οὐδ᾽ ἐπαισχύνει λέγων;
εὖ νυν τόδ᾽ ἴσθι, τοῦτον εἰ βαλεῖτέ που,
βαλεῖτε χἠμᾶς τρεῖς ὁμοῦ συγκειμένους.
ἐπεὶ καλόν μοι τοῦδ᾽ ὑπερπονουμένῳ
θανεῖν προδήλως μᾶλλον ἢ τῆς σῆς ὑπὲρ
γυναικός, ἢ τοῦ σοῦ ξυναίμονος λέγω;
πρὸς ταῦθ᾽ ὅρα μὴ τοὐμόν, ἀλλὰ καὶ τὸ σόν.
ὡς εἴ με πημανεῖς τι, βουλήσει ποτὲ
καὶ δειλὸς εἶναι μᾶλλον ἢ ᾽ν ἐμοὶ θρασύς.
ΧΟ. ἄναξ Ὀδυσσεῦ, καιρὸν ἴσθ᾽ ἐληλυθώς,
εἰ μὴ ξυνάψων, ἀλλὰ συλλύσων πάρει.
ΟΔ. τί δ᾽ ἔστιν, ἄνδρες; τηλόθεν γὰρ ᾐσθόμην
βοὴν Ἀτρειδῶν τῷδ᾽ ἐπ᾽ ἀλκίμῳ νεκρῷ.
ΑΓ. οὐ γὰρ κλυόντες ἐσμὲν αἰσχίστους λόγους,
ἄναξ Ὀδυσσεῦ, τοῦδ᾽ ὑπ᾽ ἀνδρὸς ἀρτίως;
ΟΔ. ποίους; ἐγὼ γὰρ ἀνδρὶ συγγνώμην ἔχω
κλύοντι φλαῦρα συμβαλεῖν ἔπη κακά.
ΑΓ. ἤκουσεν αἰσχρά· δρῶν γὰρ ἦν τοιαῦτά με.
ΟΔ. τί γάρ σ᾽ ἔδρασεν, ὥστε καὶ βλάβην ἔχειν;
ΑΓ. οὔ φησ᾽ ἐάσειν τόνδε τὸν νεκρὸν ταφῆς
ἄμοιρον, ἀλλὰ πρὸς βίαν θάψειν ἐμοῦ.
ΟΔ. ἔξεστιν οὖν εἰπόντι τἀληθῆ φίλῳ
σοὶ μηδὲν ἧσσον ἢ πάρος ξυνηρετεῖν;
ΑΓ. εἴπ᾽· ἦ γὰρ εἴην οὐκ ἂν εὖ φρονῶν, ἐπεὶ
φίλον σ᾽ ἐγὼ μέγιστον Ἀργείων νέμω.
ΟΔ. ἄκουέ νυν. τὸν ἄνδρα τόνδε πρὸς θεῶν
μὴ τλῇς ἄθαπτον ὧδ᾽ ἀναλγήτως βαλεῖν,
μηδ᾽ ἡ βία σε μηδαμῶς νικησάτω
τοσόνδε μισεῖν ὥστε τὴν δίκην πατεῖν.
κἀμοὶ γὰρ ἦν ποθ᾽ οὗτος ἔχθιστος στρατοῦ,
ἐξ οὗ ᾽κράτησα τῶν Ἀχιλλείων ὅπλων,
ἀλλ᾽ αὐτὸν ἔμπας ὄντ᾽ ἐγὼ τοιόνδ᾽ ἐμοὶ
οὐκ ἀντατιμάσαιμ᾽ ἄν, ὥστε μὴ λέγειν
ἕν᾽ ἄνδρ᾽ ἰδεῖν ἄριστον Ἀργείων, ὅσοι
Τροίαν ἀφικόμεσθα, πλὴν Ἀχιλλέως.
ὥστ᾽ οὐκ ἂν ἐνδίκως γ᾽ ἀτιμάζοιτό σοι·
οὐ γάρ τι τοῦτον, ἀλλὰ τοὺς θεῶν νόμους
φθείροις ἄν. ἄνδρα δ᾽ οὐ δίκαιον, εἰ θάνοι,
βλάπτειν τὸν ἐσθλόν, οὐδ᾽ ἐὰν μισῶν κυρῇς.
ΑΓ. σὺ ταῦτ᾽, Ὀδυσσεῦ, τοῦδ᾽ ὑπερμαχεῖς ἐμοί;
ΟΔ. ἔγωγ᾽· ἐμίσουν δ᾽, ἡνίκ᾽ ἦν μισεῖν καλόν.
ΑΓ. οὐ γὰρ θανόντι καὶ προσεμβῆναί σε χρή;
ΟΔ. μὴ χαῖρ᾽, Ἀτρείδη, κέρδεσιν τοῖς μὴ καλοῖς.
ΑΓ. τόν τοι τύραννον εὐσεβεῖν οὐ ῥᾴδιον.
ΟΔ. ἀλλ᾽ εὖ λέγουσι τοῖς φίλοις τιμὰς νέμειν.
ΑΓ. κλύειν τὸν ἐσθλὸν ἄνδρα χρὴ τῶν ἐν τέλει.
ΟΔ. παῦσαι· κρατεῖς τοι τῶν φίλων νικώμενος.
ΑΓ. μέμνησ᾽ ὁποίῳ φωτὶ τὴν χάριν δίδως.
ΟΔ. ὅδ᾽ ἐχθρὸς ἀνήρ, ἀλλὰ γενναῖός ποτ᾽ ἦν.
ΑΓ. τί ποτε ποιήσεις; ἐχθρὸν ὧδ᾽ αἰδεῖ νέκυν;

---

1253. πλευρὰ] πλευρὰν ab S. 1270. δόρει D.]
νη
δορί 1272. κἀνόητ᾽] κἀνόητ᾽, νη a m. rec.
1274. ἐγκεκλῃμένους Elmsleius] ἐγκεκλειμένους
1276. μοῦνος ab S illatum. 1277. θ᾽ addidit Bothius.
1278. ἐς D.] εἰς 1284. ἐναντίος] οσ in litura.
ὀσ
1290. *αὐτὰ] αὐτῶ, ὀσ a m. ant. 1296. *φιτύσας]
φυτεύσας πατὴρ] σ᾽ ἀνὴρ vel σ᾽ Ἀτρεὺς Hermannus.

1303. δώρημ᾽ ἐκείνῳ Brunckius] δώρημα κείνῳ *᾽δωκεν] δῶκεν 1304. ἀριστέοιν] ἀριστέων pr., sed in ἀριστέοιν mutatum a pr. m. 1305. *βλαστὼν] βλαστῶν 1309. συγκειμένους] γρ. συνεμπόρους ab S. 1310. ὑπερπονουμένῳ] γρ. πονουμένους ab S. 1311. *ὑπὲρ] ὕπερ 1312. τοῦ σοῦ] τῆς σοῦ D. ξυναίμονος D.] θ᾽ ὁμαίμονος 1325. σ᾽ addidit S. 1329. ξυνηρετεῖν Lobeckius] ξυνηρεμεῖν, in ξυνηρετμεῖν mutatum ab S. 1339. οὐκ ἀντατιμάσαιμ᾽ Bothius] οὐκ ἂν (οὔκουν a m. ant.) ἀτιμάσαιμ᾽

ΟΔ. νικᾷ γὰρ ἀρετή με τῆς ἔχθρας πολύ.
ΑΓ. τοιοίδε μέντοι φῶτες ἔμπληκτοι βροτῶν.
ΟΔ. ἦ κάρτα πολλοὶ νῦν φίλοι καῦθις πικροί.
ΑΓ. τοιούσδ᾽ ἐπαινεῖς δῆτα σὺ κτᾶσθαι φίλους;
ΟΔ. σκληρὰν ἐπαινεῖν οὐ φιλῶ ψυχὴν ἐγώ.
ΑΓ. ἡμᾶς σὺ δειλοὺς τῇδε θἠμέρᾳ φανεῖς.
ΟΔ. ἄνδρας μὲν οὖν Ἕλλησι πᾶσιν ἐνδίκους.
ΑΓ. ἄνωγας οὖν με τὸν νεκρὸν θάπτειν ἐᾶν;
ΟΔ. ἔγωγε· καὶ γὰρ αὐτὸς ἐνθάδ᾽ ἵξομαι.
ΑΓ. ἦ πάνθ᾽ ὅμοια· πᾶς ἀνὴρ αὑτῷ πονεῖ.
ΟΔ. τῷ γάρ με μᾶλλον εἰκὸς ἢ ᾽μαυτῷ πονεῖν;
ΑΓ. σὸν ἆρα τοὔργον, οὐκ ἐμὸν κεκλήσεται.
ΟΔ. ὡς ἂν ποιήσῃς, πανταχῇ χρηστός γ᾽ ἔσει.
ΑΓ. ἀλλ᾽ εὖ γε μέντοι τοῦτ᾽ ἐπίστασ᾽, ὡς ἐγὼ
σοὶ μὲν νέμοιμ᾽ ἂν τῆσδε καὶ μείζω χάριν,
οὗτος δὲ κἀκεῖ κἀνθάδ᾽ ὢν ἔμοιγ᾽ ὁμῶς
ἔχθιστος ἔσται. σοὶ δὲ δρᾶν ἔξεσθ᾽ ἃ χρῇς.
ΧΟ. ὅστις σ᾽, Ὀδυσσεῦ, μὴ λέγει γνώμῃ σοφὸν
φῦναι, τοιοῦτον ὄντα, μῶρός ἐστ᾽ ἀνήρ.
ΟΔ. καὶ νῦν γε Τεύκρῳ τἀπὸ τοῦδ᾽ ἀγγέλλομαι
ὅσον τότ᾽ ἐχθρὸς ἦ, τοσόνδ᾽ εἶναι φίλος.
καὶ τὸν θανόντα τόνδε συνθάπτειν θέλω,
καὶ ξυμπονεῖν καὶ μηδὲν ἐλλείπειν ὅσων
χρὴ τοῖς ἀρίστοις ἀνδράσιν πονεῖν βροτούς.
ΤΕΥ. ἄριστ᾽ Ὀδυσσεῦ, πάντ᾽ ἔχω σ᾽ ἐπαινέσαι
λόγοισι· καί μ᾽ ἔψευσας ἐλπίδος πολύ.
τούτῳ γὰρ ὢν ἔχθιστος Ἀργείων ἀνὴρ
μόνος παρέστης χερσίν, οὐδ᾽ ἔτλης παρὼν
θανόντι τῷδε ζῶν ἐφυβρίσαι μέγα,
ὡς ὁ στρατηγὸς οὑπιβρόντητος μολὼν,
αὐτός τε χὠ ξύναιμος ἠθελησάτην
λωβητὸν αὐτὸν ἐκβαλεῖν ταφῆς ἄτερ.
τοιγάρ σφ᾽ Ὀλύμπου τοῦδ᾽ ὁ πρεσβεύων πατὴρ
μνήμων τ᾽ Ἐρινὺς καὶ τελεσφόρος Δίκη
κακοὺς κακῶς φθείρειαν, ὥσπερ ἤθελον
τὸν ἄνδρα λώβαις ἐκβαλεῖν ἀναξίως.
σὲ δ᾽, ὦ γεραιοῦ σπέρμα Λαέρτου πατρὸς,
τάφου μὲν ὀκνῶ τοῦδ᾽ ἐπιψαύειν ἐᾶν,
μὴ τῷ θανόντι τοῦτο δυσχερὲς ποιῶ·
τὰ δ᾽ ἄλλα καὶ ξύμπρασσε, κεἴ τινα στρατοῦ
θέλεις κομίζειν, οὐδὲν ἄλγος ἕξομεν.
ἐγὼ δὲ τἄλλα πάντα πορσυνῶ· σὺ δὲ
ἀνὴρ καθ᾽ ἡμᾶς ἐσθλὸς ὢν ἐπίστασο.
ΟΔ. ἀλλ᾽ ἤθελον μέν· εἰ δὲ μή ᾽στί σοι φίλον
πράσσειν τάδ᾽ ἡμᾶς, εἶμ᾽, ἐπαινέσας τὸ σόν.
ΤΕΥ. ἅλις· ἤδη γὰρ πολὺς ἐκτέταται
χρόνος. ἀλλ᾽ οἱ μὲν κοίλην κάπετον
χερσὶ ταχύνατε, τοὶ δ᾽ ὑψίβατον
τρίποδ᾽ ἀμφίπυρον λουτρῶν ὁσίων
θέσθ᾽ ἐπίκαιρον·
μία δ᾽ ἐκ κλισίας ἀνδρῶν ἴλη
τὸν ὑπασπίδιον κόσμον φερέτω.
παῖ, σὺ δὲ πατρός γ᾽ ὅσον ἰσχύεις
φιλότητι θιγὼν πλευρὰς σὺν ἐμοὶ
τάσδ᾽ ἐπικούφιζ᾽· ἔτι γὰρ θερμαὶ
σύριγγες ἄνω φυσῶσι μέλαν
μένος. ἀλλ᾽ ἄγε πᾶς, φίλος ὅστις ἀνὴρ
φησὶ παρεῖναι, σούσθω, βάτω,
τῷδ᾽ ἀνδρὶ πονῶν τῷ πάντ᾽ ἀγαθῷ
κοὐδενί πω λῴονι θνητῶν.
ΧΟ. ἦ πολλὰ βροτοῖς ἔστιν ἰδοῦσιν
γνῶναι· πρὶν ἰδεῖν δ᾽ οὐδεὶς μάντις
τῶν μελλόντων ὅ τι πράξει.

1417. Αἴαντος, ὅτ᾽ ἦν, τότε φωνῶ.

---

1357. ἀρετή] ἡ ᾽ρετή factum ex ἡ ἀρετή, ut ap. Stobaeum scriptum Flor. 19, 10. et Eustathium
οἷς
locis pluribus. 1358. βροτῶν] βροτῶν, οἷς a m. recentissima. 1360. δῆτα] δὴ pr., δῆτα m. recentior. 1366. ὅμοια] ὁμοῖα rec. Post ὅμοια interpungendum esse unus ex scholiastis intellexit. 1368. *ἆρα] ἄρα 1369. ὡς] ὅσσ᾽ pr. ποιήσῃς] ποιήσεις pr., ποιήσῃς m. ant. γ᾽ ἔσει] γ᾽ om. pr., addidit m. ant. φανεῖ Nauckius. 1372. ὁμῶς] ὅμως pr., ὁμῶς rec. 1373. χρῇς D.] χρή 1374. σ᾽ addidit m. ant. 1377. ἦ Elmsleius] ἦν φίλος] φί-
ωι
λον pr. 1379. ὅσων Porsonus] ὅσον, ωι a m. antiquissima.

1395. ποιῶ] Litera ι erasa, ut passim in codice ποεῖν pro ποιεῖν scriptum. 1396. ξύμπρασσε Brunckius] ξύμπραττε 1398. τἄλλα] ταῦτα Schneidewinus. 1404. *ταχύνατε] ταχύνετε 1417. Versum spurium Αἴαντος — φωνῶ delevit D.

# ΣΟΦΟΚΛΕΟΥΣ ΑΝΤΙΓΟΝΗ.

## ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

| | |
|---|---|
| ΑΝΤΙΓΟΝΗ. | ΑΙΜΩΝ. |
| ΙΣΜΗΝΗ. | ΤΕΙΡΕΣΙΑΣ. |
| ΧΟΡΟΣ ΘΗΒΑΙΩΝ ΓΕΡΟΝΤΩΝ. | ΑΓΓΕΛΟΣ. |
| ΚΡΕΩΝ. | ΕΥΡΥΔΙΚΗ. |
| ΦΥΛΑΞ. | ΕΞΑΓΓΕΛΟΣ. |

## ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΓΡΑΜΜΑΤΙΚΟΥ.

Ἀντιγόνη παρὰ τὴν πρόσταξιν τῆς πόλεως θάψασα τὸν Πολυνείκην ἐφωράθη, καὶ εἰς μνημεῖον κατάγειον ἐντεθεῖσα παρὰ τοῦ Κρέοντος ἀνῄρηται· ἐφ᾽ ᾗ καὶ Αἵμων δυσπαθήσας διὰ τὸν εἰς αὐτὴν ἔρωτα ξίφει ἑαυτὸν διεχειρίσατο. ἐπὶ δὲ τῷ τούτου θανάτῳ καὶ ἡ μήτηρ Εὐρυδίκη ἑαυτὴν ἀνεῖλε.

Κεῖται ἡ μυθοποιία καὶ παρ᾽ Εὐριπίδῃ ἐν Ἀντιγόνῃ· πλὴν ἐκεῖ φωραθεῖσα μετὰ τοῦ Αἵμονος δίδοται πρὸς γάμου κοινωνίαν καὶ τέκνον τίκτει τὸν Αἵμονα[a].

Ἡ μὲν σκηνὴ τοῦ δράματος ὑπόκειται ἐν Θήβαις ταῖς Βοιωτικαῖς· ὁ δὲ χορὸς συνέστηκεν ἐξ ἐπιχωρίων γερόντων· προλογίζει δὲ ἡ Ἀντιγόνη· ὑπόκειται δὲ τὰ πράγματα ἐπὶ τῶν Κρέοντος βασιλείων. τὸ δὲ κεφάλαιόν ἐστι τάφος Πολυνείκους, Ἀντιγόνης ἀναίρεσις, θάνατος Αἵμονος, καὶ μόρος Εὐρυδίκης τῆς Αἵμονος μητρός. φασὶ δὲ τὸν Σοφοκλέα ἠξιῶσθαι τῆς ἐν Σάμῳ στρατηγίας εὐδοκιμήσαντα ἐν τῇ διδασκαλίᾳ τῆς Ἀντιγόνης. λέλεκται δὲ τὸ δρᾶμα τοῦτο τριακοστὸν δεύτερον.

## ΣΑΛΟΥΣΤΙΟΥ.

Τὸ μὲν δρᾶμα τῶν καλλίστων Σοφοκλέους. στασιάζεται δὲ τὰ περὶ τὴν ἡρωΐδα ἱστορούμενα καὶ τὴν ἀδελφὴν αὐτῆς Ἰσμήνην. ὁ μὲν γὰρ Ἴων ἐν τοῖς διθυράμβοις καταπρησθῆναί φησιν ἀμφοτέρας ἐν τῷ ἱερῷ τῆς Ἥρας ὑπὸ Λαοδάμαντος τοῦ Ἐτεοκλέους· Μίμνερμος δέ φησι τὴν μὲν Ἰσμήνην προσομιλοῦσαν Θεοκλυμένῳ ὑπὸ Τυδέως κατὰ Ἀθηνᾶς ἐγκέλευσιν τελευτῆσαι.

Ταῦτα μὲν οὖν ἐστι τὰ ξένως περὶ τῶν ἡρωΐδων ἱστορούμενα. ἡ μέντοι κοινὴ δόξα σπουδαίας αὐτὰς ὑπείληφεν καὶ φιλαδέλφους δαιμονίως, ᾗ καὶ οἱ τῆς τραγῳδίας ποιηταὶ

[a] Αἵμονα] Sic L. In margine ab alia manu antiqua μαίδον, ex quo μαίμονα factum in apographis. Μαίονα Nauckius de Aristoph. Byzantio p. 257.

ἑπόμενοι τὰ περὶ αὐτὰς διατέθειναι. [τὸ δὲ δρᾶμα τὴν ὀνομασίαν ἔσχεν ἀπὸ τῆς παρεχούσης τὴν ὑπόθεσιν Ἀντιγόνης.] ὑπόκειται δὲ ἄταφον τὸ σῶμα Πολυνείκους, καὶ Ἀντιγόνη θάπτειν αὐτὸ πειρωμένη παρὰ τοῦ Κρέοντος κωλύεται· φωραθεῖσα δὲ αὐτὴ θάπτουσα ἀπόλλυται. Αἵμων τε ὁ Κρέοντος ἐρῶν αὐτῆς καὶ ἀφορήτως ἔχων ἐπὶ τῇ τοιαύτῃ συμφορᾷ αὑτὸν διαχειρίζεται· ἐφ᾽ ᾧ καὶ ἡ μήτηρ Εὐρυδίκη τελευτᾷ τὸν βίον ἀγχόνῃ.

---

## ΥΠΟΘΕΣΙΣ.

Ἀποθανόντα Πολυνείκη ἐν τῷ πρὸς τὸν ἀδελφὸν μονομαχίῳ Κρέων ἄταφον ἐκβαλὼν κηρύττει μηδένα αὐτὸν θάπτειν, θάνατον τὴν ζημίαν ἀπειλήσας. τοῦτον Ἀντιγόνη ἡ ἀδελφὴ θάπτειν πειρᾶται. καὶ δὴ λαθοῦσα τοὺς φύλακας ἐπιβάλλει χῶμα· οἷς ἐπαπειλεῖ θάνατον ὁ Κρέων, εἰ μὴ τὸν τοῦτο δράσαντα ἐξεύροιεν. οὗτοι τὴν κόνιν τὴν ἐπιβεβλημένην καθαίροντες οὐδὲν ἧττον ἐφρούρουν. ἐπελθοῦσα δὲ ἡ Ἀντιγόνη καὶ γυμνὸν εὑροῦσα τὸν νεκρὸν ἀνοιμώξασα ἑαυτὴν εἰσαγγέλλει. ταύτην ὑπὸ τῶν φυλάκων παραδεδομένην Κρέων καταδικάζει καὶ ζῶσαν εἰς τύμβον καθεῖρξεν. ἐπὶ τούτοις Αἵμων, ὁ Κρέοντος υἱός, ὃς ἐμνᾶτο αὐτὴν, ἀγανακτήσας ἑαυτὸν προσεπισφάζει τῇ κόρῃ ἀπολομένῃ ἀγχόνῃ, Τειρεσίου τοῦτο προθεσπίσαντος· ἐφ᾽ ᾧ λυπηθεῖσα Εὐρυδίκη, ἡ τοῦ Κρέοντος γαμετὴ, ἑαυτὴν ἀποσφάζει. καὶ τέλος θρηνεῖ Κρέων τὸν τοῦ παιδὸς καὶ τῆς γαμετῆς θάνατον.

---

ΑΝΤΙΓΟΝΗ.

Ὦ κοινὸν αὐτάδελφον Ἰσμήνης κάρα,
ἆρ᾽ οἶσθ᾽ ὅ τι Ζεὺς τῶν ἀπ᾽ Οἰδίπου κακῶν
ἐλλεῖπον οὐχὶ νῷν ἔτι ζώσαιν τελεῖ;
οὐδὲν γὰρ οὔτ᾽ ἀλγεινὸν οὔτ᾽ ἀτήσιμον
οὔτ᾽ αἰσχρὸν οὔτ᾽ ἄτιμόν ἐσθ᾽, ὁποῖον οὐ
τῶν σῶν τε κἀμῶν οὐκ ὄπωπ᾽ ἐγὼ κακῶν.
καὶ νῦν τί τοῦτ᾽ αὖ φασι πανδήμῳ πόλει
κήρυγμα θεῖναι τὸν στρατηγὸν ἀρτίως;
ἔχεις τι κεἰσήκουσας; ἤ σε λανθάνει
πρὸς τοὺς φίλους στείχοντα τῶν ἐχθρῶν κακά;

ΙΣΜΗΝΗ.

ἐμοὶ μὲν οὐδεὶς μῦθος, Ἀντιγόνη, φίλων
οὔθ᾽ ἡδὺς οὔτ᾽ ἀλγεινὸς ἵκετ᾽ ἐξ ὅτου
δυοῖν ἀδελφοῖν ἐστερήθημεν δύο,
μιᾷ θανόντων ἡμέρᾳ διπλῇ χερί·
ἐπεὶ δὲ φροῦδός ἐστιν Ἀργείων στρατὸς
ἐν νυκτὶ τῇ νῦν, οὐδὲν οἶδ᾽ ὑπέρτερον,
οὔτ᾽ εὐτυχοῦσα μᾶλλον οὔτ᾽ ἀτωμένη.

ΑΝ. ᾔδη καλῶς, καί σ᾽ ἐκτὸς αὐλείων πυλῶν
τοῦδ᾽ οὕνεκ᾽ ἐξέπεμπον, ὡς μόνη κλύοις.
ΙΣ. τί δ᾽ ἔστι; δηλοῖς γάρ τι καλχαίνουσ᾽ ἔπος.
ΑΝ. οὐ γὰρ τάφου νῷν τὼ κασιγνήτω Κρέων
τὸν μὲν προτίσας, τὸν δ᾽ ἀτιμάσας ἔχει;
Ἐτεοκλέα μὲν, ὡς νόμος, κατὰ χθονὸς
ἔκρυψε τοῖς ἔνερθεν ἔντιμον νεκροῖς,
τὸν δ᾽ ἀθλίως θανόντα Πολυνείκους νέκυν
ἀστοῖσί φασιν ἐκκεκηρῦχθαι τὸ μὴ
τάφῳ καλύψαι μηδὲ κωκῦσαί τινα,
ἐᾶν δ᾽ ἄκλαυτον ἄταφον οἰωνοῖς γλυκὺν
θησαυρὸν εἰσορμῶσι πρὸς χάριν βορᾶς.
τοιαῦτά φασι τὸν ἀγαθὸν Κρέοντα σοὶ
κἀμοὶ, λέγω γὰρ κἀμὲ, κηρύξαντ᾽ ἔχειν,
καὶ δεῦρο νεῖσθαι ταῦτα τοῖσι μὴ εἰδόσιν
σαφῆ προκηρύξοντα, καὶ τὸ πρᾶγμ᾽ ἄγειν
οὐχ ὡς παρ᾽ οὐδὲν, ἀλλ᾽ ὃς ἂν τούτων τι δρᾷ,
φόνον προκεῖσθαι δημόλευστον ἐν πόλει.
οὕτως ἔχει σοι ταῦτα, καὶ δείξεις τάχα
εἴτ᾽ εὐγενὴς πέφυκας εἴτ᾽ ἐσθλῶν κακή.
ΙΣ. τί δ᾽, ὦ ταλαῖφρον, εἰ τάδ᾽ ἐν τούτοις, ἐγὼ
λύουσ᾽ ἂν ἢ 'φάπτουσα προσθείμην πλέον;
ΑΝ. εἰ ξυμπονήσεις καὶ ξυνεργάσει σκόπει.
ΙΣ. ποῖόν τι κινδύνευμα; ποῦ γνώμης ποτ᾽ εἶ;
ΑΝ. εἰ τὸν νεκρὸν ξὺν τῇδε κουφιεῖς χερί.
ΙΣ. ἦ γὰρ νοεῖς θάπτειν σφ᾽, ἀπόρρητον πόλει;
ΑΝ. τὸν γοῦν ἐμὸν καὶ τὸν σὸν, ἢν σὺ μὴ θέλῃς.

46. ἀδελφόν· οὐ γὰρ δὴ προδοῦσ᾽ ἁλώσομαι.

---

2. οἶσθ᾽] ἔσθ᾽ D. ὅ τι] ὅ, τι cum diastole ab alia manu antiqua. 3. ἐλλεῖπον D.] ὁποῖον 4. ἀτήσιμον D.] ἄτης ἄτερ 5. οὐ] οὐχὶ, eraso χὶ, quod librarius scripserat ad ὁποῖον οὐχὶ v. 3. aberrans. 13. δύο] δύω, ο ab alia m. 15. ἀργείων, ῖος ab alia m. 18. ᾔδη Piersonus (quod legit scholiasta, qui annotavit ἀντὶ τοῦ ᾔδεα)] ἤιδειν. Conf. ad v. 448. 460. 23. ὡς νόμος (hoc etiam Kayserus), κατὰ χθονὸς D.] ὡς λέγουσι σὺν δίκῃ | χρησθεὶς δικαίᾳ καὶ νόμῳ κατὰ χθονὸς

29. *ἄκλαυτον ἄταφον] ἄταφον ἄκλαυτον 30. εἰσορμῶσι vir doctus apud Burtonum] εἰσορῶσι 31. Κρέοντα σοὶ Schaeferus] κρέοντά σοι 33. τοῖσι Heathius] τοῖς 34. προκηρύξοντα] προκηρύξαντα, literis ξα in litura positis pro το vel ττο. 40. ἢ 'φάπτουσα] ἢ θάπτουσα cum γρ. καὶ ἢ 'φάπτουσα. 41. ξυνεργάσει] ξυνεργάσηι, et sic ηι pro ει v. 86. 90. 93. 94. 99. 230. 234. 241. 317. 442. 510. (ubi pr. ἐξομεῖ) 691. 752. 818. 822. 998. 1067. 1086., sed relictum βουλεύει 772. quia tertiae personae esse videbatur. 42. *ποῦ] ποῖ 44. ἦ] εἰ, ἦ ab alia m. ant. 45. κοὺ D.] καὶ 46. Eieci versum spurium, ἀδελφόν — ἁλώσομαι, de quo scholiasta ad v. 45. Δίδυμος δέ φησιν ὑπὸ τῶν ὑπομνηματιστῶν τὸν ἑξῆς στίχον νενοθεῦσθαι.

ΙΣ. ὦ σχετλία, Κρέοντος ἀντειρηκότος;
ΑΝ. ἀλλ᾽ οὐδὲν αὐτῷ τῶν ἐμῶν μ᾽ εἴργειν μέτα.
ΙΣ. οἴμοι· φρόνησον, ὦ κασιγνήτη, πατὴρ
ὡς νῷν ἀπεχθὴς δυσκλεής τ᾽ ἀπώλετο,
πρὸς αὐτοφώρων ἀμπλακημάτων διπλᾶς
ὄψεις ἀράξας αὐτὸς αὐτουργῷ χερί·
ἔπειτα μήτηρ καὶ γυνὴ, διπλοῦν ἔπος,
πλεκταῖσιν ἀρτάναισι λωβᾶται βίον·
τρίτον δ᾽ ἀδελφὼ δύο μίαν καθ᾽ ἡμέραν
αὐτοκτονοῦντε τὼ ταλαιπώρω μόρον
κοινὸν κατειργάσαντ᾽ ἐπαλλήλοιν χεροῖν.
νῦν δ᾽ αὖ μόνα δὴ νὼ λελειμμένα σκόπει
ὅσῳ κάκιστ᾽ ὀλούμεθ᾽, εἰ νόμου βίᾳ
ψῆφον τυράννων ἢ κράτη παρέξιμεν.
ἀλλ᾽ ἐννοεῖν χρὴ τοῦτο μὲν γυναῖχ᾽ ὅτι
ἔφυμεν, ὡς πρὸς ἄνδρας οὐ μαχουμένα·
ἔπειτα δ᾽ οὕνεκ᾽ ἀρχόμεσθ᾽ ἐκ κρεισσόνων,
καὶ ταῦτ᾽ ἀκούειν κἄτι τῶνδ᾽ ἀλγίονα.
ἐγὼ μὲν οὖν αἰτοῦσα τοὺς ὑπὸ χθονὸς
ξύγγνοιαν ἴσχειν, ὡς βιάζομαι τάδε,
τοῖς ἐν τέλει βεβῶσι πείσομαι. τὸ γὰρ
περισσὰ πράσσειν οὐκ ἔχει νοῦν οὐδένα.
ΑΝ. οὔτ᾽ ἂν κελεύσαιμ᾽ οὔτ᾽ ἂν, εἰ θέλοις ἔτι
πράσσειν, ἐμοῦ γ᾽ ἂν ἡδέως δρῴης μέτα.
ἀλλ᾽ ἴσθ᾽ ὁποία σοι δοκεῖ, κεῖνον δ᾽ ἐγὼ
θάψω. καλόν μοι τοῦτο ποιούσῃ θανεῖν.
φίλη μετ᾽ αὐτοῦ κείσομαι, φίλου μέτα,
ὅσια πανουργήσασ᾽· ἐπεὶ πλείων χρόνος
ὃν δεῖ μ᾽ ἀρέσκειν τοῖς κάτω τῶν ἐνθάδε.
ἐκεῖ γὰρ ἀεὶ κείσομαι· σὺ δ᾽, εἰ δοκεῖ,
τὰ τῶν θεῶν ἔντιμ᾽ ἀτιμάσασ᾽ ἔχε.
ΙΣ. ἐγὼ μὲν οὐκ ἄτιμα ποιοῦμαι, τὸ δὲ
βίᾳ πολιτῶν δρᾶν ἔφυν ἀμήχανος.
ΑΝ. σὺ μὲν τάδ᾽ ἂν προύχοι᾽· ἐγὼ δὲ δὴ τάφον
χώσουσ᾽ ἀδελφῷ φιλτάτῳ πορεύσομαι.
ΙΣ. οἴμοι, ταλαίνης ὡς ὑπερδέδοικά σου.
ΑΝ. μή μου προτάρβει· τὸν σὸν ἐξόρθου πότμον.
ΙΣ. ἀλλ᾽ οὖν προμηνύσῃς γε τοῦτο μηδενὶ
τοὔργον, κρυφῇ δὲ κεῦθε, σὺν δ᾽ αὔτως ἐγώ.
ΑΝ. οἴμοι, καταύδα· πολλὸν ἐχθίων ἔσει
σιγῶσ᾽, ἐὰν μὴ πᾶσι κηρύξῃς τάδε.
ΙΣ. θερμὴν ἐπὶ ψυχροῖσι καρδίαν ἔχεις.
ΑΝ. ἀλλ᾽ οἶδ᾽ ἀρέσκουσ᾽ οἷς μάλισθ᾽ ἁδεῖν με χρή.
ΙΣ. εἰ καὶ δυνήσει γ᾽· ἀλλ᾽ ἀμηχάνων ἐρᾷς.
ΑΝ. οὐκοῦν, ὅταν δὴ μὴ σθένω, πεπαύσομαι.
ΙΣ. ἀρχὴν δὲ θηρᾶν οὐ πρέπει τἀμήχανα.
ΑΝ. εἰ ταῦτα λέξεις, ἐχθαρεῖ μὲν ἐξ ἐμοῦ,
ἐχθρὰ δὲ τῷ θανόντι προσκείσει δίκῃ.
ἀλλ᾽ ἔα με καὶ τὴν ἐξ ἐμοῦ δυσβουλίαν
παθεῖν τὸ δεινὸν τοῦτο· πείσομαι γὰρ οὖν

48. μ᾽ addidit Brunckius. 53. ἔπος] πάθος superscr. ab S. 55. δύο] ο in ω mutavit m. antiqua. 56. αὐτοκτονοῦντε (debebat αὐτοκτονοῦντε) Coraës ad Heliodor. vol. 2. p. 7.] αὐτοκτενοῦντε 57. ἐπαλλήλοιν Hermannus] ἐπ᾽ ἀλλήλοιν 58. δ᾽ a m. rec. additum. 60. παρέξιμεν] ι ex ει factum.
63. κρεισσόνων] κρειττόνων, sed superscripto σσ ab alia m. ant. 64. ἀλγίονα] ἀλγείονα pr. 68.—70. οὐκ ἔχει — πράσσειν primo omissa supplevit m. pr. 70. Post γ᾽ duae literae erasae. 71. ὁποία Triclinius] ὁποῖα 76. *ἀεὶ] αἰεὶ σὺ Elmsleius] σοὶ 78. Ante οὐκ erasum οὖν 83. πότμον] γρ. βίον ab S. 89. μάλισθ᾽ Brunckins] μάλιστ᾽ 91. μὴ addidit S. 93. ἐχθαρεῖ] ἐχθανῆι cum γρ. ἐχθαρῆι a m. recentiore. 94. δίκῃ] κάσει D. κάτω Lud. Dindorfius. 96. οὖν Elmsleius ad Eurip. Med. 804.] οὐ

τοσοῦτον οὐδὲν ὥστε μὴ οὐ καλῶς θανεῖν.
ΙΣ. ἀλλ᾽ εἰ δοκεῖ σοι, στεῖχε· τοῦτο δ᾽ ἴσθ᾽, ὅτι
ἄνους μὲν ἔρχει, τοῖς φίλοις δ᾽ ὀρθῶς φίλη.

ΧΟΡΟΣ.

ἀκτὶς ἀελίου, τὸ κάλλιστον ἑπταπύλῳ φανὲν
Θήβᾳ τῶν προτέρων φάος,
ἐφάνθης ποτ᾽, ὦ χρυσέας ἁμέρας βλέφαρον,
Διρκαίων ὑπὲρ ῥεέθρων μολοῦσα,
τὸν λεύκασπιν Ἀργόθεν ἐκ φῶτα βάντα πανσαγίᾳ
φυγάδα πρόδρομον ὀξυτέρῳ κινήσασα χαλινῷ·
ὃς ἐφ᾽ ἡμετέρᾳ γῇ Πολυνείκους
ἀρθεὶς νεικέων ἐξ ἀμφιλόγων
ὀξέα κλάζων
ἀετὸς ἐς γῆν ὑπερέπτη,
λευκῆς χιόνος πτέρυγι στεγανὸς
πολλῶν μεθ᾽ ὅπλων
ξύν θ᾽ ἱπποκόμοις κορύθεσσιν.
στὰς δ᾽ ὑπὲρ μελάθρων φονώσαισιν ἀμφιχανὼν
λόγχαις ἑπτάπυλον στόμα [κύκλῳ
ἔβα, πρίν ποθ᾽ ἁμετέρων αἱμάτων γένυσιν
πλησθῆναί τε καὶ στεφάνωμα πύργων [ἑτάθη
πευκάενθ᾽ Ἥφαιστον ἑλεῖν. τοῖος ἀμφὶ νῶτ᾽
πάταγος Ἄρεος, ἀντιπάλου δυσχείρωμα δράκον-
Ζεὺς γὰρ μεγάλης γλώσσης κόμπους [τος.
ὑπερεχθαίρει, καί σφας ἐσιδὼν
πολλῷ ῥεύματι προσνισσομένους,
χρυσοῦ καναχῇ θ᾽ ὑπερόπτας,
παλτῷ ῥιπτεῖ πυρὶ βαλβίδων
ἐπ᾽ ἄκρων ἤδη
νίκην ὁρμῶντ᾽ ἀλαλάξαι·
ἀντιτύπᾳ δ᾽ ἐπὶ γᾷ πέσε τανταλωθεὶς
πυρφόρος ὃς τότε μαινομένᾳ ξὺν ὁρμᾷ
βακχεύων ἐπέπνει
ῥιπαῖς ἐχθίστων ἀνέμων.
εἶχε δ᾽ ἄλλᾳ τὰ μὲν, [Ἄρης
ἄλλα δ᾽ ἐπ᾽ ἄλλοις ἐπενώμα στυφελίζων μέγας
δεξιόσειρος.
ἑπτὰ λοχαγοὶ γὰρ ἐφ᾽ ἑπτὰ πύλαις
ταχθέντες ἴσοι πρὸς ἴσους ἔλιπον

100—109. = 117—126.
134—140. = 148—154.

100. ἀελίου pr. (in textu et in lemmate scholii) sed υ in ιο (i. e. ἀελίοιο) mutatum a m. satis antiqua. 105. *ὑπὲρ] ὕπερ 106. ἐκ addidit Hermannus. 108. *ὀξυτέρῳ] ὀξυτόρωι, litera super ω erasa. Correctum ex schol. 110. ὃς — Πολυνεί-
τέ
κους Scaliger] ὃν — πολυνείκης ἡμετέρᾳ] ἡμερα, τέ a m. pr. γῇ et v. 113. γῆν ὑπερέπτη D.] γᾶι — γᾶν ὑπερέπτα 113. ἀετὸς D.] αἰετὸς *ἐς] εἰς ὡς post γῆν delevit Hermannus. 116. κο-
σ
ρύθεσσιν] κορύθεσιν, σ ab alia m. superscr. 117. φονώσαισιν Boeckhius] φονίαισιν. φονώσαισιν legit scholiasta, qui explicat ταῖς τῶν φόνων ἐρώσαις λόγχαις. 122. τε addidit Triclinius. 125. ἀντι-
ου
οσ
πάλωι, ου a m. ant. 126. δράκοντι, οσ a m. ant.
128. *ἐσιδὼν] εἰσιδὼν 129. *προσνισσομένους] προσνισομένους 130. καναχῇ θ᾽ Emperius] καναχῆς ὑπερόπτας] ὑπεροπτίασ, adscripto in marg. a m. ant. ὑπερόπτασ. 134. ἀντιτύπᾳ Porsonus] ἀντίτυπα, superscripto a manu recentissima πωσ, literis ωσ per compendium expressis, non ποσ.
138. μὲν a m. ant. pro litera eluta, cui duae aliae superscriptae fuerunt, nunc erasae. 139. ἄλλα δ᾽ ἐπ᾽ ἄλλοις Erfurdtius] ἄλλαι τὰ δ᾽ ἐπ᾽ ἄλλοις 140. δεξιόσειρος] δεξιόχειρος pr. Utrumque explicat scholiasta.

Ζηνὶ τροπαίῳ πάγχαλκα τέλη,
πλὴν τοῖν στυγεροῖν, ὣ πατρὸς ἑνὸς
μητρός τε μιᾶς φύντε καθ᾽ αὑτοῖν
δικρατεῖς λόγχας στήσαντ᾽ ἔχετον
κοινοῦ θανάτου μέρος ἄμφω.
ἀλλὰ γὰρ ἁ μεγαλώνυμος ἦλθε Νίκα
τᾷ πολυαρμάτῳ ἀντιχαρεῖσα Θήβᾳ,
ἐκ μὲν δὴ πολέμων
τῶν νῦν θέσθε λησμοσύναν,
θεῶν δὲ ναοὺς χοροῖς
παννυχίοις πάντας ἐπέλθωμεν, ὁ Θήβας δ᾽ ἐλε-
Βάκχιος ἄρχοι. [λίχθων
ἀλλ᾽ ὅδε γὰρ δὴ βασιλεὺς χώρας,
Κρέων ὁ Μενοικέως,
νεοχμοῖσι θεῶν ἐπὶ συντυχίαις
χωρεῖ τινὰ δὴ μῆτιν ἐρέσσων,
ὅτι σύγκλητον τήνδε γερόντων
προύθετο λέσχην,
κοινῷ κηρύγματι πέμψας.

ΚΡΕΩΝ.

ἄνδρες, τὰ μὲν δὴ πόλεος ἀσφαλῶς θεοὶ
πολλῷ σάλῳ σείσαντες ὤρθωσαν πάλιν·
ὑμᾶς δ᾽ ἐγὼ πομποῖσιν ἐκ πάντων δίχα
ἔστειλ᾽ ἱκέσθαι, τοῦτο μὲν τὰ Λαΐου
σέβοντας εἰδὼς εὖ θρόνων ἀεὶ κράτη,
τοῦτ᾽ αὖθις, ἡνίκ᾽ Οἰδίπους ὤρθου πόλιν,
κἀπεὶ διώλετ᾽, ἀμφὶ τοὺς κείνων ἔτι
παῖδας μένοντας ἐμπέδοις φρονήμασιν.
ὅτ᾽ οὖν ἐκεῖνοι πρὸς διπλῆς μοίρας μίαν
καθ᾽ ἡμέραν ὤλοντο παίσαντές τε καὶ
πληγέντες αὐτόχειρι σὺν μιάσματι,
ἐγὼ κράτη δὴ πάντα καὶ θρόνους ἔχω
γένους κατ᾽ ἀγχιστεῖα τῶν ὀλωλότων.
ἀμήχανον δὲ παντὸς ἀνδρὸς ἐκμαθεῖν
ψυχήν τε καὶ φρόνημα καὶ γνώμην, πρὶν ἂν
ἀρχαῖς τε καὶ νόμοισιν ἐντριβὴς φανῇ.
ἐμοὶ γὰρ ὅστις πᾶσαν εὐθύνων πόλιν
μὴ τῶν ἀρίστων ἅπτεται βουλευμάτων,
ἀλλ᾽ ἐκ φόβου του γλῶσσαν ἐγκλήσας ἔχει,
κάκιστος εἶναι νῦν τε καὶ πάλαι δοκεῖ·
καὶ μείζον᾽ ὅστις ἀντὶ τῆς αὑτοῦ πάτρας
φίλον νομίζει, τοῦτον οὐδαμοῦ λέγω.
ἐγὼ γάρ, ἴστω Ζεὺς ὁ πάνθ᾽ ὁρῶν ἀεί,
οὔτ᾽ ἂν σιωπήσαιμι τὴν ἄτην ὁρῶν
στείχουσαν ἀστοῖς ἀντὶ τῆς σωτηρίας,
οὔτ᾽ ἂν φίλον ποτ᾽ ἄνδρα δυσμενῆ χθονὸς
θείμην ἐμαυτῷ, τοῦτο γιγνώσκων ὅτι
ἥδ᾽ ἐστὶν ἡ σῴζουσα καὶ ταύτης ἔπι
πλέοντες ὀρθῆς τοὺς φίλους ποιούμεθα.
τοιοῖσδ᾽ ἐγὼ νόμοισι τήνδ᾽ αὔξω πόλιν
καὶ νῦν ἀδελφὰ τῶνδε κηρύξας ἔχω
ἀστοῖσι παίδων τῶν ἀπ᾽ Οἰδίπου πέρι·
Ἐτεοκλέα μέν, ὃς πόλεως ὑπερμαχῶν
ὄλωλε τῆσδε, πάντ᾽ ἀριστεύσας δόρει,
τάφῳ τε κρύψαι καὶ τὰ πάντ᾽ ἐφαγνίσαι
ἃ τοῖς ἀρίστοις ἔρχεται κάτω νεκροῖς·
τὸν δ᾽ αὖ ξύναιμον τοῦδε, Πολυνείκη λέγω,
ὃς γῆν πατρῴαν καὶ θεοὺς τοὺς ἐγγενεῖς
φυγὰς κατελθὼν ἠθέλησε μὲν πυρὶ
πρῆσαι κατ᾽ ἄκρας, ἠθέλησε δ᾽ αἵματος
κοινοῦ πάσασθαι, τοὺς δὲ δουλώσας ἄγειν,
τοῦτον πόλει τῇδ᾽ ἐκκεκήρυκται τάφῳ
μήτε κτερίζειν μήτε κωκῦσαί τινα,
ἐᾶν δ᾽ ἄθαπτον καὶ πρὸς οἰωνῶν δέμας
καὶ πρὸς κυνῶν ἐδεστὸν αἰκισθέντ᾽ ἰδεῖν.
τοιόνδ᾽ ἐμὸν φρόνημα, κοὔποτ᾽ ἔκ γ᾽ ἐμοῦ
τιμὴν προέξουσ᾽ οἱ κακοὶ τῶν ἐνδίκων.
ἀλλ᾽ ὅστις εὔνους τῇδε τῇ πόλει, θανὼν
καὶ ζῶν ὁμοίως ἐξ ἐμοῦ τιμήσεται.

ΧΟ. σοὶ ταῦτ᾽ ἀρέσκει, παῖ Μενοικέως Κρέον,
τὸν τῇδε δύσνουν κἀς τὸν εὐμενῆ πόλει·
νόμῳ δὲ χρῆσθαι παντί που πάρεστί σοι
καὶ τῶν θανόντων χὠπόσοι ζῶμεν πέρι.
ΚΡ. πῶς ἂν σκοποὶ νῦν εἶτε τῶν εἰρημένων;
ΧΟ. νεωτέρῳ τῳ τοῦτο βαστάζειν πρόθες.
ΚΡ. ἀλλ᾽ εἴσ᾽ ἕτοιμοι τοῦ νεκροῦ γ᾽ ἐπίσκοποι.
ΧΟ. τί δῆτ᾽ ἂν ἄλλο τοῦτ᾽ ἐπεντέλλοις ἔτι;
ΚΡ. τὸ μὴ ᾽πιχωρεῖν τοῖς ἀπιστοῦσιν τάδε.
ΧΟ. οὐκ ἔστιν οὕτω μῶρος ὃς θανεῖν ἐρᾷ.
ΚΡ. καὶ μὴν ὁ μισθός γ᾽ οὗτος. ἀλλ᾽ ὑπ᾽ ἐλπίδων
ἄνδρας τὸ κέρδος πολλάκις διώλεσεν.

ΦΥΛΑΞ.

ἄναξ, ἐρῶ μὲν οὐχ ὅπως σπουδῆς ὕπο
δύσπνους ἱκάνω κοῦφον ἐξάρας πόδα.
πολλὰς γὰρ ἔσχον φροντίδων ἐπιστάσεις,
ὁδοῖς κυκλῶν ἐμαυτὸν εἰς ἀναστροφήν·
ψυχὴ γὰρ ηὔδα πολλά μοι μυθουμένη,
τάλας, τί χωρεῖς οἷ μολὼν δώσεις δίκην;
τλήμων, μένεις αὖ; κεἰ τάδ᾽ εἴσεται Κρέων
ἄλλου παρ᾽ ἀνδρός, πῶς σὺ δῆτ᾽ οὐκ ἀλγυνεῖ;
τοιαῦθ᾽ ἑλίσσων ἤνυτον σχολῇ βραδύς,
χοὔτως ὁδὸς βραχεῖα γίγνεται μακρά.
τέλος γε μέντοι δεῦρ᾽ ἐνίκησεν μολεῖν
σοί, κεἰ τὸ μηδὲν ἐξερῶ, φράσω δ᾽ ὅμως.
τῆς ἐλπίδος γὰρ ἔρχομαι πεφαργμένος,
τὸ μὴ παθεῖν ἂν ἄλλο πλὴν τὸ μόρσιμον.
ΚΡ. τί δ᾽ ἔστιν ἀνθ᾽ οὗ τήνδ᾽ ἔχεις ἀθυμίαν;
ΦΥ. φράσαι θέλω σοι πρῶτα τἀμαυτοῦ· τὸ γὰρ
πρᾶγμ᾽ οὔτ᾽ ἔδρασ᾽ οὔτ᾽ εἶδον ὅστις ἦν ὁ δρῶν,

---

151. θέσθε] Alterum ε ex ω factum. λησμοσύναν Brunckius] λησμοσύνην 153. *παννυχίοις] παννύχοις ἐλελίχθων] ἐλελίζων ab S. quod in scholio explicatur. 154. Βάκχιος Bothius] βακχεῖος 156. νεοχμός post Μενοικέως delevit D. 157. νεοχμοῖσι D.] νεαραῖσι 162. *πόλεος] πόλεως 171. παίσαντες] Literae αίσ duabus literis elutis substitutae ab S. 172. σὺν] ν ex μ factum. 178. εὐθύνων] Alterum ν ab S additum. 180. ἐγκλήσας Elmsleius] ἐγκλείσας 182. *αὑτοῦ] αὐτοῦ 187. χθονὸς] πόλεως a m. pr. superscr. 188. *γιγνώσκων] γινώσκων 191. αὔξω] αὔξων Heimsoethius. 193. *τῶν] τῶνδ᾽

195. δόρει D.] δορί, cui χε (i. e. χερὶ) superscripsit S. 198. Πολυνείκη D.] πολυνείκην 203. ἐκκεκήρυκται Musgravius] ἐκκεκηρύχθαι 210. ἐξ ἐμοῦ] ἔκ γ᾽ ἐμοῦ, adscripto ab S in marg. γρ. ἐξ ἐμοῦ, quod male ad v. 207. rettulit Elmsleius. 211. *Κρέον] κρέων 212. κἀς D.] καὶ 213. που πάρεστι D.] πού τ᾽ ἔνεστι 215. πῶς — εἶτε D.] ὡς — ἦτε 217. γ᾽ Brunckius] τ᾽ 218. ἄλλο] ἄλλωι (o superscr.), o a m. pr. τοῦτ᾽] πρᾶγμ᾽ D. 219. ᾽πιχωρεῖν] ω in ει mutatum a m. ant. 220. *οὕτω] οὕτως 223. ΦΥΛΑΞ] ἀγγε hic et infra. ΦΥΛΑΞ Brunckius hic et infra. Φύλαξ inter dramatis personas est in codice. σπουδῆς ex Aristot. Rhet. 3, 14. et scholiasta] τάχους 229. μένεις αὖ] μὲν εἰσαῦ pr. μὲν εἰσαῦ rec. μενεῖς αὖ apographa.

231. ἤνυτον] ἥνυτον, ubi punctum super spiritum asperum positum spiritum lenem indicare videtur. ἥνυσαν codex v. 302. 235. πεφαργμένος D.] πεπραγμένος. δεδραγμένος legit schol.

οὐδ᾽ ἂν δικαίως ἐς κακὸν πέσοιμί τι.
ΚΡ. εὖ γε στοχάζει κἀποφάργνυσαι κύκλῳ
τὸ πρᾶγμα. δηλοῖς δ᾽ ὥς τι σημανῶν νέον.
ΦΥ. τὰ δεινὰ γάρ τοι προστίθησ᾽ ὄκνον πολύν.
ΚΡ. οὔκουν ἐρεῖς ποτ᾽, εἶτ᾽ ἀπαλλαχθεὶς ἄπει;
ΦΥ. καὶ δὴ λέγω σοι. τὸν νεκρόν τις ἀρτίως
θάψας βέβηκε κἀπὶ χρωτὶ διψίαν
κόνιν παλύνας κἀφαγιστεύσας ἃ χρή.
ΚΡ. τί φῄς; τίς ἀνδρῶν ἦν ὁ τολμήσας τάδε;
ΦΥ. οὐκ οἶδ᾽· ἐκεῖ γὰρ οὔτε του γενῆδος ἦν
πλῆγμ᾽, οὐ δικέλλης ἐκβολή· στύφλος δὲ γῆ
καὶ χέρσος, ἀρρὼξ οὐδ᾽ ἐπημαξευμένη
τροχοῖσιν, ἀλλ᾽ ἄσημος οὑργάτης τις ἦν.
ὅπως δ᾽ ὁ πρῶτος ἡμὶν ἡμεροσκόπος
δείκνυσι, πᾶσι θαῦμα δυσχερὲς παρῆν.
ὁ μὲν γὰρ ἠφάνιστο, τυμβήρης μὲν οὔ,
λεπτὴ δ᾽, ἄγος φεύγοντος ὥς, ἐπῆν κόνις.
σημεῖα δ᾽ οὔτε θηρὸς οὔτε του κυνῶν
ἐλθόντος, οὐ σπάσαντος ἐξεφαίνετο.
λόγοι δ᾽ ἐν ἀλλήλοισιν ἐρρόθουν κακοί,
φύλαξ ἐλέγχων φύλακα, κἂν ἐγίγνετο
πληγὴ τελευτῶσ᾽, οὐδ᾽ ὁ κωλύσων παρῆν.
εἷς γάρ τις ἦν ἕκαστος οὑξειργασμένος,
κοὐδεὶς ἐναργής, ἀλλ᾽ ἔφευγε πᾶς τὸ μή.
ἦμεν δ᾽ ἕτοιμοι καὶ μύδρους αἴρειν χεροῖν,
καὶ πῦρ διέρπειν, καὶ θεοὺς ὁρκωμοτεῖν
τὸ μήτε δρᾶσαι μήτε τῳ ξυνειδέναι
τὸ πρᾶγμα βουλεύσαντι μήτ᾽ εἰργασμένῳ.
τέλος δ᾽ ὅτ᾽ οὐδὲν ἦν ἐρευνῶσιν πλέον,
λέγει τις εἷς, ὃς πάντας ἐς πέδον κάρα
νεῦσαι φόβῳ προὔτρεψεν· οὐ γὰρ εἴχομεν
οὔτ᾽ ἀντιφωνεῖν οὔθ᾽ ὅπως δρῶντες καλῶς
πράξαιμεν. ἦν δ᾽ ὁ μῦθος ὡς ἀνοιστέον
σοὶ τοὔργον εἴη τοῦτο κοὐχὶ κρυπτέον.
καὶ ταῦτ᾽ ἐνίκα, κἀμὲ τὸν δυσδαίμονα
πάλος καθαιρεῖ τοῦτο τἀγαθὸν λαβεῖν.
πάρειμι δ᾽ ἄκων οὐχ ἑκοῦσιν, οἶδ᾽ ὅτι·
στέργει γὰρ οὐδεὶς ἄγγελον κακῶν ἐπῶν.
ΧΟ. ἄναξ, ἐμοί τοι μή τι καὶ θεήλατον
τοὔργον τόδ᾽ ἡ ξύννοια βουλεύει πάλαι.
ΚΡ. παῦσαι, πρὶν ὀργῆς κἀμὲ μεστῶσαι λέγων,
μὴ 'φευρεθῇς ἄνους τε καὶ γέρων ἅμα.
λέγεις γὰρ οὐκ ἀνεκτὰ δαίμονας λέγων
πρόνοιαν ἴσχειν τοῦδε τοῦ νεκροῦ πέρι.
πότερον ὑπερτιμῶντες ὡς εὐεργέτην
ἔκρυπτον αὐτόν, ὅστις ἀμφικίονας
ναοὺς πυρώσων ἦλθε κἀναθήματα
καὶ γῆν ἐκείνων καὶ νόμους διασκεδῶν;
ἢ τοὺς κακοὺς τιμῶντας εἰσορᾷς θεούς;
οὐκ ἔστιν. ἀλλὰ ταῦτα καὶ πάλαι πόλεως
ἄνδρες μόλις φέροντες ἐρρόθουν ἐμοί,
κρυφῇ κάρα σείοντες, οὐδ᾽ ὑπὸ ζυγῷ
λόφον δικαίως εἶχον, ὡς στέργειν ἐμέ.
ἐκ τῶνδε τούτους ἐξεπίσταμαι καλῶς
παρηγμένους μισθοῖσιν εἰργάσθαι τάδε.
οὐδὲν γὰρ ἀνθρώποισιν οἷον ἄργυρος
κακὸν νόμισμ᾽ ἔβλαστε. τοῦτο καὶ πόλεις
πορθεῖ, τόδ᾽ ἄνδρας ἐξανίστησιν δόμων·
τόδ᾽ ἐκδιδάσκει καὶ παραλλάσσει φρένας
χρηστὰς πρὸς αἰσχρὰ πράγμαθ᾽ ἵστασθαι βροτῶν·
πανουργίας δ᾽ ἔδειξεν ἀνθρώποις ἔχειν
καὶ παντὸς ἔργου δυσσέβειαν εἰδέναι.
ὅσοι δὲ μισθαρνοῦντες ἤνυσαν τάδε,
χρόνῳ ποτ᾽ ἐξέπραξαν ὡς δοῦναι δίκην.
ἀλλ᾽ εἴπερ ἴσχει Ζεὺς ἔτ᾽ ἐξ ἐμοῦ σέβας,
εὖ τοῦτ᾽ ἐπίστασ᾽, ὅρκιος δέ σοι λέγω,
εἰ μὴ τὸν αὐτόχειρα τοῦδε τοῦ τάφου
εὑρόντες ἐκφανεῖτ᾽ ἐς ὀφθαλμοὺς ἐμούς,
οὐχ ὑμὶν Ἅιδης μοῦνος ἀρκέσει, πρὶν ἂν
ζῶντες κρεμαστοὶ τήνδε δηλώσηθ᾽ ὕβριν,
ἵν᾽ εἰδότες τὸ κέρδος ἔνθεν οἰστέον
τὸ λοιπὸν ἁρπάζητε καὶ μάθηθ᾽ ὅτι
οὐκ ἐξ ἅπαντος δεῖ τὸ κερδαίνειν φιλεῖν.
ἐκ τῶν γὰρ αἰσχρῶν λημμάτων τοὺς πλείονας
ἀτωμένους ἴδοις ἂν ἢ σεσωσμένους.
ΦΥ. εἰπεῖν τι δώσεις, ἢ στραφεὶς οὕτως ἴω;
ΚΡ. οὐκ οἶσθα καὶ νῦν ὡς ἀνιαρῶς λέγεις;
ΦΥ. ἐν τοῖσιν ὠσὶν ἢ 'πὶ τῇ ψυχῇ δάκνει;
ΚΡ. τί δὲ ῥυθμίζεις τὴν ἐμὴν λύπην ὅπου;
ΦΥ. ὁ δρῶν σ᾽ ἀνιᾷ τὰς φρένας, τὰ δ᾽ ὦτ᾽ ἐγώ.
ΚΡ. οἴμ᾽ ὡς ἄλημα δῆλον ἐκπεφυκὸς εἶ.
ΦΥ. οὔκουν τό γ᾽ ἔργον τοῦτο ποιήσας ποτέ.
ΚΡ. καὶ ταῦτ᾽ ἐπ᾽ ἀργύρῳ γε τὴν ψυχὴν προδούς.
ΦΥ. φεῦ·
ἦ δεινὸν ᾧ δοκῇ γε καὶ ψευδῆ δοκεῖν.
ΚΡ. κόμψευέ νυν τὴν δόξαν· εἰ δὲ ταῦτα μὴ
φανεῖτέ μοι τοὺς δρῶντας, ἐξερεῖθ᾽ ὅτι
τὰ δειλὰ κέρδη πημονὰς ἐργάζεται.
ΦΥ. ἀλλ᾽ εὑρεθείη μὲν μάλιστ᾽· ἐὰν δέ τοι
ληφθῇ τε καὶ μή, τοῦτο γὰρ τύχη κρινεῖ,
οὐκ ἔσθ᾽ ὅπως ὄψει σὺ δεῦρ᾽ ἐλθόντα με.
καὶ νῦν γὰρ ἐκτὸς ἐλπίδος γνώμης τ᾽ ἐμῆς
σωθεὶς ὀφείλω τοῖς θεοῖς πολλὴν χάριν. [λει·
ΧΟ. πολλὰ τὰ δεινὰ κοὐδὲν ἀνθρώπου δεινότερον πέ-
τοῦτο καὶ πολιοῦ πέραν πόντου χειμερίῳ νότῳ
χωρεῖ, περιβρυχίοισιν
περῶν ὑπ᾽ οἴδμασιν,
θεῶν τε τὰν ὑπερτάταν, Γᾶν
ἄφθιτον, ἀκαμάταν ἀποτρύεται, [πολεύων.
ἰλλομένων ἀρότρων ἔτος εἰς ἔτος, ἱππείῳ γένει
κουφονόων τε φῦλον ὀρνίθων ἀμφιβαλὼν ἄγει

332—342. = 343—353.

---

241. κἀποφάργνυσαι D.] κἀποφράγνυσαι 242. σημανῶν ex schol.] σημαίνων 249. του] που pr. 251. *ἀρρὼξ] ἀρὼξ 253. ἡμὶν] ἦμιν, ut saepe alibi. 260. *ἐγίγνετο] ἐγίνετο 263. ἔφευγε πᾶς τὸ μὴ D.] ἔφευγε τὸ μὴ εἰδέναι 264. αἴρειν] ἔχειν, superscripto ab S αἴρειν. 267. μήτ᾽] μηδ᾽ Blaydesius. 276. ἑκοῦσιν] δ᾽ addidit m. ant., fortasse S. 278. ΧΟ. ab Triclinio additum. 279. ἡ] ᾗ Nauckius. 284. *ὑπερτιμῶντες] ὑπερτιμῶντας 288. εἰσορᾷς] Alterum σ ab S. 292. ὡς] σ ab S.

ων
299. βροτῶν] βροτουσ, ων a m. pr. 307. *ἐς] εἰς 308. ὑμὶν] ὗμιν pr. ὑμῖν corr. 313. 314. Delet
.τι.
Bergkius. 315. τι δώσεις] δεδωσεις, τι a m. pr. ut videtur. 318. *δὲ] δαὶ 319. ὁ ex ἀν factum. 320. ἄλημα] ἀλάλημα pr. eraso ἀ. ἄλημα legit schol. 321. τό γ᾽ Reiskius] τόδ᾽ 373. ᾧ δοκῇ
ἦν η
γε] ὧι δοκεῖ, ἦν et η a m. pr. *δοκεῖν] δοκεῖ 324. κόμψευέ νυν D.] κόμψευε νῦν 326. δειλὰ]
τ
δεινὰ, sed in schol. γρ. τὰ δειλά. 327. τοι] σοι, τ a m. pr. 338. τε] τ ex θ factum ab alia m. ant. Post τὰν litera erasa. 339. *ἀποτρύεται ἰλλομένων] ἀποτρύετ᾽ ἀπλομένων (ο post λ ex ω facto) cum γρ. ἀποτρύεται ἰλλομένων ab S. 341. *πολεύων] πόλευον pr. πολεῦον corr. 242. κουφονόων τε Brunckius] κοῦφον ἐόντε pr. κουφονέων τε
.ο.
corr. 344. ἀμφιβαλὼν, ο a m. pr. ἄγει] ἔχει ἄγει, sed eraso ἄγει et ἔχει ab antiquiore m. in ἄγει mutato.

καὶ θηρῶν ἀγρίων ἔθνη, πόντου τ' εἰναλίαν φύ-
σπείραισι δικτυοκλώστοις [σιν
περιφραδὴς ἀνήρ·
κρατεῖ δὲ μηχαναῖς ἀγραύλου
θηρὸς ὀρεσσιβάτα, λασιαύχενά θ'
ἵππον ἀέξεται ἀμφίλοφον ζυγὸν οὔρειόν τ' ἀκμῆτα
ταῦρον.
καὶ φθέγμα καὶ ἀνεμόεν φρόνημα καὶ ἀστυνόμους
ὀργὰς ἐδιδάξατο καὶ δυσαύλων
πάγων ὑπαίθρεια καὶ
δύσομβρα φεύγειν βέλη·
παντοπόρος ἄπορος ἐπ' οὐδὲν ἔρχεται
τὸ μέλλον· Ἅιδα μόνον
φύξιν οὐκ ἐπάξεται·
νόσων δ' ἀμηχάνων φυγὰς ξυμπέφρασται.
σοφόν τι τὸ μηχανόεν τέχνας ὑπὲρ ἐλπίδ' ἔχων
ποτὲ μὲν κακὸν, ἄλλοτ' ἐπ' ἐσθλὸν ἕρπει,
νόμους παραιρῶν χθονὸς
θεῶν τ' ἔνορκον δίκαν·
ὑψίπολις ἄπολις ὅτῳ τὸ μὴ καλὸν
ξύνεστι τόλμας χάριν.
μήτ' ἐμοὶ παρέστιος
γένοιτο μήτ' ἴσον φρονῶν ὃς τάδ' ἔρδει.
ἐς δαιμόνιον τέρας ἀμφινοῶ
τόδε, πῶς εἰδὼς ἀντιλογήσω
τήνδ' οὐκ εἶναι παῖδ' Ἀντιγόνην.
ὦ δύστηνος καὶ δυστήνου
πατρὸς Οἰδιπόδα,
τί ποτ'; οὐ δή που σέ γ' ἀπιστοῦσαν
τοῖς βασιλείοισιν ἄγουσι νόμοις
καὶ ἐν ἀφροσύνῃ καθελόντες;
ΦΥ. ἥδ' ἔστ' ἐκείνη τοὔργον ἡ 'ξειργασμένη·
τήνδ' εἵλομεν θάπτουσαν. ἀλλὰ ποῦ Κρέων;
ΧΟ. ὅδ' ἐκ δόμων ἄψορρος ἐς δέον περᾷ.
ΚΡ. τί δ' ἔστι; ποίᾳ ξύμμετρος προύβην τύχῃ;
ΦΥ. ἄναξ, βροτοῖσιν οὐδέν ἐστ' ἀπώμοτον.
ψεύδει γὰρ ἡ 'πίνοια τὴν γνώμην. ἐπεὶ
σχολῇ ποθ' ἥξειν δεῦρ' ἂν ἐξηύχουν ἐγὼ
ταῖς σαῖς ἀπειλαῖς, αἷς ἐχειμάσθην τότε.
ἀλλ' ἡ γὰρ ἐκτὸς καὶ παρ' ἐλπίδας χαρὰ
ἔοικεν ἄλλῃ μῆκος οὐδὲν ἡδονῇ,
ἥκω, δι' ὅρκων καίπερ ὢν ἀπώμοτος,

354—364. = 365—374.

κόρην ἄγων τήνδ', ἣ καθηρέθη τάφον
κοσμοῦσα. κλῆρος ἐνθάδ' οὐκ ἐπάλλετο,
ἀλλ' ἔστ' ἐμὸν θοὔρμαιον, οὐκ ἄλλου, τόδε.
καὶ νῦν, ἄναξ, τήνδ' αὐτὸς, ὡς θέλεις, λαβὼν
καὶ κρῖνε κἀξέλεγχ'· ἐγὼ δ' ἐλεύθερος
δίκαιός εἰμι τῶνδ' ἀπηλλάχθαι κακῶν.
ΚΡ. ἄγεις δὲ τήνδε τῷ τρόπῳ πόθεν λαβών;
ΦΥ. αὕτη τὸν ἄνδρ' ἔθαπτε· πάντ' ἐπίστασαι.
ΚΡ. ἦ καὶ ξυνίης καὶ λέγεις ὀρθῶς ἃ φής;
ΦΥ. ταύτην γ' ἰδὼν θάπτουσαν ὃν σὺ τὸν νεκρὸν
ἀπεῖπας. ἆρ' ἔνδηλα καὶ σαφῆ λέγω;
ΚΡ. καὶ πῶς ὁρᾶται κἀπίληπτος ᾑρέθη;
ΦΥ. τοιοῦτον ἦν τὸ πρᾶγμ'. ὅπως γὰρ ἥκομεν,
πρὸς σοῦ τὰ δείν' ἐκεῖν' ἐπηπειλημένοι,
πᾶσαν κόνιν σήραντες, ἣ κατεῖχε τὸν
νέκυν, μυδῶν τε σῶμα γυμνώσαντες εὖ
καθήμεθ' ἄκρων ἐκ πάγων ὑπήνεμοι,
ὀσμὴν ἀπ' αὐτοῦ μὴ βάλοι πεφευγότες,
ἐγερτὶ κινῶν ἄνδρ' ἀνὴρ ἐπιρρόθοις
κακοῖσιν, εἴ τις τοῦδ' ἀκηδήσοι πόνου.
χρόνον τάδ' ἦν τοσοῦτον, ἕς τ' ἐν αἰθέρι
μέσῳ κατέστη λαμπρὸς ἡλίου κύκλος
καὶ καῦμ' ἔθαλπε· καὶ τότ' ἐξαίφνης χθονὸς
τυφὼς ἀείρας σκηπτὸν, οὐράνιον ἄχος,
πίμπλησι πεδίον, πᾶσαν αἰκίζων φόβην
ὕλης πεδιάδος, ἐν δ' ἐμεστώθη μέγας
αἰθήρ· μύσαντες δ' εἴχομεν θείαν νόσον.
καὶ τοῦδ' ἀπαλλαγέντος ἐν χρόνῳ μακρῷ,
ἡ παῖς ὁρᾶται κἀνακωκύει πικρᾶς
ὄρνιθος ὀξὺν φθόγγον, ὡς ὅταν κενῆς
εὐνῆς νεοσσῶν ὀρφανὸν βλέψῃ λέχος·
οὕτω δὲ χαὔτη, ψιλὸν ὡς ὁρᾷ νέκυν,
γόοισιν ἐξῴμωξεν, ἐκ δ' ἀρὰς κακὰς
ἠρᾶτο τοῖσι τοὔργον ἐξειργασμένοις.
καὶ χερσὶν εὐθὺς διψάδ' ἐμφέρει κόνιν,
ἔκ τ' εὐκροτήτου χαλκέας ἄρδην πρόχου
χοαῖσι τρισπόνδοισι τὸν νέκυν στέφει.
χἠμεῖς ἰδόντες ἱέμεσθα, σὺν δέ νιν
θηρώμεθ' εὐθὺς οὐδὲν ἐκπεπληγμένην,
καὶ τάς τε πρόσθεν τάς τε νῦν ἠλέγχομεν
πράξεις· ἄπαρνος δ' οὐδενὸς καθίστατο,
ἅμ' ἡδέως ἔμοιγε κἀλγεινῶς ἅμα.
τὸ μὲν γὰρ αὐτὸν ἐκ κακῶν πεφευγέναι
ἥδιστον, ἐς κακὸν δὲ τοὺς φίλους ἄγειν
ἀλγεινόν. ἀλλὰ πάντα ταῦθ' ἥσσω λαβεῖν
ἐμοὶ πέφυκε τῆς ἐμῆς σωτηρίας.
ΚΡ. σὲ δὴ, σὲ τὴν νεύουσαν ἐς πέδον κάρα,
φῂς, ἢ καταρνεῖ μὴ δεδρακέναι τάδε;
ΑΝ. καὶ φημὶ δρᾶσαι κοὐκ ἀπαρνοῦμαι τὸ μή.
ΚΡ. σὺ μὲν κομίζοις ἂν σεαυτὸν ᾗ θέλεις
ἔξω βαρείας αἰτίας ἐλεύθερον·

---

345. τ'] γ' pr. *εἰναλίαν] ἐναλίαν 351. ἵπ-
πον] ο ex ω factum. ἀέξεται D.] ἕξεται. Scho-
liasta duplicem scripturam ἀμφὶ λόφον ζυγόν et ἀμ-
φίλοφον ζυγόν explicat et addit, καὶ λείπει ἡ ὑπό· ὑπὸ
ζυγὸν ἄγει. Tum ad verba proxima (οὔρειόν τ' ἀκμῆτα
ἄ
ταῦρον) ἀπὸ κοινοῦ τὸ ὑπὸ ζυγὸν ἕξεται. ἄξεται est
in apographis. 356. ὑπαίθρεια Boeckhius] αἴθρια
ι
361. Ἅιδα] ἅϊδα, ι super α a m. pr. Puncta su-
ον
per ι priore erasa. μόνον] μόνωι, ον a m. pr. μό-
νου Nauckius. φύξιν Meinekius] φεῦξιν 363.
ἀμηχάνων] ων ex ουσ factum a m. rec. 367. *ποτὲ]
τοτὲ. νῦν Heimsoethius. 369. παραιρῶν D.] παρ-
είρων 373. *μήτ' ἐμοὶ] μήτε μοι 379. καὶ]
παῖ vel κἀκ Meinekius. 382. βασιλείοισιν Tri-
clinius] βασιλείοις 384. φύλαξ praescriptum ab
S.: ἀγ a m. pr. ἡ 'ξειργασμένη Brunckius]
ἐξειργασμένη 386. ἐς D.] εἰς *δέον] μέσον
387. προύβην] ἐξέβην, superscripto ab S προύβΗΝ,
literis ΗΝ capitalibus. 392. ἐλπίδας χαρὰ] ἐλπί-
ου
δαχα pr., ρὰ addidit S. 394. ὅρκων, ου a m. pr.
superscripto.

395. καθηρέθη anonymus in *Classical Iournal* 17.
p. 58.] καθευρέθη 397. ἔστ' ex ἔτ' factum ab S.
'ε
398. θέλεις] θέλεισ, ε ab S. 403. *ξυνίης] ξυνίεις
404. ἰδὼν Brunckius] ἴδον 405. ἆρ'] ἀρ' super-
η
scripto a m. pr. ως sine accentu. 406. ᾑρέθη] εὑ-
ρέθη, η a m. pr. ᾑρέθη legit scholiasta. 410. εὖ]
αὖ Reiskius. 412. βάλοι Stephanus] βάλῃ 413.
*κινῶν] κεῖνον 414. ἀκηδήσοι Bonitzius] ἀφειδή-
σοι 420. *ἐν δ'] ἔνθ' 429. διψάδ' ἐμφέρει D.]
ι
διψὰν ἐκφέρει, accentu gravi super α a m. recentiore
addito et eraso ι super ν. γρ. διψίαν φέρει ab S.
434. *πρόσθεν] πρόσθε 436. ἅμ' D.] ἀλλ' 441.
ἐς D.] εἰς 444. ᾗ] *οἷ

σὺ δ᾽ εἰπέ μοι μὴ μῆκος, ἀλλὰ συντόμως,
ᾔδησθα κηρυχθέντα μὴ πράσσειν τάδε;
ΑΝ. ᾔδη· τί δ᾽ οὐκ ἔμελλον; ἐμφανῆ γὰρ ἦν.
ΚΡ. καὶ δῆτ᾽ ἐτόλμας τούσδ᾽ ὑπερβαίνειν νόμους;
ΑΝ. οὐ γάρ τί μοι Ζεὺς ἦν ὁ κηρύξας τάδε,
οὐδ᾽ ἡ ξύνοικος τῶν κάτω θεῶν Δίκη
τοιούσδ᾽ ἐν ἀνθρώποισιν ὥρισεν νόμους,
οὐδὲ σθένειν τοσοῦτον ᾠόμην τὰ σὰ
κηρύγμαθ᾽ ὥστ᾽ ἄγραπτα κἀσφαλῆ θεῶν
νόμιμα δύνασθαι θνητὸν ὄνθ᾽ ὑπερδραμεῖν.
οὐ γάρ τι νῦν γε κἀχθές, ἀλλ᾽ ἀεί ποτε
ζῆ ταῦτα, κοὐδεὶς οἶδεν ἐξ ὅτου ᾽φάνη.
τούτων ἐγὼ οὐκ ἔμελλον, ἀνδρὸς οὐδενὸς
φρόνημα δείσασ᾽, ἐν θεοῖσι τὴν δίκην
δώσειν· θανουμένη γὰρ ἐξῄδη, τί δ᾽ οὔ;
κεἰ μὴ σὺ προυκήρυξας. εἰ δὲ τοῦ χρόνου
πρόσθεν θανοῦμαι, κέρδος αὔτ᾽ ἐγὼ λέγω.
ὅστις γὰρ ἐν πολλοῖσιν ὡς ἐγὼ κακοῖς
ζῆ, πῶς ὅδ᾽ οὐχὶ κατθανὼν κέρδος φέρει;
οὕτως ἔμοιγε τοῦδε τοῦ μόρου τυχεῖν
παρ᾽ οὐδὲν ἄλγος, ἀλλ᾽ ἄν, εἰ τὸν ἐξ ἐμῆς
μητρὸς θανόντ᾽ ἄθαπτον ἠνσχόμην νέκυν,
κείνοις ἂν ἤλγουν· τοῖσδε δ᾽ οὐκ ἀλγύνομαι.
σοὶ δ᾽ εἰ δοκῶ νῦν μῶρα δρῶσα τυγχάνειν,
σχεδόν τι μώρῳ μωρίαν ὀφλισκάνω.
ΧΟ. δηλοῖ τὸ γέννημ᾽ ὠμὸν ἐξ ὠμοῦ πατρὸς
τῆς παιδός· εἴκειν δ᾽ οὐκ ἐπίσταται κακοῖς.
ΚΡ. ἀλλ᾽ ἴσθι τοι τὰ σκλήρ᾽ ἄγαν φρονήματα
πίπτειν μάλιστα, καὶ τὸν ἐγκρατέστατον
σίδηρον ὀπτὸν ἐκ πυρὸς περισκελῆ
θραυσθέντα καὶ ῥαγέντα πλεῖστ᾽ ἂν εἰσίδοις.
σμικρῷ χαλινῷ δ᾽ οἶδα τοὺς θυμουμένους
ἵππους καταρτυθέντας· οὐ γὰρ ἐκπέλει
φρονεῖν μέγ᾽ ὅστις δοῦλός ἐστι τῶν πέλας.
αὕτη δ᾽ ὑβρίζειν μὲν τότ᾽ ἐξηπίστατο,
νόμους ὑπερβαίνουσα τοὺς προκειμένους·
ὕβρις δ᾽, ἐπεὶ δέδρακεν, ἥδε δευτέρα,
τούτοις ἐπαυχεῖν καὶ δεδρακυῖαν γελᾶν,
ἦ νῦν ἐγὼ μὲν οὐκ ἀνήρ, αὕτη δ᾽ ἀνήρ,
εἰ ταῦτ᾽ ἀνατὶ τῇδε κείσεται κράτη.
ἀλλ᾽ εἴτ᾽ ἀδελφῆς εἴθ᾽ ὁμαιμονεστέρα
τοῦ παντὸς ἡμῖν Ζηνὸς ἑρκείου κυρεῖ,
αὐτή τε χἠ ξύναιμος οὐκ ἀλύξετον
μόρου κακίστου· καὶ γὰρ οὖν κείνην ἴσον
ἐπαιτιῶμαι τοῦδε βουλεῦσαι τάφου.
καί νιν καλεῖτ᾽· εἴσω γὰρ εἶδον ἀρτίως
λυσσῶσαν αὐτὴν οὐδ᾽ ἐπήβολον φρενῶν.
φιλεῖ δ᾽ ὁ θυμὸς πρόσθεν ᾑρῆσθαι κλοπεὺς
τῶν μηδὲν ὀρθῶς ἐν σκότῳ τεχνωμένων.
μισῶ γε μέντοι χὤταν ἐν κακοῖσί τις
ἁλοὺς ἔπειτα τοῦτο καλλύνειν θέλῃ.
ΑΝ. θέλεις τι μεῖζον ἢ κατακτεῖναί μ᾽ ἑλών;
ΚΡ. ἐγὼ μὲν οὐδέν· τοῦτ᾽ ἔχων ἅπαντ᾽ ἔχω.
ΑΝ. τί δῆτα μέλλεις; ὡς ἐμοὶ τῶν σῶν λόγων
ἀρεστὸν οὐδέν, μηδ᾽ ἀρεσθείη ποτέ,
οὕτω δὲ καὶ σοὶ τἄμ᾽ ἀφανδάνοντ᾽ ἔφυ.
καίτοι πόθεν κλέος γ᾽ ἂν εὐκλεέστερον
κατέσχον ἢ τὸν αὐτάδελφον ἐν τάφῳ
τιθεῖσα; τούτοις τοῦτο πᾶσιν ἀνδάνειν
λέγοιτ᾽ ἄν, εἰ μὴ γλῶσσαν ἐγκλῄσαι φόβος.
[ἀλλ᾽ ἡ τυραννὶς πολλά τ᾽ ἄλλ᾽ εὐδαιμονεῖ
κἄξεστιν αὐτῇ δρᾶν λέγειν θ᾽ ἃ βούλεται.]
ΚΡ. σὺ τοῦτο μούνη τῶνδε Καδμείων ὁρᾷς.
ΑΝ. ὁρῶσι χοὗτοι· σοὶ δ᾽ ὑπίλλουσι στόμα.
ΚΡ. σὺ δ᾽ οὐκ ἐπαιδεῖ, τῶνδε χωρὶς εἰ φρονεῖς;
ΑΝ. οὐδὲν γὰρ αἰσχρὸν τοὺς ὁμοσπλάγχνους σέβειν.
ΚΡ. οὔκουν ὅμαιμος χὠ καταντίον θανών;
ΑΝ. ὅμαιμος ἐκ μιᾶς τε καὶ ταὐτοῦ πατρός.
ΚΡ. πῶς δῆτ᾽ ἐκείνῳ δυσσεβῆ τιμᾷς χάριν;
ΑΝ. οὐ μαρτυρήσει ταῦθ᾽ ὁ κατθανὼν νέκυς.
ΚΡ. εἴ τοί σφε τιμᾷς ἐξ ἴσου τῷ δυσσεβεῖ.
ΑΝ. οὐ γάρ τι δοῦλος, ἀλλ᾽ ἀδελφὸς ὤλετο.
ΚΡ. πορθῶν δὲ τήνδε γῆν· ὁ δ᾽ ἀντιστὰς ὕπερ.
ΑΝ. ὅμως ὅ γ᾽ Ἅιδης τοὺς νόμους ἴσους ποθεῖ.
ΚΡ. ἀλλ᾽ οὐχ ὁ χρηστὸς τῷ κακῷ λαχεῖν ἴσος.
ΑΝ. τίς οἶδεν εἰ κάτω ᾽στὶν εὐαγῆ τάδε;
ΚΡ. οὔτοι ποθ᾽ οὑχθρός, οὐδ᾽ ὅταν θάνῃ, φίλος.
ΑΝ. οὔτοι συνέχθειν, ἀλλὰ συμφιλεῖν ἔφυν.
ΚΡ. κάτω νυν ἐλθοῦσ᾽, εἰ φιλητέον, φίλει
κείνους· ἐμοῦ δὲ ζῶντος οὐκ ἄρξει γυνή.
ΧΟ. καὶ μὴν πρὸ πυλῶν ἥδ᾽ Ἰσμήνη,
φιλάδελφα κάτω δάκρυ᾽ εἰβομένη·
νεφέλη δ᾽ ὀφρύων ὕπερ αἱματόεν
ῥέθος αἰσχύνει,
τέγγουσ᾽ εὐῶπα παρειάν.
ΚΡ. σὺ δ᾽, ἣ κατ᾽ οἴκους ὡς ἔχιδν᾽ ὑφειμένη
λήθουσά μ᾽ ἐξέπινες, οὐδ᾽ ἐμάνθανον
τρέφων δύ᾽ ἄτα κἀπαναστάσεις θρόνων,
φέρ᾽ εἰπὲ δή μοι, καὶ σὺ τοῦδε τοῦ τάφου
φήσεις μετασχεῖν, ἢ ᾽ξομεῖ τὸ μὴ εἰδέναι;
ΙΣ. δέδρακα τοὔργον, εἴπερ ἥδ᾽ ὁμορροθεῖ,
καὶ ξυμμετίσχω καὶ φέρω τῆς αἰτίας.
ΑΝ. ἀλλ᾽ οὐκ ἐάσει τοῦτό γ᾽ ἡ δίκη σ᾽, ἐπεὶ
οὔτ᾽ ἠθέλησας οὔτ᾽ ἐγὼ ᾽κοινωσάμην.
ΙΣ. ἀλλ᾽ ἐν κακοῖς τοῖς σοῖσιν οὐκ αἰσχύνομαι
ξύμπλουν ἐμαυτὴν τοῦ πάθους ποιουμένη.

---

447. ᾔδησθα Cobetus] ᾔιδεις τὰ    448. ᾔδη Brun-
μ
ckius] ᾔιδειν    ἐμφανῆ] ἐκφανῆ, μ a m. pr.    452. τοιούσδ᾽ — ὥρισεν Valckenarius] οἳ τούσδ᾽ — ὥρισαν    457. φάνη sine coronide.    458. *ἐγὼ οὐκ] ἔγ᾽ οὐκ    460. ἐξῄδη Brunckius] ἐξήιδειν    462. *αὔτ᾽] αὖτ᾽    467. *ἠνσχόμην] ηἰσχόμην. Toleravi ἠνσχόμην ex uno receptum apographo interpolato Parisino 2712. ut legi haec possent. Neque enim dubitandum quin verba ab correctore vetere non animadvertente unius versus defectum sint interpolata, Sophoclis autem haec fere fuerit sententia, παρ᾽ οὐδὲν ἄλγος, ἀλλὰ μᾶλλον εἴ τι σοῖς | ὑπεικαθοῦσα καινοπηγέσιν νόμοις | θανόντ᾽ ἄθαπτον τόνδ᾽ ἀνεσχόμην νέκυν. Quale quid hoc loco dictum ab Antigona fuisse ex versibus superioribus 453—455. colligi potest.
474. πίπτειν] πίπτει Boeckhius.    482. 483. inverso ordine, sed adscriptis literis β et α.    486. ὁμαιμονεστέρα] ὁμαιμονεστέραισ, sed erasis literis ισ
487. *ἑρκείου] ἑρκίου    491. εἴσω D.] ἔσω

504. *ἀνδάνειν] ἁνδάνει    505. ἐγκλῄσαι Erfurdtius (nisi quod ἐγκλείσαι scripsit)] ἐγκλείσοι
506. 507. seclusit Iacobus.    507. δρᾶν a m. antiquissima additum.    509. *ὑπίλλουσι] ἰπίλλουσιν in textu et in lemmate scholii.    514. δυσσεβῆ] δυσσε-
ηι
βῶι    516. *τοι] τοῖς    519. ἴσους] τούτους, sed adscripto ab S γρ. τοὺς νόμους ἴσους    521. κάτω ᾽στὶν] γρ. κάτωθεν ab S ex scholiasta.    523. οὔτοι
θ
συνέχθειν] οὐτουυνέχειν, literis του in τοισ ab S mutis et θ a m. pr. super χ scripto.    527. δάκρυ᾽ εἰβομένη Triclinius] δάκρυα λειβόμενα (sic codex, non λειβομένα).    535. ἢ ᾽ξομεῖ τὸ μὴ] ἢ ἐξομῆι (sic a m. pr. correctum pro ἐξομεῖ] τὸ μ᾽    538. σ᾽ ab S additum.    539. κοινωσάμην sine coronide.    541. *ποιουμένη] ποιουμένην

ΑΝ. ὧν τοὔργον Ἅιδης χοἰ κάτω ξυνίστορες·
λόγοις δ᾽ ἐγὼ φιλοῦσαν οὐ στέργω φίλην.
ΙΣ. μήτοι, κασιγνήτη, μ᾽ ἀτιμάσῃς τὸ μὴ οὐ
θανεῖν τε σὺν σοὶ τὸν θανόντα θ᾽ ἁγνίσαι.
ΑΝ. μή μοι θάνῃς σὺ κοινά, μηδ᾽ ἃ μὴ ᾿θιγες
ποιοῦ σεαυτῆς· ἀρκέσω θνήσκουσ᾽ ἐγώ.
ΙΣ. καὶ τίς βίος μοι σοῦ λελειμμένη φίλος;
ΑΝ. Κρέοντ᾽ ἐρώτα· τοῦδε γὰρ σὺ κηδεμών.
ΙΣ. τί ταῦτ᾽ ἀνιᾷς μ᾽ οὐδὲν ὠφελουμένη;
ΑΝ. ἀλγοῦσα μὲν δή, κεἰ γέλωτ᾽ ἔν σοι γελῶ.
ΙΣ. τί δῆτ᾽ ἂν ἀλλὰ νῦν σ᾽ ἔτ᾽ ὠφελοῖμ᾽ ἐγώ;
ΑΝ. σῶσον σεαυτήν· οὐ φθονῶ σ᾽ ὑπεκφυγεῖν.
ΙΣ. οἴμοι τάλαινα, κἀμπλάκω τοῦ σοῦ μόρου;
ΑΝ. σὺ μὲν γὰρ εἵλου ζῆν, ἐγὼ δὲ κατθανεῖν.
ΙΣ. ἀλλ᾽ οὐκ ἐπ᾽ ἀρρήτοις γε τοῖς ἐμοῖς λόγοις.
ΑΝ. καλῶς σὺ μὲν σοί, τοῖς δ᾽ ἐγὼ ᾿δόκουν φρονεῖν.
ΙΣ. καὶ μὴν ἴση νῷν ἐστιν ἡ ᾿ξαμαρτία.
ΑΝ. θάρσει· σὺ μὲν ζῆς, ἡ δ᾽ ἐμὴ ψυχὴ πάλαι
τέθνηκεν, ὥστε τοῖς θανοῦσιν ὠφελεῖν.
ΚΡ. τὼ παῖδέ φημι τώδε τὴν μὲν ἀρτίως
ἄνουν πεφάνθαι, τὴν δ᾽ ἀφ᾽ οὗ τὰ πρῶτ᾽ ἔφυ.
ΙΣ. οὐ γάρ ποτ᾽, ὦναξ, οὐδ᾽ ὃς ἂν βλάστῃ μένει
νοῦς τοῖς κακῶς πράσσουσιν, ἀλλ᾽ ἐξίσταται.
ΚΡ. σοὶ γοῦν, ὅθ᾽ εἵλου σὺν κακοῖς πράσσειν κακά.
ΙΣ. τί γὰρ μόνῃ μοι τῆσδ᾽ ἄτερ βιώσιμον;
ΚΡ. ἀλλ᾽ ἥδε μέντοι μὴ λέγ᾽· οὐ γὰρ ἔστ᾽ ἔτι.
ΙΣ. ἀλλὰ κτενεῖς νυμφεῖα τοῦ σαυτοῦ τέκνου;
ΚΡ. ἀρώσιμοι γὰρ εἰσὶ χἀτέρων γύαι.
ΙΣ. οὐχ ὥς γ᾽ ἐκείνῳ τῇδέ τ᾽ ἦν ἡρμοσμένα.
ΚΡ. κακὰς ἐγὼ γυναῖκας υἱέσι στυγῶ.
ΑΝ. ὦ φίλταθ᾽ Αἷμον, ὥς σ᾽ ἀτιμάζει πατήρ.
ΚΡ. ἄγαν γε λυπεῖς καὶ σὺ καὶ τὸ σὸν λέχος.
ΧΟ. ἦ γὰρ στερήσεις τῆσδε τὸν σαυτοῦ γόνον;
ΚΡ. Ἅιδης ὁ παύσων τούσδε τοὺς γάμους ἐμοί.
ΧΟ. δεδογμέν᾽, ὡς ἔοικε, τήνδε κατθανεῖν.
ΚΡ. καὶ σοί γε κἀμοί. μὴ τριβὰς ἔτ᾽, ἀλλά νιν
κομίζετ᾽ εἴσω, δμῶες· εὖ δὲ τάσδε χρὴ
γυναῖκας ἶλαι μηδ᾽ ἀνειμένας ἐᾶν.
φεύγουσι γάρ τοι χοἰ θρασεῖς, ὅταν πέλας
ἤδη τὸν Ἅιδην εἰσορῶσι τοῦ βίου.
ΧΟ. εὐδαίμονες οἷσι κακῶν ἄγευστος αἰών.
οἷς γὰρ ἂν σεισθῇ θεόθεν δόμος, ἄτας
οὐδὲν ἐλλείπει γενεᾶς ἐπὶ πλῆθος ἕρπον·

582—592. = 593—603.

ὅμοιον ὥστε ποντίαις
οἶδμα δυσπνόοις ὅταν
Θρῄσσαισιν ἔρεβος ὕφαλον ἐπιδράμῃ πνοαῖς,
κυλίνδει βυσσόθεν κελαινὰν
θῖνα καὶ δυσάνεμον,
στόνῳ βρέμουσι δ᾽ ἀντιπλῆγες ἀκταί.
593 ἀρχαῖα τὰ Λαβδακιδᾶν οἴκων ὁρῶμαι
πήματ᾽ ἀλλ᾽ ἄλλοις ἐπὶ πήμασι πίπτοντ᾽,
οὐδ᾽ ἀπαλλάσσει γενεὰν γένος, ἀλλ᾽ ἐρείπει
θεῶν τις, οὐδ᾽ ἔχει λύσιν.
νῦν γὰρ ἐσχάτας ὑπὲρ
ῥίζας ὃ τέτατο φάος ἐν Οἰδίπου δόμοις,
κατ᾽ αὖ νιν φοινία θεῶν τῶν
νερτέρων ἀμᾷ κοπίς,
λόγου τ᾽ ἄνοια καὶ φρενῶν Ἐρινύς.
τεάν, Ζεῦ, δύνασιν τίς ἀνδρῶν
ὑπερβασία κατάσχῃ,
τὰν οὔθ᾽ ὕπνος αἱρεῖ ποθ᾽ ὁ παντογήρως
οὔτ᾽ ἄκοποι θεῶν νιν
μῆνες, ἀγήρως δὲ χρόνῳ δυνάστας
κατέχεις Ὀλύμπου
μαρμαρόεσσαν αἴγλαν.
τό τ᾽ ἔπειτα καὶ τὸ μέλλον
καὶ τὸ πρὶν ἐπαρκέσει
νόμος ὅδ᾽, ⏑́ ⏑ – –
θνατῶν βιότῳ πάμπολις – ⏑ – –
ἁ γὰρ δὴ πολύπλαγκτος ἐλπὶς
πολλοῖς μὲν ὄνασις ἀνδρῶν,
πολλοῖς δ᾽ ἀπάτα κουφονόων ἐρώτων·
εἰδότι δ᾽ οὐδὲν ἕρπει,
πρὶν πυρὶ θερμῷ πόδα τις προσαύσῃ.
σοφίᾳ γὰρ ἔκ του
κλεινὸν ἔπος πέφανται,
τὸ κακὸν δοκεῖν ποτ᾽ ἐσθλὸν
τῷδ᾽ ἔμμεν ὅτῳ φρένας
θεὸς ἄγει πρὸς ἄταν·
πράσσει δ᾽ ὀλιγοστὸν χρόνον ἐκτὸς ἄτας.

604—614. = 615—625.

---

η
544. τὸ μὴ] τὸ μ᾽, η a m. pr. 546. ᾿θιγες] θίγες 551. δή, κεἰ γέλωτ᾽ ἔν σοι D.] δῆτ᾽ εἰ γέλωτ᾽ ἐν σοὶ 552. *σ᾽ ἔτ᾽] σε τ᾽ 557. μὲν σοὶ scholiasta] μὲν γοῦ, in μέντοι mutatum a m. pr. δόκουν sine coronide, quam hic et alibi addidit Brunckius. 563. βλάστῃ Schaeferus] βλαστῆι 565.
.ῆι.
σοὶ] καὶ σοί, sed καὶ deleto. κακοῖς] κακοισ, ῆι a m. pr. vel S. 567. μέντοι Brunckius] μέν σοι
ο
568. *νυμφεῖα] νυμφια sine accentu. 569. ἀρώσιμοι, ο a m. ant. εἰσὶ χἀτέρων D.] χἀτέρων εἰσὶν
.ή.
570. ἡρμοσμένα] ειρμοσμένα, ή a m. pr. 571. *υἱέσι] υἱάσι 572 *ΑΝ. Aldus] ΙΣ. *Αἷμον] αἵμων 574. 576. ΧΟ. Boeckhius pro ΙΣ. 575. ἐμοί] *ἔφυ 578. εὖ δὲ τάσδε χρὴ γυναῖκας ἶλαι (vel εἶρξαι) μηδ᾽ ἀνειμένας ἐᾶν D.] ἐκ δὲ τᾶσδε (sic codex in textu et in lemmate scholii) χρὴ γυναῖκας εἶναι (i. e. εἶλαι) τάσδε μηδ᾽ ἀνειμένας. 586. ἐπὶ
.ω.
πλῆθος ἕρπον] ἐπιπλῆθος ἕρπον

587. ποντίαις] ποντίαισ (ι ante σ a m. antiqua illato) ἁλός. ἁλός delevit Elmsleius ad Eurip. Heracl. 570. 589. Θρῄσσαισιν Ellendtius] θρήισσῃσιν 591. δυσάνεμον, στόνῳ βρέμουσι δ᾽] δυσάνεμοι στόνῳ βρέμουσιν Linwoodius. 592. βρέμουσι] β ex τ factum ut videtur. 593. Λαβδακιδᾶν] Ante β erasum ν. 595. πήματ᾽ ἀλλ᾽ ἄλλοις D.] πήματα φθιμένων 597. *ἐρείπει] ἐρίπει 599. *ὑπὲρ] ὕπερ 600. ὃ ex schol. additum. 601. *κατ᾽ αὖ] κᾶτ᾽ αὖ 602. *ἀμᾷ] ἀμαῖ κοπὶς Reiskius] κόνις
.σ.
604. δύνασιν] δύναμιν, σ a m. pr. 605. *κατάσχῃ] κατάσχοι: quo servato ὑπέρβασις ἂν κατάσχοι Meinekius. 606. παντογήρως] παντοθήρας Bambergerus.
607. οὔτ᾽ ἄκοποι θεῶν νιν μῆνες D.] οὔτ᾽ ἀκάματοι θεῶν μῆνες 608. ἀγήρωι pr., ἀγήρωσ corr. Utramque scripturam explicat scholiasta. 613. 614. Post νόμος ὅδ᾽ addit codex οὐδὲν ἕρπει et post πάμπολις addit ἐκτὸς ἄτας. Supplementa lacunae ex v. 618. 625. illata delevit indicata lacuna D. Syllabae πολις ἐκτὸς ἄτας separato versu scriptae sunt.
616. ὄνασις Brunckius] ὄνησιν pr., ὄνησισ corr.
619. προσαύσῃ] Ultimis syllabis superscr. a m. ant. αἵρει (i. e. προσαίρει, quod schol. per προσφέρει explicat) inter duo puncta quibus αύσηι delen-
ι
dum esse indicatur. 620. σοφίᾳ] σοφία, ι a m. rec. 621. πέφανται] ν erasum. 623. ἔμμεν Brunckius] ἔμμεν᾽ 625. ὀλιγοστὸν] ὀλίγοστὸν, ο ante σ in ω mutato.

ὅδε μὴν Αἵμων, παίδων τῶν σῶν
νέατον γέννημ᾽· ἆρ᾽ ἀχνύμενος
τάλιδος ἥκει μόρον Ἀντιγόνης,
ἀπάτης λεχέων ὑπεραλγῶν;
ΚΡ. τάχ᾽ εἰσόμεσθα μάντεων ὑπέρτερον.
ὦ παῖ, τελείαν ψῆφον ἆρα μὴ κλύων
τῆς μελλονύμφου πατρὶ λυσσαίνων πάρει;
ἢ σοὶ μὲν ἡμεῖς πανταχῇ δρῶντες φίλοι;

ΑΙΜΩΝ.

πάτερ, σός εἰμι· καὶ σύ μοι γνώμας ἔχων
χρηστὰς ἀπορθοῖς, αἷς ἔγωγ᾽ ἐφέψομαι.
ἐμοὶ γὰρ οὐδεὶς ἀξιώσεται γάμος
μεῖζον φέρεσθαι σοῦ καλῶς ἡγουμένου.
ΚΡ. οὕτω γάρ, ὦ παῖ, χρὴ διὰ στέρνων ἔχειν,
γνώμης πατρῴας πάντ᾽ ὄπισθεν ἑστάναι.
τούτου γὰρ οὕνεκ᾽ ἄνδρες εὔχονται γονὰς
κατηκόους φύσαντες ἐν δόμοις ἔχειν,
ὡς καὶ τὸν ἐχθρὸν ἀνταμύνωνται κακοῖς
καὶ τὸν φίλον τιμῶσιν ἐξ ἴσου πατρί.
ὅστις δ᾽ ἀνωφέλητα φιτύει τέκνα,
τί τόνδ᾽ ἂν εἴποις ἄλλο πλὴν αὑτῷ πόνους
φῦσαι, πολὺν δὲ τοῖσιν ἐχθροῖσιν γέλων;
μή νύν ποτ᾽, ὦ παῖ, φρένας ὑφ᾽ ἡδονῆς δαμεὶς
γυναικὸς οὕνεκ᾽ ἐκβάλῃς, εἰδὼς ὅτι
ψυχρὸν παραγκάλισμα τοῦτο γίγνεται,
γυνὴ κακὴ ξύνευνος ἐν δόμοις. τί γὰρ
γένοιτ᾽ ἂν ἕλκος μεῖζον ἢ φίλος κακός;
ἀλλὰ πτύσας ὡσεί τε δυσμενῆ μέθες
τὴν παῖδ᾽ ἐν Ἅιδου τήνδε νυμφεύειν τινί.
ἐπεὶ γὰρ αὐτὴν εἷλον ἐμφανῶς ἐγὼ
πόλεως ἀπιστήσασαν ἐκ πάσης μόνην,
ψευδῆ γ᾽ ἐμαυτὸν οὐ καταστήσω πόλει,
ἀλλὰ κτενῶ. πρὸς ταῦτ᾽ ἐφυμνείτω Δία
ξύναιμον· εἰ γὰρ δὴ τά γ᾽ ἐγγενῆ φύσει
ἄκοσμα θρέψω, κάρτα τοὺς ἔξω γένους.
ἐν τοῖς γὰρ οἰκείοισιν ὅστις ἔστ᾽ ἀνὴρ
χρηστός, φανεῖται κἂν πόλει δίκαιος ὤν.
ὅστις δ᾽ ὑπερβὰς ἢ νόμους βιάζεται,
ἢ τοὐπιτάσσειν τοῖς κρατύνουσιν νοεῖ,
οὐκ ἔστ᾽ ἐπαίνου τοῦτον ἐξ ἐμοῦ τυχεῖν.
ἀλλ᾽ ὃν πόλις στήσειε, τοῦδε χρὴ κλύειν
καὶ σμικρὰ καὶ δίκαια καὶ τἀναντία.
καὶ τοῦτον ἂν τὸν ἄνδρα θαρσοίην ἐγὼ
καλῶς μὲν ἄρχειν, εὖ δ᾽ ἂν ἄρχεσθαι θέλειν,
δορός τ᾽ ἂν ἐν χειμῶνι προστεταγμένον
μένειν δίκαιον κἀγαθὸν παραστάτην.
ἀναρχίας δὲ μεῖζον οὐκ ἔστιν κακόν.
αὕτη πόλεις ὄλλυσιν, ἥδ᾽ ἀναστάτους
οἴκους τίθησιν· ἥδε συμμάχου δορὸς
τροπὰς καταρρήγνυσι· τῶν δ᾽ ὀρθουμένων
σώζει τὰ πολλὰ σώμαθ᾽ ἡ πειθαρχία.
οὕτως ἀμυντέ᾽ ἐστὶ τοῖς κοσμουμένοις,
κοὔτοι γυναικὸς οὐδαμῶς ἡσσητέα.
κρεῖσσον γάρ, εἴπερ δεῖ, πρὸς ἀνδρὸς ἐκπεσεῖν,
κοὐκ ἂν γυναικῶν ἥσσονες καλοίμεθ᾽ ἄν.
ΧΟ. ἡμῖν μέν, εἰ μὴ τῷ χρόνῳ κεκλέμμεθα,
λέγειν φρονούντως ὧν λέγεις δοκεῖς πέρι.
ΑΙ. πάτερ, θεοὶ φύουσιν ἀνθρώποις φρένας,
πάντων ὅσ᾽ ἐστὶ κτημάτων ὑπέρτατον.
ἐγὼ δ᾽ ὅπως σὺ μὴ λέγεις ὀρθῶς τάδε
οὔτ᾽ ἂν δυναίμην μήτ᾽ ἐπισταίμην λέγειν·
γένοιτο μέντἂν χἀτέρῳ καλῶς ἔχον.
σοῦ δ᾽ οὖν πέφυκα πάντα προσκοπεῖν ὅσα
λέγει τις ἢ πράσσει τις ἢ ψέγειν ἔχει.
τὸ γὰρ σὸν ὄμμα δεινὸν ἀνδρὶ δημότῃ
⏑ ⏓ ⏑ –, ⏑ ⏓ ⏑ –, ⏑ ⏓ ⏑ –
λόγοις τοιούτοις, οἷς σὺ μὴ τέρψει κλύων·
ἐμοὶ δ᾽ ἀκούειν ἔσθ᾽ ὑπὸ σκότου τάδε,
τὴν παῖδα ταύτην οἷ᾽ ὀδύρεται πόλις,
πασῶν γυναικῶν ὡς ἀναξιωτάτη
κάκιστ᾽ ἀπ᾽ ἔργων εὐκλεεστάτων φθίνει,
ἥτις τὸν αὑτῆς αὐτάδελφον ἐν φοναῖς
πεπτῶτ᾽ ἄθαπτον μήθ᾽ ὑπ᾽ ὠμηστῶν κυνῶν
εἴασ᾽ ὀλέσθαι μήθ᾽ ὑπ᾽ οἰωνῶν τινος,
οὐχ ἥδε χρυσῆς ἀξία τιμῆς λαχεῖν;
τοιάδ᾽ ἐρεμνὴ σῖγ᾽ ἐπέρχεται φάτις.
ἐμοὶ δὲ σοῦ πράσσοντος εὐτυχῶς, πάτερ,
οὐκ ἔστιν οὐδὲν κτῆμα τιμιώτερον.
τί γὰρ πατρὸς θάλλοντος εὐκλείας τέκνοις
ἄγαλμα μεῖζον, ἢ τί πρὸς παίδων πατρί;
μή νυν ἓν ἦθος μοῦνον ἐν σαυτῷ φόρει,
ὡς φῂς σύ, κοὐδὲν ἄλλο, τοῦτ᾽ ὀρθῶς ἔχειν.
ὅστις γὰρ αὐτὸς ἢ φρονεῖν μόνος δοκεῖ,
ἢ γλῶσσαν, ἣν οὐκ ἄλλος, ἢ ψυχὴν ἔχειν,
οὗτοι διαπτυχθέντες ὤφθησαν κενοί.
ἀλλ᾽ ἄνδρα, κεἴ τις ᾖ σοφός, τὸ μανθάνειν
πόλλ᾽ αἰσχρὸν οὐδὲν καὶ τὸ μὴ τείνειν ἄγαν.
ὁρᾷς παρὰ ῥείθοισι χειμάρροις ὅσα
δένδρων ὑπείκει, κλῶνας ὡς ἐκσώζεται,

---

628. *ἆρ᾽] ἄρ᾽ Post ἀχνύμενος sequitur separato versu τῆς μελλογάμου νύμφης, quod delevit Triclinius. 630. ἀπάτης D.] ἀπάτας λεχέων] λέχεων 632. ἆρα] ἄρα pr. 633. λυσσαίνων] γρ. θυμαίνων ab S. 635. *μοι] μου 637. ἀξιώσεται Musgravius] ἀξίως ἔσται 638. *μεῖζον] μείζων 640. *ὄπισθεν] ὄπιθεν 643. *ἀνταμύνωνται] ἀνταμύνονται 645. φιτύει Brunckius] φυτεύει 646. *αὑτῷ] αὐτῶι πόνους] γρ. πέδας ab S. quod explicatur in scholio. 648. φρένας D.] τὰς φρένας δαμεὶς addidit D. 650. *γίγνεται] γίνεται 656. *πάσης] πάσας 658. ταῦτ᾽] ταῦθ᾽, τ᾽ a m. ant. 659. τά γ᾽ Erfurdtius] τά τ᾽ ἐγγενῆ] ἐνγενῆ pr. Superscr. συγγενῆ. 664. τοῖς κρατύνουσιν νοεῖ pr. τοῖς κρατοῦσιν ἐννοεῖ non ab S, sed, ut videtur, a m. aliquanto recentiore. 670. στήσειε] Alterum ε ab S additum. 672. δὲ] γὰρ superscr. ab S.

673. *πόλεις] πόλισ θ, τ᾽ ab S. 673. 674. ἥδ᾽ — ἥδε] ἧδ᾽ et ἧδε, quae frequens in hoc codice aliisque aliorum scriptorum libris pronominfs scriptura est. 674. συμμάχου Reiskius] συμμάχηι (σὺν μάχῃ in apographis). 676. *πειθαρχία] πιθαρχία 681. *κεκλέμμεθα] κεκλήμεθα 684. *ὅσ᾽] ὅσσ᾽ κτημάτων] χρημάτων, κτ a m. pr. 685. *λέγεις] λέγηισ 688. σοῦ] ὶ (i. e. σοὶ) superscr. a m. pr. In marg. γρ. σὺ δ᾽ οὐ πέφυκας ab S. 691. Post hunc versum unius versus defectum indicavit D. 694. *ἀναξιωτάτη] ἂν ἀξιωτάτη 696. *αὑτῆς] αὐτῆς 697. *ὠμηστῶν] ὠμιστῶν κυνῶν] γρ. λύκων ab S. 698. *μήθ᾽] μήδ᾽ 699. *τιμῆς] τιμαῖς γρ. καὶ στήλης ab S. 701. ἐμοὶ] ἐμοῦ, ὶ ab alia m. εὐτυχῶς] εὐτυχῶ pr. σ addidit S. 705. μή νυν D.] μὴ νῦν 706. ἄλλο] ἄλλ᾽, ω o pr., literis o et ω, quae superscriptae sunt, erasis. *ἔχειν] ἔχει 710. *ᾖ] εἶ 711. ἄγαν] γαν in litura literarum μανθάν, quas librarius scripserat ad v. 710. aberrans. 712. *παρὰ ῥείθροισι] παραρρείθροισι

αὔτως δὲ ναὸς ὅστις ἐγκρατῆ πόδα
τείνας ὑπείκει μηδέν, ὑπτίοις κάτω
στρέψας τὸ λοιπὸν σέλμασιν ναυτίλλεται.
ἀλλ᾽ εἶκε καὶ θυμῷ μετάστασιν δίδου.
γνώμη γὰρ εἴ τις κἀπ᾽ ἐμοῦ νεωτέρου
πρόσεστι, φήμ᾽ ἔγωγε πρεσβεύειν πολὺ
φῦναι τὸν ἄνδρα πάντ᾽ ἐπιστήμης πλέων·
εἰ δ᾽ οὖν, φιλεῖ γὰρ τοῦτο μὴ ταύτῃ ῥέπειν,
καὶ τῶν λεγόντων εὖ καλὸν τὸ μανθάνειν.
ΧΟ. ἄναξ, σέ τ᾽ εἰκός, εἴ τι καίριον λέγει,
μαθεῖν, σέ τ᾽ αὖ τοῦδ᾽· εὖ γὰρ εἴρηται διπλῇ.
ΚΡ. οἱ τηλικοίδε καὶ διδαξόμεσθα δὴ
φρονεῖν ὑπ᾽ ἀνδρὸς τηλικοῦδε τὴν φύσιν;
ΑΙ. μηδὲν τὸ μὴ δίκαιον· εἰ δ᾽ ἐγὼ νέος,
οὐ τὸν χρόνον χρὴ μᾶλλον ἢ τἄργα σκοπεῖν.
ΚΡ. ἔργον γάρ ἐστι τοὺς ἀκοσμοῦντας σέβειν;
ΑΙ. οὐδ᾽ ἂν κελεύσαιμ᾽ εὐσεβεῖν ἐς τοὺς κακούς.
ΚΡ. οὐχ ἥδε γὰρ τοιᾷδ᾽ ἐπείληπται νόσῳ;
ΑΙ. οὔ φησι Θήβης τῆσδ᾽ ὁμόπτολις λεώς.
ΚΡ. πόλις γὰρ ἡμῖν ἁμὲ χρὴ τάσσειν ἐρεῖ;
ΑΙ. ὁρᾷς τόδ᾽ ὡς εἴρηκας ὡς ἄγαν νέος;
ΚΡ. ἄλλῳ γὰρ ἢ ᾽μοὶ χρή με τῆσδ᾽ ἄρχειν χθονός;
ΑΙ. πόλις γὰρ οὐκ ἔσθ᾽ ἥτις ἀνδρός ἐσθ᾽ ἑνός.
ΚΡ. οὐ τοῦ κρατοῦντος ἡ πόλις νομίζεται;
ΑΙ. καλῶς ἐρήμης γ᾽ ἂν σὺ γῆς ἄρχοις μόνος.
ΚΡ. ὅδ᾽, ὡς ἔοικε, τῇ γυναικὶ συμμαχεῖ.
ΑΙ. εἴπερ γυνὴ σύ· σοῦ γὰρ οὖν προκήδομαι.
ΚΡ. ὦ παγκάκιστε, διὰ δίκης ἰὼν πατρί.
ΑΙ. οὐ γὰρ δίκαιά σ᾽ ἐξαμαρτάνονθ᾽ ὁρῶ.
ΚΡ. ἁμαρτάνω γὰρ τὰς ἐμὰς ἀρχὰς σέβων;
ΑΙ. οὐ γὰρ σέβεις, τιμάς γε τὰς θεῶν πατῶν.
ΚΡ. ὦ μιαρὸν ἦθος καὶ γυναικὸς ὕστερον.
ΑΙ. οὔ τἂν ἕλοις ἥσσω γε τῶν αἰσχρῶν ἐμέ.
ΚΡ. ὁ γοῦν λόγος σοι πᾶς ὑπὲρ κείνης ὅδε.
ΑΙ. καὶ σοῦ γε κἀμοῦ, καὶ θεῶν τῶν νερτέρων.
ΚΡ. ταύτην ποτ᾽ οὐκ ἔσθ᾽ ὡς ἔτι ζῶσαν γαμεῖς.
ΑΙ. ἥδ᾽ οὖν θανεῖται καὶ θανοῦσ᾽ ὀλεῖ τινά.
ΚΡ. ἦ κἀπαπειλῶν ὧδ᾽ ἐπεξέρχει θρασύς;
ΑΙ. τίς δ᾽ ἔστ᾽ ἀπειλὴ πρὸς κενὰς γνώμας λέγειν;
ΚΡ. κλάων φρενώσεις, ὢν φρενῶν αὐτὸς κενός.
ΑΙ. εἰ μὴ πατὴρ ἦσθ᾽, εἶπον ἄν σ᾽ οὐκ εὖ φρονεῖν.
ΚΡ. γυναικὸς ὢν δούλευμα μὴ κώτιλλέ με.
ΑΙ. βούλει λέγειν τι καὶ λέγων μηδὲν κλύειν;
ΚΡ. ἄληθες; ἀλλ᾽ οὐ τόνδ᾽ Ὄλυμπον, ἴσθ᾽ ὅτι,
χαίρων ἐπὶ ψόγοισι δεννάσεις ἐμέ.
ἄγετε τὸ μῖσος, ὡς κατ᾽ ὄμματ᾽ αὐτίκα
παρόντι θνήσκῃ πλησία τῷ νυμφίῳ.
ΑΙ. οὐ δῆτ᾽ ἔμοιγε, τοῦτο μὴ δόξῃς ποτέ,
οὔθ᾽ ἥδ᾽ ὀλεῖται πλησία, σύ τ᾽ οὐδαμά,
τοὐμὸν προσόψει κρᾶτ᾽ ἐν ὀφθαλμοῖς ὁρῶν,
ὡς τοῖς θέλουσι τῶν φίλων μαίνῃ ξυνών.
ΧΟ. ἁνήρ, ἄναξ, βέβηκεν ἐξ ὀργῆς ταχύς·
νοῦς δ᾽ ἐστὶ τηλικοῦτος ἀλγήσας βαρύς.
ΚΡ. δράτω, φρονείτω μεῖζον ἢ κατ᾽ ἄνδρ᾽ ἰών·
τὼ δ᾽ οὖν κόρα τώδ᾽ οὐκ ἀπαλλάξει μόρου.
ΧΟ. ἄμφω γὰρ αὐτὼ καὶ κατακτεῖναι νοεῖς;
ΚΡ. οὐ τήν γε μὴ θιγοῦσαν· εὖ γὰρ οὖν λέγεις.
ΧΟ. μόρῳ δὲ ποίῳ καί σφε βουλεύει κτανεῖν;
ΚΡ. ἄγων ἔρημος ἔνθ᾽ ἂν ᾖ βροτῶν στίβος
κρύψω πετρώδει ζῶσαν ἐν κατώρυχι,
φορβῆς τοσοῦτον ὡς ἄγος μόνον προθείς,
ὅπως μίασμα πᾶσ᾽ ὑπεκφύγῃ πόλις.
κἀκεῖ τὸν Ἅιδην, ὃν μόνον σέβει θεῶν,
αἰτουμένη που τεύξεται τὸ μὴ θανεῖν,
ἢ γνώσεται γοῦν ἀλλὰ τηνικαῦθ᾽ ὅτι
πόνος περισσός ἐστι τἂν Ἅιδου σέβειν.
ΧΟ. Ἔρως ἀνίκατε μάχαν,
Ἔρως, ὃς ἐν τ᾽ ἀνδράσι πίπτεις,
ὃς ἐν μαλακαῖς παρειαῖς
νεάνιδος ἐννυχεύεις,
φοιτᾷς θ᾽ ὑπερπόντιος ἔν τ᾽ ἀγρονόμοις αὐλαῖς,
καί σ᾽ οὔτ᾽ ἀθανάτων φύξιμος οὐδεὶς
οὔθ᾽ ἁμερίων ἐπ᾽ ἀνθρώπων, ὁ δ᾽ ἔχων μέμηνεν.
σὺ καὶ δικαίων ἀδίκους
φρένας παρασπᾷς ἐπὶ λώβᾳ·
σὺ καὶ τόδε νεῖκος ἀνδρῶν
ξύναιμον ἔχεις ταράξας·
νικᾷ δ᾽ ἐναργὴς βλεφάρων ἵμερος εὐλέκτρου
νύμφας, τῶν μεγάλων ἐκτὸς ὁμιλῶν
θεσμῶν· ἄμαχος γὰρ ἐμπαίζει θεὸς Ἀφροδίτα.
νῦν δ᾽ ἤδη ᾽γὼ καὐτὸς θεσμῶν
ἔξω φέρομαι τάδ᾽ ὁρῶν, ἴσχειν δ᾽
οὐκέτι πηγὰς δύναμαι δακρύων,
τὸν παγκοίταν ὅθ᾽ ὁρῶ θάλαμον
τήνδ᾽ Ἀντιγόνην ἀνύτουσαν.
ΑΝ. ὁρᾶτ᾽ ἔμ᾽, ὦ γᾶς πατρίας πολῖται,

781—790. = 791—800.
806—816. = 823—833.

---

715. αὔτως] In οὕτωσ radendo mutatum.
οσ η
ὅστις ἐγκρατῆ] εἴτισ ἐγκρατεῖ, οσ et η a m. pr. 718. καὶ θυμῷ D.] θυμῶι καὶ 721. *πλέων] πλέω
725. διπλῇ Hermannus] διπλᾶι 726. οἱ] οι sine accentu, superscripto a m. pr. ἡῖ (sic, non ηῖ), quod supra praecedens διπλᾶι scribi debebat. *τηλικοίδε] τηλικοῖδε 731. ἐς D.] εἰς 734. *ἁμὲ] ἅ με 735. τόδ᾽] ο a m. ant. in α mutatum. *ἢ ᾽μοὶ χρή] ἢ μοι χρῆ με Dobraeus] γε 737. οὐκ ἔσθ᾽] οὐκ ἔθ᾽ Reiskius. 739. καλῶς ἐρήμης γ᾽] καλῶς γ᾽ ἐρήμης Blaydesius. Post καλῶς punctum est in codice. 747. οὔ τἂν Elmsleius] οὐκ ἂν 748. *ὁ γοῦν] ὅγ᾽ οὖν 751. ἥδ᾽ οὖν] ἥδ᾽ οὖν in textu et in lemmate scholii, non ἡ δ᾽ οὖν. 752. ἦ κἀπαπειλῶν] . . π.πειλῶν cum trium literarum litura. ἦ κἀπαπειλῶν a m. antiqua. 754. κλάων D.] κλαίων 757. *κλύειν] λέγειν 758. *ἄληθες] ἀληθές, etsi alibi ἄληθες. 759. ἐπὶ] ἔτι Dobraeus. δεννάσεις] δ᾽ ἐννάσεισ, δ᾽ ab S posito pro alia litera, quae λ fuisse videtur. δ᾽ ἐννάζων pro δεννάζων Ai. 243.

760. *ἄγετε] ἄγαγε 761. *θνήσκῃ] θνηίσκει
ε εισ
763. *οὐδαμὰ] οὐδαμᾶι 765. *μαίνῃ] μαίνηισ, ε et εισ a m. antiqua superscriptis et σ post νηι
σ
eraso. ξυνών] ξυνών, σ a m. pr. 767. βαρύσ in litura pro βραχύσ 769. τὼ δ᾽ — τώδ᾽ D.] τὰ δ᾽ (codex τάδ᾽) — τάδ᾽. 770. αὐτὼ D.] αὐτὰ *κατακτεῖναι] κατακτῆναι 771. τήν γε — λέγεις]
γ οι
τὴν δε — λέγεισ, γ et οι a m. pr. 774. πετρώδει]
ει
πετρώδη, ει a m. pr. 775. ὡς ἄγος μόνον προθείς, | ὅπως μίασμα πᾶσ᾽ ὑπεκφύγῃ πόλις] ὡς ἄγος φεύγειν μόνον | προθείς, ὅπως μίασμ᾽ ὑπεκφύγῃ πόλις D. 780. Hunc versum in margine addidit m. pr. 782. ὃς ἔν τ᾽ ἀνδράσι D. (praeeunte Blaydesio, qui ὃς εἰν ἀνδράσι coniecit)] ὅστ᾽ (literis στ uno ductu scriptis) ἐν (ὃς ἐν in apographis) κτήμασι
785. θ᾽ D.] δ᾽. Verba φοιτᾷς τε respondent superioribus ὃς ἔν τ᾽ ἀνδράσι πίπτεις, i. e. ὃς ἀνδράσι τ᾽ ἐμπίπτεις. 786. τ᾽ ἀγρονόμοις] πατρονόμοισ pr. 797. ἐκτὸς ὁμιλῶν D.] πάρεδρος (δρ in litura literarum ργ) ἐν ἀρχαῖς

στείχουσαν, νέατον δὲ φέγγος
λεύσσουσαν ἀελίου,
κοὔποτ᾽ αὖθις· ἀλλά μ᾽ ὁ παγκοίτας Ἅιδας ζῶ-
τὰν Ἀχέροντος [σαν ἄγει
ἀκτὰν, οὔθ᾽ ὑμεναίων
ἔγκληρον, οὔτ᾽ ἐπινύμφειός πώ μέ τις ὕμνος
ὕμνησεν, ἀλλ᾽ Ἀχέροντι νυμφεύσω.
ΧΟ. οὐκοῦν κλεινὴ καὶ ἔπαινον ἔχουσ᾽
ἐς τόδ᾽ ἀπέρχει κεῦθος νεκύων,
οὔτε φθινάσιν πληγεῖσα νόσοις
οὔτε ξιφέων ἐπίχειρα λαχοῦσ᾽,
ἀλλ᾽ αὐτόνομος ζῶσα μόνη δὴ
θνητῶν Ἀΐδην καταβήσει.
ΑΝ. ἤκουσα δὴ λυγροτάταν ὀλέσθαι
τὰν Φρυγίαν ξέναν
Ταντάλου Σιπύλῳ πρὸς ἄκρῳ,
τὰν κισσὸς ὡς ἀτενὴς
πετραία βλάστα δάμασεν, καί νιν ὄμβροι τακο-
ὡς φάτις ἀνδρῶν, [μέναν,
χιών τ᾽ οὐδαμὰ λείπει,
τέγγει δ᾽ ὑπ᾽ ὀφρύσι παγκλαύτοις δειράδας· ᾇ με
δαίμων ὁμοιοτάταν κατευνάζει.
ΧΟ. ἀλλὰ θεός τοι καὶ θεογεννής,
ἡμεῖς δὲ βροτοὶ καὶ θνητογενεῖς.
καίτοι φθιμένῳ τοῖς ἰσοθέοις
σύγκληρα λαχεῖν μέγ᾽ ἀκοῦσαι.
ΑΝ. οἴμοι γελῶμαι. τί με, πρὸς θεῶν πατρῴων,
οὐκ οἰχομέναν ὑβρίζεις,
ἀλλ᾽ ἐπίφαντον;
ὦ πόλις, ὦ πόλεως
πολυκτήμονες ἄνδρες·
ἰὼ Διρκαῖαι κρῆναι Θήβας τ᾽
εὐαρμάτου ἄλσος, ἔμπας
ξυμμάρτυρας ὔμμ᾽ ἐπικτῶμαι,
οἵα φίλων ἄκλαυτος, οἵοις νόμοις [νίου·
πρὸς ἕρμα τυμβόχωστον ἔρχομαι τάφου ποται-
ἰὼ δύστανος,
∪ ⊥ ⊥ ∪ ∪ — ∪ ⊥ —
μέτοικος οὐ ζῶσιν, οὐ θανοῦσιν.
τὰν νεάταν ὁδὸν
838—856. = 857—875.

851. οὔτ᾽ ἐν βροτοῖσιν οὔτ᾽ ἐν νεκροῖσιν

ΧΟ. προβᾶσ᾽ ἐπ᾽ ἔσχατον θράσους
ὑψηλὸν ἐς Δίκας βάθρον
προσέπεσες, ὦ τέκνον, πολύν.
πατρῷον δ᾽ ἐκτίνεις τιν᾽ ἆθλον.
ΑΝ. ἔψαυσας ἀλγεινοτάτας ἐμοὶ μερίμνας,
πατρὸς τριπόλιστον οἶτον
τοῦ τε πρόπαντος
ἁμετέρου πότμου
κλεινοῖς Λαβδακίδαισιν.
ἰὼ ματρῷαι λέκτρων ἆται
κοιμήματά τ᾽ αὐτογέννητ᾽
ἀμῷ πατρὶ δυσμόρου ματρὸς,
οἵων ἐγώ ποθ᾽ ἁ ταλαίφρων ἔφυν·
πρὸς οὓς ἀραῖος ἄγαμος ἅδ᾽ ἐγὼ μέτοικος ἔρ-
ἰὼ δυσπότμων [χομαι.
κασίγνητε γάμων κυρήσας,
θανὼν ἔτ᾽ οὖσαν κατήναρές με.
ΧΟ. σέβειν μὲν εὐσέβειά τις,
κράτος δ᾽ ὅτῳ κράτος μέλει
παραβατὸν οὐδαμῇ πέλει,
σὲ δ᾽ αὐτόγνωτος ὤλεσ᾽ ὀργά.
ΑΝ. ἄκλαυτος, ἄφιλος, ἀνυμέναιος ἔρχομαι
τὰν πυμάταν ὁδόν· οὐκέτι μοι τόδε
λαμπάδος ἱρὸν ὄμμα
θέμις ὁρᾶν ταλαίνᾳ·
τὸν δ᾽ ἐμὸν πότμον ἀδάκρυτον
οὐδεὶς φίλων στενάζει.
ΚΡ. ἆρ᾽ ἴστ᾽, ἀοιδὰς καὶ γόους πρὸ τοῦ θανεῖν,
ὡς οὐδ᾽ ἂν εἷς παύσαιτ᾽ ἄν, εἰ χρείη λέγειν;
οὐκ ἄξεθ᾽ ὡς τάχιστα, καὶ κατηρεφεῖ
τύμβῳ περιπτύξαντες, ὡς εἴρηκ᾽ ἐγώ,
ἄφετε μόνην ἔρημον, εἴτε χρῇ θανεῖν
εἴτ᾽ ἐν τοιαύτῃ ζῶσα τυμβεύειν στέγῃ;
ἡμεῖς γὰρ ἁγνοὶ τοὐπὶ τήνδε τὴν κόρην·
μετοικίας δ᾽ οὖν τῆς ἄνω στερήσεται.
ΑΝ. ὦ τύμβος, ὦ νυμφεῖον, ὦ κατασκαφὴς
οἴκησις ἀείφρουρος, οἷ πορεύομαι
πρὸς τοὺς ἐμαυτῆς, ὧν ἀριθμὸν ἐν νεκροῖς
πλεῖστον δέδεκται Περσέφασσ᾽ ὀλωλότων·
ὧν λοισθία ᾽γὼ καὶ κάκιστα δὴ μακρῷ
κάτειμι, πρίν μοι μοῖραν ἐξήκειν βίου.
ἐλθοῦσα μέντοι κάρτ᾽ ἐν ἐλπίσιν τρέφω
φίλη μὲν ἥξειν πατρὶ, προσφιλὴς δὲ σοὶ,
μῆτερ, φίλη δὲ σοὶ, κασίγνητον κάρα.
[ἐπεὶ θανόντας αὐτόχειρ ὑμᾶς ἐγὼ

---

810. παγκοίτας] πάγκοινος Blaydesius. 814. ἐπινύμφειος D.] ἐπινυμφίδιος. Scholiasta, qui adscripsit λείπει θύραις ἢ κοίταις, videtur ἐπὶ νυμφιδίοις legisse. 822. θνητῶν Ἀΐδην D.] θνατῶν ἀΐδαν. 828. ὄμβροι Musgravius] ὄμβρωι 830. *οὐδαμὰ] οὐδαμᾶι 831. *τέγγει] τάκει δ᾽ Bothius] θ᾽ *παγκλαύτοις] παγκλαύτους 834. θεογεννὴς] θειοτέρου γένους τυγχάνουσα explicat scholiasta: unde θειογενής Wieselerus. 835. *θνητογενεῖς] θνητογεννεῖς (ω superscr.) 836. φθιμένῳ] φθιμένα, ω a m. pr. Verba μέγ᾽ ἀκοῦσαι, post φθιμένῳ lecta, post λαχεῖν transposuit Hermannus. Versum post λαχεῖν in codice lectum ζῶσαν καὶ ἔπειτα θανοῦσαν omisit Aldus cum apographo Paris. 2712. 836. τοῖς ἰσοθέοις] τοῖσι θεοῖσιν Nauckius. 837. σύγκληρα Schaeferus] ἔγκληρα 840. οἰχομέναν Martinus] ὀλομέναν 844. *κρῆναι] καὶ κρῆναι 846. *ὔμμ᾽] ὕμμ᾽ ἐπικτῶμαι] γρ. ἐπιβοῶμαι ab S. 847. *οἵα] οἷα οἵοις Triclinius] οἵοισιν 848. ἕρμα] ἕργμα, i. e. ἕρμα, quod ἕρμα scriptum restituit Hermannus. 849. ποταινίου] ποτ᾽ αἰνείου, ϊ superscripto a m. pr.

851. Versum spurium, quo lacunam explevit interpolator, οὔτ᾽ ἐν βροτοῖσιν οὔτ᾽ ἐν νεκροῖσιν, delevit D.

855. πολύν (*πολύ)] πάλιν D. 856. *ἐκτίνεις] ἐκτείνεις. ἐκτελεῖς Donaldsonus. 858. τριπόλιστον] τριπόλητον D. οἶτον Brunckius] οἶκτον. Litera κ in apographo uno erasa. τριπάλαιστον οἶτον coniecerat Reiskius. 863. *ματρῷαι] πατρῶιαι 864. *κοιμήματά τ᾽] κοιμήματ᾽ αὐτογέννητ᾽ Turnebus] αὐτογένητ᾽ 865, ἀμῷ Triclinius] ἐμῶι *δυσμόρου (ut scholiasta)] δυσμόρωι 869. *ἰὼ] ἰὼ ἰὼ 874. *οὐδαμῇ] οὐδαμᾶι 876.—882. Versus sic divisi, ἄκλαυτος-| τάνδ᾽ ἑτοίμαν-| μοι τόδε-| μα θέμις-| μὸν πότμον — στενάζει. 876. ἔρχομαι τὰν πυμάταν (τάνδε πυμάταν coniecerat Reiskius) ὁδὸν D.] ταλαίφρων ἄγομαι τάνδ᾽ ἑτοίμαν ὁδόν 879. ἱρὸν D.] ἱερόν 880. ταλαίνᾳ] τάλαινα pr. ταλᾶινα sec. ταλαίνα tert. 884. χρείη Dawesius] χρεῖ᾽ ἦι 885. *ἄξεθ᾽] ἄξεσθ᾽ 887. *ἄφετε] ἀφεῖτε χρῇ D.] χρή 893. νεκροῖς] ν ab S additum. 894. *Περσέφασσ᾽] φερσέφασσ᾽, σ post ρ ex ρ facto.

895. *λοισθία ᾽γὼ] λοίσθί᾽ ἀγὼ, accentu super οι eraso. 900. Versus 900.—928. qui ab interpolatore vetere in locum aliorum, quos scripserat Sophocles, illati esse videntur, seclusit D.: versus 905—913 notaverat Iacobus.

ἔλουσα κἀκόσμησα κἀπιτυμβίους
χοὰς ἔδωκα· νῦν δέ, Πολύνεικες, τὸ σὸν
δέμας περιστέλλουσα τοιάδ᾽ ἄρνυμαι.
καίτοι σ᾽ ἐγὼ ᾽τίμησα τοῖς φρονοῦσιν εὖ.
οὐ γάρ ποτ᾽ οὔτ᾽ ἂν εἰ τέκνων μήτηρ ἔφυν
οὔτ᾽, εἰ πόσις μοι κατθανὼν ἐτήκετο,
βίᾳ πολιτῶν τόνδ᾽ ἂν ᾐρόμην πόνον.
τίνος νόμου δὴ ταῦτα πρὸς χάριν λέγω;
πόσις μὲν ἄν μοι κατθανόντος ἄλλος ἦν,
καὶ παῖς ἀπ᾽ ἄλλου φωτός, εἰ τοῦδ᾽ ἤμπλακον,
μητρὸς δ᾽ ἐν Ἅιδου καὶ πατρὸς κεκευθότοιν
οὐκ ἔστ᾽ ἀδελφὸς ὅστις ἂν βλάστοι ποτέ.
τοιῷδε μέντοι σ᾽ ἐκπροτιμήσασ᾽ ἐγὼ
νόμῳ, Κρέοντι ταῦτ᾽ ἔδοξ᾽ ἁμαρτάνειν
καὶ δεινὰ τολμᾶν, ὦ κασίγνητον κάρα.
καὶ νῦν ἄγει με διὰ χερῶν οὕτω λαβὼν
ἄλεκτρον, ἀνυμέναιον, οὔτε του γάμου
μέρος λαχοῦσαν οὔτε παιδείου τροφῆς,
ἀλλ᾽ ὧδ᾽ ἔρημος πρὸς φίλων ἡ δύσμορος
ζῶσ᾽ ἐς θανόντων ἔρχομαι κατασκαφάς·
ποίαν παρεξελθοῦσα δαιμόνων δίκην;
τί χρή με τὴν δύστηνον ἐς θεοὺς ἔτι
βλέπειν; τίν᾽ αὐδᾶν ξυμμάχων; ἐπεί γε δὴ
τὴν δυσσέβειαν εὐσεβοῦσ᾽ ἐκτησάμην.
ἀλλ᾽ εἰ μὲν οὖν τάδ᾽ ἐστὶν ἐν θεοῖς καλά,
παθόντες ἂν ξυγγνοῖμεν ἡμαρτηκότες·
εἰ δ᾽ οἵδ᾽ ἁμαρτάνουσι, μὴ πλείω κακὰ
πάθοιεν ἢ καὶ δρῶσιν ἐκδίκως ἐμέ.]
ΧΟ. ἔτι τῶν αὐτῶν ἀνέμων ῥιπαὶ
τήνδ᾽ ἐπέχουσιν.
ΚΡ. τοιγάρτοι καὶ τοῖσιν ἄγουσιν
κλαύμαθ᾽ ὑπάρξει βραδυτῆτος ὕπερ.
ΑΝ. οἴμοι, θανάτου τοῦτ᾽ ἐγγυτάτω
τοὔπος ἀφῖκται.
ΧΟ. θαρσεῖν οὐδὲν παραμυθοῦμαι
μὴ οὐ τάδε ταύτῃ κατακυροῦσθαι.
ΑΝ. ὦ γῆς Θήβης ἄστυ πατρῷον
καὶ θεοὶ προγενεῖς,
ἄγομαι δὴ κοὐκέτι μέλλω.
λεύσσετε, Θήβης οἱ κοιρανίδαι,
οἷα πρὸς οἵων ἀνδρῶν πάσχω,
τὴν εὐσεβίαν σεβίσασα.
ΧΟ. ἔτλα καὶ Δανάας οὐράνιον φῶς
ἀλλάξαι δέμας ἐν χαλκοδέτοις αὐλαῖς·
κρυπτομένα δ᾽ ἐν τυμβήρει θαλάμῳ κατεζεύχθη·
καίτοι καὶ γενεᾷ τίμιος, ὦ παῖ παῖ,
καὶ Ζηνὸς ταμιεύεσκε γονὰς χρυσορύτους.

944—954. = 955—965.

941. τὴν βασιλίδα μούνην λοιπήν

ἀλλ᾽ ἁ μοιριδία τις δύνασις δεινά·
οὔτ᾽ ἄν νιν ὄλβος οὔτ᾽ Ἄρης, οὐ πύργος, οὐχ
κελαιναὶ νᾶες ἐκφύγοιεν. [ἁλίκτυποι
ζεύχθη δ᾽ ὀξύχολος παῖς ὁ Δρύαντος,
Ἠδωνῶν βασιλεύς, κερτομίοις ὀργαῖς
ἐκ Διονύσου πετρώδει κατάφαρκτος ἐν δεσμῷ.
οὕτω τᾶς μανίας δεινὸν ἀποστάζει
ἀνθηρόν τε μένος. κεῖνος ἐπέγνω μανίαις
ψαύων τὸν θεὸν ἐν κερτομίοις γλώσσαις.
παύεσκε μὲν γὰρ ἐνθέους γυναῖκας εὔιόν τε πῦρ,
φιλαύλους τ᾽ ἠρέθιζε Μούσας.
παρὰ δὲ Κυανεᾶν σπιλάδων διδύμας ἁλὸς
ἀκταὶ Βοσπόριαι ἰδ᾽ ὁ Θρῃκῶν ἄξενος
Σαλμυδησσός, ἵν᾽ ἀγχίπτολις Ἄρης
δισσοῖσι Φινείδαις
εἶδεν ἀρατὸν ἕλκος
ἀραχθὲν ἐξ ἀγρίας δάμαρτος
ἀλαὸν ἀλαστόροισιν ὀμμάτων κύκλοις
ἄτερθ᾽ ἐγχέων, ὑφ᾽ αἱματηραῖς
χείρεσσι καὶ κερκίδων ἀκμαῖσιν.
κατὰ δὲ τακόμενοι μέλεοι μελέαν πάθαν
κλᾶον, ματρὸς ἔχοντες ἀνύμφευτον γονάν·
ἁ δὲ σπέρμα μὲν ἀρχαιογόνων
ἄντασ᾽ Ἐρεχθειδᾶν,
τηλεπόροις δ᾽ ἐν ἄντροις
τράφη θυέλλαισιν ἐν πατρῴαις
Βορεὰς ἅμιππος ὀρθόποδος ὑπὲρ πάγου
θεῶν παῖς· ἀλλὰ κἀπ᾽ ἐκείνᾳ
Μοῖραι μακραίωνες ἔσχον, ὦ παῖ.

ΤΕΙΡΕΣΙΑΣ.

Θήβης ἄνακτες, ἥκομεν κοινὴν ὁδὸν
δύ᾽ ἐξ ἑνὸς βλέποντε· τοῖς τυφλοῖσι γὰρ
αὕτη κέλευθος ἐκ προηγητοῦ πέλει.
ΚΡ. τί δ᾽ ἔστιν, ὦ γεραιὲ Τειρεσία, νέον;
ΤΕ. ἐγὼ διδάξω, καὶ σὺ τῷ μάντει πιθοῦ.
ΚΡ. οὔκουν πάρος γε σῆς ἀπεστάτουν φρενός.
ΤΕ. τοιγὰρ δι᾽ ὀρθῆς τήνδ᾽ ἐναυκλήρεις πόλιν.
ΚΡ. ἔχω πεπονθὼς μαρτυρεῖν ὀνήσιμα.
ΤΕ. φρόνει βεβὼς αὖ νῦν ἐπὶ ξυροῦ τύχης.
ΚΡ. τί δ᾽ ἔστιν; ὡς ἐγὼ τὸ σὸν φρίσσω στόμα.
ΤΕ. γνώσει, τέχνης σημεῖα τῆς ἐμῆς κλύων.

966—976. = 977—987.

---

904. τίμησα sine coronide, quam addidit Brunckius. 907. *ἂν ᾐρόμην] ἀνηρόμην 912. βλάστοι ex Aristot. Rhet. 3, 16.] βλαστοῖ 917. *οὔτε τοῦ] οὔτέ τοῦ, circumflexo eraso. οὔτε πω Schneidewinus. 918. *παιδείου] παιδίου 920. ἐς D.] εἰς *θανόντων — κατασκαφάς] θανάτων — κατασφαγάς 927. πλείω] μείω Nauckius. 928. ἐκδίκως] ἐνδίκωσ, κ ab S. 929. ἀνέμων ῥιπαὶ | τήνδ᾽ ἐπέχουσιν D.] ἀνέμων αὐταὶ | ψυχῆς ῥιπαὶ τήνδε γ᾽ ἔχουσιν 931. καὶ D.] τούτων *τοῖσιν] τοῖς
935. *ΧΟ.] ΚΡ. Utrius sint ambigit scholiasta.
939. *δὴ] δὴ ᾽γώ 941. τὴν βασιλίδα μούνην λοιπήν] Versum spurium eiecit D. 943. εὐσεβίαν Triclinius] εὐσέβειαν 949. καὶ post καίτοι addidit Hermannus. 950. χρυσορύτους Triclinius] χρυσορρύτους

951. *ἀλλ᾽ ἁ] ἀλλὰ 952. ὄλβος Erfurdtius] ὄμβρος 955. ὀξύχολος Scaliger] ὀξυχόλως. ὀξυλόχως pr. 959. τᾶς] τὰς pr. 960. τε] τι Brunckius.
862. γλώσσαις] γλώσσας Reiskius. Genitivum annotationi scholiastae intulit Elmsleius, τὸ ἑξῆς, κεῖνος ἐπέγνω τὸν θεὸν κερτομίοις γλώσσης μανίαις ψαύων. Nam in codice est γλώσσαις μανίας (ais superscr.)
965. *φιλαύλους τ᾽] τ᾽ om. 866. Κυανεᾶν σπιλάδων Wieselerus in dissertatione Gottingae a. 1857. edita] κυανέων πελάγεων (hoc accentu codex, non πελαγέων) πετρῶν 967. ἰδ᾽ Triclinius] ἦδ᾽ ἄξενος addidit Boeckhius. 970. *Σαλμυδησσὸς] σαλμυδισσὸς
ἵν᾽] ὃν superscr. ab S. Utrumque explicat scholiasta. *ἀγχίπτολις] ἀγχίπολις 973. ἀραχθὲν Wunderus] τυφλωθέν 975. ἄτερθ᾽ Hermannus] ἀραχθέν 980. κλᾶον D.] κλαῖον *ματρὸς] πατρὸς 981. ἀρχαιογόνων] Huic versui, si in stropha v. 970. recte legitur Σαλμυδησσὸς, ἵν᾽ ἀγχίπτολις Ἄρης, una deest syllaba, fortasse sic restituenda ut ἀρχαιογόνων — Ἐρεχθειδᾶν in ἀρχαιογόνοιο — Ἐρεχθείδα mutetur. 982. ἄντασ᾽] αὔχασ᾽ D. 984. θυέλλαισιν D.] θυέλλησιν 994. τήνδ᾽ ἐναυκλήρεις Valckenarius ad Eurip. Phoen. p. 321.] τήνδε ναυκληρεῖς
998. *σημεῖα τῆς ἐμῆς] τῆς ἐμῆς σημεῖα

ἐς γὰρ παλαιὸν θᾶκον ὀρνιθοσκόπον
ἵζων, ἵν᾿ ἦν μοι παντὸς οἰωνοῦ λιμὴν,
ἀγνῶτ᾿ ἀκούω φθόγγον ὀρνίθων, κακῷ
κλάζοντας οἴστρῳ καὶ βεβαρβαρωμένῳ·
καὶ σπῶντας ἐν χηλαῖσιν ἀλλήλους φοναῖς
ἔγνων· πτερῶν γὰρ ῥοῖβδος οὐκ ἄσημος ἦν.
εὐθὺς δὲ δείσας ἐμπύρων ἐγευόμην
βωμοῖσι παμφλέκτοισιν· ἐκ δὲ θυμάτων
Ἥφαιστος οὐκ ἔλαμπεν, ἀλλ᾿ ἐπὶ σποδῷ
μυδῶσα κηκὶς μηρίων ἐτήκετο
κἄτυφε κἀνέπτυε, καὶ μετάρσιοι
χολαὶ διεσπείροντο, καὶ καταρρυεῖς
μηροὶ καλυπτῆς ἐξέκειντο πιμελῆς.
τοιαῦτα παιδὸς τοῦδ᾿ ἐμάνθανον πάρα
φθίνοντ᾿ ἀσήμων ὀργίων μαντεύματα.
ἐμοὶ γὰρ οὗτος ἡγεμὼν, ἄλλοις δ᾿ ἐγώ.
καὶ ταῦτα τῆς σῆς ἐκ φρενὸς νοσεῖ πόλις.
βωμοὶ γὰρ ἡμῖν ἐσχάραι τε παντελεῖς
πλήρεις ὑπ᾿ οἰωνῶν τε καὶ κυνῶν βορᾶς
τοῦ δυσμόρου πεπτῶτος Οἰδίπου γόνου.
κᾆτ᾿ οὐ δέχονται θυστάδας λιτὰς ἔτι
θεοὶ παρ᾿ ἡμῶν οὐδὲ μηρίων φλόγα,
οὐδ᾿ ὄρνις εὐσήμους ἀπορροιβδεῖ βοὰς,
ἀνδροφθόρου βεβρῶτες αἵματος λίπος.
ταῦτ᾿ οὖν, τέκνον, φρόνησον. ἀνθρώποισι γὰρ
τοῖς πᾶσι λοιπόν ἐστι τοὐξαμαρτάνειν·
ἐπεὶ δ᾿ ἁμάρτῃ, κεῖνος οὐκέτ᾿ ἔστ᾿ ἀνὴρ
ἄβουλος οὐδ᾿ ἄνολβος, ὅστις ἐς καλὸν
πεσὼν ἀκῆται μηδ᾿ ἀκίνητος πέλῃ.
αὐθαδία τοι σκαιότητ᾿ ὀφλισκάνει.
ἀλλ᾿ εἶκε τῷ θανόντι, μηδ᾿ ὀλωλότα
κέντει. τίς ἀλκὴ τὸν θανόντ᾿ ἐπικτανεῖν;
εὖ σοι φρονήσας εὖ λέγω· τὸ μανθάνειν δ᾿
ἥδιστον εὖ λέγοντος, εἰ κέρδος λέγοι.
ΚΡ. ὦ πρέσβυ, πάντες ὥστε τοξόται σκοποῦ
τοξεύετ᾿ ἀνδρὸς τοῦδε, κοὐδὲ μαντικῆς
ἄπρακτος ὑμῖν εἰμι, τῶν δ᾿ ὑπαὶ γένους
ἐξημπόλημαι κἀμπεφόρτισμαι πάλαι.
κερδαίνετ᾿, ἐμπολᾶτε τἀπὸ Σάρδεων
ἤλεκτρον, εἰ βούλεσθε, καὶ τὸν Ἰνδικὸν
χρυσόν· τάφῳ δ᾿ ἐκεῖνον οὐχὶ κρύψετε,
οὐδ᾿ εἰ θέλουσ᾿ οἱ Ζηνὸς ἀετοὶ βορὰν
φέρειν νιν ἁρπάζοντες ἐς Διὸς θρόνους,
οὐδ᾿ ὣς μίασμα τοῦτο μὴ τρέσας ἐγὼ
θάπτειν παρήσω κεῖνον· εὖ γὰρ οἶδ᾿ ὅτι
θεοὺς μιαίνειν οὔτις ἀνθρώπων σθένει.
πίπτουσι δ᾿, ὦ γεραιὲ Τειρεσία, βροτῶν
χοἰ πολλὰ δεινοὶ πτώματ᾿ αἴσχρ᾿, ὅταν λόγους
αἰσχροὺς καλῶς λέγωσι τοῦ κέρδους χάριν.
ΤΕ. φεῦ.
ἆρ᾿ οἶδεν ἀνθρώπων τις, ἆρα φράζεται,
ΚΡ. τί χρῆμα; ποῖον τοῦτο πάγκοινον λέγεις;
ΤΕ. ὅσῳ κράτιστον κτημάτων εὐβουλία;
ΚΡ. ὅσῳπερ, οἶμαι, μὴ φρονεῖν πλείστη βλάβη.
ΤΕ. ταύτης σὺ μέντοι τῆς νόσου πλήρης ἔφυς.
ΚΡ. οὐ βούλομαι τὸν μάντιν ἀντειπεῖν κακῶς.
ΤΕ. καὶ μὴν λέγεις ψευδῆ με θεσπίζειν λέγων.
ΚΡ. τὸ μαντικὸν γὰρ πᾶν φιλάργυρον γένος.
ΤΕ. τὸ δ᾿ ἐκ τυράννων αἰσχροκερδίαν φιλεῖ.
ΚΡ. ἆρ᾿ οἶσθα ταγοὺς ὄντας ἂν λέγῃς λέγων;
ΤΕ. οἶδ᾿· ἐξ ἐμοῦ γὰρ τήνδ᾿ ἔχεις σώσας πόλιν.
ΚΡ. σοφὸς σὺ μάντις, ἀλλὰ τἀδικεῖν φιλῶν.
ΤΕ. ὄρσεις με τἀκίνητα διὰ φρενῶν φράσαι.
ΚΡ. κίνει, μόνον δὲ μὴ ᾽πὶ κέρδεσιν λέγων.
ΤΕ. οὕτω γὰρ ἤδη καὶ δοκῶ τὸ σὸν μέρος;
ΚΡ. ὡς μὴ ᾽μπολήσων ἴσθι τὴν ἐμὴν φρένα.
ΤΕ. ἀλλ᾿ εὖ γέ τοι κάτισθι μὴ πολλοὺς ἔτι
τρόχους ἁμιλλητῆρας ἡλίου τελῶν,
ἐν οἷσι τῶν σῶν αὐτὸς ἐκ σπλάγχνων ἕνα
νέκυν νεκρῶν ἀμοιβὸν ἀντιδοὺς ἔσει,
ἀνθ᾿ ὧν ἔχεις μὲν τῶν ἄνω βαλὼν κάτω,
ψυχήν τ᾿ ἀτίμως ἐν τάφῳ κατῴκισας,
ἔχεις δὲ τῶν κάτωθεν ἐνθάδ᾿ αὖ θεῶν
ἄμοιρον, ἀκτέριστον, ἀνόσιον νέκυν.
ὧν οὔτε σοὶ μέτεστιν οὔτε τοῖς ἄνω
θεοῖσιν, ἀλλ᾿ ἐκ σοῦ βιάζονται τάδε.
τούτων σε λωβητῆρες ὑστεροφθόροι
λοχῶσιν Ἅιδου καὶ θεῶν Ἐρινύες,
ἐν τοῖσιν αὐτοῖς τοῖσδε ληφθῆναι κακοῖς.
καὶ ταῦτ᾿ ἄθρησον εἰ κατηργυρωμένος
λέγω. φανεῖ γὰρ, οὐ μακροῦ χρόνου τριβὴ,
ἀνδρῶν γυναικῶν σοῖς δόμοις κωκύματα.
τοιαῦτά σου, λυπεῖς γὰρ, ὥστε τοξότης
ἀφῆκα θυμῷ καρδίας τοξεύματα
βέβαια, τῶν σὺ θάλπος οὐχ ὑπεκδραμεῖ.
ὦ παῖ, σὺ δ᾿ ἡμᾶς ἄπαγε πρὸς δόμους, ἵνα
τὸν θυμὸν οὗτος ἐς νεωτέρους ἀφῇ
καὶ γνῷ τρέφειν τὴν γλῶσσαν ἡσυχωτέραν
τὸν νοῦν τ᾿ ἀμείνω τῶν φρενῶν ὧν νῦν φέ-
ρει. ἀνήρ, ἄναξ, βέβηκε δεινὰ θεσπίσας.
ΧΟ. ἐπιστάμεσθα δ᾿, ἐξ ὅτου λευκὴν ἐγὼ
τήνδ᾿ ἐκ μελαίνης ἀμφιβάλλομαι τρίχα,
μή πώ ποτ᾿ αὐτὸν ψεῦδος ἐς πόλιν λακεῖν.
ΚΡ. ἔγνωκα καὐτὸς καὶ ταράσσομαι φρένας·
τό τ᾿ εἰκαθεῖν γὰρ δεινὸν, ἀντιστάντα δὲ

1080. ἐχθραὶ δὲ πᾶσαι συνταράσσονται πόλεις
ὅσων σπαράγματ᾿ ἢ κύνες καθήγνισαν
ἢ θῆρες, ἤ τις πτηνὸς οἰωνὸς, φέρων
1083. ἀνόσιον ὀσμὴν ἑστιοῦχον ἐς πόλιν.

---

999. ἐς D.] εἰς 1015. ταῦτα inter versus insertum a m. pr. 1016. ἡμῖν] ῖ ex ει factum. 1019. Ante λιτὰς duae literae erasae. 1021. εὐσήμους] Post εὐ duae literae erasae. 1025. *οὐκέτ᾿ ἔστ᾿] οὐκ ἔστ᾿ 1027. ἀκῆται Wunderus] ἀκεῖται *ἀκίνητος] ἀΐνητος πέλῃ] πέλει, η a m. pr. 1035. ὑμῖν] ὖμιν τῶν δ᾿ ὑπαὶ γένους] τῶν δὲ συγγενῶν ὕπο D. 1036. κἀμπεφόρτισμαι, κ ab S, vel m. antiquiore. 1037. τἀπὸ Σάρδεων Blaydesius] τα (ὸν a m. pr.) προσάρδεων, pariterque in lemmate scholii. 1040. *οὐδ᾿ εἰ] οὐ δὴ ἀετοὶ D.] αἰετοί 1042. *ὥς] ὡς

1056. τὸ δ᾿ ἐκ] τὸ δέ γε Bischoppius. *αἰσχροκερδίαν] αἰσχροκέρδειαν 1064. πολλασ, οὐ a m. pr. 1065. τρόχους Erfurdtius] τροχούς 1068. βαλὼν] βάλλειν, ω a m. pr. 1069. κατῴκισας] *κατοικίσας: quod probari potest deleto, ut Bothius fecit, τ᾿. 1080—1083. Versus spurios quattuor eiecit Wunderus. 1080. ἐχθραὶ] ἔχθρᾳ Reiskius. 1081. καθήγνισαν] καθήγισαν corrigit Burtonus, viderique potest legisse scholiasta, qui μετὰ ἄγους ἐκόμισαν interpretatur, et Hesychius, si ex hoc loco excerpta sit glossa eius, καθαγίσω: συντελέσω, καὶ καθιερώσω. παρὰ δὲ Σοφοκλεῖ ἐκ τῶν ἐναντίων ἐπὶ τοῦ μιαίνειν τέτακται. 1089. *γλῶσσαν] γλῶτταν 1090. ὧν Brunckius] ἤ 1092. *ἐπιστάμεσθα] ἐπιστάμεθα (τ supra) 1096. δε, τ a m. pr. εἰκαθεῖν Elmsleius] εἰκάθειν

ἄτη πατάξαι θυμὸν ἐν δεινῷ πάρα.
ΧΟ. εὐβουλίας δεῖ, παῖ Μενοικέως Κρέον.
ΚΡ. τί δῆτα χρὴ δρᾶν; φράζε· πείσομαι δ᾽ ἐγώ.
ΧΟ. ἐλθὼν κόρην μὲν ἐκ κατώρυχος στέγης
ἄνες, κτίσον δὲ τῷ προκειμένῳ τάφον.
ΚΡ. καὶ ταῦτ᾽ ἐπαινεῖς καὶ δοκεῖς παρεικαθεῖν;
ΧΟ. ὅσον γ᾽, ἄναξ, τάχιστα· συντέμνουσι γὰρ
θεῶν ποδώκεις τοὺς κακόφρονας βλάβαι.
ΚΡ. οἴμοι· μόλις μέν, καρδίας δ᾽ ἐξίσταμαι
τὸ δρᾶν· ἀνάγκῃ δ᾽ οὐχὶ δυσμαχητέον.
ΧΟ. δρᾶ νυν τάδ᾽ ἐλθὼν μηδ᾽ ἐπ᾽ ἄλλοισιν τρέπε.
ΚΡ. ὧδ᾽ ὡς ἔχω στείχοιμ᾽ ἄν· ἴτ᾽ ἴτ᾽ ὀπάονες
οἵ τ᾽ ὄντες οἵ τ᾽ ἀπόντες, ἀξίνας χεροῖν
ὁρμᾶσθ᾽ ἑλόντες εἰς ἐπόψιον τόπον.
* * * *
ἐγὼ δ᾽, ἐπειδὴ δόξα τῇδ᾽ ἐπεστράφη,
αὐτός τ᾽ ἔδησα καὶ παρὼν ἐκλύσομαι.
δέδοικα γὰρ μὴ τοὺς καθεστῶτας νόμους
ἄριστον ᾖ σώζοντα τὸν βίον τελεῖν.
ΧΟ. πολυώνυμε, Καδμεΐας ἄγαλμα νύμφας
καὶ Διὸς βαρυβρεμέτα
γένος, κλυτὰν ὃς ἀμφέπεις Ἰταλίαν, μέδεις δὲ
παγκοίνοις Ἐλευσινίας
Δῃοῦς ἐν κόλποις, Βακχεῦ, Βακχᾶν
ὁ ματρόπολιν Θήβαν
ναιετῶν παρ᾽ ὑγρῶν
Ἰσμηνοῦ ῥείθρων ἀγρίου τ᾽
ἐπὶ σπορᾷ δράκοντος·
σὲ δ᾽ ὑπὲρ διλόφοιο πέτρας στέροψ ὄπωπε
λιγνύς, ἔνθα Κωρύκιαι
Νύμφαι στίχουσι Βακχίδες, Κασταλίας τε νᾶμα.
καί σε Νυσαίων ὀρέων
κισσήρεις ὄχθαι χλωρά τ᾽ ἀκτὰ
πολυστάφυλος πέμπει
ἀβρότων ἐπέων
εὐαζόντων Θηβαΐας
ἐπισκοποῦντ᾽ ἀγυιάς·
τὰν ἔκπαγλα τιμᾷς
1115—1125. = 1126—1136.
1137—1145. = 1146—1154.
ὑπὲρ πασᾶν πόλεων
ματρὶ σὺν κεραυνίᾳ·
καὶ νῦν, ὡς βιαίας
ἔχεται πάνδαμος ἁμὰ πόλις ἐπὶ νόσου,
μολεῖν καθαρσίῳ ποδὶ Παρνασίαν
ὑπὲρ κλιτὺν, ἢ στονόεντα πορθμόν.
ἰὼ πῦρ πνεόντων
χοράγ᾽ ἄστρων, νυχίων
φθεγμάτων ἐπίσκοπε,
παῖ Ζηνὸς γένεθλον,
προφάνηθ᾽ ὦ Ναξίαις σαῖς ἅμα περιπόλοις
Θυίαισιν, αἵ σε μαινόμεναι πάννυχοι
χορεύουσι τὸν ταμίαν Ἴακχον.

ΑΓΓΕΛΟΣ.

Κάδμου πάροικοι καὶ δόμων Ἀμφίονος,
οὐκ ἔσθ᾽ ὁποῖον στάντ᾽ ἂν ἀνθρώπου βίον
οὔτ᾽ αἰνέσαιμ᾽ ἂν οὔτε μεμψαίμην ποτέ.
τύχη γὰρ ὀρθοῖ καὶ τύχη καταρρέπει
τὸν εὐτυχοῦντα τόν τε δυστυχοῦντ᾽ ἀεί·
καὶ μάντις οὐδεὶς τῶν καθεστώτων βροτοῖς.
Κρέων γὰρ ἦν ζηλωτός, ὡς ἐμοί, ποτέ,
σώσας μὲν ἐχθρῶν τήνδε Καδμείαν χθόνα,
λαβών τε χώρας παντελῆ μοναρχίαν
ηὔθυνε, θάλλων εὐγενεῖ τέκνων σπορᾷ·
καὶ νῦν ἀφεῖται πάντα. τὰς γὰρ ἡδονὰς
ὅταν προδῶσιν ἄνδρες, οὐ τίθημ᾽ ἐγὼ
ζῆν τοῦτον, ἀλλ᾽ ἔμψυχον ἡγοῦμαι νεκρόν.
πλούτει τε γὰρ κατ᾽ οἶκον, εἰ βούλει, μέγα,
καὶ ζῆ τύραννον σχῆμ᾽ ἔχων, ἐὰν δ᾽ ἀπῇ
τούτων τὸ χαίρειν, τἄλλ᾽ ἐγὼ καπνοῦ σκιᾶς
οὐκ ἂν πριαίμην ἀνδρὶ πρὸς τὴν ἡδονήν.
ΧΟ. τί δ᾽ αὖ τόδ᾽ ἄχθος βασιλέων ἥκεις φέρων;
ΑΓ. τεθνᾶσιν· οἱ δὲ ζῶντες αἴτιοι θανεῖν.
ΧΟ. καὶ τίς φονεύει; τίς δ᾽ ὁ κείμενος; λέγε.
ΑΓ. Αἵμων ὄλωλεν· αὐτόχειρ δ᾽ αἱμάσσεται.
ΧΟ. πότερα πατρῴας, ἢ πρὸς οἰκείας χερός;
ΑΓ. αὐτὸς πρὸς αὑτοῦ, πατρὶ μηνίσας φόνου.
ΧΟ. ὦ μάντι, τοὔπος ὡς ἄρ᾽ ὀρθὸν ἤνυσας.
ΑΓ. ὡς ὧδ᾽ ἐχόντων τἄλλα βουλεύειν πάρα.
ΧΟ. καὶ μὴν ὁρῶ τάλαιναν Εὐρυδίκην ὁμοῦ
δάμαρτα τὴν Κρέοντος· ἐκ δὲ δωμάτων
ἤτοι κλύουσα παιδὸς ἢ τύχῃ περᾷ.

---

1098. *Κρέον] λακεῖν ex v. 1094. 1102. παρεικαθεῖν Elmsleius] παρεικάθειν 1105. *καρδίας] καρδίαι ἐξίσταμαι] ἐξεπίσταμαι pr. 1107. νυν D.] νῦν ἄλλοισιν] ἄλλοισι, σι ab S illato. 1108. ἴτ᾽ ἴτ᾽ Triclinius] ἴτ᾽ alterum om. 1111. *δόξα τῇδ᾽] δόξαι τῇδ᾽ ἐπεστράφη] ἐπεστράφην, η ex ει facto. 1114. *ᾖ σώζοντα τὸν βίον] ἢ τὸν βίον σωίζοντα 1110. Lacunam post hunc versum indicavit Hermannus. Huius lacunae vetus supplementum esse videntur versus 1111—1114. Quod animadvertit Bergkius. 1115. Καδμεΐας D.] καδμείας ἄγαλμα νύμφας Nauckius] νύμφας ἄγαλμα 1119. *Ἰταλίαν] ἰτάλειαν 1120. *παγκοίνοις] παγκοίνους 1121. Δῃοῦς] δηιοῦς. Iota adscripto carent apographa. Βακχεῦ Hermannus] ὦ βακχεῦ 1122. ὁ addidit Musgravius. ματρόπολιν D.] μητρόπολιν 1123. ναιετῶν D.] ναίων ὑγρῶν Triclinius] ὑγρὸν 1124. ῥείθρων Hermannus] ῥέεθρον, quod Triclinius in ῥεέθρων mutaverat. Alterum ρ in cod. ex ν factum. 1126. διλόφοιο D.] διλόφου 1129. στίχουσι D.] στείχουσι 1130. Κασταλίας] κασταλείασ (superscr. ϊ), ϊ a m. pr. 1134. ἀβρότων Turnebus] ἀμβρότων 1135. Θηβαΐας Hermannus] θηβαίας 1137. τὰν ex τᾶν factum, superscripto a m. pr. ἥν. ἔκπαγλα — ὑπὲρ πασᾶν D.] ἐκ πασᾶν — ὑπερτάταν, Vocabuli ὑπερτάταν alterum α in litura alius literae scriptum est, erasis etiam duabus tribusve literis, quae superscriptae fuerunt.

1141. πάνδαμος D.] πάνδημος ἁμὰ addidit Boeckhius. 1144. *Παρνασίαν] παρνησίαν 1147. *χοράγ᾽] χοραγὲ νυχίων Brunckius] καὶ νυχίων 1149. Ζηνὸς Bothius] διός 1150. προφάνηθ᾽ ὦ Musgravius] προφάνηθι 1152. Θυίαισιν Boeckhius] θυιάσιν 1158. καταρρέπει] Scholiasta sine lemmate, πίπτει, καταβάλλει· γρ. δὲ καταρρέπει· ὅ ἐστι πίπτειν ποιεῖ. Itaque duplex lectio fuit, altera καταρρέπει, altera, ut Elmsleius coniicit, κατατρέπει, quo verbo nemo veterum usus est, qui ἀνατρέπειν dixerunt. 1160. καθεστώτων] ἐφεστώτων Blaydesius. 1163. *λαβών τε] λαβόντε 1164. ηὔθυνε D.] εὔθυνε 1166. προδῶσιν ἄνδρες, οὐ τίθημ᾽ ἐγὼ ex Athenaeo pro προδῶσιν, ἀνδρὸς οὐ τίθημ᾽ ἐγώ. Interpunctio post προδῶσιν et ἐγώ etiam in codice est. 1167. Hunc versum, in cod. omissum, ex Athen. 7. p. 280. et 12. p. 547. addidit Turnebus. Legit eum scholiasta, ut ex interpretatione eius apparet. Non legit suo in exemplari Eustathius ad Hom. p. 957, 17. ubi quod ἀκριβῆ ἀντίγραφα hunc versum addere dicit, de Athenaeo intelligendum est, cuius ex Epitome — nam hac tantum usus est Eustathius — hunc versum noverat. 1177. *αὑτοῦ] αὐτοῦ φόνου] φόνωι (superscr. ου), ου a m. pr. 1182. περᾷ Brunckius] πάρα

ΕΥΡΥΔΙΚΗ.

ὦ πάντες ἀστοί, τῶν λόγων ἐπῃσθόμην
πρὸς ἔξοδον στείχουσα, Παλλάδος θεᾶς
ὅπως ἱκοίμην εὐγμάτων προσήγορος.
καὶ τυγχάνω γε κλῇθρ᾽ ἀνασπαστοῦ πύλης
χαλῶσα, καί με φθόγγος οἰκείου κακοῦ
βάλλει δι᾽ ὤτων· ὑπτία δὲ κλίνομαι
δείσασα πρὸς δμωαῖσι κἀποπλήσσομαι.
ἀλλ᾽ ὅστις ἦν ὁ μῦθος αὖθις εἴπατε·
κακῶν γὰρ οὐκ ἄπειρος οὖσ᾽ ἀκούσομαι.

ΑΓ. ἐγώ, φίλη δέσποινα, καὶ παρὼν ἐρῶ,
κοὐδὲν παρήσω τῆς ἀληθείας ἔπος.
τί γάρ σε μαλθάσσοιμ᾽ ἂν ὧν εἰς ὕστερον
ψεῦσται φανούμεθ᾽; ὀρθὸν ἀλήθει᾽ ἀεί.
ἐγὼ δὲ σῷ ποδαγὸς ἑσπόμην πόσει
πεδίον ἐπ᾽ ἄκρον, ἔνθ᾽ ἔκειτο νηλεὲς
κυνοσπάρακτον σῶμα Πολυνείκους ἔτι·
καὶ τὸν μέν, αἰτήσαντες ἐνοδίαν θεὸν
Πλούτωνά τ᾽ ὀργὰς εὐμενεῖς κατασχεθεῖν,
λούσαντες ἁγνὸν λουτρόν, ἐν νεοσπάσιν
θαλλοῖς ὃ δὴ ᾽λέλειπτο συγκατήθομεν,
καὶ τύμβον ὀρθόκρανον οἰκείας χθονὸς
χώσαντες αὖθις πρὸς λιθόστρωτον κόρης
νυμφεῖον Ἅιδου κοῖλον εἰσεβαίνομεν.
φωνῆς δ᾽ ἄπωθεν ὀρθίων κωκυμάτων
κλύει τις ἀκτέριστον ἀμφὶ παστάδα,
καὶ δεσπότῃ Κρέοντι σημαίνει μολών·
τῷ δ᾽ ἀθλίας ἄσημα περιβαίνει βοῆς
ἕρποντι μᾶλλον ἆσσον, οἰμώξας δ᾽ ἔπος
ἵησι δυσθρήνητον, ὦ τάλας ἐγώ,
ἆρ᾽ εἰμὶ μάντις; ἆρα δυστυχεστάτην
κέλευθον ἕρπω τῶν παρελθουσῶν ὁδῶν;
παιδός με σαίνει φθόγγος. ἀλλά, πρόσπολοι,
ἴτ᾽ ἆσσον ὠκεῖς, καὶ παραστάντες τάφῳ
ἀθρήσαθ᾽, ἁρμὸν χώματος λιθοσπαδῆ
δύντες πρὸς αὐτὸ στόμιον, εἰ τὸν Αἵμονος
φθόγγον συνίημ᾽, ἢ θεοῖσι κλέπτομαι.
τάδ᾽ ἐξ ἀθύμου δεσπότου κελεύμασιν
ἠθροῦμεν· ἐν δὲ λοισθίῳ τυμβεύματι
τὴν μὲν κρεμαστὴν αὐχένος κατείδομεν,
βρόχῳ μιτώδει σινδόνος καθημμένην,
τὸν δ᾽ ἀμφὶ μέσσῃ περιπετῆ προσκείμενον,
εὐνῆς ἀποιμώζοντα τῆς κάτω φθορὰν
καὶ πατρὸς ἔργα καὶ τὸ δύστηνον λέχος.
ὁ δ᾽ ὡς ὁρᾷ σφε, στυγνὸν οἰμώξας ἔσω
χωρεῖ πρὸς αὐτὸν κἀνακωκύσας καλεῖ,
ὦ τλῆμον, οἷον ἔργον εἴργασαι· τίνα
νοῦν ἔσχες; ἐν τῷ συμφορᾶς διεφθάρης;
ἔξελθε, τέκνον, ἱκέσιός σε λίσσομαι.
τὸν δ᾽ ἀγρίοις ὄσσοισι παπτήνας ὁ παῖς,
πτύσας προσώπῳ κοὐδὲν ἀντειπὼν ἔπος
ἕλκει διπλοῦς κνώδοντας, ἐκ δ᾽ ὁρμωμένου
πατρὸς φυγαῖσιν ἤμπλακ᾽· εἶθ᾽ ὁ δύσμορος
αὑτῷ χολωθείς, ὥσπερ εἶχ᾽, ἐπενταθεὶς
ἤρεισε πλευραῖς μέσσον ἔγχος, ἐς δ᾽ ὑγρὸν
ἀγκῶν᾽ ἔτ᾽ ἔμφρων παρθένῳ προσπτύσσεται·
καὶ φυσιῶν ὀξεῖαν ἐκβάλλει πνοὴν
λευκῇ παρειᾷ φοινίου σταλάγματος.
κεῖται δὲ νεκρὸς περὶ νεκρῷ, τὰ νυμφικὰ
τέλη λαχὼν δείλαιος ἔν γ᾽ Ἅιδου δόμοις,
δείξας ἐν ἀνθρώποισι τὴν ἀβουλίαν
ὅσῳ μέγιστον ἀνδρὶ πρόσκειται κακόν.

ΧΟ. τί τοῦτ᾽ ἂν εἰκάσειας; ἡ γυνὴ πάλιν
φρούδη, πρὶν εἰπεῖν ἐσθλὸν ἢ κακὸν λόγον.

ΑΓ. καὐτὸς τεθάμβηκ᾽· ἐλπίσιν δὲ βόσκομαι
ἄχη τέκνου κλύουσαν ἐς πόλιν γόους
οὐκ ἀξιώσειν, ἀλλ᾽ ὑπὸ στέγης ἔσω
δμωαῖς προθήσειν πένθος οἰκεῖον στένειν.
[γνώμης γὰρ οὐκ ἄπειρος, ὥσθ᾽ ἁμαρτάνειν]

ΧΟ. οὐκ οἶδ᾽· ἐμοὶ δ᾽ οὖν ἥ τ᾽ ἄγαν σιγὴ βαρὺ
δοκεῖ προσεῖναι χὴ μάτην πολλὴ βοή.

ΑΓ. ἀλλ᾽ εἰσόμεσθα, μή τι καὶ κατάσχετον
κρυφῇ καλύπτει καρδίᾳ θυμουμένη,
δόμους παραστείχοντες. εὖ γὰρ οὖν λέγεις.
καὶ τῆς ἄγαν γάρ ἐστί που σιγῆς βάρος.

ΧΟ. καὶ μὴν ὅδ᾽ ἄναξ αὐτὸς ἐφήκει
μνῆμ᾽ ἐπίσημον διὰ χειρὸς ἔχων,
εἰ θέμις εἰπεῖν, οὐκ ἀλλοτρίαν
ἄτην, ἀλλ᾽ αὐτὸς ἁμαρτών.

ΚΡ. ἰὼ φρενῶν δυσφρόνων ἁμαρτήματα
στερεὰ θανατόεντ᾽,
ὦ κτανόντας τε καὶ
θανόντας βλέποντες ἐμφυλίους.
ὤμοι ἐμῶν ἄνολβα βουλευμάτων.
ἰὼ παῖ, νέος νέῳ ξὺν μόρῳ,
αἰαῖ αἰαῖ,
ἔθανες, ἀπελύθης,
ἐμαῖς οὐδὲ σαῖσι δυσβουλίαις.

ΧΟ. οἴμ᾽ ὡς ἔοικας ὀψὲ τὴν δίκην ἰδεῖν.

ΚΡ. οἴμοι,
ἔχω μαθὼν δείλαιος· ἐν δ᾽ ἐμῷ κάρᾳ
τότ᾽ ἄρα τότε θεὸς μέγα βάρος μ᾽ ἔχων
ἔπαισεν, ἐν δ᾽ ἔσεισεν ἀγρίαις ὁδοῖς,
οἴμοι λακπάτητον ἀντρέπων χαράν.
φεῦ φεῦ, ὦ πόνοι βροτῶν δύσπονοι.

ΕΞΑΓΓΕΛΟΣ.

ὦ δέσποθ᾽, ὡς ἔχων τε καὶ κεκτημένος,
τὰ μὲν πρὸ χειρῶν τάδε φέρων, τὰ δ᾽ ἐν δόμοις

1261—1277. = 1284—1300.

---

γ
1186. γε] τε, γ a m. pr. 1189. δμωαῖσι] δμώ-
εσ
αῖσι, accentu super ω et εσ ab S scripto. 1193.
ή
παρήσω] παρείσω, ή ab S. 1194. εἰς ὕστερον D.] ἐσύστερον 1195. ἀλήθει᾽ Hermannus] ἡ ἀλήθει᾽ 1197. *ἄκρον] ἄκρων, licet πεδίον habeat. 1200. κατασχεθεῖν Elmsleius] κατασχέθειν 1202.
αθ
δὴ ᾽λέλειπτο D.] δὴ λέλειπτο 1208. μολών, αθ ab S. 1212. *ἆρ᾽] ἄρ᾽ 1219. ἐξ] οὖν D. κελεύμασιν D.] κελεύσμασιν 1222. μιτώδει] μι-
ει
τρώιδη, ει a m. pr. superscripto, ρ vero, cuius pars superior supra versum exstat, ab S addito. 1228. *οἷον] ποῖον

ὅ ξίφουσ
1232. ἀντειπὼν ἔπος D.] ἀντειπὼν λωσ , ν ante λ ex ο facto et ὅ superscripto a m. pr. Eadem m. ξίφους supra versum, quod est in apographis. 1234. εἶθ᾽ ὁ ab S pro simplici εἰ 1235. *αὑτῷ] αὑτῶι 1236. *μέσσον] μέσον 1238. πνοὴν] ῥοὴν: sed πνοὴν schol. 1241. ἔν γ᾽ Heathius] ἐν (*εἰν) 1245. ἢ ab S insertum videtur. 1248. ἀξιώσειν] ἐξανήσειν Blaydesius. 1250. Seclusit D. 1256. ἐστί που] ἔσθ᾽ ὅπου Bergkius. 1265. ὤμοι Turnebus] ἰώ (codex ἰὼ) μοι 1266. *ξὺν μόρῳ] ξυμμόρωι 1267. αἰαῖ αἰαῖ D.] αἶ αἶ αἶ 1270. ἰδεῖν] γρ. ἔχειν ab S 1273. τότ᾽ ἄρα τότε θεὸς Erfurdtius] θεός τότ᾽ ἄρα τότε 1275. λακπάτητον] τον ab S illatum. 1276. *ὦ] ἰὼ 1278. ΕΞΑΓΓΕΛΟΣ Brunckius hic et infra] οἰκέτης, compendio expressum. Sic etiam v. 1282. 1279. *πρὸ χειρῶν τάδε] προχειρῶν τὰ δὲ τὰ δ᾽] τάδ᾽ a m. sec.

ἔοικας ἥκειν καὶ τάχ᾽ ὄψεσθαι κακά.
[ΚΡ. τί δ᾽ ἔστιν αὖ κάκιον ἢ κακῶν ἔτι;
ΕΞ.] γυνὴ τέθνηκε, τοῦδε παμμήτωρ νεκροῦ,
δύστηνος, ἄρτι νεοτόμοισι πλήγμασιν.
ΚΡ. ἰὼ ἰὼ δυσκάθαρτος Ἅιδου λιμήν,
τί μ᾽ ἄρα τί μ᾽ ὀλέκεις;
ὦ κακάγγελτά μοι
προπέμψας ἄχη, τίνα θροεῖς λόγον;
αἰαῖ, ὀλωλότ᾽ ἄνδρ᾽ ἐπεξειργάσω.
τί φῄς, τίνα λέγεις νέον μοι νέῳ,
αἰαῖ αἰαῖ,
σφάγιον ἐπ᾽ ὀλέθρῳ
γυναικεῖον ἀμφικεῖσθαι μόρον;
ΧΟ. ὁρᾶν πάρεστιν· οὐ γὰρ ἐν μυχοῖς ἔτι.
ΚΡ. οἴμοι,
κακὸν τόδ᾽ ἄλλο δεύτερον βλέπω τάλας.
τίς ἄρα, τίς με πότμος ἔτι περιμένει;
ἔχω μὲν ἐν χείρεσσιν ἀρτίως τέκνον,
τάλας, τὸν δ᾽ ἔναντα προσβλέπω νεκρόν.
φεῦ φεῦ μᾶτερ ἀθλία, φεῦ τέκνον.
ΕΞ. ἡ δ᾽ ὀξύθηκτος ἥδε βωμία πέριξ
λύει κελαινὰ βλέφαρα, κωκύσασα μὲν
τοῦ πρὶν θανόντος Μεγαρέως κλεινὸν λάχος,
αὖθις δὲ τοῦδε, λοίσθιον δὲ σοὶ κακὰς
πράξεις ἐφυμνήσασα τῷ παιδοκτόνῳ.
ΚΡ. αἰαῖ αἰαῖ,
ἀνέπταν φόβῳ. τί μ᾽ οὐκ ἀνταίαν
ἔπαισέν τις ἀμφιθήκτῳ ξίφει;
δείλαιος ἐγώ, αἰαῖ,
δειλαίᾳ δὲ συγκέκραμαι δύᾳ.

1306—1311. = 1328—1333.

ΕΞ. ὡς αἰτίαν γε τῶνδε κἀκείνων ἔχων
πρὸς τῆς θανούσης τῆσδ᾽ ἐπεσκήπτου μόρων.
ΚΡ. ποίῳ δὲ κἀπελύσατ᾽ ἐν φοναῖς τρόπῳ;
ΕΞ. παίσασ᾽ ὑφ᾽ ἧπαρ αὐτόχειρ αὑτήν, ὅπως
παιδὸς τόδ᾽ ᾔσθετ᾽ ὀξυκώκυτον πάθος.
ΚΡ. ὤμοι μοι, τάδ᾽ οὐκ ἐπ᾽ ἄλλον βροτῶν
ἐμᾶς ἁρμόσει ποτ᾽ ἐξ αἰτίας.
ἐγὼ γάρ σ᾽, ἐγώ, ἔκανον, ὦ μέλεος,
ἐγώ, φάμ᾽ ἔτυμον. ἰὼ πρόσπολοι
ἄγετέ μ᾽ ὅτι τάχος, ἄγετέ μ᾽ ἐκποδών,
τὸν οὐκ ὄντα μᾶλλον ἢ μηδένα.
ΧΟ. κέρδη παραινεῖς, εἴ τι κέρδος ἐν κακοῖς·
βράχιστα γὰρ κράτιστα τἀν ποσὶν κακά.
ΚΡ. ἴτω ἴτω,
φανήτω μόρων ὁ κάλλιστ᾽ ἐμῶν
ἐμοὶ τερμίαν ἄγων ἁμέραν
ὕπατος· ἴτω ἴτω,
ὅπως μηκέτ᾽ ἆμαρ ἄλλ᾽ εἰσίδω.
ΧΟ. μέλλοντα ταῦτα. τῶν προκειμένων τι χρὴ
πράσσειν. μέλει γὰρ τῶνδ᾽ ὅτοισι χρὴ μέλειν.
ΚΡ. ἀλλ᾽ ὧν ἐρῶ ᾽γώ, ταῦτα συγκατηυξάμην.
ΧΟ. μή νυν προσεύχου μηδέν· ὡς πεπρωμένης
οὐκ ἔστι θνητοῖς συμφορᾶς ἀπαλλαγή.
ΚΡ. ἄγοιτ᾽ ἂν μάταιον ἄνδρ᾽ ἐκποδών,
ὅς, ὦ παῖ, σέ τ᾽ οὐχ ἑκὼν κάκτανον
σέ τ᾽ αὖ τάνδ᾽, ὤμοι μέλεος, οὐδ᾽ ἔχω
ὅπα πρὸς πότερα κλιθῶ· πάντα γὰρ
λέχρια τἀν χεροῖν, τὰ δ᾽ ἐπὶ κρατί μοι
πότμος δυσκόμιστος εἰσήλατο.
ΧΟ. πολλῷ τὸ φρονεῖν εὐδαιμονίας
πρῶτον ὑπάρχει· χρὴ δ᾽ ἐς τὰ θεῶν
μηδὲν ἀσεπτεῖν· μεγάλοι δὲ λόγοι
μεγάλας πληγὰς τῶν ὑπεραύχων
ἀποτίσαντες
γήρᾳ τὸ φρονεῖν ἐδίδαξαν.

1317—1325. = 1339—1346.

---

1280. ὄψεσθαι] αι a m. multo recentiore ex ε factum. 1281. Hunc versum seclusit Heilandus. Versibus quinque 1278.—1280. 1282. 1283. respondent todidem 1301.—1305. 1284. ΚΡ.] ΧΟ. pr., κρέ. a m. recentiore. Syllabae τοσ ἅδου λιμὴν proximo versui additae. 1286. *ὦ] ἰὼ 1287. λόγον a m. recentissima. λόγωι pr., ab ipsa in λόγων mutatum. 1288. αἰαῖ D.] αἶ αἶ *ἄνδρ᾽] ἄνδρα 1289. τίνα λέγεις νέον μοι νέον (νέῳ Donaldsonus) Hermannus] ὦ παῖ τίνα λέγεις μοι νέον λόγον 1290. αἰαῖ αἰαῖ D.] αἶ αἶ αἶ 1293. ΧΟ. Erfurdtius] αγγ ε̂. 1298. τὸν δ᾽ ἔναντα] τάδ᾽ ἐναντία, cum γρ. τόνδ᾽ ἔναντα ab S. 1301. ΕΞ] Χ (ο) ἢ αγγ (ε̂) *ἡ δ᾽] ἦδ᾽ ἥδε] ἡ δὲ accentu a m. rec. Versus absurde interpolatus. E loco simili Ai. 899. νεοσφαγὴς | κεῖται, κρυφαίῳ φασγάνῳ περιπτυχής colligi potest Sophoclis verborum sententiam fuisse ἡ δ᾽ ὀξυθήκτῳ φασγάνῳ περιπτυχής vel, quod Arndtius coniecit, ἡ δ᾽ ὀξυθήκτῳ πτώσιμος περὶ ξίφει. 1302. κελαινὰ] λ ex ν factum. 1303. λάχος Bothius] λέχος 1304. δὲ σοὶ Erfurdtius] δέ σοι 1306. αἰαῖ αἰαῖ Hermannus] αἶ αἶ αἶ αἶ 1307. ἀνταίαν] γρ. καιρίαν ab S.

---

1310. αἰαῖ Erfurdtius pro φεῦ φεῦ, quod codex a m. recentissima habet, erasis qaae primus librarius ad versum proximum aberrans scripserat verbis συγκέκραμαι δύαι. 1312. 1315. ΕΞ.] α (γ) .εἰσ φονὰσ. 1313. *μόρων] μόρωι 1314. ἐν φοναῖσ, εἰσ φονὰσ ab S. 1319. ἐγὼ, ἔκανον] ἐγώ σ᾽ ἔκανον Hermannus. 1324. τάχος] τάχιστ᾽ Erfurdtius. 1328. βράχιστα] γρ. κράτιστα ab S. κράτιστα] γρ. τάχιστα ab S. 1337. ΧΟ.] ἀγγ. Correxit Brunckius. 1334. τι] τί 1336. ᾽γὼ addidit D. 1337. μή νυν D.] μὴ νῦν (μ) 1339. ἐκποδὼν] ἐκποδῶν, μ a m. pr. 1340. *τ᾽] γ᾽ κάκτανον Hermannus] κατέκτανον 1341. σέ τ᾽ Hermannus] ὅς σέ τ᾽ αὖ τάνδ᾽ Seidlerus] αὐτάν 1342. πότερα κλιθῶ Kayserus] πρότερον ἴδω πᾶι καὶ θῶ 1345. τἀν Brunckius] 1349. χρὴ δ᾽ ἐς τὰ θεῶν D.] χρὴ δὲ τά τ᾽ εἰς θεούς.

# ΣΟΦΟΚΛΕΟΥΣ ΟΙΔΙΠΟΥΣ ΤΥΡΑΝΝΟΣ.

## ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ

ΟΙΔΙΠΟΥΣ.
ΙΕΡΕΥΣ.
ΚΡΕΩΝ.
ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ ΘΗΒΑΙΩΝ.
ΤΕΙΡΕΣΙΑΣ.
ΙΟΚΑΣΤΗ.
ΑΓΓΕΛΟΣ.
ΘΕΡΑΠΩΝ ΛΑΙΟΥ.
ΕΞΑΓΓΕΛΟΣ.

[ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΓΡΑΜΜΑΤΙΚΟΥ]

## ΥΠΟΘΕΣΙΣ ΟΙΔΙΠΟΔΟΣ ΤΥΡΑΝΝΟΥ.

Λιπὼν Κόρινθον Οἰδίπους, πατρὸς νόθος
πρὸς τῶν ἁπάντων λοιδορούμενος ξένος,
ἦλθεν πυθέσθαι Πυθικῶν θεσπισμάτων,
ζητῶν ἑαυτὸν καὶ γένους φυτοσπόρον.
εὑρὼν δὲ τλήμων ἐν στεναῖς ἁμαξιτοῖς
ἄκων ἔπεφνε Λάϊον γεννήτορα.
Σφιγγὸς δὲ δεινῆς θνήσιμον λύσας μέλος
ᾔσχυνε μητρὸς ἀγνοουμένης λέχος.
λοιμὸς δὲ Θήβας εἷλε καὶ νόσος μακρά.
Κρέων δὲ πεμφθεὶς Δελφικὴν πρὸς ἑστίαν,
ὅπως πύθηται τοῦ κακοῦ παυστήριον,
ἤκουσε φωνῆς μαντικῆς θεοῦ πάρα,
τὸν Λαΐειον ἐκδικηθῆναι φόνον.
ὅθεν μαθὼν ἑαυτὸν Οἰδίπους τάλας
πόρπαισι δισσὰς ἐξανάλωσεν κόρας,
αὐτὴ δὲ μήτηρ ἀγχόναις διώλετο.

## ΔΙΑ ΤΙ ΤΥΡΑΝΝΟΣ ΕΠΙΓΕΓΡΑΠΤΑΙ.

Ο ΤΥΡΑΝΝΟΣ ΟΙΔΙΠΟΥΣ ἐπὶ διακρίσει θατέρου ἐπιγέγραπται. χαριέντως δὲ ΤΥΡΑΝΝΟΝ ἅπαντες αὐτὸν ἐπιγράφουσιν, ὡς ἐξέχοντα πάσης τῆς Σοφοκλέους ποιήσεως, καίπερ ἡττηθέντα ὑπὸ Φιλοκλέους, ὥς φησι Δικαίαρχος. εἰσὶ δὲ καὶ οἱ ΠΡΟΤΕΡΟΝ, οὐ ΤΥΡΑΝΝΟΝ, αὐτὸν ἐπιγράφοντες, διὰ τοὺς χρόνους τῶν διδασκαλιῶν καὶ διὰ τὰ πράγματα· ἀλήτην γὰρ καὶ πηρὸν Οἰδίποδα τὸν ἐπὶ Κολωνῷ εἰς τὰς Ἀθήνας ἀφικνεῖσθαι. ἴδιον δέ τι πεπόνθασιν οἱ μεθ᾽ Ὅμηρον ποιηταί, τοὺς πρὸ τῶν Τρωϊκῶν βασιλεῖς ΤΥΡΑΝΝΟΥΣ προσαγορεύοντες,

ὀψέ ποτε τοῦδε τοῦ ὀνόματος εἰς τοὺς Ἕλληνας διαδοθέντος, κατὰ τοὺς Ἀρχιλόχου χρόνους, καθάπερ Ἱππίας ὁ σοφιστής φησιν. Ὅμηρος γοῦν τὸν πάντων παρανομώτατον Ἔχετον βασιλέα φησὶ, καὶ οὐ τύραννον· (Ὀδυσσ. 18, 85.)

εἰς Ἔχετον βασιλῆα, βροτῶν δηλήμονα πάντων.

προσαγορευθῆναι δέ φασι τὸν τύραννον ἀπὸ τῶν Τυρρηνῶν· χαλεποὺς γάρ τινας περὶ λῃστείαν τούτους γενέσθαι. ὅτι δὲ νεώτερον τὸ τοῦ τυράννου ὄνομα δῆλον. οὔτε γὰρ Ὅμηρος οὔτε Ἡσίοδος οὔτε ἄλλος οὐδεὶς τῶν παλαιῶν τύραννον ἐν τοῖς ποιήμασιν ὀνομάζει. ὁ δὲ Ἀριστοτέλης ἐν Κυμαίων πολιτείᾳ τοὺς τυράννους φησὶ τὸ πρότερον αἰσυμνήτας προσαγορεύεσθαι. εὐφημότερον γὰρ ἐκεῖνο τοὔνομα.

## ΑΛΛΩΣ.

Ὁ Τύραννος Οἰδίπους πρὸς ἀντιδιαστολὴν τοῦ ἐν τῷ Κολωνῷ ἐπιγέγραπται. τὸ κεφάλαιον δὲ τοῦ δράματος γνῶσις τῶν ἰδίων κακῶν Οἰδίποδος, πήρωσίς τε τῶν ὀφθαλμῶν, καὶ δι᾽ ἀγχόνης θάνατος Ἰοκάστης.

---

## ΧΡΗΣΜΟΣ Ο ΔΟΘΕΙΣ ΛΑΙΩι ΤΩι ΘΗΒΑΙΩι.

Λάϊε Λαβδακίδη, παίδων γένος ὄλβιον αἰτεῖς.
δώσω τοι φίλον υἱόν· ἀτὰρ πεπρωμένον ἐστὶ
σοῦ παιδὸς χείρεσσι λιπεῖν φάος· ὣς γὰρ ἔνευσε
Ζεὺς Κρονίδης, Πέλοπος στυγεραῖς ἀραῖσι πιθήσας,
οὗ φίλον ἥρπασας υἱόν· ὁ δ᾽ ηὔξατό σοι τάδε πάντα.

---

## ΤΟ ΑΙΝΙΓΜΑ ΤΗΣ ΣΦΙΓΓΟΣ.

Ἔστι δίπουν ἐπὶ γῆς καὶ τετράπον, οὗ μία φωνή,
καὶ τρίπον· ἀλλάσσει δὲ φυὴν μόνον ὅσσ᾽ ἐπὶ γαῖαν
ἑρπετὰ κινεῖται ἀνά τ᾽ αἰθέρα καὶ κατὰ πόντον.
ἀλλ᾽ ὁπόταν πλείστοισιν ἐρειδόμενον ποσὶ βαίνῃ,
ἔνθα τάχος γυίοισιν ἀφαυρότατον πέλει αὐτοῦ.

---

## ΛΥΣΙΣ ΤΟΥ ΑΙΝΙΓΜΑΤΟΣ.

Κλῦθι καὶ οὐκ ἐθέλουσα, κακόπτερε Μοῦσα θανόντων,
φωνῆς ἡμετέρης σὸν τέλος ἀμπλακίης.
ἄνθρωπον κατέλεξας, ὃς ἡνίκα γαῖαν ἐφέρπει,
πρῶτον ἔφυ τετράπους νήπιος ἐκ λαγόνων·
γηραλέος δὲ πέλων τρίτατον πόδα βάκτρον ἐρείδει,
αὐχένα φορτίζων, γήραϊ καμπτόμενος.

---

ΟΙΔΙΠΟΥΣ.

Ὦ τέκνα, Κάδμου τοῦ πάλαι νέα τροφή,
τίνας ποθ᾽ ἕδρας τάσδε μοι θοάζετε
ἱκτηρίοις κλάδοισιν ἐξεστεμμένοι;
πόλις δ᾽ ὁμοῦ μὲν θυμιαμάτων γέμει,
ὁμοῦ δὲ παιάνων τε καὶ στεναγμάτων·
ἁγὼ δικαιῶν μὴ παρ᾽ ἀγγέλων, τέκνα,
ἄλλων ἀκούειν αὐτὸς ὧδ᾽ ἐλήλυθα,
ὁ πᾶσι κλεινὸς Οἰδίπους καλούμενος.
ἀλλ᾽, ὦ γεραιὲ, φράζ᾽, ἐπεὶ πρέπων ἔφυς

πρὸ τῶνδε φωνεῖν, τίνι τρόπῳ καθέστατε,
δείσαντες ἢ στέρξαντες; ὡς θέλοντος ἂν
ἐμοῦ προσαρκεῖν πᾶν· δυσάλγητος γὰρ ἂν
εἴην τοιάνδε μὴ οὐ κατοικτείρων ἕδραν.

ΙΕΡΕΥΣ.

ἀλλ', ὦ κρατύνων Οἰδίπους χώρας ἐμῆς,
ὁρᾷς μὲν ἡμᾶς ἡλίκοι προσήμεθα
βωμοῖσι τοῖς σοῖς, οἱ μὲν οὐδέπω μακρὰν
πτέσθαι σθένοντες, οἱ δὲ σὺν γήρᾳ βαρεῖς
ἱερῆς, ἐγὼ μὲν Ζηνός, οἱ δ᾽ ἐπ᾽ ἠθέων
λεκτοί· τὸ δ᾽ ἄλλο φῦλον ἐξεστεμμένον
ἀγοραῖσι θακεῖ πρός τε Παλλάδος διπλοῖς
ναοῖς ἐπ᾽ Ἰσμηνοῦ τε μαντείᾳ σποδῷ.
πόλις γάρ, ὥσπερ καὐτὸς εἰσορᾷς, ἄγαν
ἤδη σαλεύει κἀνακουφίσαι κάρα
βυθῶν ἔτ᾽ οὐχ οἵα τε φοινίου σάλου,
φθίνουσα μὲν κάλυξιν ἐγκάρποις χθονός,
φθίνουσα δ᾽ ἀγέλαις βουνόμοις, τόκοισί τε
ἀγόνοις γυναικῶν· ἐν δ᾽ ὁ πυρφόρος θεὸς
σκήψας ἐλαύνει, λοιμὸς ἔχθιστος, πόλιν,
ὑφ᾽ οὗ κενοῦται δῶμα Καδμεῖον· μέλας δ᾽
Ἅιδης στεναγμοῖς καὶ γόοις πλουτίζεται.
θεοῖσι μέν νυν οὐκ ἰσούμενόν σ᾽ ἐγὼ
οὐδ' οἵδε παῖδες ἑζόμεσθ᾽ ἐφέστιοι,
ἀνδρῶν δὲ πρῶτον ἔν τε συμφοραῖς βίου
κρίνοντες ἔν τε δαιμόνων συναλλαγαῖς,
ὅς γ᾽ ἐξέλυσας ἄστυ Καδμεῖον μολὼν
σκληρᾶς ἀοιδοῦ δασμὸν ὃν παρείχομεν,
καὶ ταῦθ᾽ ὑφ᾽ ἡμῶν οὐδὲν ἐξειδὼς πλέον
οὐδ᾽ ἐκδιδαχθείς, ἀλλὰ προσθήκῃ θεοῦ
λέγει νομίζει θ᾽ ἡμὶν ὀρθῶσαι βίον·
νῦν τ᾽, ὦ κράτιστον πᾶσιν Οἰδίπου κάρα,
ἱκετεύομέν σε πάντες οἵδε πρόστροποι
ἀλκήν τιν᾽ εὑρεῖν ἡμίν, εἴτε του θεῶν
φήμην ἀκούσας εἴτ᾽ ἀπ᾽ ἀνδρὸς οἶσθά του·
ὡς τοῖσιν ἐμπείροισι καὶ τὰς ξυμφορὰς
ζώσας ὁρῶ μάλιστα τῶν βουλευμάτων.
ἴθ᾽, ὦ βροτῶν ἄριστ᾽, ἀνόρθωσον πόλιν·
ἴθ᾽, εὐλαβήθηθ᾽· ὡς σὲ νῦν μὲν ἥδε γῆ
σωτῆρα κλῄζει τῆς πάρος προθυμίας·
ἀρχῆς δὲ τῆς σῆς μηδαμῶς μεμνώμεθα
στάντες τ᾽ ἐς ὀρθὸν καὶ πεσόντες ὕστερον,
ἀλλ᾽ ἀσφαλείᾳ τήνδ᾽ ἀνόρθωσον πόλιν.
ὄρνιθι γὰρ καὶ τὴν τότ᾽ αἰσίῳ τύχην
παρέσχες ἡμῖν καὶ τανῦν ἴσος γενοῦ.
ὡς εἴπερ ἄρξεις τῆσδε γῆς, ὥσπερ κρατεῖς,
ξὺν ἀνδράσιν κάλλιον ἢ κενῆς κρατεῖν·
ὡς οὐδέν ἐστιν οὔτε πύργος οὔτε ναῦς
ἔρημος ἀνδρῶν μὴ ξυνοικούντων ἔσω.

ΟΙ. ὦ παῖδες οἰκτροί γνωτὰ κοὐκ ἄγνωτά μοι
προσήλθεθ᾽ ἱμείροντες. εὖ γὰρ οἶδ᾽ ὅτι
νοσεῖτε πάντες, καὶ νοσοῦντες, ὡς ἐγὼ
οὐκ ἔστιν ὑμῶν ὅστις ἐξ ἴσου νοσεῖ.
τὸ μὲν γὰρ ὑμῶν ἄλγος εἰς ἕν᾽ ἔρχεται
μόνον καθ᾽ αὑτόν, κοὐδέν᾽ ἄλλον, ἡ δ᾽ ἐμὴ
ψυχὴ πόλιν τε κἀμὲ καὶ σ᾽ ὁμοῦ στένει.
ὥστ᾽ οὐχ ὕπνῳ γ᾽ ἐνδόντα μ᾽ ἐξεγείρετε,
ἀλλ᾽ ἴστε πολλὰ μέν με δακρύσαντα δή,
πολλὰς δ᾽ ὁδοὺς ἐλθόντα φροντίδος πλάνοις.
ἣν δ᾽ εὖ σκοπῶν ηὕρισκον ἴασιν μόνην,
ταύτην ἔπραξα· παῖδα γὰρ Μενοικέως
Κρέοντ᾽, ἐμαυτοῦ γαμβρόν, ἐς τὰ Πυθικὰ
ἔπεμψα Φοίβου δώμαθ᾽, ὡς πύθοιθ᾽ ὅ τι
δρῶν ἢ τί φωνῶν τήνδε ῥυσαίμην πόλιν.
καί μ᾽ ἦμαρ ἤδη ξυμμετρούμενον χρόνῳ
λυπεῖ τί πράσσει· τοῦ γὰρ εἰκότος πέρα
ἄπεστι πλείω τοῦ καθήκοντος χρόνου.
ὅταν δ᾽ ἵκηται, τηνικαῦτ᾽ ἐγὼ κακὸς
μὴ δρῶν ἂν εἴην πάνθ᾽ ὅσ᾽ ἂν δηλοῖ θεός.

ΙΕ. ἀλλ᾽ ἐς καλὸν σύ τ᾽ εἶπας οἵδε τ᾽ ἀρτίως
Κρέοντα προσστείχοντα σημαίνουσί μοι.

ΟΙ. ὦναξ Ἄπολλον, εἰ γὰρ ἐν τύχῃ γέ τῳ
σωτῆρι βαίη λαμπρὸς ὥσπερ ὄμματι.

ΙΕ. ἀλλ᾽ εἰκάσαι μέν, ἡδύς· οὐ γὰρ ἂν κάρα
πολυστεφὴς ὧδ᾽ εἷρπε παγκάρπου δάφνης.

ΟΙ. τάχ᾽ εἰσόμεσθα· ξύμμετρος γὰρ ὡς κλύειν.
ἄναξ, ἐμὸν κήδευμα, παῖ Μενοικέως,
τίν᾽ ἡμὶν ἥκεις τοῦ θεοῦ φήμην φέρων;

ΚΡΕΩΝ.

ἐσθλήν· λέγω γὰρ καὶ τὰ δύσφορ᾽, εἰ τύχοι
κατ᾽ ὀρθὸν ἐξελθόντα, πάντ᾽ ἂν εὐτυχεῖν.

ΟΙ. ἔστιν δὲ ποῖον τοὔπος; οὔτε γὰρ θρασὺς
οὔτ᾽ οὖν προδείσας εἰμὶ τῷ γε νῦν λόγῳ.

ΚΡ. εἰ τῶνδε χρῄζεις πλησιαζόντων κλύειν,
ἕτοιμος εἰπεῖν, εἴτε καὶ στείχειν ἔσω.

ΟΙ. ἐς πάντας αὔδα. τῶνδε γὰρ πλέον φέρω
τὸ πένθος ἢ καὶ τῆς ἐμῆς ψυχῆς πέρι.

ΚΡ. λέγοιμ᾽ ἂν οἷ᾽ ἤκουσα τοῦ θεοῦ πάρα.
ἄνωγεν ἡμᾶς Φοῖβος ἐμφανῶς ἄναξ
μίασμα χώρας, ὡς τεθραμμένον χθονὶ
ἐν τῇδ᾽, ἐλαύνειν μηδ᾽ ἀνήκεστον τρέφειν.

ΟΙ. ποίῳ καθαρμῷ; τίς ὁ τρόπος τῆς ξυμφορᾶς;

ΚΡ. ἀνδρηλατοῦντας, ἢ φόνῳ φόνον πάλιν
λύοντας, ὡς τόδ᾽ αἷμα χειμάζον πόλιν.

ΟΙ. ποίου γὰρ ἀνδρὸς τήνδε μηνύει τύχην;

---

11. στέρξαντεσ pro στέξαντεσ a m. rec. 13. ΙΕΡΕΥΣ] ἱερεὺσ πρεσβύτησ διόσ 17. σθένοντες] στένοντεσ literis στ, ut ubique fere, uno ductu expressis. 18. ἱερῆς Brunckius] ἱερεῖς οἱ δ᾽ ἐπ᾽ ἠθέων D.] οἱ δεπ᾽ ἠϊθέων pr. ut videtur. οἱ δέ τ᾽ ἠϊθέων rec. 25. ἐγκάρποις] ἐνκάρποισ, ν a m. rec. in γ mutato. Sic 83. πανκάρπου a m. pr. pro παγκάρπου. 26. βουνόμοισ rec. βουνόμον pr. ut videtur, quod βουνόμων significare potest. 27. ἐν] ἓν

29. Ἅιδης] ἀΐδης hic et alibi. 31. μέν νυν] Accentus ab alia m. antiqua. 32. *ἑζόμεσθ᾽] ἑζόμεθ᾽ 34. συναλλαγαῖς] ξυναλλαγαῖσ paullo rec. 39. νομίζει] νομίζηι, et sic ηι pro ει 336. 374. 424. 582. 613. 1061. 1063. 1089. 1201. 1240. 1519. ἡμὶν Brunckius] ἧμιν 42. εὑρεῖν ἡμῖν rec. in litura. ἡμῖν εὑρεῖν pr. 43. του] που superscr. a m. recentissima. 48. πάρος corr. A pr. manu fuerat

ροσ
πάλαι. Corrector, eraso ροσ, πάλαι recte in πάροσ mutavit. 50. τ᾽ a m. rec. 52. τότ᾽ αἰσίῳ] τόθ᾽ αἰσίωι pr.

60. νοσοῦντες] ων (i. e. νοσούντων) super εσ a m. recentissima. 62. In margine habet a m. pr.

65. ἐνδόντα Badhamus] εὕδοντα 67. πλάνοις (*πλάναις)] πλάνασ, sed in πλάνοισ mutatum, quod est in apographo Lb. 68. ηὕρισκον scripsi pro εὕρισκον, cum augmento, praeeunte hic et alibi constanter Elmsleio in hoc verbo similibusque. 72. τήνδε ῥυσαίμην] τήνδ᾽ ἐρυσάμην pr. τήνδε ῥυσοίμην Nauckius. 74. πέρα] πέραι, ι a m. rec. 77. *ὅσ᾽ ἂν] ὅσα 78. ἐς D.] εἰς οἵδε τ᾽] οἶδε τ᾽ pr. οἱ δέ τ᾽ corr. 79. προσστείχοντα Erfurdtius] προστείχοντα 83. παγκάρπου] πανκάρπου pr. 86. ἡμὶν Brunckius] ἡμῖν 99. ξυμφορᾶς] Inceperat librarius σ scribere, sed priusquam perfecerat in ξ transiit: unde nunc figura apparet ex utraque litera compo-

ει
sita. 101. χειμάζον, ει ab eadem m. superscr. 102. τήνδε rec. τῆιδε pr.

ΚΡ. ἦν ἡμὶν, ὦναξ, Λάϊός ποθ᾽ ἡγεμὼν
γῆς τῆσδε, πρὶν σὲ τήνδ᾽ ἀπευθύνειν πόλιν.
ΟΙ. ἔξοιδ᾽ ἀκούων· οὐ γὰρ εἰσεῖδόν γέ πω.
ΚΡ. τούτου θανόντος νῦν ἐπιστέλλει σαφῶς
τοὺς αὐτοέντας χειρὶ τιμωρεῖν τινα.
ΟΙ. οἱ δ᾽ εἰσὶ ποῦ γῆς; ποῦ τόδ᾽ εὑρεθήσεται
ἴχνος παλαιᾶς δυστέκμαρτον αἰτίας;
ΚΡ. ἐν τῇδ᾽ ἔφασκε γῇ· τὸ δὲ ζητούμενον
ἁλωτὸν, ἐκφεύγει δὲ τἀμελούμενον.
ΟΙ. πότερα δ᾽ ἐν οἴκοις, ἢ ᾽ν ἀγροῖς ὁ Λάϊος,
ἢ γῆς ἐπ᾽ ἄλλης τῷδε συμπίπτει φόνῳ;
ΚΡ. θεωρὸς, ὡς ἔφασκεν, ἐκδημῶν πάλιν
πρὸς οἶκον οὐκέθ᾽ ἵκεθ᾽, ὡς ἀπεστάλη.
ΟΙ. οὐδ᾽ ἄγγελός τις οὐδὲ συμπράκτωρ ὁδοῦ
κατεῖδ᾽, ὅτου τις ἐκμαθὼν ἐχρήσατ᾽ ἄν;
ΚΡ. θνήσκουσι γὰρ, πλὴν εἷς τις, ὃς φόβῳ φυγὼν
ὧν εἶδε πλὴν ἓν οὐδὲν εἶχ᾽ εἰδὼς φράσαι.
ΟΙ. τὸ ποῖον; ἓν γὰρ πόλλ᾽ ἂν ἐξεύροι μαθεῖν,
ἀρχὴν βραχεῖαν εἰ λάβοιμεν ἐλπίδος.
ΚΡ. λῃστὰς ἔφασκε συντυχόντας οὐ μιᾷ
ῥώμῃ κτανεῖν νιν, ἀλλὰ σὺν πλήθει χερῶν.
ΟΙ. πῶς οὖν ὁ λῃστὴς, εἴ τι μὴ ξὺν ἀργύρῳ
ἐπράσσετ᾽ ἐνθένδ᾽, ἐς τόδ᾽ ἂν τόλμης ἔβη;
ΚΡ. δοκοῦντα ταῦτ᾽ ἦν· Λαΐου δ᾽ ὀλωλότος
οὐδεὶς ἀρωγὸς ἐν κακοῖς ἐγίγνετο.
ΟΙ. κακὸν δὲ ποῖον ἐμποδὼν τυραννίδος
οὕτω πεσούσης εἶργε τοῦτ᾽ ἐξειδέναι;
ΚΡ. ἡ ποικιλῳδὸς Σφὶγξ τὸ πρὸς ποσὶ σκοπεῖν
μεθέντας ἡμᾶς τἀφανῆ προσήγετο.
ΟΙ. ἀλλ᾽ ἐξ ὑπαρχῆς αὖθις αὔτ᾽ ἐγὼ φανῶ.
ἐπαξίως γὰρ Φοῖβος, ἀξίως δὲ σὺ
πρὸ τοῦ θανόντος τήνδ᾽ ἔθεσθ᾽ ἐπιστροφήν·
ὥστ᾽ ἐνδίκως ὄψεσθε κἀμὲ σύμμαχον,
γῇ τῇδε τιμωροῦντα τῷ θεῷ θ᾽ ἅμα.
ὑπὲρ γὰρ οὐχὶ τῶν ἀπωτέρω φίλων,
ἀλλ᾽ αὐτὸς αὑτοῦ, τοῦτ᾽ ἀποσκεδῶ μύσος.
ὅστις γὰρ ἦν ἐκεῖνον ὁ κτανὼν τάχ᾽ ἂν
κἄμ᾽ ἂν τοιαύτῃ χειρὶ τιμωρεῖν θέλοι.
κείνῳ προσαρκῶν οὖν ἐμαυτὸν ὠφελῶ.
ἀλλ᾽ ὡς τάχιστα, παῖδες, ὑμεῖς μὲν βάθρων
ἵστασθε, τούσδ᾽ ἄραντες ἱκτῆρας κλάδους,
ἄλλος δὲ Κάδμου λαὸν ὧδ᾽ ἀθροιζέτω,
ὡς πᾶν ἐμοῦ δράσοντος. ἢ γὰρ εὐτυχεῖς
σὺν τῷ θεῷ φανούμεθ᾽ ἢ πεπτωκότες.
ΙΕ. ὦ παῖδες, ἱστώμεσθα· τῶνδε γὰρ χάριν
καὶ δεῦρ᾽ ἔβημεν ὧν ὅδ᾽ ἐξαγγέλλεται.
Φοῖβος δ᾽ ὁ πέμψας τάσδε μαντείας ἅμα
σωτήρ θ᾽ ἵκοιτο καὶ νόσου παυστήριος.

ΧΟΡΟΣ.

ὦ Διὸς ἁδυεπὲς φάτι, τίς ποτε τᾶς πολυχρύσου
Πυθῶνος ἀγλαὰς ἔβας [λων,
Θήβας; ἐκτέταμαι φοβερὰν φρένα, δείματι πάλ-

151—158. = 159—166.

ἰήιε Δάλιε Παιὰν,
ἀμφὶ σοὶ ἀζόμενος τί μοι ἢ νέον,
ἢ περιτελλομέναις ὥραις πάλιν ἐξανύσεις χρέος.
εἰπέ μοι, ὦ χρυσέας τέκνον Ἐλπίδος, ἄμβροτε
Φάμα. [Ἀθάνα,
πρῶτά σε κεκλόμενος, θύγατερ Διὸς, ἄμβροτ᾽
γαιάοχόν τ᾽ ἀδελφεὰν
Ἄρτεμιν, ἃ κυκλόεντ᾽ ἀγορᾶς θρόνον εὐκλέα
καὶ Φοῖβον ἑκαβόλον, ἰὼ [θάσσει,
τρισσοὶ ἀλεξίμοροι προφάνητέ μοι,
εἴ ποτε καὶ προτέρας ἄτας ὑπερορνυμένας πόλει
ἠνύσατ᾽ ἐκτοπίαν φλόγα πήματος, ἔλθετε καὶ νῦν.
ὦ πόποι, ἀνάριθμα γὰρ φέρω
πήματα· νοσεῖ δέ μοι πρόπας στόλος, οὐδ᾽ ἔνι
φροντίδος ἔγχος
ᾧ τις ἀλέξεται. οὔτε γὰρ ἔκγονα
κλυτᾶς χθονὸς αὔξεται οὔτε τόκοισιν
ἰηίων καμάτων ἀνέχουσι γυναῖκες·
ἄλλον δ᾽ ἂν ἄλλῳ προσίδοις ἅπερ εὔπτερον ὄρνιν
κρεῖσσον ἀμαιμακέτου πυρὸς ὄρμενον
ἀκτὰν πρὸς ἑσπέρου θεοῦ·
ὧν πόλις ἀνάριθμος ὄλλυται· [ἀνοίκτως·
νηλέα δὲ γένεθλα πρὸς πέδῳ θαναταφόρα κεῖται
ἐν δ᾽ ἄλοχοι πολιαί τ᾽ ἔπι ματέρες
ἀκτὰν παρὰ βώμιον ἄλλοθεν ἄλλαν
λυγρῶν πόνων ἱκετῆρες ἐπιστενάχουσιν.
παιὰν δὲ λάμπει στονόεσσά τε γῆρυς ὅμαυλος·
ὧν ὕπερ, ὦ χρυσέα θύγατερ Διὸς,
εὐῶπα πέμψον ἀλκάν·
Ἄρεά τε τὸν μαλερὸν, ὃς νῦν ἄχαλκος ἀσπίδων
φλέγει με περιβόατον, ἀντιάζω
παλίσσυτον δράμημα νωτίσαι πάτρας
ἄπουρον, εἴτ᾽ ἐς μέγαν
θάλαμον Ἀμφιτρίτας
εἴτ᾽ ἐς τὸν ἀπόξενον ὅρμων
Θρήκιον κλύδωνα·
τέλει γὰρ εἴ τι νὺξ ἀφῇ,
τοῦτ᾽ ἐπ᾽ ἦμαρ ἔρχεται·
τὸν, ὦ τᾶν πυρφόρων
ἀστραπᾶν κράτη νέμων,
ὦ Ζεῦ πάτερ, ὑπὸ σῷ φθίσον κεραυνῷ.
Λύκει᾽ ἄναξ, τά τε σὰ χρυσοστρόφων ἀπ᾽ ἀγ-
κυλᾶν

167—178. = 179—189.
190—202. = 203—215.

---

103. ἡμὶν Brunckius] ἥμιν 105. εἰσεῖδον] εἴσιδον pr. γέ πω] γ᾽ ἐγώ Hartungius. 107. τινα] τινάσ cum puncto super σ a m. pr., quod erasit m. rec. θεός Nauckius. 108. οἱ δ᾽] οἶδ᾽ pr., οἶδ᾽ rec. 112. ἢ ᾽ν] ἢ ἐν, sed ε eraso. 117. *κατεῖδ᾽] κατεῖδεν ὅτου rec. ὅπου pr. 123. σὺν] σὺμ pr. 127. ἐγίγνετο Brunckius] ἐγίνετο (ἐγείνετο pr.) 130. *ποσὶ] ποσὶν 134. πρὸ] πρὸσ, σ eraso. τήνδ᾽ ἔθεσθ᾽ ἐπιστροφήν] γρ. τήνδε θεσπίζει γραφὴν ab S. 136. θ᾽] τ᾽ pr. 138. *αὑτοῦ] αὐτοῦ 141. Hunc versum in margine habet a m. pr. 145. δράσοντος] δράσαντος pr. 147. *ἱστώμεσθα] ἱστώμεθα 151. ἁδυεπὲσ pr. ἁδυεπὴσ corr. *τᾶς] τὰς 153. πάλλων] γρ. πολλῶι ab S.

158. πρῶτά σε] πρωτα σε, litera una post πρωτα erasa, quae σ potius fuisse videtur quam ν. γρ. πρώταν γε ab S. κεκλόμενος pr. ω (i. e. κεκλομένῳ) superscriptum a m. recentissima. 159. ἄμβροτ᾽] ὄβριμ᾽ Heimsoethius. 162. *ἰὼ] ἰὼ ἰὼ 165. ὑπερορνυμένας Musgravius] ὕπερ ὀρνυμένας 166. καὶ νῦν] καὶ in margine a m. ant. 175. ἄλλῳ] ἄλλᾳ Dobraeus. ἅπερ] ἅιπερ a m. ant. 180. *δὲ γένεθλα] δ᾽ ά γενέθλα (accentus super ε a m. rec.) θαναταφόρα pr. θαναταφόρωι corr. 184. *παρὰ βώμιον] παραβώμιον ἄλλαν D.] ἄλλαι 185. *ἱκετῆρες] ἱκτῆρες *ἐπιστενάχουσιν] ἐπιστονάχουσι 186. παιὰν corr. παιὼν pr. in textu et in lemmate scholii. 191. περιβόατον D.] περιβόητος ἀντιάζω Hermannus] ἀντιάζων 194. ἄπουρον rec. cum gl. μακράν. ἔπουρον pr. Duplicem scripturam explicat scholiasta, alteram vitiosam ἐπ᾽ οὖρον, alteram rectam ἄπουρον. 196. ὅρμων Doederlinus] ὅρμον 198. τέλει] τελεῖν Hermannus. 201. τᾶν addidit Hermannus. πυρφορων] πυρφόρων, ο (superscriptum) a m. rec. 204. ἀγκυλᾶν Elmsleius] ἀγκύλων

βέλεα θέλοιμ᾽ ἂν ἀδάματ᾽ ἐνδατεῖσθαι
ἀρωγὰ προσταχθέντα, τάς τε πυρφόρους
᾽Αρτέμιδος αἴγλας, ξὺν αἷς
Λύκι᾽ ὄρεα διάσσει·
τὸν χρυσομίτραν τε κικλήσκω
τᾶσδ᾽ ἐπώνυμον γᾶς,
οἰνῶπα Βάκχον εὔιον,
Μαινάδων ὁμόστολον,
πελασθῆναι φλέγοντ᾽
ἀγλαῶπι ⏗ ⏑ –
πεύκᾳ ᾽πὶ τὸν ἀπότιμον ἐν θεοῖς θεόν.

ΟΙ. αἰτεῖς· ἃ δ᾽ αἰτεῖς, τἄμ᾽ ἐὰν θέλῃς ἔπη
κλύων δέχεσθαι τῇ νόσῳ θ᾽ ὑπηρετεῖν,
ἀλκὴν λάβοις ἂν κἀνακούφισιν κακῶν·
ἁγὼ ξένος μὲν τοῦ λόγου τοῦδ᾽ ἐξερῶ,
ξένος δὲ τοῦ πραχθέντος. οὐ γὰρ ἂν μακρὰν
ἴχνευον αὐτὸ, μὴ οὐκ ἔχων τι σύμβολον.
νῦν δ᾽ ὕστερος γὰρ ἀστὸς εἰς ἀστοὺς τελῶ,
ὑμῖν προφωνῶ πᾶσι Καδμείοις τάδε·
ὅστις ποθ᾽ ὑμῶν Λάϊον τὸν Λαβδάκου
κάτοιδεν ἀνδρὸς ἐκ τίνος διώλετο,
τοῦτον κελεύω πάντα σημαίνειν ἐμοί.
κεἰ μὲν φοβεῖται, τοὐπίκλημ᾽ ὑπεξελὼν
αὐτὸς καθ᾽ αὑτοῦ· πείσεται γὰρ ἄλλο μὲν
ἀστεργὲς οὐδὲν, γῆς δ᾽ ἄπεισιν ἀσφαλής·
εἰ δ᾽ αὖ τις ἄλλον οἶδεν ἐξ ἄλλης χθονὸς,
τὸν αὐτόχειρα μὴ σιωπάτω· τὸ γὰρ
κέρδος τελῶ ᾽γὼ χἠ χάρις προσκείσεται.
εἰ δ᾽ αὖ σιωπήσεσθε, καί τις ἢ φίλου
δείσας ἀπώσει τοὔπος ἢ χαὐτοῦ τόδε,
ἁκ τῶνδε δράσω, ταῦτα χρὴ κλύειν ἐμοῦ.
τὸν ἄνδρ᾽ ἀπαυδῶ τοῦτον, ὅστις ἐστὶ, γῆς
τῆσδ᾽, ἧς ἐγὼ κράτη τε καὶ θρόνους νέμω,
μήτ᾽ ἐσδέχεσθαι μήτε προσφωνεῖν τινα,
μήτ᾽ ἐν θεῶν εὐχαῖσι μήτε θύμασιν
κοινὸν ποιεῖσθαι μήτε χέρνιβας νέμειν,
ὠθεῖν δ᾽ ἀπ᾽ οἴκων πάντας, ὡς μιάσματος
τοῦδ᾽ ἡμὶν ὄντος, ὡς τὸ Πυθικὸν θεοῦ
μαντεῖον ἐξέφηνεν ἀρτίως ἐμοί.
ἐγὼ μὲν οὖν τοιόσδε τῷ τε δαίμονι
τῷ τ᾽ ἀνδρὶ τῷ θανόντι σύμμαχος πέλω·
ὑμῖν δὲ ταῦτα πάντ᾽ ἐπισκήπτω τελεῖν,
ὑπέρ τ᾽ ἐμαυτοῦ τοῦ θεοῦ τε τῆσδέ τε
γῆς ὧδ᾽ ἀκάρπως κἀθέως ἐφθαρμένης.
οὐδ᾽ εἰ γὰρ ἦν τὸ πρᾶγμα μὴ θεήλατον,
ἀκάθαρτον ὑμᾶς εἰκὸς ἦν οὕτως ἐᾶν,
ἀνδρός γ᾽ ἀρίστου βασιλέως τ᾽ ὀλωλότος,
ἀλλ᾽ ἐξερευνᾶν· νῦν δ᾽ ἐπεὶ κυρῶ τ᾽ ἐγὼ
ἔχων μὲν ἀρχὰς, ἃς ἐκεῖνος εἶχε πρὶν,
ἔχων δὲ λέκτρα καὶ γυναῖχ᾽ ὁμόσπορον,
κοινῶν τε παίδων κοίν᾽ ἄν, εἰ κείνῳ γένος
μὴ ᾽δυστύχησεν, ἦν ἂν ἐκπεφυκότα,
νῦν δ᾽ ἐς τὸ κείνου κρᾶτ᾽ ἐνήλαθ᾽ ἡ τύχη·
ἀνθ᾽ ὧν ἐγὼ τάδ᾽, ὡσπερεὶ τοὐμοῦ πατρὸς,
ὑπερμαχοῦμαι κἀπὶ πάντ᾽ ἀφίξομαι,
ζητῶν τὸν αὐτόχειρα τοῦ φόνου λαβεῖν,
τῷ Λαβδακείῳ παιδὶ Πολυδώρου τε καὶ
τοῦ πρόσθε Κάδμου τοῦ πάλαι τ᾽ ᾽Αγήνορος.
καὶ ταῦτα τοῖς μὴ δρῶσιν εὔχομαι θεοὺς
μήτ᾽ ἄροτον αὐτοῖς γῆς ἀνιέναι τινὰ
μήτ᾽ οὖν γυναικῶν παῖδας, ἀλλὰ τῷ πότμῳ
τῷ νῦν φθερεῖσθαι κἄτι τοῦδ᾽ ἐχθίονι·
κατεύχομαι δὲ τὸν δεδρακότ᾽, εἴτε τις
εἷς ὢν λέληθεν εἴτε πλειόνων μέτα,
κακὸν κακῶς νιν ἄμορον ἐκτρῖψαι βίον.
ἐπεύχομαι δ᾽, οἴκοισιν εἰ ξυνέστιος
ἐν τοῖς ἐμοῖς γένοιτ᾽ ἐμοῦ συνειδότος,
παθεῖν ἅπερ τοῖσδ᾽ ἀρτίως ἠρασάμην.
ὑμῖν δὲ τοῖς ἄλλοισι Καδμείοις, ὅσοις
τάδ᾽ ἔστ᾽ ἀρέσκονθ, ἥ τε σύμμαχος Δίκη
χοἰ πάντες εὖ ξυνεῖεν εἰσαεὶ θεοί.

ΧΟ. ὥσπερ μ᾽ ἀραῖον ἔλαβες, ὧδ᾽, ἄναξ, ἐρῶ.
οὔτ᾽ ἔκτανον γὰρ οὔτε τὸν κτανόντ᾽ ἔχω
δεῖξαι. τὸ δὲ ζήτημα τοῦ πέμψαντος ἦν
Φοίβου τόδ᾽ εἰπεῖν, ὅστις εἴργασταί ποτε.

ΟΙ. δίκαι᾽ ἔλεξας· ἀλλ᾽ ἀναγκάσαι θεοὺς
ἂν μὴ θέλωσιν οὐδ᾽ ἂν εἷς δύναιτ᾽ ἀνήρ.

ΧΟ. τὰ δεύτερ᾽ ἐκ τῶνδ᾽ ἂν λέγοιμ᾽ ἁμοὶ δοκεῖ.

ΟΙ. εἰ καὶ τρίτ᾽ ἐστὶ, μὴ παρῇς τὸ μὴ οὐ φράσαι.

ΧΟ. ἄνακτ᾽ ἄνακτι ταὔθ᾽ ὁρῶντ᾽ ἐπίσταμαι
μάλιστα Φοίβῳ Τειρεσίαν, παρ᾽ οὗ τις ἂν
σκοπῶν τάδ᾽, ὦναξ, ἐκμάθοι σαφέστατα.

ΟΙ. ἀλλ᾽ οὐκ ἐν ἀργοῖς οὐδὲ τοῦτ᾽ ἐπραξάμην.
ἔπεμψα γὰρ Κρέοντος εἰπόντος διπλοῦς
πομπούς· πάλαι δὲ μὴ παρὼν θαυμάζεται.

ΧΟ. καὶ μὴν τά γ᾽ ἄλλα κωφὰ καὶ παλαί᾽ ἔπη.

ΟΙ. τὰ ποῖα ταῦτα; πάντα γὰρ σκοπῶ λόγον.

ΧΟ. θανεῖν ἐλέχθη πρός τινων ὁδοιπόρων.

ΟΙ. ἤκουσα κἀγώ· τὸν δὲ δρῶντ᾽ οὐδεὶς ὁρᾷ.

ΧΟ. ἀλλ᾽ εἴ τι μὲν δὴ δειμάτων ἔχει μέρος,
τὰς σὰς ἀκούων οὐ μενεῖ τοιάσδ᾽ ἀράς.

ΟΙ. ᾧ μὴ ᾽στι δρῶντι τάρβος, οὐδ᾽ ἔπος φοβεῖ.

ΧΟ. ἀλλ᾽ οὐξελέγξων αὐτὸν ἔστιν· οἵδε γὰρ
τὸν θεῖον ἤδη μάντιν ὧδ᾽ ἄγουσιν, ᾧ
τἀληθὲς ἐμπέφυκεν ἀνθρώπων μόνῳ.

ΟΙ. ὦ πάντα νωμῶν Τειρεσία, διδακτά τε

205. ἀδάματ᾽ Erfurdtius] ἀδάμαστ᾽. 206. προσταχθέντα D.] προσταθέντα 208. Λύκι᾽ a m. pr. correctus. Fuerat λύκει᾽, quod rursus intulit alia manus ant. 209. *κικλήσκω] κεκλήσκω 211. *οἰνῶπα] οἴνωπα 212. ὁμόστολον] μονόστολον cum γρ. ὁμόστολον ab S. 214. Indicavi lacunam. 215. ᾽πὶ D.] ἐπὶ 218. κἀνακούφισιν] κἀνακούφισειν pr. 227. Post hunc versum versus unus excidisse videtur. 229. ἀσφαλής] γρ. ἀβλαβής rec. 230. ἄλλον] ἐλθόντ᾽ Nauckius. 241. ἡμὶν Brunckius] ἡμῖν 252. ταῦτα] τὰ, sed addito ταῦ a m. ant. ταῦτα πάντ᾽] τἀπιόντ᾽ Nauckius. 253. τῆσδέ τε] δέ τε a m. ant. in litura literarum δε. Aberat igitur primo τε. 257. τ᾽ om., sed addidit m. ant. 258. ἐπεὶ κυρῶ Burtonus] ἐπικυρῶ 260. ἔχων] ἔχω pr. ν addidit m. antiqua.

ου

261. κείνῳ] κείνω (ου rec.) 264. τάδ᾽] τοῦδ᾽ Mudgius. 265. πάντ᾽] πᾶντ᾽ pr. πᾶν Nauckius. 270. γῆς Vauvillersius] γῆν 246—251. leguntur in codice post σύμμαχος πέλω (v. 245.) Transposuit O. Ribbeckius in Museo Rhen. novo vol. 13. p. 131. 248. ἄμορον Porsonus] ἄμοιρον 250. γένοιτ᾽] γένοιτ᾽ ἂν, sed eraso ἂν. 281. ἂν Brunckius] ἄν. ἀν sine accentu pr. *οὐδ᾽ ἂν εἷς] οὐδὲεὶσ accentu super ε deleto et super ι a m. rec. posito. δύναιτ᾽] δύναιτο pr. ἂν post δύναιτ᾽ addidit m. recentissima. 282. ἁμοὶ Elmsleius] ἅ μοι, corr. pro ἅ μου. 284. ταὔθ᾽ Brunckius] ταῦθ᾽ cum gl. rec. ταυτά. 287. οὐκ ἐν ἀργοῖς] οὐκεναργῶσ pr. Correxit m. ant. ἐπραξάμην] ἐπράξαμεν Meinekius. 290. *γ᾽] τ᾽ 293. δὲ δρῶντ᾽ anonymus] δ᾽ ἰδόντ᾽ 294. δειμάτων Hartungius] δείματόστ᾽ pr., literis στ uno ductu expressis, quas in duas dispescuit m. antiqua ut alibi, recentiorum lectorum caussa. Conf. ad 446. 297. οὐξελέγξων] οὐξελέγχων, sed superscr. a m. pr. ξ. αὐτὸν ἔστιν] νιν πάρεστιν Heimsoethius.

ἄρρητά τ᾽ οὐράνιά τε καὶ χθονοστιβῆ,
πόλιν μέν, εἰ καὶ μὴ βλέπεις, φρονεῖς δ᾽ ὅμως
οἵᾳ νόσῳ σύνεστιν· ἧς σὲ προστάτην
σωτῆρά τ᾽, ὦναξ, μοῦνον ἐξευρίσκομεν.
Φοῖβος γάρ, εἴ τι μὴ κλύεις τῶν ἀγγέλων,
πέμψασιν ἡμῖν ἀντέπεμψεν, ἔκλυσιν
μόνην ἂν ἐλθεῖν τοῦδε τοῦ νοσήματος,
εἰ τοὺς κτανόντας Λάϊον μαθόντες ἢ
κτείναιμεν, ἢ γῆς φυγάδας ἐκπεμψαίμεθα.
σὺ δ᾽ οὖν φθονήσας μήτ᾽ ἀπ᾽ οἰωνῶν φάτιν
μήτ᾽ εἴ τιν᾽ ἄλλην μαντικῆς ἔχεις ὁδὸν,
ῥῦσαι σεαυτὸν καὶ πόλιν, ῥῦσαι δ᾽ ἐμέ,
ῥῦσαι δὲ πᾶν μίασμα τοῦ τεθνηκότος.
ἐν σοὶ γὰρ ἐσμέν· ἄνδρα δ᾽ ὠφελεῖν ἀφ᾽ ὧν
ἔχοι τε καὶ δύναιτο κάλλιστος πόνος.

ΤΕΙΡΕΣΙΑΣ.

φεῦ φεῦ, φρονεῖν ὡς δεινὸν ἔνθα μὴ τέλη
λύῃ φρονοῦντι. ταῦτα γὰρ καλῶς ἐγὼ
εἰδὼς διώλεσ᾽· οὐ γὰρ ἂν δεῦρ᾽ ἱκόμην.
ΟΙ. τί δ᾽ ἔστιν; ὡς ἄθυμος εἰσελήλυθας.
ΤΕ. ἄφες μ᾽ ἐς οἴκους· ῥᾷστα γὰρ τὸ σόν τε σὺ
κἀγὼ διοίσω τοὐμὸν, ἢν ἐμοὶ πίθῃ.
ΟΙ. οὔτ᾽ ἔννομ᾽ εἶπας οὔτε προσφιλῆ πόλει
τῇδ᾽, ἥ σ᾽ ἔθρεψε, τήνδ᾽ ἀποστερῶν φάτιν.
ΤΕ. ὁρῶ γὰρ οὐδὲ σοὶ τὸ σὸν φώνημ᾽ ἰὸν
πρὸς καιρόν· ὡς οὖν μηδ᾽ ἐγὼ ταυτὸν πάθω.
ΟΙ. μὴ πρὸς θεῶν φρονῶν γ᾽ ἀποστραφῇς, ἐπεὶ
πάντες σε προσκυνοῦμεν οἵδ᾽ ἱκτήριοι.
ΤΕ. πάντες γὰρ οὐ φρονεῖτ᾽. ἐγὼ δ᾽ οὐ μή ποτε
τἄμ᾽ ὡς ἂν εἴπω, μὴ τὰ σ᾽ ἐκφήνω κακά.
ΟΙ. τί φῄς; ξυνειδὼς οὐ φράσεις, ἀλλ᾽ ἐννοεῖς
ἡμᾶς προδοῦναι καὶ καταφθεῖραι πόλιν;
ΤΕ. ἐγὼ οὔτ᾽ ἐμαυτὸν οὔτε σ᾽ ἀλγυνῶ. τί ταῦτ᾽
ἄλλως ἐλέγχεις; οὐ γὰρ ἂν πύθοιό μου.
ΟΙ. οὐκ, ὦ κακῶν κάκιστε, καὶ γὰρ ἂν πέτρου
φύσιν σύ γ᾽ ὀργάνειας, ἐξερεῖς ποτε,
ἀλλ᾽ ὧδ᾽ ἄτεγκτος κἀτελεύτητος φανεῖ;
ΤΕ. ὀργὴν ἐμέμψω τὴν ἐμήν, τὴν σοὶ δ᾽ ὁμοῦ
ναίουσαν οὐ κατεῖδες, ἀλλ᾽ ἐμὲ ψέγεις.
ΟΙ. τίς γὰρ τοιαῦτ᾽ ἂν οὐκ ἂν ὀργίζοιτ᾽ ἔπη
κλύων, ἃ νῦν σὺ τήνδ᾽ ἀτιμάζεις πόλιν;
ΤΕ. ἥξει γὰρ αὐτά, κἂν ἐγὼ σιγῇ στέγω.
ΟΙ. οὐκοῦν ἅ γ᾽ ἥξει καὶ σὲ χρὴ λέγειν ἐμοί.
ΤΕ. οὐκ ἂν πέρα φράσαιμι. πρὸς τάδ᾽, εἰ θέλεις,
θυμοῦ δι᾽ ὀργῆς ἥτις ἀγριωτάτη.
ΟΙ. καὶ μὴν παρήσω γ᾽ οὐδὲν, ὡς ὀργῆς ἔχω,
ἅπερ ξυνίημ᾽. ἴσθι γὰρ δοκῶν ἐμοὶ
καὶ ξυμφυτεῦσαι τοὔργον, εἰργάσθαι θ᾽, ὅσον
μὴ χερσὶ καίνων· εἰ δ᾽ ἐτύγχανες βλέπων,
καὶ τοὔργον ἂν σοῦ τοῦτ᾽ ἔφην εἶναι μόνου.
ΤΕ. ἄληθες; ἐννέπω σὲ τῷ κηρύγματι
ᾧπερ προεῖπας ἐμμένειν, κἀφ᾽ ἡμέρας
τῆς νῦν προσαυδᾶν μήτε τούσδε μήτ᾽ ἐμέ,
ὡς ὄντι γῆς τῆσδ᾽ ἀνοσίῳ μιάστορι.
ΟΙ. οὕτως ἀναιδῶς ἐξεκίνησας τόδε
τὸ ῥῆμα; καί που τοῦτο φεύξεσθαι δοκεῖς;
ΤΕ. πέφευγα· τἀληθὲς γὰρ ἰσχῦον τρέφω.
ΟΙ. πρὸς τοῦ διδαχθείς; οὐ γὰρ ἔκ γε τῆς τέχνης.
ΤΕ. πρὸς σοῦ· σὺ γάρ μ᾽ ἄκοντα προυτρέψω λέγειν.
ΟΙ. ποῖον λόγον; λέγ᾽ αὖθις, ὡς μᾶλλον μάθω.
ΤΕ. οὐχὶ ξυνῆκας πρόσθεν; ἢ ᾽κπειρᾷ λέγειν;
ΟΙ. οὐχ ὥστε γ᾽ εἰπεῖν γνωτόν· ἀλλ᾽ αὖθις φράσον.
ΤΕ. φονέα σε φημὶ τἀνδρὸς οὗ ζητεῖς κυρεῖν.
ΟΙ. ἀλλ᾽ οὔ τι χαίρων δίς γε πημονὰς ἐρεῖς.
ΤΕ. εἴπω τι δῆτα κἄλλ᾽, ἵν᾽ ὀργίζῃ πλέον;
ΟΙ. ὅσον γε χρῄζεις· ὡς μάτην εἰρήσεται.
ΤΕ. λεληθέναι σε φημὶ σὺν τοῖς φιλτάτοις
αἴσχισθ᾽ ὁμιλοῦντ᾽, οὐδ᾽ ὁρᾶν ἵν᾽ εἶ κακοῦ.
ΟΙ. ἦ καὶ γεγηθὼς ταῦτ᾽ ἀεὶ λέξειν δοκεῖς;
ΤΕ. εἴπερ τί γ᾽ ἐστὶ τῆς ἀληθείας σθένος.
ΟΙ. ἀλλ᾽ ἔστι, πλὴν σοί· σοὶ δὲ τοῦτ᾽ οὐκ ἔστ᾽, ἐπεὶ
τυφλὸς τά τ᾽ ὦτα τόν τε νοῦν τά τ᾽ ὄμματ᾽ εἶ.
ΤΕ. σὺ δ᾽ ἄθλιός γε ταῦτ᾽ ὀνειδίζων, ἃ σοὶ
οὐδεὶς ὃς οὐχὶ τῶνδ᾽ ὀνειδιεῖ τάχα.
ΟΙ. μιᾶς τρέφει πρὸς νυκτός, ὥστε μήτ᾽ ἐμὲ
μήτ᾽ ἄλλον, ὅστις φῶς ὁρᾷ, βλάψαι ποτ᾽ ἄν.
ΤΕ. οὐ γάρ σε μοῖρα πρός γ᾽ ἐμοῦ πεσεῖν, ἐπεὶ
ἱκανὸς Ἀπόλλων, ᾧ τάδ᾽ ἐκπρᾶξαι μέλει.
ΟΙ. Κρέοντος, ἢ σοῦ ταῦτα τἀξευρήματα;
ΤΕ. Κρέων δέ σοι πῆμ᾽ οὐδέν, ἀλλ᾽ αὐτὸς σὺ σοί.
ΟΙ. ὦ πλοῦτε καὶ τυραννὶ καὶ τέχνη τέχνης
ὑπερφέρουσα τῷ πολυζήλῳ βίῳ,
ὅσος παρ᾽ ὑμῖν ὁ φθόνος φυλάσσεται,
εἰ τῆσδέ γ᾽ ἀρχῆς οὕνεχ᾽, ἣν ἐμοὶ πόλις
δωρητὸν, οὐκ αἰτητὸν, εἰσεχείρισεν,
ταύτης Κρέων ὁ πιστός, οὑξ ἀρχῆς φίλος,
λάθρα μ᾽ ὑπελθὼν ἐκβαλεῖν ἱμείρεται,
ὑφεὶς μάγον τοιόνδε μηχανορράφον,
δόλιον ἀγύρτην, ὅστις ἐν τοῖς κέρδεσιν
μόνον δέδορκε, τὴν τέχνην δ᾽ ἔφυ τυφλός.
ἐπεί, φέρ᾽ εἰπέ, ποῦ σὺ μάντις εἶ σαφής;
πῶς οὐχ, ὅθ᾽ ἡ ῥαψῳδὸς ἐνθάδ᾽ ἦν κύων,
ηὔδας τι τοῖσδ᾽ ἀστοῖσιν ἐκλυτήριον;
καίτοι τό γ᾽ αἴνιγμ᾽ οὐχὶ τοὐπιόντος ἦν
ἀνδρὸς διειπεῖν, ἀλλὰ μαντείας ἔδει·
ἣν οὔτ᾽ ἀπ᾽ οἰωνῶν σὺ προυφάνης ἔχων
οὔτ᾽ ἐκ θεῶν του γνωτόν· ἀλλ᾽ ἐγὼ μολών,

---

305. εἴ τι μὴ Lud. Stephani] εἰ καὶ μὴ 307. τοῦδε] τήνδε Blaydesius. 308. ἢ Meinekius] εὖ 310. σὺ δ᾽ οὖν rec. σὺ νῦν pr. σὺ δὴ Nauckius. 313. ῥῦσαι] λῦσον Blaydesius. 314. ἄνδρα] ἀνδρὶ D. δ᾽ corr. a m. antiqua. σ᾽ pr. 315. πόνος] πό- (ων) νοσ, ων ab S superscripto. 321. πίθῃ] πιθῆι pr. 322. *ἔννομ᾽] ἔννομον. ἔμφρον᾽ Nauckius. (.εσ.) εἶπας] εἶπεσ pr. προσφιλῆ, literis εσ vel a pr. m. vel ab S superscriptis. 324. σὸν] Litera ν ex υ facta a m. pr. ἰὸν] ο in litura literae ω, ut videtur. 325. ὡς οὖν μηδ᾽ ἐγὼ ταυτὸν πάθω] Verba interpolata. ὁρῶ γὰρ οὔτε σοὶ τὸ σὸν φώνημ᾽ ἰὸν πρὸς καιρὸν ὀρθῶς μήτ᾽ ἐγὼ ταυτὸν πάθω D. (Δ) 326. ΟΙ praescriptum, non *ΧΟ. 329. ὡς ἂν εἴπω] Verba interpolata. ἐξελίξω D. 332. *ἐγὼ οὔτ᾽] ἐγώ τ᾽ 335. γ᾽] τ᾽ pr. ἐξερεῖς] ἐξερεῖ pr. (.γ.) 337. ὀργὴν] ὁρμὴν, γ a m. antiqua super μ scripto, quod ipsum quoque γ primo fuerat. *ἐμέμψω] ἐπέμψω 337. *σοὶ] σὴν

346. ἅπερ] ὧνπερ Blaydesius. 347. θ᾽] δ᾽ pr. 349. εἶναι a m. antiqua additum. 351. προεῖπας Brunckius] προσεῖπας 355. καί που Brunckius] (ξ) καὶ ποῦ 360. ξυνῆκας] συνῆκασ, ξ ab alia m. ant. (ο λ) λέγειν] λέγ pr., litera ο prope evanida. Compendium super γ positum ειν significat. λέγειν correxit m. alia. Litera ο super ε posita alludit ad λόγων, quod est in gl. m. recentis εἰ πεῖραν λόγων κινεῖς. 361. (ο) γνωτόν Elmsleius] γνωστόν 364. κἄλλ᾽] κἄλλ, ο ex apostropho ᾽ facto, ut videtur. 375. βλάψαι a m. ant. βλέψαι pr. 376. σε — γ᾽ ἐμοῦ Brunckius] με — γε σοῦ

ὁ μηδὲν εἰδὼς Οἰδίπους, ἔπαυσά νιν,
γνώμῃ κυρήσας οὐδ᾽ ἀπ᾽ οἰωνῶν μαθών·
ὃν δὴ σὺ πειρᾷς ἐκβαλεῖν, δοκῶν θρόνοις
παραστατήσειν τοῖς Κρεοντείοις πέλας.
κλάων δοκεῖς μοι καὶ σὺ χὠ συνθεὶς τάδε
ἀγηλατήσειν· εἰ δὲ μὴ ᾽δόκεις γέρων
εἶναι, παθὼν ἔγνως ἂν οἷά περ φρονεῖς.
ΧΟ. ἡμῖν μὲν εἰκάζουσι καὶ τὰ τοῦδ᾽ ἔπη
ὀργῇ λελέχθαι καὶ τὰ σ᾽, Οἰδίπους, δοκεῖ.
δεῖ δ᾽ οὐ τοιούτων, ἀλλ᾽ ὅπως τὰ τοῦ θεοῦ
μαντεῖ᾽ ἄριστα λύσομεν, τόδε σκοπεῖν.
ΤΕ. εἰ καὶ τυραννεῖς, ἐξισωτέον τὸ γοῦν
ἴσ᾽ ἀντιλέξαι· τοῦδε γὰρ κἀγὼ κρατῶ.
οὐ γάρ τι σοὶ ζῶ δοῦλος, ἀλλὰ Λοξίᾳ·
ὥστ᾽ οὐ Κρέοντος προστάτου γεγράψομαι.
λέγω δ᾽, ἐπειδὴ καὶ τυφλόν μ᾽ ὠνείδισας·
σὺ καὶ δέδορκας κοὐ βλέπεις ἵν᾽ εἶ κακοῦ,
οὐδ᾽ ἔνθα ναίεις, οὐδ᾽ ὅτων οἰκεῖς μέτα.
ἆρ᾽ οἶσθ᾽ ἀφ᾽ ὧν εἶ; καὶ λέληθας ἐχθρὸς ὢν
τοῖς σοῖσιν αὐτοῦ νέρθε κἀπὶ γῆς ἄνω,
καί σ᾽ ἀμφιπλὴξ μητρός τε καὶ τοῦ σοῦ πατρὸς
ἐλᾷ ποτ᾽ ἐκ γῆς τῆσδε δεινόπους ἀρά,
βλέποντα νῦν μὲν ὄρθ᾽, ἔπειτα δὲ σκότον.
βοῆς δὲ τῆς σῆς ποῖος οὐκ ἔσται λιμήν,
ποῖος Κιθαιρὼν οὐχὶ σύμφωνος τάχα,
ὅταν καταίσθῃ τὸν ὑμέναιον, ὃν δόμοις
ἄνορμον εἰσέπλευσας, εὐπλοίας τυχών;
ἄλλων δὲ πλῆθος οὐκ ἐπαισθάνει κακῶν,
ἅ σ᾽ ἐξισώσει σοί τε καὶ τοῖς σοῖς τέκνοις.
πρὸς ταῦτα καὶ Κρέοντα καὶ τοὐμὸν στόμα
προπηλάκιζε. σοῦ γὰρ οὐκ ἔστιν βροτῶν
κάκιον ὅστις ἐκτριβήσεταί ποτε.
ΟΙ. ἦ ταῦτα δῆτ᾽ ἀνεκτὰ πρὸς τούτου κλύειν;
οὐκ εἰς ὄλεθρον; οὐχὶ θᾶσσον; οὐ πάλιν
ἄψορρος οἴκων τῶνδ᾽ ἀποστραφεὶς ἄπει;
ΤΕ. οὐδ᾽ ἱκόμην ἔγωγ᾽ ἄν, εἰ σὺ μὴ ᾽κάλεις.
ΟΙ. οὐ γάρ τί σ᾽ ᾔδη μῶρα φωνήσοντ᾽, ἐπεὶ
σχολῇ σ᾽ ἂν οἴκους τοὺς ἐμοὺς ἐστειλάμην.
ΤΕ. ἡμεῖς τοιοίδ᾽ ἔφυμεν, ὡς μὲν σοὶ δοκεῖ,
μῶροι, γονεῦσι δ᾽, οἵ σ᾽ ἔφυσαν, ἔμφρονες.
ΟΙ. ποίοισι; μεῖνον. τίς δέ μ᾽ ἐκφύει βροτῶν;
ΤΕ. ἥδ᾽ ἡμέρα φύσει σε καὶ διαφθερεῖ.
ΟΙ. ὡς πάντ᾽ ἄγαν αἰνικτὰ κἀσαφῆ λέγεις.
ΤΕ. οὔκουν σὺ ταῦτ᾽ ἄριστος εὑρίσκειν ἔφυς;
ΟΙ. τοιαῦτ᾽ ὀνείδιζ᾽, οἷς ἔμ᾽ εὑρήσεις μέγαν.
ΤΕ. αὕτη γε μέντοι σ᾽ ἡ τύχη διώλεσεν.
ΟΙ. ἀλλ᾽ εἰ πόλιν τήνδ᾽ ἐξέσωσ᾽, οὔ μοι μέλει.
ΤΕ. ἄπειμι τοίνυν· καὶ σύ, παῖ, κόμιζέ με.
ΟΙ. κομιζέτω δῆθ᾽· ὡς παρὼν σύ γ᾽ ἐμποδὼν
ὀχλεῖς, συθείς τ᾽ ἂν οὐκ ἂν ἀλγύναις πλέον.
ΤΕ. εἰπὼν ἄπειμ᾽ ὧν οὕνεκ᾽ ἦλθον, οὐ τὸ σὸν
δείσας πρόσωπον· οὐ γὰρ ἔσθ᾽ ὅπου μ᾽ ὀλεῖς.
λέγω δέ σοι· τὸν ἄνδρα τοῦτον, ὃν πάλαι
ζητεῖς ἀπειλῶν κἀνακηρύσσων φόνον
τὸν Λαΐειον, οὗτός ἐστιν ἐνθάδε,
ξένος λόγῳ μέτοικος, εἶτα δ᾽ ἐγγενὴς
φανήσεται Θηβαῖος, οὐδ᾽ ἡσθήσεται
τῇ ξυμφορᾷ· τυφλὸς γὰρ ἐκ δεδορκότος
καὶ πτωχὸς ἀντὶ πλουσίου ξένην ἔπι
σκήπτρῳ προδεικνὺς γαῖαν ἐμπορεύσεται.
φανήσεται δὲ παισὶ τοῖς αὑτοῦ ξυνὼν
ἀδελφὸς αὐτὸς καὶ πατήρ, κἀξ ἧς ἔφυ
γυναικὸς υἱὸς καὶ πόσις, καὶ τοῦ πατρὸς
ὁμόσπορός τε καὶ φονεύς. καὶ ταῦτ᾽ ἰὼν
εἴσω λογίζου· κἂν λάβῃς ἐψευσμένον,
φάσκειν ἔμ᾽ ἤδη μαντικῇ μηδὲν φρονεῖν.
ΧΟ. τίς ὅντιν᾽ ἁ θεσπιέπεια Δελφὶς εἶπε πέτρα
ἄρρητ᾽ ἀρρήτων τελέσαντα φοινίαισι χερσίν;
ὥρα νιν ἀελλάδων
ἵππων σθεναρώτερον
φυγᾷ πόδα νωμᾶν.
ἔνοπλος γὰρ ἐπ᾽ αὐτὸν ἐπενθρώσκει
πυρὶ καὶ στεροπαῖς ὁ Διὸς γενέτας,
δειναὶ δ᾽ ἅμ᾽ ἕπονται
Κῆρες ἀναπλάκητοι.
ἔλαμψε γὰρ τοῦ νιφόεντος ἀρτίως φανεῖσα
φάμα Παρνασοῦ τὸν ἄδηλον ἄνδρα πάντ᾽ ἰχνεύ-
φοιτᾷ γὰρ ὑπ᾽ ἀγρίαν [ειν.
ὕλαν ἀνά τ᾽ ἄντρα καὶ
πέτρας ἅτε ταῦρος,
μέλεος μελέῳ ποδὶ χηρεύων,
τὰ μεσόμφαλα γᾶς ἀπονοσφίζων
μαντεῖα· τὰ δ᾽ ἀεὶ
ζῶντα περιποτᾶται. [τας,
δεινὰ μὲν οὖν δεινὰ ταράσσει σοφὸς οἰωνοθέ-
οὔτε δοκοῦντ᾽ οὔτ᾽ ἀποφάσκονθ᾽· ὅ τι λέξω δ᾽
ἀπορῶ.
πέτομαι δ᾽ ἐλπίσιν οὔτ᾽ ἐνθάδ᾽ ὁρῶν οὔτ᾽ ὀπίσω.
τί γὰρ ἢ Λαβδακίδαις [ἔγωγ᾽ οὔτε τανῦν πω
ἢ τῷ Πολύβου νεῖκος ἔκειτ᾽ οὔτε πάροιθέν ποτ᾽
ἔμαθον, πρὸς ὅτου δὴ βασάνῳ [κίδαις
ἐπὶ τὰν ἐπίδαμον φάτιν εἶμ᾽ Οἰδιπόδα Λαβδα-
ἐπίκουρος ἀδήλων θανάτων. [τὰ βροτῶν
ἀλλ᾽ ὁ μὲν οὖν Ζεὺς ὅ τ᾽ Ἀπόλλων ξυνετοὶ καὶ
εἰδότες· ἀνδρῶν δ᾽ ὅτι μάντις πλέον ἢ ᾽γὼ φέ-
ρεται
κρίσις οὐκ ἔστιν ἀληθής· σοφίᾳ δ᾽ ἂν σοφίαν
παραμείψειεν ἀνήρ.
ἀλλ᾽ οὔποτ᾽ ἔγωγ᾽ ἄν, πρὶν ἴδοιμ᾽ ὀρθὸν ἔπος,
μεμφομένων ἂν καταφαίην.

463—472. = 473—482.
483—497. = 498—512.

---

397. εἰδὼς ex οὐδεὶς factum. 401. κλάων Elmsleius] κλαίων 405. Οἰδίπους Elmsleius] Οἰδίπου 413. δέδορκας κοὐ] δεδορκὼς κοὐ in apographo uno. δεδορκὼς οὐ Reiskius. 419. ὄρθ᾽] ὀρθὰ 425. σοί] σοῖ pr. (ν superscr.) 433. *ᾔδη] ἤιδει, ν a m. ant. 434. σ᾽ — ἐμοὺς] γ᾽ — ἐμούς σ᾽ Porsonus. 439. ἄγαν] ἄγαν τ᾽ pr., sed τ᾽ eraso. 440. σὺ inter versus ab S. 442. τύχη] τέχνη Bentleius. 445. σύ γε in γρ. a m. paullo recentiore. . . γ᾽ pr., elutis duabus ante γ᾽ literis. ἐμποδὼν] ἐμποδὼν, ν ab eadem m. (ν superscr.) 446. ἀλγύναις] ἀλγύνοις Elmsleius. πλέον] πέρα Meinekius.

457. αὑτοῦ] αυτοῦ sine spiritu. 458. αὑτὸς Erfurdtius] αὐτὸς 463. εἶπε πέτρα] ηδεπεραι pr. (πε superscr.) ut videtur. (εἶδε πέτρα Flor. Γ.) 465. φοινίαισι] φοινι . . . σι pr. Videtur φοινίεσσι fuisse. 466. ἀελλάδων Hesychius s. h. v.] ἀελλοπόδων 472. *Κῆρες] χεῖρες, η ab eadem m. (η superscr.) ἀναπλάκητοι] ἀναμπλάκητοι corr. 475. *φάμα] φῆμα 478. πέτρας ἅτε ταῦρος Dorvillius ad Chariton. p. 435.] πετραῖοσ ὁ ταῦροσ pr., vocabuli πετραῖοσ literis ῖο ita erasis ut solius literae ι pars supersit. Recentior manus literae ε accentum superscripsit et ex ὁ ταῦρος fecit ὡσ ταῦροσ ita ut literae σ et τ nunc uno ductu expressae appareant. In apographis est πέτρας ὡς ταῦρος, nisi quod in Lb. πετραῖος servatum ex codice, in Flor. Γ autem πέτραις legitur. 500. δ᾽ a pr. m. vel S insertum.

φανερὰ πτερόεσσ᾽ ἦλθε κόρα [ἀπ᾽ ἐμᾶς
ποτέ, καὶ σοφὸς ὤφθη βασάνῳ θ᾽ ἁδύπολις· τῷ
φρενὸς οὔποτ᾽ ὀφλήσει κακίαν.
ΚΡ. ἄνδρες πολῖται, δείν᾽ ἔπη πεπυσμένος
κατηγορεῖν μου τὸν τύραννον Οἰδίπουν
πάρειμ᾽ ἀτλητῶν. εἰ γὰρ ἐν ταῖς ξυμφοραῖς
ταῖς νῦν νομίζει πρός τί μου πεπονθέναι
λόγοισιν εἴτ᾽ ἔργοισιν ἐς βλάβην φέρον,
οὔτοι βίου μοι τοῦ μακραίωνος πόθος,
φέροντι τήνδε βάξιν. οὐ γὰρ εἰς ἁπλοῦν
ἡ ζημία μοι τοῦ λόγου τούτου φέρει,
ἀλλ᾽ ἐς μέγιστον, εἰ κακὸς μὲν ἐν πόλει,
κακὸς δὲ πρὸς σοῦ καὶ φίλων κεκλήσομαι.
ΧΟ. ἀλλ᾽ ἦλθε μὲν δὴ τοῦτο τοὔνειδος τάχ᾽ ἂν
ὀργῇ βιασθὲν μᾶλλον ἢ γνώμῃ φρενῶν.
ΚΡ. τοὔπος δ᾽ ἐφάνθη ταῖς ἐμαῖς γνώμαις ὅτι
πεισθεὶς ὁ μάντις τοὺς λόγους ψευδεῖς λέγοι;
ΧΟ. ηὐδᾶτο μὲν τάδ᾽, οἶδα δ᾽ οὐ γνώμῃ τίνι.
ΚΡ. ἐξ ὀμμάτων δ᾽ ὀρθῶν τε κἀξ ὀρθῆς φρενὸς
κατηγορεῖτο τοὐπίκλημα τοῦτό μου;
ΧΟ. οὐκ οἶδ᾽· ἃ γὰρ δρῶσ᾽ οἱ κρατοῦντες οὐχ ὁρῶ.
αὐτὸς δ᾽ ὅδ᾽ ἤδη δωμάτων ἔξω περᾷ.
ΟΙ. οὗτος σύ, πῶς δεῦρ᾽ ἦλθες; ἢ τοσόνδ᾽ ἔχεις
τόλμης πρόσωπον ὥστε τὰς ἐμὰς στέγας
ἵκου, φονεὺς ὢν τοῦδε τἀνδρὸς ἐμφανῶς
λῃστής τ᾽ ἐναργὴς τῆς ἐμῆς τυραννίδος;
φέρ᾽ εἰπὲ πρὸς θεῶν, δειλίαν ἢ μωρίαν
ἰδών τιν᾽ ἔν μοι ταῦτ᾽ ἐβουλεύσω ποιεῖν;
ἢ τοὔργον ὡς οὐ γνωριοῖμί σου τόδε
δόλῳ προσέρπον ἢ οὐκ ἀλεξοίμην μαθών;
ἆρ᾽ οὐχὶ μῶρόν ἐστι τοὐγχείρημά σου,
ἄνευ τε πλούτου καὶ φίλων τυραννίδα
θηρᾶν, ὃ πλήθει χρήμασίν θ᾽ ἁλίσκεται;
ΚΡ. οἶσθ᾽ ὡς ποίησον; ἀντὶ τῶν εἰρημένων
ἴσ᾽ ἀντάκουσον, κᾆτα κρῖν᾽ αὐτὸς μαθών.
ΟΙ. λέγειν σὺ δεινός, μανθάνειν δ᾽ ἐγὼ κακὸς
σοῦ· δυσμενῆ γὰρ καὶ βαρύν σ᾽ ηὕρηκ᾽ ἐμοί.
ΚΡ. τοῦτ᾽ αὐτὸ νῦν μου πρῶτ᾽ ἄκουσον ὡς ἐρῶ.
ΟΙ. τοῦτ᾽ αὐτὸ μή μοι φράζ᾽, ὅπως οὐκ εἶ κακός.
ΚΡ. εἴ τοι νομίζεις κτῆμα τὴν αὐθαδίαν
εἶναί τι τοῦ νοῦ χωρίς, οὐκ ὀρθῶς φρονεῖς.
ΟΙ. εἴ τοι νομίζεις ἄνδρα συγγενῆ κακῶς
δρῶν οὐχ ὑφέξειν τὴν δίκην, οὐκ εὖ φρονεῖς.
ΚΡ. ξύμφημί σοι ταῦτ᾽ ἔνδικ᾽ εἰρῆσθαι· τὸ δὲ
πάθημ᾽ ὁποῖον φῂς παθεῖν δίδασκέ με.
ΟΙ. ἔπειθες, ἢ οὐκ ἔπειθες, ὡς χρείη μ᾽ ἐπὶ
τὸν σεμνόμαντιν ἄνδρα πέμψασθαί τινα;
ΚΡ. καὶ νῦν ἔθ᾽ αὑτός εἰμι τῷ βουλεύματι.
ΟΙ. πόσον τιν᾽ ἤδη δῆθ᾽ ὁ Λάϊος χρόνον
ΚΡ. δέδρακε ποῖον ἔργον; οὐ γὰρ ἐννοῶ.
ΟΙ. ἄφαντος ἔρρει θανασίμῳ χειρώματι;
ΚΡ. μακροὶ παλαιοί τ᾽ ἂν μετρηθεῖεν χρόνοι.
ΟΙ. τότ᾽ οὖν ὁ μάντις οὗτος ἦν ἐν τῇ τέχνῃ;
ΚΡ. σοφός γ᾽ ὁμοίως κἀξ ἴσου τιμώμενος.
ΟΙ. ἐμνήσατ᾽ οὖν ἐμοῦ τι τῷ τότ᾽ ἐν χρόνῳ;
ΚΡ. οὔκουν ἐμοῦ γ᾽ ἑστῶτος οὐδαμοῦ πέλας.
ΟΙ. ἀλλ᾽ οὐκ ἔρευναν τοῦ κτανόντος ἔσχετε;
ΚΡ. παρέσχομεν, πῶς δ᾽ οὐχί; κοὐκ ἠκούσαμεν.
ΟΙ. πῶς οὖν τόθ᾽ οὗτος ὁ σοφὸς οὐκ ηὔδα τάδε;
ΚΡ. οὐκ οἶδ᾽· ἐφ᾽ οἷς γὰρ μὴ φρονῶ σιγᾶν φιλῶ.
ΟΙ. τὸ σὸν δέ γ᾽ οἶσθα καὶ λέγοις ἂν εὖ φρονῶν.
ΚΡ. ποῖον τόδ᾽; εἰ γὰρ οἶδά γ᾽, οὐκ ἀρνήσομαι.
ΟΙ. ὁθούνεκ᾽, εἰ μὴ σοὶ ξυνῆλθε, τάσδ᾽ ἐμὰς
οὐκ ἄν ποτ᾽ εἶπε Λαΐου διαφθοράς.
ΚΡ. εἰ μὲν λέγει τάδ᾽, αὐτὸς οἶσθ᾽· ἐγὼ δὲ σοῦ
μαθεῖν δικαιῶ ταὔθ᾽ ἅπερ κἀμοῦ σὺ νῦν.
ΟΙ. ἐκμάνθαν᾽· οὐ γὰρ δὴ φονεὺς ἁλώσομαι.
ΚΡ. τί δῆτ᾽; ἀδελφὴν τὴν ἐμὴν γήμας ἔχεις;
ΟΙ. ἄρνησις οὐκ ἔνεστιν ὧν ἀνιστορεῖς.
ΚΡ. ἄρχεις δ᾽ ἐκείνῃ ταὐτὰ γῆς ἴσον νέμων;
ΟΙ. ἃν ᾖ θέλουσα πάντ᾽ ἐμοῦ κομίζεται.
ΚΡ. οὔκουν ἰσοῦμαι σφῷν ἐγὼ δυοῖν τρίτος;
ΟΙ. ἐνταῦθα γὰρ δὴ καὶ κακὸς φαίνει φίλος.
ΚΡ. οὔκ, εἰ διδοίης γ᾽ ὡς ἐγὼ σαυτῷ λόγον.
σκέψαι δὲ τοῦτο πρῶτον, εἴ τιν᾽ ἂν δοκεῖς
ἄρχειν ἑλέσθαι ξὺν φόβοισι μᾶλλον ἢ
ἄτρεστον εὕδοντ᾽, εἰ τά γ᾽ αὔθ᾽ ἕξει κράτη.
ἐγὼ μὲν οὖν οὔτ᾽ αὐτὸς ἱμείρων ἔφυν
τύραννος εἶναι μᾶλλον ἢ τύραννα δρᾶν,
οὔτ᾽ ἄλλος ὅστις σωφρονεῖν ἐπίσταται.
νῦν μὲν γὰρ ἐκ σοῦ πάντ᾽ ἄνευ φόβου φέρω,
εἰ δ᾽ αὐτὸς ἦρχον, πολλὰ κἂν ἄκων ἔδρων.
πῶς δῆτ᾽ ἐμοὶ τυραννὶς ἡδίων ἔχειν
ἀρχῆς ἀλύπου καὶ δυναστείας ἔφυ;
οὔπω τοσοῦτον ἠπατημένος κυρῶ
ὥστ᾽ ἄλλα χρῄζειν ἢ τὰ σὺν κέρδει καλά.
νῦν πᾶσι χαίρω, νῦν με πᾶς ἀσπάζεται,
νῦν οἱ σέθεν χρῄζοντες αἰκάλλουσί με·
τὸ γὰρ τυχεῖν αὐτοῖσι πᾶν ἐνταῦθ᾽ ἔνι.
πῶς δῆτ᾽ ἐγὼ κεῖν᾽ ἂν λάβοιμ᾽ ἀφεὶς τάδε;
οὐκ ἂν γένοιτο νοῦς κακὸς καλῶς φρονῶν.
ἀλλ᾽ οὔτ᾽ ἐραστὴς τῆσδε τῆς γνώμης ἔφυν
οὔτ᾽ ἂν μετ᾽ ἄλλου δρῶντος ἂν τλαίην ποτέ.
καὶ τῶνδ᾽ ἔλεγχον τοῦτο μὲν Πυθώδ᾽ ἰὼν
πυθοῦ τὰ χρησθέντ᾽, εἰ σαφῶς ἤγγειλά σοι·
τοῦτ᾽ ἄλλ᾽, ἐάν με τῷ τερασκόπῳ λάβῃς

509. φανερὰ Hermannus] φανερὰ γὰρ ἐπ᾽ αὐτῷ 510. θ᾽ ab S, ut videtur. δ᾽ pr., superscripto τε vel γε. ἁδύπολις D.] ἡδύπολις τῷ] τῶι, eraso ι. τῶν legisse videtur scholiasta, qui annotavit λείπει τὸ ἕνεκα. ἀπ᾽] πρὸς Elmsleius. 516. πρός τί μου Hartungius] πρός τ᾽ ἐμοῦ a m. ant. litera ε in rasura. προστεμοῦ vel προσγεμοῦ pr., literis στ vel σγ uno ducto expressis. In apographis nonnullis et apud Suidam (s. v. βάξιν) πρός γ᾽ ἐμοῦ: unde Blaydesius ταῖς νῦν δοκεῖ τι πρός γ᾽ ἐμοῦ πεπονθέναι. 517. ἐς D.] εἰς 518. τοῦ] τὸ pr. 525. *τοὔπος δ᾽] τοῦ πρόσδ᾽. In apographis antiquioribus τοῦπος (vel τοῦπος) δ᾽, in recentioribus πρὸς τοῦ δ᾽. 528. δ᾽ ex Suida additum. τε] δὲ corr. rec. 532. ἢ Elmsleius] ἢ, quod pr. omissum m. recentior intulit. 537. ἔν μοι Hermannus] ἐν ἐμοί *ποιεῖν] ποεῖν. Cf. 543. 918. 538. γνωριοῖμι Elmsleius] γνωρίσοιμι 539. ἢ οὐκ Blaydesius] κοὐκ 541. πλούτου anonymus in translatione Germanica a. 1803.] πλήθους 543. *ποίησον] πόησον pr. ποήσων rec. 546. ηὕρηκ᾽ Elmsleius] εὕρηκ᾽

557. ἔθ᾽ αὑτὸς] ἔθ᾽ αὐτὸσ (cum spiritu leni): sed margo ab S ἔθ᾽ αὐτὸσ ὁ αὐτόσ. 566. κτανόντος Meinekius] θανόντος 567. παρέσχομεν] ἀλλ᾽ ἔσχομεν Schneidewinus. κοὐκ ἠκούσαμεν] κοὐδὲν ἤνομεν Nauckius. 568. τόθ᾽ οὗτος] οὗτοσ τόθ᾽ pr., eraso τόθ᾽. Veram scripturam superscriptis literis τ et θ et οῦ restituit manus antiqua. 572. τάσδ᾽ Doederlinus] τὰς 575. ταὔθ᾽ Brunckius] ταῦθ᾽ 579. Habet in margine ab eadem manu vel S. 580. θέλουσα] θελούσῃ Hartungius. 583. ἐγὼ] ἔχω Heimsoethius. 597. αἰκάλλουσι Musgravius] ἐκκαλοῦσι 598. *αὐτοῖσι] αὐτοὺσ *πᾶν] ἅπαν pr., τ addidit m. ant. 602. μετ᾽ ἄλλου m. ant. μεγάλου pr. 604. πυθοῦ D.] πεύθου in litura. Fuit επυθου. Quod πυθοῦ et πεύθου significare potest. 605. τοῦτ᾽ ἄλλ᾽] τοῦτ᾽ ἀλλ᾽ cum τοῦτο δὲ gl. superscr.

κοινῇ τι βουλεύσαντα, μή μ᾽ ἁπλῇ κτάνης
ψήφῳ, διπλῇ δέ, τῇ τ᾽ ἐμῇ καὶ σῇ, λαβών,
γνώμῃ δ᾽ ἀδήλῳ μή με χωρὶς αἰτιῶ.
οὐ γὰρ δίκαιον οὔτε τοὺς κακοὺς μάτην
χρηστοὺς νομίζειν οὔτε τοὺς χρηστοὺς κακούς.
φίλον γὰρ ἐσθλὸν ἐκβαλεῖν ἴσον λέγω
καὶ τὸν παρ᾽ αὐτῷ βίοτον, ὃν πλεῖστον φιλεῖ.
ἀλλ᾽ ἐν χρόνῳ γνώσει τάδ᾽ ἀσφαλῶς, ἐπεὶ
χρόνος δίκαιον ἄνδρα δείκνυσιν μόνος,
κακὸν δὲ κἂν ἐν ἡμέρᾳ γνοίης μιᾷ.
ΧΟ. καλῶς ἔλεξεν εὐλαβουμένῳ πεσεῖν,
ἄναξ· φρονεῖν γὰρ οἱ ταχεῖς οὐκ ἀσφαλεῖς.
ΟΙ. ὅταν ταχύς τις οὑπιβουλεύων λάθρα
χωρῇ, ταχὺν δεῖ κἀμὲ βουλεύειν πάλιν.
εἰ δ᾽ ἡσυχάζων προσμενῶ, τὰ τοῦδε μὲν
πεπραγμέν᾽ ἔσται, τἀμὰ δ᾽ ἡμαρτημένα.
ΚΡ. τί δῆτα χρῄζεις; ἦ με γῆς ἔξω βαλεῖν;
ΟΙ. ἥκιστα· θνήσκειν, οὐ φυγεῖν σε βούλομαι.
ΚΡ. ὅταν προδείξῃς οἷόν ἐστι τὸ φθονεῖν.
ΟΙ. ὡς οὐχ ὑπείξων οὐδὲ πιστεύσων λέγεις.
ΚΡ. οὐ γὰρ φρονοῦντά σ᾽ εὖ βλέπω. ΟΙ. τὸ γοῦν ἐμόν.
ΚΡ. ἀλλ᾽ ἐξ ἴσου δεῖ κἀμόν. ΟΙ. ἀλλ᾽ ἔφυς κακός.
ΚΡ. εἰ δὲ ξυνίης μηδέν; ΟΙ. ἀρκτέον γ᾽ ὅμως.
ΚΡ. οὔτοι κακῶς γ᾽ ἄρχοντος. ΟΙ. ὦ πόλις πόλις.
ΚΡ. κἀμοὶ πόλεως μέτεστιν, οὐχὶ σοὶ μόνῳ.
ΧΟ. παύσασθ᾽, ἄνακτες· καιρίαν δ᾽ ὑμῖν ὁρῶ
τήνδ᾽ ἐκ δόμων στείχουσαν Ἰοκάστην, μεθ᾽ ἧς
τὸ νῦν παρεστὸς νεῖκος εὖ θέσθαι χρεών.

ΙΟΚΑΣΤΗ.

τί τὴν ἄβουλον, ὦ ταλαίπωροι, στάσιν
γλώσσης ἐπήρασθ᾽ οὐδ᾽ ἐπαισχύνεσθε γῆς
οὕτω νοσούσης ἴδια κινοῦντες κακά;
οὐκ εἶ σύ τ᾽ οἴκους σύ τε, Κρέον, κατὰ στέγας,
καὶ μὴ τὸ μηδὲν ἄλγος ἐς μέγ᾽ οἴσετε;
ΚΡ. ὅμαιμε, δεινά μ᾽ Οἰδίπους ὁ σὸς πόσις
δρᾶσαι δικαιοῖ, θάτερον δυοῖν κακοῖν,
ἢ γῆς ἀπῶσαι πατρίδος, ἢ κτεῖναι λαβών.
ΟΙ. ξύμφημι· δρῶντα γάρ νιν, ὦ γύναι, κακῶς
εἴληφα τοὐμὸν σῶμα σὺν τέχνῃ κακῇ.
ΚΡ. μή νυν ὀναίμην, ἀλλ᾽ ἀραῖος, εἴ σέ τι
δέδρακ᾽, ὀλοίμην, ὧν ἐπαιτιᾷ με δρᾶν.
ΙΟ. ὦ πρὸς θεῶν πίστευσον, Οἰδίπους, τάδε,
μάλιστα μὲν τόνδ᾽ ὅρκον αἰδεσθεὶς θεῶν,
ἔπειτα κἀμὲ τούσδε θ᾽ οἳ πάρεισί σοι.
ΧΟ. πιθοῦ θελήσας φρονήσας τ᾽, ἄναξ, λίσσομαι.
ΟΙ. τί σοι θέλεις δῆτ᾽ εἰκάθω;
ΧΟ. τὸν οὔτε πρὶν νήπιον νῦν τ᾽ ἐν ὅρκῳ μέγαν
καταίδεσαι. [τί φῄς.
ΟΙ. οἶσθ᾽ οὖν ἃ χρῄζεις; ΧΟ. οἶδα. ΟΙ. φράζε δὴ
ΧΟ. τὸν ἐναγῆ φίλον μήποτ᾽ ἐν αἰτίᾳ

649—659. = 678—688.

612. αὐτῷ] αυτῶι pr. sine spiritu. αὐτῶι rec. 622. ἤ a m. antiqua factum ex ἦ vel ἧ. 624. ΚΡ. ὅταν — λέγεις] Sensus tale quid postulat, ΚΡ. ὡς οὐχ ὑπείξων οὐδὲ πιστεύσων λέγεις. | ΟΙ. ὡς οὐ φρονῶν σὺ δ᾽ οἷόν ἐστι τὸ φθονεῖν. 628. *ξυνίης] ξυνίεισ 630. μέτεστιν Triclinius] μέτεστι τῆσδ᾽ 631. καιρίαν] κειρίαν, ut videtur, pr. κυρίαν ab alia m. antiqua. Paullo recentior in margine γρ. καιρίαν ἤγουν κατὰ καιρόν. 633. παρεστὸς] ο in ω mutatum a m. ant. 635. ἐπήρασθ᾽] σθ in τ mutatum a m. ant. 637. Κρέον Elmsleius] κρέων 638. ἐς D.] εἰς 640. θάτερον δυοῖν D.] δυοῖν ἀποκρίνας 641. Versus in marg. additus a m. pr. 644. μή νυν Elmsleius] μὴ νῦν 652. οὔτε] οὔποτε a m. recentissima. 656. *ἐναγῆ cum Suida s. v. ἐναγής] ἐναγῆι. In schol. γρ. φίλον ἐναγῆ ab S. ἀναγῆ Bergkius.

σὺν ἀφανεῖ λόγῳ σ᾽ ἄτιμον βαλεῖν.
ΟΙ. εὖ νυν ἐπίστω, ταῦθ᾽ ὅταν ζητῇς, ἐμοὶ
ζητῶν ὄλεθρον ἢ φυγὴν ἐκ τῆσδε γῆς.
ΧΟ. οὐ τὸν πάντων θεῶν θεὸν πρόμον
Ἅλιον· ἐπεὶ ἄθεος ἄφιλος ὅ τι πύματον
ὀλοίμαν, φρόνησιν εἰ τάνδ᾽ ἔχω.
ἀλλά μοι δυσμόρῳ γᾶ φθινὰς
τρύχει ψυχάν, τάδ᾽ εἰ κακοῖς κακὰ
προσάψει τοῖς πάλαι τὰ πρὸς σφῷν.
ΟΙ. ὁ δ᾽ οὖν ἴτω, κεἰ χρή με παντελῶς θανεῖν,
ἢ γῆς ἄτιμον τῆσδ᾽ ἀπωσθῆναι βίᾳ.
τὸ γὰρ σόν, οὐ τὸ τοῦδ᾽, ἐποικτείρω στόμα
ἐλεινόν· οὗτος δ᾽ ἔνθ᾽ ἂν ᾖ στυγήσεται.
ΚΡ. στυγνὸς μὲν εἴκων δῆλος εἶ, βαρὺς δ᾽, ὅταν
θυμοῦ περάσῃς. αἱ δὲ τοιαῦται φύσεις
αὑταῖς δικαίως εἰσὶν ἄλγισται φέρειν.
ΟΙ. οὔκουν μ᾽ ἐάσεις κἀκτὸς εἶ; ΚΡ. πορεύσομαι,
σοῦ μὲν τυχὼν ἀγνῶτος, ἐν δὲ τοῖσδ᾽ ἴσος.
ΧΟ. γύναι, τί μέλλεις κομίζειν δόμων τόνδ᾽ ἔσω;
ΙΟ. μαθοῦσά γ᾽ ἥτις ἡ τύχη.
ΧΟ. δόκησις ἀγνὼς λόγων ἦλθε, δάπτει δὲ καὶ τὸ μὴ
᾽νδικον. [λόγος;
ΙΟ. ἀμφοῖν ἀπ᾽ αὐτοῖν; ΧΟ. ναίχι. ΙΟ. καὶ τίς ἦν
ΧΟ. ἅλις ἔμοιγ᾽ ἅλις, γᾶς προπονουμένας,
φαίνεται ἔνθ᾽ ἔληξεν, αὐτοῦ μένειν.
ΟΙ. ὁρᾷς ἵν᾽ ἥκεις; ἀγαθὸς ὢν γνώμην ἀνὴρ
τοὐμὸν παρίης καὶ καταμβλύνεις κέαρ.
ΧΟ. ὦναξ, εἶπον μὲν οὐχ ἅπαξ μόνον,
ἴσθι δὲ παραφρόνιμον, ἄπορον ἐπὶ φρόνιμα
πεφάνθαι μ᾽ ἄν, εἴ σε νοσφίζομαι,
ὅς τ᾽ ἐμὰν φίλαν ἐν πόνοις
ἀλύουσαν κατ᾽ ὀρθὸν οὔρισας,
τανῦν τ᾽ εὔπομπος εἰ γένοιο.
ΙΟ. πρὸς θεῶν δίδαξον κἄμ᾽, ἄναξ, ὅτου ποτὲ
μῆνιν τοσήνδε πράγματος στήσας ἔχεις.
ΟΙ. ἐρῶ· σὲ γὰρ τῶνδ᾽ ἐς πλέον, γύναι, σέβω·
Κρέοντος, οἷά μοι βεβουλευκὼς ἔχει.
ΙΟ. λέγ᾽, εἰ σαφῶς τὸ νεῖκος ἐγκαλῶν ἐρεῖς.
ΟΙ. φονέα με φησὶ Λαΐου καθεστάναι.
ΙΟ. αὐτὸς ξυνειδώς, ἢ μαθὼν ἄλλου πάρα;
ΟΙ. μάντιν μὲν οὖν κακοῦργον ἐσπέμψας, ἐπεὶ
τό γ᾽ εἰς ἑαυτὸν πᾶν ἐλευθεροῖ στόμα.
ΙΟ. σύ νυν ἀφεὶς σεαυτὸν ὧν λέγεις πέρι
ἐμοῦ ᾽πάκουσον καὶ μάθ᾽ οὕνεκ᾽ ἐστί σοι
βρότειον οὐδὲν μαντικῆς ἔχον τέχνης.
φανῶ δέ σοι σημεῖα τῶνδε σύντομα.

660—668. = 689—697.

γω
657. λόγῳ] λόγον, γω a m. antiqua superscripto. *λόγων. σ᾽ addidit Hermannus. *βαλεῖν] ἐκβαλεῖν 658. νυν D.] νῦν 659. φυγὴν] φυγεῖν pr. Correxit m. ant. 664. φρόνησιν] Super η litera α erasa, ut videtur. 665. Super μοι aliquid erasum, pro quo ꞡ posuit m. recentissima. φθινὰς D.] φθίνουσα 666. τάδ᾽ Hermannus] καὶ τάδ᾽ 668. *πρὸς σφῷν] προσφῶϊν 672. ἐλεινόν Porsonus] ἐλεεινόν 679. *δόμων] δόμον 681. ἀγνὼς] σ ab S additum. 688. παρίης καὶ καταμβλύνεις (καταμβλύνει Heimsoethius) Hartungius] παριεὶς καὶ καταμβλύνων 689. ὦναξ Triclinius] ἄναξ 693. σε νοσφίζομαι] σ᾽ ἐνοσφιζόμαν Badhamus 695. ἀλύουσαν] σαλεύουσαν Dobraeus. *οὔρισας] οὔρησας 696. τ᾽] δ᾽ pr., sed τ᾽ a m. ant. εἰ γένοιο Bergkius] εἰ δύναι γενοῦ. In codice δύναι pr., erasis qui super αι positi fuisse videntur accentibus duobus. Literam ο addidit S, i. e. δύναιο. 705. ἐσπέμψας D.] εἰσπέμψας 707. σύ νυν Elmsleius] σὺ νῦν σεαυτὸν] ἑαυτὸν pr., σ addidit S.

χρησμὸς γὰρ ἦλθε Λαΐῳ ποτ', οὐκ ἐρῶ
Φοίβου γ' ἀπ' αὐτοῦ, τῶν δ' ὑπηρετῶν ἄπο,
ὡς αὐτὸν ἥξοι μοῖρα πρὸς παιδὸς θανεῖν,
ὅστις γένοιτ' ἐμοῦ τε κἀκείνου πάρα.
καὶ τὸν μέν, ὥσπερ γ' ἡ φάτις, ξένοι ποτὲ
λῃσταὶ φονεύουσ' ἐν τριπλαῖς ἁμαξιτοῖς·
παιδὸς δὲ βλάστας οὐ διέσχον ἡμέραι
τρεῖς, καί νιν ἄρθρα κεῖνος ἐνζεύξας ποδοῖν
ἔρριψεν ἄλλων χερσὶν ἄβατον εἰς ὄρος.
κἀνταῦθ' Ἀπόλλων οὔτ' ἐκεῖνον ἤνυσεν
φονέα γενέσθαι πατρὸς οὔτε Λάϊον
τὸ δεινὸν οὑφοβεῖτο πρὸς παιδὸς παθεῖν.
τοιαῦτα φῆμαι μαντικαὶ διώρισαν,
ὧν ἐντρέπου σὺ μηδέν· ὧν γὰρ ἂν θεὸς
χρείαν ἐρευνᾷ ῥᾳδίως αὐτὸς φανεῖ.
ΟΙ. οἷόν μ' ἀκούσαντ' ἀρτίως ἔχει, γύναι,
ψυχῆς πλάνημα κἀνακίνησις φρενῶν.
ΙΟ. ποίας μερίμνης τοῦτ' ἐπιστραφεὶς λέγεις;
ΟΙ. ἔδοξ' ἀκοῦσαι σοῦ τόδ', ὡς ὁ Λάϊος
κατασφαγείη πρὸς τριπλαῖς ἁμαξιτοῖς.
ΙΟ. ηὐδᾶτο γὰρ ταῦτ', οὐδέ πω λήξαντ' ἔχει.
ΟΙ. καὶ ποῦ 'σθ' ὁ χῶρος οὗτος οὗ τόδ' ἦν πάθος;
ΙΟ. Φωκὶς μὲν ἡ γῆ κλῄζεται, σχιστὴ δ' ὁδὸς
ἐς ταὐτὸ Δελφῶν κἀπὸ Δαυλίας ἄγει.
ΟΙ. καὶ τίς χρόνος τοῖσδ' ἐστὶν οὑξεληλυθώς;
ΙΟ. σχεδόν τι πρόσθεν ἢ σὺ τῆσδ' ἔχων χθονὸς
ἀρχὴν ἐφαίνου τοῦτ' ἐκηρύχθη πόλει.
ΟΙ. ὦ Ζεῦ, τί μου δρᾶσαι βεβούλευσαι πέρι;
ΙΟ. τί δ' ἐστί σοι τοῦτ', Οἰδίπους, ἐνθύμιον;
ΟΙ. μήπω μ' ἐρώτα· τὸν δὲ Λάϊον φύσιν
τίν' ἦλθε φράζε, τίνα δ' ἀκμὴν ἥβης ἔχων.
ΙΟ. μέγας, χνοάζον ἄρτι λευκανθεὶς κάρα,
μορφῆς δὲ τῆς σῆς οὐκ ἀπεστάτει πολύ.
ΟΙ. οἴμοι τάλας· ἔοικ' ἐμαυτὸν εἰς ἀρὰς
δεινὰς προβάλλων ἀρτίως οὐκ εἰδέναι.
ΙΟ. πῶς φῄς; ὀκνῶ τοι πρός σ' ἀποσκοποῦσ', ἄναξ.
ΟΙ. δεινῶς ἀθυμῶ μὴ βλέπων ὁ μάντις ᾖ.
δείξεις δὲ μᾶλλον, ἢν ἓν ἐξείπῃς ἔτι.
ΙΟ. καὶ μὴν ὀκνῶ μέν, ἂν δ' ἔρῃ μαθοῦσ' ἐρῶ.
ΟΙ. πότερον ἐχώρει βαιός, ἢ πολλοὺς ἔχων
ἄνδρας λοχίτας οἷ' ἀνὴρ ἀρχηγέτης;
ΙΟ. πέντ' ἦσαν οἱ ξύμπαντες, ἐν δ' αὐτοῖσιν ἦν
κῆρυξ· ἀπήνη δ' ἦγε Λάϊον μία.
ΟΙ. αἰαῖ, τάδ' ἤδη διαφανῆ. τίς ἦν ποτε
ὁ τούσδε λέξας τοὺς λόγους ὑμῖν, γύναι;
ΙΟ. οἰκεύς τις, ὅσπερ ἵκετ' ἐκσωθεὶς μόνος.
ΟΙ. ἦ κἀν δόμοισι τυγχάνει τανῦν παρών;
ΙΟ. οὐ δῆτ'· ἀφ' οὗ γὰρ κεῖθεν ἦλθε καὶ κράτη
σέ τ' εἶδ' ἔχοντα Λάϊόν τ' ὀλωλότα,
ἐξικέτευσε τῆς ἐμῆς χειρὸς θιγὼν
ἀγρούς σφε πέμψαι κἀπὶ ποιμνίων νομάς,
ὡς πλεῖστον εἴη τοῦδ' ἄποπτος ἄστεως.
κἄπεμψ' ἐγώ νιν· ἄξιος γὰρ οἷ' ἀνὴρ
δοῦλος φέρειν ἦν τῆσδε καὶ μείζω χάριν.
ΟΙ. πῶς ἂν μόλοι δῆθ' ἡμὶν ἐν τάχει πάλιν;
ΙΟ. πάρεστιν· ἀλλὰ πρὸς τί τοῦτ' ἐφίεσαι;
ΟΙ. δέδοικ' ἐμαυτόν, ὦ γύναι, μὴ πόλλ' ἄγαν
εἰρημέν' ᾖ μοι δι' ἅ νιν εἰσιδεῖν θέλω.
ΟΙ. ἀλλ' ἵξεται μέν· ἀξία δέ που μαθεῖν
κἀγὼ τά γ' ἐν σοὶ δυσφόρως ἔχοντ', ἄναξ.
ΟΙ. κοὐ μὴ στερηθῇς γ' ἐς τοσοῦτον ἐλπίδων
ἐμοῦ βεβῶτος· τῷ γὰρ ἂν καὶ μείζονι
λέξαιμ' ἂν ἢ σοὶ διὰ τύχης τοιᾶσδ' ἰών;
ἐμοὶ πατὴρ μὲν Πόλυβος ἦν Κορίνθιος,
μήτηρ δὲ Μερόπη Δωρίς. ἠγόμην δ' ἀνὴρ
ἀστῶν μέγιστος τῶν ἐκεῖ, πρίν μοι τύχη
τοιάδ' ἐπέστη, θαυμάσαι μὲν ἀξία,
σπουδῆς γε μέντοι τῆς ἐμῆς οὐκ ἀξία.
ἀνὴρ γὰρ ἐν δείπνοις μ' ὑπερπλησθεὶς μέθῃ
καλεῖ παρ' οἴνῳ πλαστὸς ὡς εἴην πατρί.
κἀγὼ βαρυνθεὶς τὴν μὲν οὖσαν ἡμέραν
μόλις κατέσχον, θἀτέρᾳ δ' ἰὼν πέλας
μητρὸς πατρός τ' ἤλεγχον· οἱ δὲ δυσφόρως
τοὔνειδος ἦγον τῷ μεθέντι τὸν λόγον.
κἀγὼ τὰ μὲν κείνοιν ἐτερπόμην, ὅμως δ'
ἔκνιζέ μ' ἀεὶ τοῦθ'· ὑφεῖρπε γὰρ πολύ.
λάθρα δὲ μητρὸς καὶ πατρὸς πορεύομαι
Πυθώδε, καί μ' ὁ Φοῖβος ὧν μὲν ἱκόμην
ἄτιμον ἐξέπεμψεν, ἄλλα δ' ἄθλια
καὶ δεινὰ καὶ δύστηνα προὔφηνεν λέγων,
ὡς μητρὶ μὲν χρείη με μιχθῆναι, γένος δ'
ἄτλητον ἀνθρώποισι δηλώσοιμ' ὁρᾶν,
φονεὺς δ' ἐσοίμην τοῦ φυτεύσαντος πατρός.
κἀγὼ 'πακούσας ταῦτα τὴν Κορινθίαν
ἄστροις τὸ λοιπὸν ἐκμετρούμενος χθόνα
ἔφευγον, ἔνθα μήποτ' ὀψοίμην κακῶν
χρησμῶν ὀνείδη τῶν ἐμῶν τελούμενα.
στείχων δ' ἱκνοῦμαι τούσδε τοὺς χώρους ἐν οἷς
σὺ τὸν τύραννον τοῦτον ὄλλυσθαι λέγεις.
καί σοι, γύναι, τἀληθὲς ἐξερῶ. τριπλῆς
ὅτ' ἦ κελεύθου τῆσδ' ὁδοιπορῶν πέλας,
ἐνταῦθά μοι κῆρυξ τε κἀπὶ πωλικῆς
ἀνὴρ ἀπήνης ἐμβεβώς, οἷον σὺ φῄς,
ξυνηντίαζον· κἀξ ὁδοῦ μ' ὅ θ' ἡγεμὼν
αὐτός θ' ὁ πρέσβυς πρὸς βίαν ἠλαυνέτην.
κἀγὼ τὸν ἐκτρέποντα, τὸν τροχηλάτην,
παίω δι' ὀργῆς· καί μ' ὁ πρέσβυς ὡς ὁρᾷ,
ὄχους παραστείχοντα τηρήσας μέσον
κάρα διπλοῖς κέντροισί μου καθίκετο.
οὐ μὴν ἴσην γ' ἔτισεν, ἀλλὰ συντόμως
σκήπτρῳ τυπεὶς ἐκ τῆσδε χειρὸς ὕπτιος
μέσης ἀπήνης εὐθὺς ἐκκυλίνδεται·
κτείνω δὲ τοὺς ξύμπαντας. εἰ δὲ τῷ ξένῳ
τούτῳ προσήκει Λαΐου τι συγγενές,

---

713. ἥξοι pr., ἥξει a m. ant. ἕξοι Wunderus. ἕξει Canterus. 719. ἄβατον εἰς Musgravius] εἰς ἄβατον 722. παθεῖν] θανεῖν, cui manus recentissima adscripsit γρ. παθεῖν, quod est in apographis plerisque. 728. τοῦτ' ἐπιστραφεὶς Blaydesius] τοῦθ' ὑποστραφεὶς 730. *τριπλαῖς] διπλαῖσ 741. ἦλθε D.] εἶχε 742. χνοάζον Hartungius] χνοάζων *λευκανθεὶς] λευκανθὲς 743. ἀπεστάτει] ἀποστάτει pr. Correxit m. ant. 746. πρός σ'] πρόσ'. Alterum σ addidit S. 748. *ἐξείπῃς] ἐξείποις 749. *ἂν δ'] ἃ δ' ἂν 741. λοχίτας] λοχείτας pr. 752. *δ' αὐτοῖσιν] αὐτοῖσι δ' 753. κῆρυξ pr. κήρυξ corr. 754. αἰαῖ] αἰαὶ pr. αἶ αἶ corr. 756. ὅσπερ] ὥσπερ pr. Correxit S.

763. οἷ' Hermannus] ὅγ' 765. ἡμὶν] ἦμιν pr. 773. *λέξαιμ'] λέξοιμ' 779. μέθηι pr. μέθησ a m. ant. 782. *θἀτέρᾳ] θ' ἡτέραι 789. δ' ἄθλια] θ' ἀθλίω pr., duabus super ω literis erasis. 790. δύστηνα] δύσφημα Heimsoethius. προὔφηνεν Hermannus] προὐφάνη 791. χρείη Dawesius] χρεῖ ἦι, ι altero eraso. 793. τοῦ] τούτου, sed eraso τού. 794. 'πακούσας] Utrumque α in litura literae ε. 800. Hunc versum in marg. habet a m. recentiore. Videtur interpolatoris esse Byzantini, lacunam explentis. 801. ἦ Elmsleius] ἦν 802. *κῆρυξ] κήρυξ 808. ὄχους Doederlinus] ὄχου 814. Λαΐου Bothius] λαΐωι, quo servato προσῆν καὶ pro προσήκει Heimsoethius.

τίς τοῦδ' ἀκούειν ἀνδρὸς ἀθλιώτερος;
τίς ἐχθροδαίμων μᾶλλον ἂν γένοιτ' ἀνήρ;
ὃν μὴ ξένων ἔξεστι μηδ' ἀστῶν τινι
δόμοις δέχεσθαι, μηδὲ προσφωνεῖν τινα,
ὠθεῖν δ' ἀπ' οἴκων. καὶ τάδ' οὔτις ἄλλος ἦν
ἢ 'γὼ 'π' ἐμαυτῷ τάσδ' ἀρὰς ὁ προστιθείς.
λέχη δὲ τοῦ θανόντος ἐκ χεροῖν ἐμαῖν
χραίνω, δι' ὧνπερ ὤλετ'. ἆρ' ἔφυν κακός;
ἆρ' οὐχὶ πᾶς ἄναγνος; εἴ με χρὴ φυγεῖν,
καί μοι φυγόντι μῆστι τοὺς ἐμοὺς ἰδεῖν
μηδ' ἐμβατεύειν πατρίδος, ἢ γάμοις με δεῖ
μητρὸς ζυγῆναι καὶ πατέρα κατακτανεῖν
[Πόλυβον, ὃς ἐξέφυσε κἀξέθρεψέ με].
ἆρ' οὐκ ἀπ' ὠμοῦ ταῦτα δαίμονός τις ἂν
κρίνων ἐπ' ἀνδρὶ τῷδ' ἂν ὀρθοίη λόγον;
μὴ δῆτα μὴ δῆτ', ὦ θεῶν ἁγνὸν σέβας,
ἴδοιμι ταύτην ἡμέραν, ἀλλ' ἐκ βροτῶν
βαίην ἄφαντος πρόσθεν ἢ τοιάνδ' ἰδεῖν
κηλῖδ' ἐμαυτῷ συμφορᾶς ἀφιγμένην.
ΧΟ. ἡμῖν μέν, ὦναξ, ταῦτ' ὀκνήρ'· ἕως δ' ἂν οὖν
πρὸς τοῦ παρόντος ἐκμάθῃς, ἔχ' ἐλπίδα.
ΟΙ. καὶ μὴν τοσοῦτόν γ' ἐστί μοι τῆς ἐλπίδος,
τὸν ἄνδρα τὸν βοτῆρα προσμεῖναι μόνον.
ΙΟ. πεφασμένου δὲ τίς ποθ' ἡ προθυμία;
ΟΙ. ἐγὼ διδάξω σ'· ἢν γὰρ εὑρεθῇ λέγων
σοὶ ταὔτ', ἔγωγ' ἂν ἐκπεφευγοίην πάθος.
ΙΟ. ποῖον δέ μου περισσὸν ἤκουσας λόγον;
ΟΙ. λῃστὰς ἔφασκες αὐτὸν ἄνδρας ἐννέπειν
ὥς νιν κατακτείνειαν. εἰ μὲν οὖν ἔτι
λέξει τὸν αὐτὸν ἀριθμόν, οὐκ ἐγὼ 'κτανον·
οὐ γὰρ γένοιτ' ἂν εἷς γε τοῖς πολλοῖς ἴσος·
εἰ δ' ἄνδρ' ἕν' οἰόζωνον αὐδήσει, σαφῶς
τοῦτ' ἐστὶν ἤδη τοὔργον εἰς ἐμὲ ῥέπον.
ΙΟ. ἀλλ' ὡς φανέν γε τοὔπος ὧδ' ἐπίστασο,
κοὐκ ἔστιν αὐτῷ τοῦτό γ' ἐκβαλεῖν πάλιν·
πόλις γὰρ ἤκουσ', οὐκ ἐγὼ μόνη, τάδε.
εἰ δ' οὖν τι κἀκτρέποιτο τοῦ πρόσθεν λόγου,
οὔτοι ποτ', ὦναξ, σόν γε Λαΐου φόνον
φανεῖ δικαίως ὀρθόν, ὅν γε Λοξίας
διεῖπε χρῆναι παιδὸς ἐξ ἐμοῦ θανεῖν.
καίτοι νιν οὐ κεῖνός γ' ὁ δύστηνός ποτε
κατέκταν', ἀλλ' αὐτὸς πάροιθεν ὤλετο.
ὥστ' οὐχὶ μαντείας γ' ἂν οὔτε τῇδ' ἐγὼ
βλέψαιμ' ἂν οὕνεκ' οὔτε τῇδ' ἂν ὕστερον.
ΟΙ. καλῶς νομίζεις· ἀλλ' ὅμως τὸν ἐργάτην
πέμψον τινὰ στελοῦντα, μηδὲ τοῦτ' ἀφῇς.
ΙΟ. πέμψω ταχύνασ'· ἀλλ' ἴωμεν ἐς δόμους.
οὐδὲν γὰρ ἂν πράξαιμ' ἂν ὧν οὔ σοι φίλον.
ΧΟ. εἴ μοι ξυνείη φέροντι

863—872. = 873—882.

μοῖρα τὰν εὔσεπτον ἁγνείαν λόγων
ἔργων τε πάντων, ὧν νόμοι πρόκεινται
ὑψίποδες, οὐρανίαν
δι' αἰθέρα τεκνωθέντες, ὧν Ὄλυμπος
πατὴρ μόνος, οὐδέ νιν
θνατὰ φύσις ἀνέρων
ἔτικτεν, οὐδὲ μήποτε λάθα κατακοιμάσῃ·
μέγας ἐν τούτοις θεός, οὐδὲ γηράσκει.
ὕβρις φυτεύει τύραννον·
ὕβρις, εἰ πολλῶν ὑπερπλησθῇ μάταν,
ἃ μὴ 'πίκαιρα μηδὲ συμφέροντα,
ἀκρότατον εἰσαναβᾶσ'
αἶπος ἀπότομον ὤρουσεν εἰς ἀνάγκαν,
ἔνθ' οὐ ποδὶ χρησίμῳ
χρῆται. τὸ καλῶς δ' ἔχον
πόλει πάλαισμα μήποτε λῦσαι θεὸν αἰτοῦμαι.
θεὸν οὐ λήξω ποτὲ προστάταν ἴσχων.
εἰ δέ τις ὑπέροπτα χερσὶν ἢ λόγῳ πορεύεται,
Δίκας ἀφόβητος, οὐδὲ
δαιμόνων ἕδη σέβων,
κακά νιν ἕλοιτο μοῖρα,
δυσπότμου χάριν χλιδᾶς,
εἰ μὴ τὸ κέρδος κερδανεῖ δικαίως
καὶ τῶν ἀσέπτων ἔρξεται
ἢ τῶν ἀθίκτων ἕξεται ματᾴζων.
τίς ἔτι ποτ' ἐν τοῖσδ' ἀνὴρ θυμοῦ βέλη
εὔξεται ψυχᾶς ἀμύνειν;
εἰ γὰρ αἱ τοιαίδε πράξεις τίμιαι,
τί δεῖ με χορεύειν;
οὐκέτι τὸν ἄθικτον εἶμι γᾶς ἐπ' ὀμφαλὸν σέβων,
οὐδ' ἐς τὸν Ἀβαῖσι ναόν,
οὐδὲ τὰν Ὀλυμπίαν,
εἰ μὴ τάδε χειρόδεικτα
πᾶσιν ἁρμόσει βροτοῖς.
ἀλλ', ὦ κρατύνων, εἴπερ ὄρθ' ἀκούεις,
Ζεῦ, πάντ' ἀνάσσων, μὴ λάθοι
σὲ τάν τε σὰν ἀθάνατον αἰὲν ἀρχάν.
φθίνοντα γὰρ ⏑ ⏑ – – Λαΐου
θέσφατ' ἐξαιροῦσιν ἤδη,
κοὐδαμοῦ τιμαῖς Ἀπόλλων ἐμφανής·
ἔρρει δὲ τὰ θεῖα.
ΙΟ. χώρας ἄνακτες, δόξα μοι παρεστάθη
ναοὺς ἱκέσθαι δαιμόνων, τάδ' ἐν χεροῖν
στέφη λαβούσῃ κἀπιθυμιάματα.
ὑψοῦ γὰρ αἴρει θυμὸν Οἰδίπους ἄγαν
λύπαισι παντοίαισιν, οὐδ' ὁποῖ' ἀνὴρ
ἔννους τὰ καινὰ τοῖς πάλαι τεκμαίρεται,

883—896. = 897—910.

---

815. τίς τοῦδ' ἀκούειν ἀνδρὸς ἀθλιώτερος D. (collato v. 1204.)] τίς τοῦδέ γ' ἀνδρὸς νῦν ἔστ' (a m. rec. superscr. gl. ἄλλως, quod est ἄλλος) ἀθλιώτερος 817. ὃν — τινι D.] ὧι — τινὰ 821. ἐκ Ch. F. Sehrwaldus] ἐν 824. μῆστι] μήστι a m. antiqua in μήτε mutatum. 825. μηδ' D.] μή μ' pr. in μήτ' mutatum a m. antiqua. 827. Versum spurium seclusit Wunderus 829. ἂν ὀρθοίη Schaeferus] ἀνορθοίη, quod ἀνορθοίηι scriptum in codice. 831. *ταύτην] ταύταν 833. ἰδεῖν] ἴδοιν Firnhaberus in Schneidewini Philologo vol. 3. p. 133. 836. γ' addidit m. ant. 840. πάθος] ἄγος Blaydesius. 843. *κατακτείνειαν] καταк . . ν . . εν pr., quae in marg. literas κτ scripsit. κατακτείναιεν m. ant. 848. φανέν] εν ab S habet. 852. σόν Bothius] τόν 857. ἂν ab S additum. 862. οὔ σοι] οὐ σοὶ a manu recenti.

866. οὐρανίαν — αἰθέρα] ασ et οσ a m. rec. superscriptum, i. e. οὐρανίασ — αἰθέροσ. 867. δι'] δε pr. ut videtur. 869. *θνατὰ] θνητὴ 870. μήποτε Elmsleius] μήν ποτε *λάθα] λαθραι, eraso ρ.
875. συμφέροντα] συμφέροντ' a m. rec. 876. ἀκρότατον Erfurdtius] ἀκροτάταν 877. αἶπος addidit Arndtius in Quaest. Sophocleis (Brandenburgi novi a. 1844.) p. 19. 880. αἰτοῦμαι] μαι erasum, nullis aliis literis superscriptis. Idem 882. de προστάταν dicendum, cuius nunc hae tantum literae supersunt π στα α, reliquis erasis. 890. ἔρξεται] ξ ex γ factum, quod librarius scribere coeperat. 891. ματᾴζων] ματάιζων 893. *θυμοῦ] θυμῶι 894. εὔξεται Musgravius] ἔρξεται. Codex ερξεται sine spiritu. 896. *χορεύειν] Addit πονεῖν ἢ τοῖσ θεοῖσ, ex gl. quod corrigendnm est ἢ ante πονεῖν ponendo vel in ἤγουν mutando. 903. *ὄρθ'] ὀρθὸν 905. σὰν] σ' ἂν pr. 906. φθίνοντα] γρ. φθίνων schol.
906. Indicavi lacunam.

ἀλλ᾽ ἐστὶ τοῦ λέγοντος, εἰ φόβους λέγοι.
ὅτ᾽ οὖν παραινοῦσ᾽ οὐδὲν ἐς πλέον ποιῶ,
πρὸς σ᾽, ὦ Λύκει᾽ Ἄπολλον, ἄγχιστος γὰρ εἶ,
ἱκέτις ἀφῖγμαι τοῖσδε σὺν κατάργμασιν,
ὅπως λύσιν τιν᾽ ἡμὶν εὐαγῆ πόρῃς·
ὡς νῦν ὀκνοῦμεν πάντες ἐκπεπληγμένον
κεῖνον βλέποντες ὡς κυβερνήτην νεώς.

ΑΓΓΕΛΟΣ.

ἆρ᾽ ἂν παρ᾽ ὑμῶν, ὦ ξένοι, μάθοιμ᾽ ὅπου
τὰ τοῦ τυράννου δώματ᾽ ἐστὶν Οἰδίπου;
μάλιστα δ᾽ αὐτὸν εἴπατ᾽, εἰ κάτισθ᾽, ὅπου.
ΧΟ. στέγαι μὲν αἵδε, καὐτὸς ἔνδον, ὦ ξένε·
γυνὴ δὲ μήτηρ ἥδε τῶν κείνου τέκνων.
ΑΓ. ἀλλ᾽ ὀλβία τε καὶ ξὺν ὀλβίοις ἀεὶ
γένοιτ᾽, ἐκείνου γ᾽ οὖσα παντελὴς δάμαρ.
ΙΟ. αὔτως δὲ καὶ σύ γ᾽, ὦ ξέν᾽· ἄξιος γὰρ εἶ
τῆς εὐεπείας οὕνεκ᾽. ἀλλὰ φράζ᾽ ὅτου
χρῄζων ἀφῖξαι χὤ τι σημῆναι θέλων.
ΑΓ. ἀγαθὰ δόμοις τε καὶ πόσει τῷ σῷ, γύναι.
ΙΟ. τὰ ποῖα ταῦτα; παρὰ τίνος δ᾽ ἀφιγμένος;
ΑΓ. ἐκ τῆς Κορίνθου. τὸ δ᾽ ἔπος οὐξερῶ τάχ᾽ ἂν
ἥδοιο μέν, πῶς δ᾽ οὐκ ἄν, ἀσχάλλοις δ᾽ ἴσως.
ΙΟ. τί δ᾽ ἔστι; ποίαν δύναμιν ὧδ᾽ ἔχει διπλῆν;
ΑΓ. τύραννον αὐτὸν οὑπιχώριοι χθονὸς
τῆς Ἰσθμίας στήσουσιν, ὡς ηὐδᾶτ᾽ ἐκεῖ.
ΙΟ. τί δ᾽; οὐχ ὁ πρέσβυς Πόλυβος ἐγκρατὴς ἔτι;
ΑΓ. οὐ δῆτ᾽, ἐπεί νιν θάνατος ἐν τάφοις ἔχει.
ΙΟ. πῶς εἶπας; ἦ τέθνηκεν Οἰδίπου πατήρ;
ΑΓ. τέθνηκεν· εἰ δὲ μή, αὐτὸς ἀξιῶ θανεῖν.
ΙΟ. ὦ πρόσπολ᾽, οὐχὶ δεσπότῃ τάδ᾽ ὡς τάχος
μολοῦσα λέξεις; ὦ θεῶν μαντεύματα,
ἵν᾽ ἐστέ· τοῦτον Οἰδίπους πάλαι τρέμων
τὸν ἄνδρ᾽ ἔφευγε μὴ κτάνοι, καὶ νῦν ὅδε
πρὸς τῆς τύχης ὄλωλεν οὐδὲ τοῦδ᾽ ὕπο.
ΟΙ. ὦ φίλτατον γυναικὸς Ἰοκάστης κάρα,
τί μ᾽ ἐξεπέμψω δεῦρο τῶνδε δωμάτων;
ΙΟ. ἄκουε τἀνδρὸς τοῦδε, καὶ σκόπει κλύων
τὰ σέμν᾽ ἵν᾽ ἥκει τοῦ θεοῦ μαντεύματα.
ΟΙ. οὗτος δὲ τίς ποτ᾽ ἐστὶ καὶ τί μοι λέγει;
ΙΟ. ἐκ τῆς Κορίνθου, πατέρα τὸν σὸν ἀγγελῶν
ὡς οὐκέτ᾽ ὄντα Πόλυβον, ἀλλ᾽ ὀλωλότα.
ΟΙ. τί φῄς, ξέν᾽; αὐτός μοι σὺ σημήνας γενοῦ.
ΑΓ. εἰ τοῦτο πρῶτον δεῖ μ᾽ ἀπαγγεῖλαι σαφῶς,
σάφ᾽ ἴσθ᾽ ἐκεῖνον θανάσιμον βεβηκότα.
ΟΙ. πότερα δόλοισιν, ἢ νόσου ξυναλλαγῇ;
ΑΓ. σμικρὰ παλαιὰ σώματ᾽ εὐνάζει ῥοπή.
ΟΙ. νόσοις ὁ τλήμων, ὡς ἔοικεν, ἔφθιτο.
ΑΓ. καὶ τῷ μακρῷ γε συμμετρούμενος χρόνῳ.
ΟΙ. φεῦ φεῦ, τί δῆτ᾽ ἄν, ὦ γύναι, σκοποῖτό τις
τὴν Πυθόμαντιν ἑστίαν, ἢ τοὺς ἄνω
κλάζοντας ὄρνεις, ὧν ὑφηγητῶν ἐγὼ
κτενεῖν ἔμελλον πατέρα τὸν ἐμόν; ὁ δὲ θανὼν
κεύθει κάτω δὴ γῆς· ἐγὼ δ᾽ ὅδ᾽ ἐνθάδε
ἄψαυστος ἔγχους, εἴ τι μὴ τὠμῷ πόθῳ
κατέφθιθ᾽, οὕτω δ᾽ ἂν θανὼν εἴη ᾽ξ ἐμοῦ.
τὰ δ᾽ οὖν παρόντα συλλαβὼν θεσπίσματα
κεῖται παρ᾽ Ἅιδῃ Πόλυβος ἄξι᾽ οὐδενός.
ΙΟ. οὔκουν ἐγώ σοι ταῦτα προὔλεγον πάλαι;
ΟΙ. ηὔδας· ἐγὼ δὲ τῷ φόβῳ παρηγόμην.
ΙΟ. μὴ νῦν ἔτ᾽ αὐτῶν μηδὲν ἐς θυμὸν βάλῃς.
ΟΙ. καὶ πῶς τὸ μητρὸς οὐκ ὀκνεῖν λέχος με δεῖ;
ΙΟ. τί δ᾽ ἂν φοβοῖτ᾽ ἄνθρωπος ᾧ τὰ τῆς τύχης
κρατεῖ, πρόνοια δ᾽ ἐστὶν οὐδενὸς σαφής;
εἰκῇ κράτιστον ζῆν, ὅπως δύναιτό τις.
σὺ δ᾽ ἐς τὰ μητρὸς μὴ φοβοῦ νυμφεύματα·
πολλοὶ γὰρ ἤδη κἀν ὀνείρασιν βροτῶν
μητρὶ ξυνηυνάσθησαν. ἀλλὰ ταῦθ᾽ ὅτῳ
παρ᾽ οὐδέν ἐστι, ῥᾷστα τὸν βίον φέρει.
ΟΙ. καλῶς ἅπαντα ταῦτ᾽ ἂν ἐξείρητό σοι,
εἰ μὴ ᾽κύρει ζῶσ᾽ ἡ τεκοῦσα· νῦν δ᾽ ἐπεὶ
ζῇ, πᾶσ᾽ ἀνάγκη, κεἰ καλῶς λέγεις, ὀκνεῖν.
ΙΟ. καὶ μὴν μέγας γ᾽ ὀφθαλμὸς οἱ πατρὸς τάφοι.
ΟΙ. μέγας, ξυνίημ᾽· ἀλλὰ τῆς ζώσης φόβος.
ΑΓ. ποίας δὲ καὶ γυναικὸς ἐκφοβεῖσθ᾽ ὕπερ;
ΟΙ. Μερόπης, γεραιέ, Πόλυβος ἧς ᾤκει μέτα.
ΑΓ. τί δ᾽ ἔστ᾽ ἐκείνης ὑμὶν ἐς φόβον φέρον;
ΟΙ. θεήλατον μάντευμα δεινόν, ὦ ξένε.
ΑΓ. ἦ ῥητόν; ἦ οὐχὶ θεμιτὸν ἄλλον εἰδέναι;
ΟΙ. μάλιστά γ᾽· εἶπε γάρ με Λοξίας ποτὲ
χρῆναι μιγῆναι μητρὶ τἠμαυτοῦ, τό τε
πατρῷον αἷμα χερσὶ ταῖς ἐμαῖς ἑλεῖν.
ὧν οὕνεχ᾽ ἡ Κόρινθος ἐξ ἐμοῦ πάλαι
μακρὰν ἀπῳκεῖτ᾽· εὐτυχῶς μέν, ἀλλ᾽ ὅμως
τὰ τῶν τεκόντων ὄμμαθ᾽ ἥδιστον βλέπειν.
ΑΓ. ἦ γὰρ τάδ᾽ ὀκνῶν κεῖθεν ἦσθ᾽ ἀπόπτολις;
ΟΙ. πατρός τε χρῄζων μὴ φονεὺς εἶναι, γέρον.
ΑΓ. τί δῆτ᾽ ἐγὼ οὐχὶ τοῦδε τοῦ φόβου σ᾽, ἄναξ,
ἐπείπερ εὔνους ἦλθον, ἐξελυσάμην;
ΟΙ. καὶ μὴν χάριν γ᾽ ἂν ἀξίαν λάβοις ἐμοῦ.
ΑΓ. καὶ μὴν μάλιστα τοῦτ᾽ ἀφικόμην, ὅπως
σοῦ πρὸς δόμους ἐλθόντος εὖ πράξαιμί τι.
ΟΙ. ἀλλ᾽ οὔποτ᾽ εἶμι τοῖς φυτεύσασίν γ᾽ ὁμοῦ.
ΑΓ. ὦ παῖ, καλῶς εἶ δῆλος οὐκ εἰδὼς τί δρᾷς.
ΟΙ. πῶς, ὦ γεραιέ; πρὸς θεῶν δίδασκέ με.
ΑΓ. εἰ τῶνδε φεύγεις οὕνεκ᾽ εἰς οἴκους μολεῖν.
ΟΙ. ταρβῶν γε μή μοι Φοῖβος ἐξέλθῃ σαφής.
ΑΓ. ἦ μὴ μίασμα τῶν φυτευσάντων λάβῃς;
ΟΙ. τοῦτ᾽ αὐτό, πρέσβυ, τοῦτό μ᾽ εἰσαεὶ φοβεῖ.
ΑΓ. ἆρ᾽ οἶσθα δῆτα πρὸς δίκης οὐδὲν τρέμων;

---

ἦν η
917. εἰ — λέγοι, literis ἦν a m. ant. et η a m. pr. superscriptis. 918. *ἐς] εὖ *ποιῶ] ποῶ 919. πρὸς] Literam finalem ab S habet, ut 746. πρόσ᾽ pro πρόσ σ᾽ habet. Λύκει᾽ — εἶ a m. ant. λύκι᾽ — ἧι pr. 920. ἱκέτις] ἱκέτησ pr. σὺν] συγ pr. κατάργμασιν Wunderus] κατεύγμασιν 922. ἡμὶν] ἡμῖν pr. 924. *ΑΓΓΕΛΟΣ] θεράπων πολύβου 926. *κάτισθ᾽] κάτοισθ᾽ 935. παρὰ a m. antiqua ita est radendo in πρὸσ mutatum ut id a prima manu scriptum videri possit. δ᾽ addidit m. ant. 936. τάχ᾽ ἂν Brunckius] τάχα 943. τέθνηκεν Οἰδίπου πατήρ; ΑΓ. τέθνηκεν· εἰ δὲ μή, αὐτὸς ἀξιῶ θανεῖν] τέθνηκε πόλυβος; ἀγγ. εἰ δὲ μὴ | λέγω γ᾽ ἐγὼ τἀληθές, ἀξιῶ θανεῖν. Correxi, praeeunte Nauckio, qui coniecerat, τέθνηκεν Οἰδίπου πατήρ; | ΑΓ. τέθνηκε Πόλυβος· εἰ δὲ μή, ἀξιῶ θανεῖν. 948. κτάνοι, η a m. rec. 955. ἀγγελῶν] ἀγγελὼν corr. 957. σημήνας] Litera ή eluta. Videtur σημάνασ potius fuisse quam σημήνασ. γρ. σημάντωρ S. 959. σάφ᾽ Porsonus] εὖ

966. ὄρνεις Nauckius] ὄρνις δ᾽ ante ἐγὼ erasum. 967. *κτενεῖν] κτανεῖν 968. δὴ primo omissum addidit eadem manus. 976. οὐκ ὀκνεῖν λέχος με δεῖ (vel οὐκ ὀκνεῖν με δεῖ λέχος) D.] λέχος (λέκτρον superscripsit S.) οὐκ ὀκνεῖν με δεῖ 979. *εἰκῇ] εἰκῆι 980. ἐς D.] εἰς 982. ξυνηυνάσθησαν Elmsleius] ξυνευνάσθησαν 985. μὴ ᾽κύρει] μὴκύρει pr. 987. γ᾽ addidit Porsonus. 991. ὑμὶν] ὑμῖν pr. 993. οὐχὶ Brunckius] οὐ 998. ἀπῳκεῖτ᾽] *ἀπῴκιστ᾽ 1002. ἐγὼ οὐχὶ Porsonus] ἔγωγ᾽ οὐχὶ οὐχὶ] χὶ erasum. 1004. ἂν a m. pr. vel S insertum literis minoribus. 1011. *ταρβῶν] ταρβῶ ἐξέλθῃ] ἐξέλθοι, η super οι a m. rec. scripto.

ΟΙ. πῶς δ᾽ οὐχί, παῖς γ᾽ εἰ τῶνδε γεννητῶν ἔφυν;
ΑΓ. ὁθούνεκ᾽ ἦν σοι Πόλυβος οὐδὲν ἐν γένει.
ΟΙ. πῶς εἶπας; οὐ γὰρ Πόλυβος ἐξέφυσέ με;
ΑΓ. οὐ μᾶλλον οὐδὲν τοῦδε τἀνδρός, ἀλλ᾽ ἴσον.
ΟΙ. καὶ πῶς ὁ φύσας ἐξ ἴσου τῷ μηδενί;
ΑΓ. ἀλλ᾽ οὔ σ᾽ ἐγείνατ᾽ οὔτ᾽ ἐκεῖνος οὔτ᾽ ἐγώ.
ΟΙ. ἀλλ᾽ ἀντὶ τοῦ δή παῖδά μ᾽ ὠνομάζετο;
ΑΓ. δῶρόν ποτ᾽, ἴσθι, τῶν ἐμῶν χειρῶν λαβών.
ΟΙ. κᾆθ᾽ ὧδ᾽ ἀπ᾽ ἄλλης χειρὸς ἔστερξεν μέγα;
ΑΓ. ἡ γὰρ πρὶν αὐτὸν ἐξέπεισ᾽ ἀπαιδία.
ΟΙ. σὺ δ᾽ ἐμπολήσας ἢ τυχών μ᾽ αὐτῷ δίδως;
ΑΓ. εὑρὼν ναπαίαις ἐν Κιθαιρῶνος πτυχαῖς.
ΟΙ. ὡδοιπόρεις δὲ πρὸς τί τούσδε τοὺς τόπους;
ΑΓ. ἐνταῦθ᾽ ὀρείοις ποιμνίοις ἐπεστάτουν.
ΟΙ. ποιμὴν γὰρ ἦσθα κἀπὶ θητείᾳ πλάνης;
ΑΓ. σοῦ δ᾽, ὦ τέκνον, σωτήρ γε τῷ τότ᾽ ἐν χρόνῳ.
ΟΙ. τί δ᾽ ἄλγος ἴσχοντ᾽ ἐν νάπαις με λαμβάνεις;
ΑΓ. ποδῶν ἂν ἄρθρα μαρτυρήσειεν τὰ σά.
ΟΙ. οἴμοι, τί τοῦτ᾽ ἀρχαῖον ἐννέπεις κακόν;
ΑΓ. λύω σ᾽ ἔχοντα διατόρους ποδοῖν ἀκμάς.
ΟΙ. δεινόν γ᾽ ὄνειδος σπαργάνων ἀνειλόμην.
ΑΓ. ὥστ᾽ ὠνομάσθης ἐκ τύχης ταύτης ὃς εἶ.
ΟΙ. ὦ πρὸς θεῶν, πρὸς μητρός, ἢ πατρός; φράσον.
ΑΓ. οὐκ οἶδ᾽· ὁ δοὺς δὲ ταῦτ᾽ ἐμοῦ λῷον φρονεῖ.
ΟΙ. ἦ γὰρ παρ᾽ ἄλλου μ᾽ ἔλαβες οὐδ᾽ αὐτὸς τυχών;
ΑΓ. οὐκ, ἀλλὰ ποιμὴν ἄλλος ἐκδίδωσί μοι.
ΟΙ. τίς οὗτος; ἦ κάτοισθα δηλῶσαι λόγῳ;
ΑΓ. τῶν Λαΐου δήπου τις ὠνομάζετο.
ΟΙ. ἦ τοῦ τυράννου τῆσδε γῆς πάλαι ποτέ;
ΑΓ. μάλιστα· τούτου τἀνδρὸς οὗτος ἦν βοτήρ.
ΟΙ. ἦ κἄστ᾽ ἔτι ζῶν οὗτος, ὥστ᾽ ἰδεῖν ἐμέ;
ΑΓ. ὑμεῖς γ᾽ ἄριστ᾽ εἰδεῖτ᾽ ἂν οὑπιχώριοι.
ΟΙ. ἔστιν τις ὑμῶν τῶν παρεστώτων πέλας,
ὅστις κάτοιδε τὸν βοτῆρ᾽ ὃν ἐννέπει,
εἴτ᾽ οὖν ἐπ᾽ ἀγρῶν εἴτε κἀνθάδ᾽ εἰσιδών;
σημήναθ᾽, ὡς ὁ καιρὸς ηὑρῆσθαι τάδε.
ΧΟ. οἶμαι μὲν οὐδέν᾽ ἄλλον ἢ τὸν ἐξ ἀγρῶν,
ὃν κἀμάτευες πρόσθεν εἰσιδεῖν· ἀτὰρ
ἥδ᾽ ἂν τάδ᾽ οὐχ ἥκιστ᾽ ἂν Ἰοκάστη λέγοι.
ΟΙ. γύναι, νοεῖς ἐκεῖνον, ὅντιν᾽ ἀρτίως
μολεῖν ἐφιέμεσθα τόν θ᾽ οὗτος λέγει;
ΙΟ. τί δ᾽ ὅντιν᾽ εἶπε; μηδὲν ἐντραπῇς. τὰ δὲ
ῥηθέντα βούλου μηδὲ μεμνῆσθαι μάτην.
ΟΙ. οὐκ ἂν γένοιτο τοῦθ᾽, ὅπως ἐγὼ λαβὼν
σημεῖα τοιαῦτ᾽ οὐ φανῶ τοὐμὸν γένος.
ΙΟ. μὴ πρὸς θεῶν, εἴπερ τι τοῦ σαυτοῦ βίου
κήδει, ματεύσῃς τοῦθ᾽· ἅλις νοσοῦσ᾽ ἐγώ.
ΟΙ. θάρσει· σὺ μὲν γὰρ οὐδ᾽ ἐὰν τρίτης ἐγὼ
μητρὸς φανῶ τρίδουλος, ἐκφανεῖ κακή.
ΙΟ. ὅμως πιθοῦ μοι, λίσσομαι· μὴ δρᾶ τάδε.
ΟΙ. οὐκ ἂν πιθοίμην μὴ οὐ τάδ᾽ ἐκμαθεῖν σαφῶς.
ΙΟ. καὶ μὴν φρονοῦσά γ᾽ εὖ τὰ λῷστά σοι λέγω.
ΟΙ. τὰ λῷστα τοίνυν ταῦτά μ᾽ ἀλγύνει πάλαι.
ΙΟ. ὦ δύσποτμ᾽, εἴθε μήποτε γνοίης ὃς εἶ.
ΟΙ. ἄξει τις ἐλθὼν δεῦρο τὸν βοτῆρά μοι·
ταύτην δ᾽ ἐᾶτε πλουσίῳ χαίρειν γένει.
ΙΟ. ἰοὺ ἰού, δύστηνε· τοῦτο γάρ σ᾽ ἔχω
μόνον προσειπεῖν, ἄλλο δ᾽ οὔποθ᾽ ὕστερον.
ΧΟ. τί ποτε βέβηκεν, Οἰδίπους, ὑπ᾽ ἀγρίας
ᾄξασα λύπης ἡ γυνή; δέδοιχ᾽ ὅπως
μὴ ᾽κ τῆς σιωπῆς τῆσδ᾽ ἀναρρήξει κακά.
ΟΙ. ὁποῖα χρῄζει ῥηγνύτω· τοὐμὸν δ᾽ ἐγώ,
κεἰ σμικρόν ἐστι, σπέρμ᾽ ἰδεῖν βουλήσομαι.
αὕτη δ᾽ ἴσως, φρονεῖ γὰρ ὡς γυνὴ μέγα,
τὴν δυσγένειαν τὴν ἐμὴν αἰσχύνεται.
ἐγὼ δ᾽ ἐμαυτὸν παῖδα τῆς Τύχης νέμων
τῆς εὖ διδούσης οὐκ ἀτιμασθήσομαι.
τῆς γὰρ πέφυκα μητρός, οἱ δὲ συγγενεῖς
μῆνές με μικρὸν καὶ μέγαν διώρισαν.
[τοιόσδε δ᾽ ἐκφὺς οὐκ ἂν ἐξέλθοιμ᾽ ἔτι
ποτ᾽ ἄλλος, ὥστε μὴ ᾽κμαθεῖν τοὐμὸν γένος.]
ΧΟ. εἴπερ ἐγὼ μάντις εἰμὶ καὶ κατὰ γνώμαν ἴδρις,
οὐ τὸν Ὄλυμπον ἀπείρων,
ὦ Κιθαιρών, οὐκέτι τὰν ἑτέραν
πανσέληνον, μὴ οὐ σέ γε καὶ πατριώταν Οἰδίπου
καὶ τροφὸν καὶ ματέρ᾽ αὔξειν,
καὶ χορεύεσθαι πρὸς ἡμῶν, ὡς ἐπίηρα φέροντα
τοῖς ἐμοῖς τυράννοις.
ἰήιε Φοῖβε, σοὶ δὲ ταῦτ᾽ ἀρέστ᾽ εἴη. [ἆρα
τίς σε, τέκνον, τίς σ᾽ ἔτικτε τῶν μακραιώνων
Νύμφα ὀρεσσιβάτᾳ που
Πανὶ πλαθεῖσ᾽; ἤ σύ γε καὶ γενέτας
Λοξίου; τῷ γὰρ πλάκες ἀγρόνομοι πᾶσαι φίλαι·
εἴθ᾽ ὁ Κυλλάνας ἀνάσσων,
εἴθ᾽ ὁ Βακχεῖος θεὸς ναίων ἐπ᾽ ἄκρων ὀρέων σ᾽
εὕρημα δέξατ᾽ ἔκ του
Νυμφᾶν Ἑλικωνίδων, αἷς πλεῖστα συμπαίζει.
ΟΙ. εἰ χρή τι κἀμὲ μὴ συναλλάξαντά πω,
πρέσβεις, σταθμᾶσθαι, τὸν βοτῆρ᾽ ὁρᾶν δοκῶ,
1086—1097. = 1098—1109.

---

1015. γεννητῶν] Alterum ν ante η inseruit S.
1016. ὁθούνεκ᾽] ὅθ᾽ ὄνεκ᾽ pr. (superscr. τι), litera υ ante ν inserta a m. antiqua. 1023. μέγα] Inter μέ et γα duae literae erasae, fortasse τα. 1024. αὐτὸν ἐξέπεισ᾽ in litura. Nam fuerat ἐξέπεισ᾽ αὐτὸν 1025. τυχών Bothius] τεκών 1030. *δ᾽] γ᾽. τ᾽ Hermannus 1031. ἴσχοντ᾽] ἴσχων, sed ἴσχοντ᾽ in margine a m. pr. ναπαις με λαμβάνεις D.] ἐν καιροῖς λαμβάνεις. In apographis ἐν κακοῖς με λαμβάνεις, quod factum ex annotatione scholiastae ἀναπυνθάνεται ὁ Οἰδίπους ὅτι ἐν ποίῳ ἄρα κακῷ ὄντα κατὰ τὴν ἔκθεσιν, ἵνα ἐκεῖνος εἴπῃ τὸ περὶ τῶν ποδῶν, ὅπερ ἐπιγινώσκει ἡ Ἰοκάστη. 1032. ποδῶν] ποδοῖν D.
1036. et 1045. ὥστ᾽] Literae στ uno ductu expressae, cuius pars inferior erasa, ut ὡς fieret. Sed primo ὥστ᾽ scriptum fuisse literae σ forma prodit, quae alia est separatim scriptae, alia cum τ coniunctae. 1041. ἢ] ἤ pr. 1047. *γ᾽] γὰρ *εἰδεῖτ᾽ ἂν] εἰδῆτ᾽ ἂν in litura a m. antiqua. Videtur ἂν εἰδῆτ᾽ fuisse. 1050. ηὑρῆσθαι Elmsleius] εὑρῆσθαι
1052. *κἀμάτευες] καὶ μάτευεσ 1056. τί, sed σ ab eadem, ut videtur, manu addito.

1061. *ἐγώ cum schol.] ἔχω 1062. θάρσει Brunckius] θάρρει ἐὰν τρίτης Hermannus] ἂν ἐκ τρίτης: unde etiam οὐδ᾽ ἐὰν ἐγὼ ᾽κ τρίτης coniici potest 1064. δρᾶ] δρᾶν, litera ν a m. rec. addita.
1074. ᾄξασα] ἀΐξασα 1075. *ἀναρρήξει] ἀναρρήξῃ 1078. αὕτη Hermannus] αὐτή 1079. γ᾽ post ἐμήν erasum. 1084. 1085. Seclusit D.
1084. *τοιόσδε δ᾽ ἐκφὺς οὐκ] τοιόσδ᾽ ἐκφὺσ ὡσ οὐκ, literis δε a m. recentissima insertis et ὡς punctis notato. 1085. μὴ ᾽κμαθεῖν] μ᾽ ἐκμαθεῖν pr.
1087. γνώμαν Erfurdtius] γνώμην 1089. οὐκέτι τὰν ἑτέραν D.] οὐκ ἔσῃ τὰν αὔριον 1092. ματέρ᾽ D.] μητέρ᾽ 1099. ἆρα (sic etiam Brunckius) Νύμφα ὀρεσσιβάτᾳ που Πανὶ πλαθεῖσ᾽; ἤ σύ γε καὶ γενέτας D.] ἆρα πανὸς ὀρεσσιβάτα προσπελασθεῖσα (sic codex, non προσπελασθεῖσ᾽) ἢ σέ γε θυγάτηρ (υ ex alia litera radendo factum). 1104. Versum ἀνάσσων εἴθ᾽ ὁ βακχεῖοσ θεὸσ inter versus addidit S.
1105. ναίων radendo ex ἀνάσσων factum.
σ᾽ addidit D. 1108. Νυμφᾶν] νυμφὰν pr., α ex ω facto. Ἑλικωνίδων Porsonus] ἑλικωνιάδων
1111. πρέσβεις] πρέσβει, erasa una post ι litera. πρέσβυν manus recentissima.

ὅνπερ πάλαι ζητοῦμεν. ἔν τε γὰρ μακρῷ
γήρᾳ ξυνᾴδει τῷδε τἀνδρὶ σύμμετρος,
ἄλλως τε τοὺς ἄγοντας ὥσπερ οἰκέτας
ἔγνωκ' ἐμαυτοῦ· τῇ δ' ἐπιστήμῃ σύ μου
προύχοις τάχ' ἄν που, τὸν βοτῆρ' ἰδὼν πάρος.
ΧΟ. ἔγνωκα γάρ, σάφ' ἴσθι· Λαΐου γὰρ ἦν
εἴπερ τις ἄλλος πιστὸς ὡς νομεὺς ἀνήρ.
ΟΙ. σὲ πρῶτ' ἐρωτῶ, τὸν Κορίνθιον ξένον,
ἦ τόνδε φράζεις; ΑΓ. τοῦτον ὅνπερ εἰσορᾷς.
ΟΙ. οὗτος σύ, πρέσβυ, δεῦρό μοι φώνει βλέπων
ὅσ' ἄν σ' ἐρωτῶ. Λαΐου ποτ' ἦσθα σύ;
ΘΕΡΑΠΩΝ.
ἦ δοῦλος οὐκ ὠνητός, ἀλλ' οἴκοι τραφείς.
ΟΙ. ἔργον μεριμνῶν ποῖον ἢ βίον τίνα;
ΘΕ. ποίμναις τὰ πλεῖστα τοῦ βίου συνειπόμην.
ΟΙ. χώροις μάλιστα πρὸς τίσι ξύναυλος ὤν;
ΘΕ. ἦν μὲν Κιθαιρών, ἦν δὲ πρόσχωρος τόπος.
ΟΙ. τὸν ἄνδρα τόνδ' οὖν οἶσθα τῇδέ που μαθών;
ΘΕ. τί χρῆμα δρῶντα; ποῖον ἄνδρα καὶ λέγεις;
ΟΙ. τόνδ' ὃς πάρεστιν· ἦ ξυναλλάξας τί πως;
ΘΕ. οὐχ ὥστε γ' εἰπεῖν ἐν τάχει μνήμης ἄπο.
ΑΓ. κοὐδέν γε θαῦμα, δέσποτ'. ἀλλ' ἐγὼ σαφῶς
ἀγνῶτ' ἀναμνήσω νιν. εὖ γὰρ οἶδ' ὅτι
κάτοιδεν ἦμος τὸν Κιθαιρῶνος τόπον
ὁ μὲν διπλοῖσι ποιμνίοις, ἐγὼ δ' ἑνὶ
ἐπλησίαζον τῷδε τἀνδρὶ τρεῖς ὅλους
ἐξ ἦρος εἰς ἀρκτοῦρον ἐκμήνους χρόνους·
χειμῶνι δ' ἤδη τἀμά τ' εἰς ἔπαυλ' ἐγὼ
ἤλαυνον οὗτός τ' ἐς τὰ Λαΐου σταθμά.
λέγω τι τούτων, ἢ οὐ λέγω πεπραγμένον;
ΘΕ. λέγεις ἀληθῆ, καίπερ ἐκ μακροῦ χρόνου.
ΑΓ. φέρ' εἰπὲ νῦν, τότ' οἶσθα παῖδά μοί τινα
δούς, ὡς ἐμαυτῷ θρέμμα θρεψαίμην ἐγώ;
ΘΕ. τί δ' ἔστι; πρὸς τί τοῦτο τοὔπος ἱστορεῖς;
ΑΓ. ὅδ' ἐστίν, ὦ τᾶν, κεῖνος ὃς τότ' ἦν νέος.
ΘΕ. οὐκ εἰς ὄλεθρον; οὐ σιωπήσας ἔσει;
ΟΙ. ἆ, μὴ κόλαζε, πρέσβυ, τόνδ', ἐπεὶ τὰ σὰ
δεῖται κολαστοῦ μᾶλλον ἢ τὰ τοῦδ' ἔπη.
ΘΕ. τί δ', ὦ φέριστε δεσποτῶν, ἁμαρτάνω;
ΟΙ. οὐκ ἐννέπων τὸν παῖδ' ὃν οὗτος ἱστορεῖ.
ΘΕ. λέγει γὰρ εἰδὼς οὐδέν, ἀλλ' ἄλλως πονεῖ.
ΟΙ. σὺ πρὸς χάριν μὲν οὐκ ἐρεῖς, κλάων δ' ἐρεῖς.
ΘΕ. μὴ δῆτα, πρὸς θεῶν, τὸν γέροντά μ' αἰκίσῃ.
ΟΙ. οὐχ ὡς τάχος τις τοῦδ' ἀποστρέψει χέρας;
ΘΕ. δύστηνος, ἀντὶ τοῦ; τί προσχρῄζων μαθεῖν;
ΟΙ. τὸν παῖδ' ἔδωκας τῷδ' ὃν οὗτος ἱστορεῖ;
ΘΕ. ἔδωκ'· ὀλέσθαι δ' ὤφελον τῇδ' ἡμέρᾳ.
ΟΙ. ἀλλ' ἐς τόδ' ἥξεις μὴ λέγων γε τοὔνδικον.
ΘΕ. πολλῷ γε μᾶλλον, ἢν φράσω, διόλλυμαι.
ΟΙ. ἀνὴρ ὅδ', ὡς ἔοικεν, ἐς τριβὰς ἐλᾷ.
ΘΕ. οὐ δῆτ' ἔγωγ', ἀλλ' εἶπον ὡς δοίην πάλαι.
ΟΙ. πόθεν λαβών; οἰκεῖον, ἢ 'ξ ἄλλου τινός;
ΘΕ. ἐμὸν μὲν οὐκ ἔγωγ', ἐδεξάμην δέ του.
ΟΙ. τίνος πολιτῶν τῶνδε κἀκ ποίας στέγης;
ΘΕ. μή, πρὸς θεῶν, μή, δέσποθ', ἱστόρει πλέον.
ΟΙ. ὄλωλας, εἴ σε ταῦτ' ἐρήσομαι πάλιν.
ΘΕ. τῶν Λαΐου τοίνυν τις ἦν γεννημάτων.
ΟΙ. ἦ δοῦλος, ἢ κείνου τις ἐγγενὴς γεγώς;
ΘΕ. οἴμοι, πρὸς αὐτῷ γ' εἰμὶ τῷ δεινῷ λέγειν.
ΟΙ. κἄγωγ' ἀκούειν· ἀλλ' ὅμως ἀκουστέον.
ΘΕ. κείνου γέ τοι δὴ παῖς ἐκλῄζεθ'· ἡ δ' ἔσω
κάλλιστ' ἂν εἴποι σὴ γυνὴ τάδ' ὡς ἔχει.
ΟΙ. ἦ γὰρ δίδωσιν ἥδε σοι; ΘΕ. μάλιστ', ἄναξ.
ΟΙ. ὡς πρὸς τί χρείας; ΘΕ. ὡς ἀναλώσαιμί νιν.
ΟΙ. τεκοῦσα τλήμων; ΘΕ. θεσφάτων γ' ὄκνῳ
κακῶν.
ΟΙ. ποίων; ΘΕ. κτενεῖν νιν τοὺς τεκόντας ἦν λόγος.
ΟΙ. πῶς δῆτ' ἀφῆκας τῷ γέροντι τῷδε σύ;
ΘΕ. κατοικτίσας, ὦ δέσποθ', ὡς ἄλλην χθόνα
δοκῶν ἀποίσειν, αὐτὸς ἔνθεν ἦν· ὁ δὲ
κάκ' ἐς μέγιστ' ἔσωσεν. εἰ γὰρ οὗτος εἶ
ὅν φησιν οὗτος, ἴσθι δύσποτμος γεγώς.
ΟΙ. ἰοὺ ἰού· τὰ πάντ' ἂν ἐξήκοι σαφῆ.
ὦ φῶς, τελευταῖόν σε προσβλέψαιμι νῦν,
ὅστις πέφασμαι φύς τ' ἀφ' ὧν οὐ χρῆν, ξὺν οἷς τ'
οὐ χρῆν ὁμιλῶν, οὕς τέ μ' οὐκ ἔδει κτανών.
ΧΟ. ἰὼ γενεαὶ βροτῶν,
ὡς ὑμᾶς ἴσα καὶ τὸ μηδὲν ζώσας ἐναριθμῶ.
τίς γάρ, τίς ἀνὴρ πλέον
τᾶς εὐδαιμονίας φέρει
ἢ τοσοῦτον ὅσον δοκεῖν
καὶ δόξαντ' ἀποκλῖναι;
τὸν σόν τοι παράδειγμ' ἔχων,
τὸν σὸν δαίμονα, τὸν σόν, ὦ τλᾶμον Οἰδιπόδα,
οὐδὲν μακαρίζω· [βροτῶν
ὅστις καθ' ὑπερβολὰν
τοξεύσας ἐκράτησε τοῦ πάντ' εὐδαίμονος ὄλβου,
ὦ Ζεῦ, κατὰ μὲν φθίσας
τὰν γαμψώνυχα παρθένον
χρησμῳδόν, θανάτων δ' ἐμᾷ
χώρᾳ πύργος ἀνέστα·
ἐξ οὗ καὶ βασιλεὺς καλεῖ
ἐμὸς καὶ τὰ μέγιστ' ἐτιμάθης, ταῖς μεγάλαισιν ἐν
Θήβαισιν ἀνάσσων.
τανῦν δ' ἀκούειν τίς ἀθλιώτερος;
τίς ἄταις ἀγρίαις, τίς ἐν πόνοις
ξύνοικος ἀλλαγᾷ βίου;
ἰὼ κλεινὸν Οἰδίπου κάρα,
ᾧ μέγας λιμὴν

1186—1195. = 1196—1203.
1204—1212. = 1213—1222.

---

1113. *σύμμετρος] ξύμμετρος 1114. ἄλλως τε τοὺς] Sic manus recentior. ἀλλ' ὡσετοὺσ pr. In marg. αλλωσ a m. pr. ὥσπερ] ὄντας Nauckius. 1115. *τῇ δ'] τῆιδεδ' 1118. ὡσ] ὠ pr., σ addidit S. 1120. ἦ] εἰ pr., sed correctum ab eadem. 1123. ἦ] ἦν. Correctum ex scholiasta Homeri Il. 5, 533. Od. 8, 186. 1126. τίσι] τίσιν, eraso ν 1130. ἢ rec. ἡ pr. ξυναλλάξας] Prius λ ex ν factum. πω ex πο. σ factum, eraso, ut videtur, ύ ante σ. Fuit igitur πούσ, non quod Elmsleius credebat πωσ, etsi haec vera scriptura est, quam restitui. που coniecit Blaydesius. 1131. ἄπο Blaydesius] ὕπο 1137. ἐκμήνους Porsonus] ἐμμήνους 1138. *χειμῶνι] χειμῶνα 1139. 1158. ἐς D.] εἰς 1142. *τᾶν] 'τᾶν 1150. σε post ἱστορεῖ erasum. 1151. εἰδὼς οὐδὲν in litura. Fuit οὐδὲν εἰδὼς 1152. κλάων D.] κλαίων 1155. προσχρῄζων] προσχῄζεις Blaydesius. 1157. *ἡμέρᾳ] ἐν ἡμέραι

1160. ἀνὴρ D.] ἀνὴρ 1165. πλέον] πέρα Heimsoethius. 1167. τῶν Λαΐου τοίνυν τις ἦν γεννημάτων] Versus interpolatus. τῶν Λαΐου δόμων τις ὠνομάζετο D. 1170. ἀκούειν] ἀκούων. Correctum ex schol. 1171. γε in litura a m. ant. Fuit fortasse δέ. ε etiam a pr. m. habuit. 1180. ἐς D.] εἰς 1182. *ἐξήκοι] ἐξίκοι 1186. ἰὼ m. ant. ὦ pr. 1188. ἐναριθμῶ] ἐν ἀριθμῶι pr. 1193. τὸν σόν τοι Camerarius] τὸ σόν τοι 1194. *Οἰδιπόδα] οἰδίποδα 1195. οὐδὲν Hermannus] οὐδένα 1197. ἐκράτησε Hermannus] ἐκράτησας 1200. ἀνέστα] ἀνέστασ rec. 1202. ἐμὸς] ἀμὸς Blaydesius. 1203. *Θήβαισιν] θήβαις 1204. τίς ἄταις ἀγρίαις, τίς ἐν πόνοις Hermannus] τίς ἐν πόνοις, τίς ἄταις ἀγρίαις

αὐτὸς ἤρκεσεν
παιδὶ καὶ πατρὶ
θαλαμηπόλῳ πεσεῖν,
πῶς ποτε πῶς ποθ᾽ αἱ πατρῷαί σ᾽ ἄλοκες φέ-
σἰγ᾽ ἐδυνάθησαν ἐς τοσόνδε; [ρειν, τάλας,
ἐφηῦρέ σ᾽ ἄκονθ᾽ ὁ πάνθ᾽ ὁρῶν χρόνος,
δικάζει τ᾽ ἄγαμον γάμον πάλαι
τεκνοῦντα καὶ τεκνούμενον.
ἰώ, Λαΐειον ὦ τέκνον,
εἴθε σ᾽ εἴθε σε
μήποτ᾽ εἰδόμαν.
δύρομαι γὰρ ὡς
περίαλλ᾽ ἰακχίων [ἐκ σέθεν
ἐκ στομάτων. τὸ δ᾽ ὀρθὸν εἰπεῖν, ἀνέπνευσά τ᾽
καὶ κατεκοίμησα τοὐμὸν ὄμμα.

ΕΞΑΓΓΕΛΟΣ.

ὦ γῆς μέγιστα τῆσδ᾽ ἀεὶ τιμώμενοι,
οἷ᾽ ἔργ᾽ ἀκούσεσθ᾽, οἷα δ᾽ εἰσόψεσθ᾽, ὅσον δ᾽
ἀρεῖσθε πένθος, εἴπερ ἐγγενῶς ἔτι
τῶν Λαβδακείων ἐντρέπεσθε δωμάτων.
οἶμαι γὰρ οὔτ᾽ ἂν Ἴστρον οὔτε Φᾶσιν ἂν
νίψαι καθαρμῷ τήνδε τὴν στέγην, ὅσα
κεύθει, τὰ δ᾽ αὐτίκ᾽ ἐς τὸ φῶς φανεῖ, κακὰ
ἑκόντα κοὐκ ἄκοντα. τῶν δὲ πημονῶν
μάλιστα λυποῦσ᾽ αἳ φανῶσ᾽ αὐθαίρετοι.
ΧΟ. λείπει μὲν οὐδ᾽ ἃ πρόσθεν ᾔδεμεν τὸ μὴ οὐ
βαρύστον᾽ εἶναι· πρὸς δ᾽ ἐκείνοισιν τί φῄς;
ΕΞ. ὁ μὲν τάχιστος τῶν λόγων εἰπεῖν τε καὶ
μαθεῖν, τέθνηκε θεῖον Ἰοκάστης κάρα.
ΧΟ. ὦ δυστάλαινα, πρὸς τίνος ποτ᾽ αἰτίας;
ΕΞ. αὐτὴ πρὸς αὑτῆς. τῶν δὲ πραχθέντων τὰ μὲν
ἄλγιστ᾽ ἄπεστιν· ἡ γὰρ ὄψις οὐ πάρα.
ὅμως δ᾽, ὅσον γε κἀν ἐμοὶ μνήμης ἔνι,
πεύσει τὰ κείνης ἀθλίας παθήματα.
ὅπως γὰρ ὀργῇ χρωμένη παρῆλθ᾽ ἔσω
θυρῶνος, ἵετ᾽ εὐθὺ πρὸς τὰ νυμφικὰ
λέχη, κόμην σπῶσ᾽ ἀμφιδεξίοις ἀκμαῖς·
πύλας δ᾽, ὅπως εἰσῆλθ᾽, ἐπιρράξασ᾽ ἔσω,
καλεῖ τὸν ἤδη Λάϊον πάλαι νεκρόν,
μνήμην παλαιῶν σπερμάτων ἔχουσ᾽, ὑφ᾽ ὧν
θάνοι μὲν αὐτός, τὴν δὲ τίκτουσαν λίποι
τοῖς οἷσιν αὐτοῦ δύστεκνον παιδουργίαν.
γοᾶτο δ᾽ εὐνάς, ἔνθα δύστηνος διπλοῦς
ἐξ ἀνδρὸς ἄνδρα καὶ τέκν᾽ ἐκ τέκνων τέκοι.
χὤπως μὲν ἐκ τῶνδ᾽ οὐκέτ᾽ οἶδ᾽ ἀπόλλυται·
βοῶν γὰρ εἰσέπαισεν Οἰδίπους, ὑφ᾽ οὗ
οὐκ ἦν τὸ κείνης ἐκθεάσασθαι κακόν,
ἀλλ᾽ εἰς ἐκεῖνον περιπολοῦντ᾽ ἐλεύσσομεν.
φοιτᾷ γὰρ ἡμᾶς ἔγχος ἐξαιτῶν πορεῖν,
γυναῖκά τ᾽ οὐ γυναῖκα, μητρῴαν δ᾽ ὅπου
κίχοι διπλῆν ἄρουραν οὗ τε καὶ τέκνων.
λυσσῶντι δ᾽ αὐτῷ δαιμόνων δείκνυσί τις·
οὐδεὶς γὰρ ἀνδρῶν, οἳ παρῆμεν ἐγγύθεν.
δεινὸν δ᾽ ἀΰσας ὡς ὑφηγητοῦ τινος
πύλαις διπλαῖς ἐνήλατ᾽, ἐκ δὲ πυθμένων
ἔκλινε κοῖλα κλῇθρα, κἀμπίπτει στέγῃ.
οὗ δὴ κρεμαστὴν τὴν γυναῖκ᾽ εἰσείδομεν,
πλεκταῖς ἑώραις ἐμπεπλεγμένην. ὁ δὲ
ὅπως ὁρᾷ νιν, δεινὰ βρυχηθεὶς τάλας,
χαλᾷ κρεμαστὴν ἀρτάνην. ἐπεὶ δὲ γῇ
ἔκειτο τλήμων, δεινὰ δ᾽ ἦν τἀνθένδ᾽ ὁρᾶν.
ἀποσπάσας γὰρ εἱμάτων χρυσηλάτους
περόνας ἀπ᾽ αὐτῆς, αἷσιν ἐξεστέλλετο,
ἄρας ἔπαισεν ἄρθρα τῶν αὑτοῦ κύκλων,
αὐδῶν τοιαῦθ᾽, ὁθούνεκ᾽ οὐκ ὄψοιντό νιν
οὔθ᾽ οἷ᾽ ἔπασχεν οὔθ᾽ ὁποῖ᾽ ἔδρα κακά,
ἀλλ᾽ ἐν σκότῳ τὸ λοιπὸν οὓς μὲν οὐκ ἔδει
ὀψοίαθ᾽, οὓς δ᾽ ἔχρῄζεν οὐ γνωσοίατο.
τοιαῦτ᾽ ἐφυμνῶν πολλάκις τε κοὐχ ἅπαξ
ἤρασσ᾽ ἐπαίρων βλέφαρα. φοίνιαι δ᾽ ὁμοῦ
γλῆναι γένει᾽ ἔτεγγον, οὐδ᾽ ἀνίεσαν
φόνου μυδώσας σταγόνας, ἀλλ᾽ ὁμοῦ μέλας
ὄμβρος χάλαζά θ᾽ αἱματοῦσσ᾽ ἐτέγγετο.
ὁ πρὶν παλαιὸς δ᾽ ὄλβος ἦν πάροιθε μὲν
ὄλβος δικαίως, νῦν δὲ τῇδε θἠμέρᾳ
στεναγμός, ἄτη, θάνατος, αἰσχύνη, κακῶν
ὅσ᾽ ἐστὶ πάντων ὀνόματ᾽, οὐδέν ἐστ᾽ ἀπόν.
ΧΟ. νῦν δ᾽ ἔσθ᾽ ὁ τλήμων ἐν τίνι σχολῇ κακοῦ;
ΕΞ. βοᾷ διοίγειν κλῇθρα καὶ δηλοῦν τινα
τοῖς πᾶσι Καδμείοισι τὸν πατροκτόνον,
τὸν μητέρ᾽ — αὐδῶν ἀνόσι᾽ οὐδὲ ῥητά μοι,
ὡς ἐκ χθονὸς ῥίψων ἑαυτόν, οὐδ᾽ ἔτι
μενῶν δόμοις ἀραῖος, ὡς ἠράσατο.
ῥώμης γε μέντοι καὶ προηγητοῦ τινος
δεῖται· τὸ γὰρ νόσημα μεῖζον ἢ φέρειν.
δείξει δὲ καὶ σοί. κλῇθρα γὰρ πυλῶν τάδε
διοίγεται· θέαμα δ᾽ εἰσόψει τάχα
τοιοῦτον οἷον καὶ στυγοῦντ᾽ ἐποικτίσαι.

1280. τάδ᾽ ἐκ δυοῖν ἔρρωγεν, οὐ μόνου, κακά,
ἀλλ᾽ ἀνδρὶ καὶ γυναικὶ συμμιγῆ κακά.

---

1209. αὐτὸς] αὐτὸσ. Articulum addidit Brunckius, qui ὡὐτός. 1212. *ἐδυνάθησαν] ἐδυνάσθησαν 1213. ἐφηῦρε Elmsleius] ἐφεῦρε 1214. τ᾽ Hermannus] τὸν 1216. ὦ addidit Erfurdtius. 1217. σε addidit Wunderus. *εἰδόμαν] ἰδόμην pr., ἰδόμαν corr. 1218. δύρομαι Seidlerus] ὀδύρομαι περίαλλ᾽ Heathius] περίαλλα 1219. ἰακχίων Erfurdtius] ἰαχέων 1223. ΕΞΑΓΓΕΛΟΣ] Sic hoc loco, sed infra ΑΓΓ. 1225. ἀρεῖσθε] α ex αι factum. ἐγγενῶς] ἐμπέδως Henr. Hirzelius. 1229. *ἐς] εἰς 1231. αἳ] αἳ ᾽ν rec. et in marg. αἳ ἄν. αὐθαίρετοι corr. αὐθέρετοι pr. 1232. ᾔδεμεν Elmsleius] ᾔδειμεν 1234. Post καὶ tres literae erasae. 1237. *αὑτῆς] αὐτῆσ 1242. εὐθὺ] εὐθὺσ, eraso σ. 1244. ἐπιρράξασ᾽ Dobraeus] ἐπιρρήξασ᾽ 1245. καλεῖ Erfurdtius] κάλει 1250. ἄνδρα] ἄνδρασ rec. 1251. ἀπόλλυται] ἀπολλύναι pr. cum litura super ν. 1252. εἰσέπαισεν corr. εἰσέπεσεν pr. 1254. περιπολοῦντ᾽] πο in litura solius literae π.

1260. *ὑφηγητοῦ] ὑφ᾽ ἡγητοῦ 1262. ἔκλινε] ι ex ει factum κλῇθρα] κλεῖθρα, η super ει a m. rec. Sed 1287. 1294. κλῆιθρα iam a m. pr. 1263. *εἰσείδομεν] ἐσείδομεν 1264. ἑώραισ ab S. ἑωραῖσ pr. αἰώραις apographa multa. 1265. ὅπως] ὅπως δ᾽: unde Nauckius πλεκταῖσιν ἀρτάναισιν αἰωρουμένην. | ὅπως δ᾽ ὁρᾷ νιν —. 1266. ἐπεὶ δὲ γῇ] Spiritus et accentus super ἐπεὶ δὲ a m. rec. Nam a pr. fuit ἐπιδεγῆι, ι tamen ab eadem manu, ut videtur, in ει mutato. ἔκειτο corr. ἔκειθ᾽ ὁ pr. δεινὰ δ᾽ ἦν] σχέτλι᾽ ἦν Heimsoethius. 1270. *αὑτοῦ] αὐτοῦ οιν 1271. ὁθούνεκ᾽] ὅθ᾽ οὕνεκ᾽ ὄψοιντο] ὄψοιτο, ν οιν a m. ant. 1275. ἐφυμνῶν] ἐφ᾽ ὑμῶν, ν ab eadem m. τε ab alia m. ant. δε pr. 1277. *ἀνίεσαν] ἀνίεσσαν 1279. χάλαζά θ᾽ αἱματοῦσσ᾽ Porsonus] χαλάζης αἵματος 1280. 1281. Versus spurios duo τάδ᾽ ἐκ — συμμιγῆ κακά eiecit D. 1283. *τῇδε θἠμέρᾳ] τῆιδέθ᾽ ἡμέραι 1284. ἄτη a m. ant. ἄτε pr. 1289. μητέρ᾽ — αὐδῶν Nauckius] μητρὸσ αὐδῶν in litura a m. antiqua. μὴ προσαυδῶν pr. 1291. μενῶν] μενων (sine acc.) pr. 1294. *κλῇθρα γὰρ] κλῆιθρά γε

ΧΟ. ὦ δεινὸν ἰδεῖν πάθος ἀνθρώποις,
ὦ δεινότατον πάντων ὅσ' ἐγὼ
προσέκυρσ' ἤδη. τίς σ', ὦ τλῆμον,
προσέβη μανία; τίς ὁ πηδήσας
μείζονα δαίμων τῶν μακίστων
πρὸς σῇ δυσδαίμονι μοίρᾳ;
ἀλλ' οὐδ' ἐσιδεῖν δύναμαί σ' ἐθέλων
πόλλ' ἀνερέσθαι, πολλὰ πυθέσθαι,
πολλὰ δ' ἀθρῆσαι·
τοίαν φρίκην παρέχεις μοι.
ΟΙ. αἰαῖ αἰαῖ, δύστανος ἐγώ,
ποῖ γᾶς φέρομαι τλάμων; πᾶ μοι
φθογγὰ διαπέταται φοράδην;
ἰὼ δαῖμον, ἵν' ἐξήλλου.
ΧΟ. ἐς δεινὸν, οὐδ' ἀκουστὸν, οὐδ' ἐπόψιμον.
ΟΙ. ἰὼ σκότου
νέφος ἐμὸν ἀπότροπον, ἐπιπλόμενον ἄφατον,
ἀδάματόν τε καὶ δυσούριστον ὄν.
οἴμοι,
οἴμοι μάλ' αὖθις· οἷον εἰσέδυ μ' ἅμα
κέντρων τε τῶνδ' οἴστρημα καὶ μνήμη κακῶν.
ΧΟ. καὶ θαῦμά γ' οὐδὲν ἐν τοσοῖσδε πήμασιν
διπλᾶ σε πενθεῖν καὶ διπλᾶ φορεῖν κακά.
ΟΙ. ἰὼ φίλος,
σὺ μὲν ἐμὸς ἐπίπολος ἔτι μόνιμος· ἔτι γὰρ
ὑπομένεις με τὸν τυφλὸν κηδεύων.
φεῦ φεῦ.
οὐ γάρ με λήθεις, ἀλλὰ γιγνώσκω σαφῶς,
καίπερ σκοτεινός, τήν γε σὴν αὐδὴν ὅμως.
ΧΟ. ὦ δεινὰ δράσας, πῶς ἔτλης τοιαῦτα σὰς
ὄψεις μαρᾶναι; τίς σ' ἐπῆρε δαιμόνων;
ΟΙ. Ἀπόλλων τάδ' ἦν, Ἀπόλλων, φίλοι,
ὁ κακὰ κακὰ τελῶν ἐμὰ τάδ' ἐμὰ πάθεα.
ἔπαισε δ' αὐτόχειρ νιν οὔτις, ἀλλ' ἐγὼ τλάμων.
τί γὰρ ἔδει μ' ὁρᾶν,
ὅτῳ γ' ὁρῶντι μηδὲν ἦν ἰδεῖν γλυκύ;

1313—1320. = 1321—1328.
1329—1348. = 1349—1368.

1299. σ' a m. ant. additum. τλῆμον] τλήμων pr. Post hunc versum erasus est v. 1302. per errorem ab librario huc illatus et punctis notatus.
1301. μακίστων a m, pr. ex κακίστων factum.
1302. πρὸς] σ a m. pr. et hic et supra, ubi hic versus per errorem illatus erat, omissum addidit S.
1303 — 1305. Versus sic divisi, φεῦ φεῦ δύστανοσ. ἀλλ' οὐδ' ἐσιδεῖν | δύναμαι-| πολλὰ π. — ἀθρῆσαι. Verba ex v. 1308. illata φεῦ φεῦ δύστανος delevit D. 1303. *σ' ἐθέλων] σε θέλων 1304. ἀνέρέσθαι cum duplici accentu, sed priore deleto. 1306. *τοίαν] ποίαν 1307—1311. Versus sic divisi et scripti, αἶ αἶ αἶ | φεῦ φεῦ. δύστανοσ | ἐγώ. ποῖ γᾶσ | φέρομαι τλάμων. πᾶι μοι φθογγὰ | διαπέταται φοράδην; | ἰὼ δαῖμον ἵν' ἐξήλου. 1307. αἰαῖ αἰαῖ, deleto φεῦ φεῦ, scripsi cum Hermanno. Idem ἐξήλλου pro ἐξήλου. 1311. διαπέταται] Requiruntur duo anapaesti: unde διαπωτᾶται Musgravius.
1313. Verba in duo versus divisa, alterum ἰὼ — ἀπότροπον, alterum ἐπιπλώμενον (sic codex) ἄφατον. Recte ἐπιπλόμενον in apographis. 1315. ἀδάματον Hermannus] ἀδάμαστον ὄν addidit Hermannus. 1322. ἐμὸς ἐπίπολος] γρ. καὶ ἐμοῖσ ἐπὶ πόνοισ S. 1323. με Erfurdtius] ἐμέ 1325. *γιγνώσκω] γινώσκω 1328. *ἐπῆρε] ἐπῆιρε 1330. κακὰ τελῶν ἐμὰ] κακὰ et ἐμὰ pr. omissa addidit una ex antiquioribus manibus. τάδ'] Litera super τ erasa.
1333. οὔτις] σ ex ν factum. 1334. ὁρᾶν] ὁρᾶιν, ι eraso: non eraso 1385. 1335. γ'] manus antiqua γ ex θ fecit.

ΧΟ. ἦν ταῦθ' ὅπωσπερ καὶ σὺ φῄς.
ΟΙ. τί δῆτ' ἐμοὶ βλεπτὸν, ἢ
στερκτὸν, ἢ προσήγορον
ἔτ' ἔστ' ἀκούειν ἁδονᾷ, φίλοι;
ἀπάγετ' ἐκτόπιον ὅτι τάχιστά με,
ἀπάγετ', ὦ φίλοι, τὸν ὄλεθρον μέγαν,
τὸν καταρατότατον, ἔτι δὲ καὶ θεοῖς
ἐχθρότατον βροτῶν.
ΧΟ. δείλαιε τοῦ νοῦ τῆς τε συμφορᾶς ἴσον,
ὡς ἠθέλησα μηδέ σ' ἂν γνῶναί ποτε.
ΟΙ. ὄλοιθ' ὅστις ἦν ὃς ἀγρίας πέδας
νομάδ' ἐπιποδίας ἔλαβέ μ' ἀπό τε φόνου
ἔρυτο κἀνέσωσεν, οὐδὲν ἐς χάριν πράσσων.
τότε γὰρ ἂν θανὼν
οὐκ ἦ φίλοισιν οὐδ' ἐμοὶ τοσόνδ' ἄχος.
ΧΟ. θέλοντι κἀμοὶ τοῦτ' ἂν ἦν.
ΟΙ. οὔκουν πατρός γ' ἂν φονεὺς
ἦλθον, οὐδὲ νυμφίος
βροτοῖς ἐκλήθην ὧν ἔφυν ἄπο.
νῦν δ' ἄθεος μέν εἰμ', ἀνοσίων δὲ παῖς,
ὁμολεχὴς δ' ἀφ' ὧν αὐτὸς ἔφυν τάλας.
εἰ δέ τι πρεσβύτερον ἔτι κακοῦ κακὸν,
τοῦτ' ἔλαχ' Οἰδίπους.
ΧΟ. οὐκ οἶδ' ὅπως σε φῶ βεβουλεῦσθαι καλῶς·
κρείσσων γὰρ ἦσθα μηκέτ' ὢν ἢ ζῶν τυφλός.
ΟΙ. ὡς μὲν τάδ' οὐχ ὧδ' ἔστ' ἄριστ' εἰργασμένα,
μή μ' ἐκδίδασκε, μηδὲ συμβούλευ' ἔτι.
ἐγὼ γὰρ οὐκ οἶδ' ὄμμασιν ποίοις βλέπων
πατέρα ποτ' ἂν προσεῖδον εἰς Ἅιδου μολὼν,
οὐδ' αὖ τάλαιναν μητέρ', οἷν ἐμοὶ δυοῖν
ἔργ' ἐστὶ κρείσσον' ἀγχόνης εἰργασμένα.
ἀλλ' ἡ τέκνων δῆτ' ὄψις ἦν ἐφίμερος,
βλαστοῦσ' ὅπως ἔβλαστε, προσλεύσσειν ἐμοί;
οὐ δῆτα τοῖς γ' ἐμοῖσιν ὀφθαλμοῖς ποτε·
οὐδ' ἄστυ γ', οὐδὲ πύργος, οὐδὲ δαιμόνων
ἀγάλμαθ' ἱρά, τῶν ὁ παντλήμων ἐγὼ
κάλλιστ' ἀνὴρ εἷς ἔν γε ταῖς Θήβαις τραφεὶς
ἀπεστέρησ' ἐμαυτὸν, αὐτὸς ἐννέπων
ὠθεῖν ἅπαντας τὸν ἀσεβῆ, τὸν ἐκ θεῶν
φανέντ' ἄναγνον καὶ γένους τοῦ Λαΐου.
τοιάνδ' ἐγὼ κηλῖδα μηνύσας ἐμὴν
ὀρθοῖς ἔμελλον ὄμμασιν τούτους ὁρᾶν;
ἥκιστά γ'· ἀλλ' εἰ τῆς ἀκουούσης ἔτ' ἦν
πηγῆς δι' ὤτων φραγμὸς, οὐκ ἂν ἐσχόμην
τὸ μἀποκλῇσαι τοὐμὸν ἄθλιον δέμας,
ἵν' ἦ τυφλός τε καὶ κλύων μηδέν· τὸ γὰρ
τὴν φροντίδ' ἔξω τῶν κακῶν οἰκεῖν γλυκύ.
ἰὼ Κιθαιρὼν, τί μ' ἐδέχου; τί μ' οὐ λαβὼν
ἔκτεινας εὐθὺς, ὡς ἔδειξα μήποτε
ἐμαυτὸν ἀνθρώποισιν ἔνθεν ἦ γεγώς;

1336. *ταῦθ'] τάδ' 1339. ἁδονᾷ D.] ἡδονᾶι 1340. ἐκτόπιον ὅτι τάχιστά με] ἐκ τόπων (sic ego quoque in annot. ad Trach. 955.) ὅτι τάχιστα τῶνδ' Nauckius, deleto με, quod servandum potius erat et post ἐκ τόπων collocandum. 1341. ὄλεθρον Turnebus] ὀλέθριον 1348. ὡς ἠθέλησα μηδέ σ' ἂν γνῶναί ποτε D.] ὡς σ' (ὅσσ' pr.) ἠθέλησα μηδ' ἀναγνῶναί ποτ' ἄν 1349. ἀγρίας Triclinius] ἀπ' ἀγρίας
1350. νομάδ' Elmsleius] νομάδος ἔλαβέ μ'] In ἔλυσεν mutavit m. valde antiqua. 1352. ἔρυτο D.] ἔρρυτο ἐς D.] εἰς 1355. ἦ D.] ἦν *ἄχος] ἄχθοσ 1360. ἄθεος Elmsleius] ἄθλιος 1361. ὁμολεχὴς Meinekius] ὁμογενὴς 1365. ἔτι Hermannus] ἔφυ, quod ἔφυι scriptum in codice. 1379. ἱρὰ D.] ἱερὰ 1387. *ἂν ἐσχόμην] ἀνεσχόμην 1388. μἀποκλῇσαι D.] μὴ ἀποκλεῖσαι 1389. *ἦ] ἦν 1393. ἦ Elmsleius] ἦν

ὦ Πόλυβε καὶ Κόρινθε καὶ τὰ πάτρια
λόγῳ παλαιὰ δώμαθ᾽, οἷον ἆρά με
κάλλος κακῶν ὕπουλον ἐξεθρέψατε.
νῦν γὰρ κακός τ᾽ ὢν κἀκ κακῶν εὑρίσκομαι.
ὦ τρεῖς κέλευθοι καὶ κεκρυμμένη νάπη
δρυμός τε καὶ στενωπὸς ἐν τριπλαῖς ὁδοῖς,
αἳ τοὐμὸν αἷμα τῶν ἐμῶν χειρῶν ἄπο
ἐπίετε πατρὸς, ἆρά μου μέμνησθ᾽ ὅτι
οἷ᾽ ἔργα δράσας ὑμὶν εἶτα δεῦρ᾽ ἰὼν
ὁποῖ᾽ ἔπρασσον αὖθις; ὦ γάμοι γάμοι,
ἐφύσαθ᾽ ἡμᾶς, καὶ φυτεύσαντες πάλιν
ἀνεῖτε ταυτὸν σπέρμα, κἀπεδείξατε
πατέρας, ἀδελφοὺς, παῖδας, αἷμ᾽ ἐμφύλιον,
νύμφας, γυναῖκας μητέρας τε, χὠπόσα
αἴσχιστ᾽ ἐν ἀνθρώποισιν ἔργα γίγνεται.
ἀλλ᾽ οὐ γὰρ αὐδᾶν ἔσθ᾽ ἃ μηδὲ δρᾶν καλὸν,
ὅπως τάχιστα πρὸς θεῶν ἔξω μέ που
καλύψατ᾽, ἢ φονεύσατ᾽, ἢ θαλάσσιον
ἐκρίψατ᾽, ἔνθα μήποτ᾽ εἰσόψεσθ᾽ ἔτι.
ἴτ᾽, ἀξιώσατ᾽ ἀνδρὸς ἀθλίου θιγεῖν.
πίθεσθε, μὴ δείσητε. τἀμὰ γὰρ κακὰ
οὐδεὶς οἷός τε πλὴν ἐμοῦ φέρειν βροτῶν.
ΧΟ. ἀλλ᾽ ὧν ἐπαιτεῖς ἐς δέον πάρεσθ᾽ ὅδε
Κρέων τὸ πράσσειν καὶ τὸ βουλεύειν, ἐπεὶ
χώρας λέλειπται μοῦνος ἀντὶ σοῦ φύλαξ.
ΟΙ. οἴμοι, τί δῆτα λέξομεν πρὸς τόνδ᾽ ἔπος;
τίς μοι φανεῖται πίστις ἔνδικος; τὰ γὰρ
πάρος πρὸς αὐτὸν πάντ᾽ ἐφηύρημαι κακός.
ΚΡ. οὐχ ὡς γελαστὴς, Οἰδίπους, ἐλήλυθα,
οὐδ᾽ ὡς ὀνειδιῶν τι τῶν πάρος κακῶν.
ἀλλ᾽ εἰ τὰ θνητῶν μὴ καταισχύνεσθ᾽ ἔτι
γένεθλα, τὴν γοῦν πάντα βόσκουσαν φλόγα
αἰδεῖσθ᾽ ἄνακτος Ἡλίου, τοιόνδ᾽ ἄγος
ἀκάλυπτον οὕτω δεικνύναι, τὸ μήτε γῆ
μήτ᾽ ὄμβρος ἱρὸς μήτε φῶς προσδέξεται.
ἀλλ᾽ ὡς τάχισθ᾽ εἰς οἶκον ἐσκομίζετε·
τοῖς ἐν γένει γὰρ τἀγγενῆ μάλισθ᾽ ὁρᾶν
μόνοις τ᾽ ἀκούειν εὐσεβῶς ἔχει κακά.
ΟΙ. πρὸς θεῶν, ἐπείπερ ἐλπίδος μ᾽ ἀπέσπασας,
ἄριστος ἐλθὼν πρὸς κάκιστον ἄνδρ᾽ ἐμὲ,
πιθοῦ τί μοι· πρὸς σοῦ γὰρ, οὐδ᾽ ἐμοῦ, φράσω.
ΚΡ. καὶ τοῦ με χρείας ὧδε λιπαρεῖς τυχεῖν;
ΟΙ. ῥῖψόν με γῆς ἐκ τῆσδ᾽ ὅσον τάχισθ᾽ ὅπου
θνητῶν φανοῦμαι μηδενὸς προσήγορος.
ΚΡ. ἔδρασ᾽ ἂν εὖ τοῦτ᾽ ἴσθ᾽ ἂν, εἰ μὴ τοῦ θεοῦ
πρώτιστ᾽ ἔχρῃζον ἐκμαθεῖν τί πρακτέον.
ΟΙ. ἀλλ᾽ ἥ γ᾽ ἐκείνου πᾶσ᾽ ἐδηλώθη φάτις,
τὸν πατροφόντην, τὸν ἀσεβῆ μ᾽ ἀπολλύναι.
ΚΡ. οὕτως ἐλέχθη ταῦθ᾽· ὅμως δ᾽ ἵν᾽ ἕσταμεν
χρείας ἄμεινον ἐκμαθεῖν τί δραστέον.
ΟΙ. οὕτως ἄρ᾽ ἀνδρὸς ἀθλίου πεύσεσθ᾽ ὕπερ;
ΚΡ. καὶ γὰρ σὺ νῦν τἂν τῷ θεῷ πίστιν φέροις.
ΟΙ. καὶ σοί γ᾽ ἐπισκήπτω τε καὶ προτρέψομαι,
τῆς μὲν κατ᾽ οἴκους αὐτὸς ὃν θέλεις τάφον
θοῦ· καὶ γὰρ ὀρθῶς τῶν γε σῶν τελεῖς ὕπερ·
ἐμοῦ δὲ μήποτ᾽ ἀξιωθήτω τόδε
πατρῷον ἄστυ ζῶντος οἰκητοῦ τυχεῖν,
ἀλλ᾽ ἔα με ναίειν ὄρεσιν, ἔνθα κλῄζεται
οὑμὸς Κιθαιρὼν οὗτος, ὃν μήτηρ τέ μοι
πατήρ τ᾽ ἐθέσθην ζῶντι κύριον τάφον,
ἵν᾽ ἐξ ἐκείνων, οἵ μ᾽ ἀπωλλύτην, θάνω.
καίτοι τοσοῦτόν γ᾽ οἶδα, μήτε μ᾽ ἂν νόσον
μήτ᾽ ἄλλο πέρσαι μηδέν· οὐ γὰρ ἄν ποτε
θνῄσκων ἐσώθην, μὴ ᾽πί τῳ δεινῷ κακῷ.
ἀλλ᾽ ἡ μὲν ἡμῶν μοῖρ᾽, ὅποιπερ εἶσ᾽, ἴτω·
παίδων δὲ τῶν μὲν ἀρσένων μή μοι, Κρέον,
προθῇ μέριμναν· ἄνδρες εἰσίν, ὥστε μὴ
σπάνιν ποτὲ σχεῖν, ἔνθ᾽ ἂν ὦσι, τοῦ βίου·
ταῖν δ᾽ ἀθλίαιν οἰκτραῖν τε παρθένοιν ἐμαῖν,
αἷν οὔποθ᾽ ἡμὴ χωρὶς ἐστάθη βορᾶς
τράπεζ᾽ ἄνευ τοῦδ᾽ ἀνδρὸς, ἀλλ᾽ ὅσων ἐγὼ
ψαύοιμι, πάντων τῶνδ᾽ ἀεὶ μετειχέτην·
αἷν μοι μέλεσθαι· καὶ μάλιστα μὲν χεροῖν
ψαῦσαί μ᾽ ἔασον κἀποκλαύσασθαι κακά.
ἴθ᾽ ὦναξ,
ἴθ᾽ ὦ γονῇ γενναῖε. χερσί τἂν θιγὼν
δοκοῖμ᾽ ἔχειν σφᾶς ὥσπερ ἡνίκ᾽ ἔβλεπον.
τί φημί;
οὐ δὴ κλύω που πρὸς θεῶν τοῖν μοι φίλοιν
δακρυρροούντοιν, καί μ᾽ ἐποικτείρας Κρέων
ἔπεμψέ μοι τὰ φίλτατ᾽ ἐκγόνοιν ἐμοῖν;
λέγω τι;
ΚΡ. λέγεις· ἐγὼ γάρ εἰμ᾽ ὁ πορσύνας τάδε,
γνοὺς τὴν παροῦσαν τέρψιν, ἥ σ᾽ εἶχεν πάλαι.
ΟΙ. ἀλλ᾽ εὐτυχοίης, καί σε τῆσδε τῆς ὁδοῦ
δαίμων ἄμεινον ἢ ᾽μὲ φρουρήσας τύχοι.
ὦ τέκνα, ποῦ ποτ᾽ ἐστέ; δεῦρ᾽ ἴτ᾽, ἔλθετε
ὡς τὰς ἀδελφὰς τάσδε τὰς ἐμὰς χέρας,
αἳ τοῦ φυτουργοῦ πατρὸς ὑμὶν ὧδ᾽ ὁρᾶν
τὰ πρόσθε λαμπρὰ προυξένησαν ὄμματα·
ὃς ὑμίν, ὦ τέκν᾽, οὔθ᾽ ὁρῶν οὔθ᾽ ἱστορῶν
πατὴρ ἐφάνθην ἔνθεν αὐτὸς ἠρόθην.
καὶ σφὼ δακρύω· προσβλέπειν γὰρ οὐ σθένω·
νοούμενος τὰ λοιπὰ τοῦ πικροῦ βίου,
οἷον βιῶναι σφὼ πρὸς ἀνθρώπων χρεών.
ποίας γὰρ ἀστῶν ἥξετ᾽ εἰς ὁμιλίας,
ποίας δ᾽ ἑορτὰς, ἔνθεν οὐ κεκλαυμέναι
πρὸς οἶκον ἵξεσθ᾽ ἀντὶ τῆς θεωρίας;
ἀλλ᾽ ἡνίκ᾽ ἂν δὴ πρὸς γάμων ἥκητ᾽ ἀκμὰς,
τίς οὗτος ἔσται, τίς παραρρίψει, τέκνα,
τοιαῦτ᾽ ὀνείδη λαμβάνων, ἃ τοῖς ἐμοῖς
γονεῦσιν ἔσται σφῷν θ᾽ ὁμοῦ δηλήματα;
τί γὰρ κακῶν ἄπεστι; τὸν πατέρα πατὴρ

---

1401. ὅτι] γρ. ὅταν ab S. Probabilius μέμνησθ᾽ ἔτι in apographis pluribus. μέμνησθέ τι Elmsleius. 1402. ὑμὶν] ὗμιν pr. 1405. ταυτὸν] τοὐμὸν Nauckius. 1412. καλύψατ᾽ — ἐκρίψατ᾽] Transponit Burgesius. 1413. ἴτ᾽] ἴτ᾽, ε a m. pr. 1414. πίθεσθε Elmsleius] πείθεσθε m. ant. πείθεσθαι pr., sed adscripto in marg. ε. 1416. ἐς D.] εἰς 1421. ἐφηύρημαι Elmsleius] ἐφεύρημαι 1422. οὐχ m. recentior in margine. οὐ pr., una post υ litera eluta. 1423. οὔθ᾽ pr. οὐδ᾽ rec. οὐχ alia rec. in margine. 1424—1431. Hos versus Oedipi orationi post v. 1415. adiunxit Nauckius. 1428. ἱρὸς D.] ἱερός προσδέξεται] Litera super σ erasa 1429. εἰς D.] ἐς 1436. ὅσον τάχισθ᾽ ὅπου | θνητῶν φανοῦμαι] Scriptura interpolata, sic, ut videtur, corrigenda, ὅσον τάχος βροτῶν | ἵν᾽ αὐανοῦμαι

1445. τἂν] τ᾽ ἂν 1446. τε] γε, superscripto τε a m. ant. προτρέψομαι] προστρέψομαι, ε a m. pr. ex ι facto. 1451. *ὄρεσιν] ὄρεσσιν 1453. ζῶντι Toupius] ζῶντε 1454. ἀπωλλύτην] ω ex ο factum. 1459. προθῇ Elmsleius] πρόσθῃ 1469. τἂν Elmsleius] δ᾽ ἂν, ex quo m. recentior τ᾽ ἂν fecit. 1474. *ἐκγόνοιν] ἐγγόνοιν 1475. *λέγω τι] λέγω. τί; 1477. ἥ σ᾽ εἶχεν pr. ἣν εἶχεσ corr. a m. antiqua. 1480. ἴτ᾽ a m. rec. 1484. *ὑμὶν] ὗμιν 1491. ἵξεσθ᾽ ab S. ἥξεθ᾽ pr. 1492. *δὴ] δεῖ pr. δ᾽ ἡ recens corrector. ἥκητ᾽] ἵκητ᾽ rec., superscripto etiam ι super ἥ. 1493. παραρρίψει] Tertium ρ a m. rec. 1494. ἐμοῖς] πάλαι D.

ὑμῶν ἔπεφνε· τὴν τεκοῦσαν ἤροσεν,
ὅθεν περ αὐτὸς ἐσπάρη, κἀκ τῶν ἴσων
ἐκτήσαθ' ὑμᾶς, ὧνπερ αὐτὸς ἐξέφυ.
τοιαῦτ' ὀνειδιεῖσθε. κᾆτα τίς γαμεῖ;
οὐκ ἔστιν οὐδείς, ὦ τέκν', ἀλλὰ δηλαδὴ
χέρσους φθαρῆναι κἀγάμους ὑμᾶς χρεών.
ὦ παῖ Μενοικέως, ἀλλ' ἐπεὶ μόνος πατὴρ
ταύταιν λέλειψαι, νῶ γάρ, ὦ 'φυτεύσαμεν,
ὀλώλαμεν δύ' ὄντε, μή σφε περιίδῃς
πτωχὰς ἀνάνδρους ἐκγενεῖς ἀλωμένας,
μηδ' ἐξισώσῃς τάσδε τοῖς ἐμοῖς κακοῖς.
ἀλλ' οἴκτισόν σφας, ὧδε τηλικάσδ' ὁρῶν
πάντων ἐρήμους, πλὴν ὅσον τὸ σὸν μέρος.
ξύννευσον, ὦ γενναῖε, σῇ ψαύσας χερί.
σφῷν δ', ὦ τέκν', εἰ μὲν εἰχέτην ἤδη φρένας,
πόλλ' ἂν παρῄνουν· νῦν δὲ τοῦτ' ηὔχθω μόνον,
οὗ καιρὸς ἐᾷ ζῆν, τοῦ βίου δὲ λῴονος
ὑμᾶς κυρῆσαι τοῦ φυτεύσαντος πατρός.
ΚΡ. ἅλις ἵν' ἐξήκεις δακρύων· ἀλλ' ἴθι στέγης ἔσω.
ΟΙ. πειστέον, κεἰ μηδὲν ἡδύ. ΚΡ. πάντα γὰρ καιρῷ καλά.
ΟΙ. οἶσθ' ἐφ' οἷς οὖν εἶμι; ΚΡ. λέξεις, καὶ τότ' εἴσομαι κλύων.
ΟΙ. γῆς μ' ὅπως πέμψεις ἄποικον. ΚΡ. τοῦ θεοῦ μ' αἰτεῖς δόσιν.
ΟΙ. ἀλλὰ θεοῖς γ' ἔχθιστος ἥκω. ΚΡ. τοιγαροῦν τεύξει τάχα.
ΟΙ. φῂς τάδ' οὖν; ΚΡ. ἃ μὴ φρονῶ γὰρ οὐ φιλῶ λέγειν μάτην.
ΟΙ. ἄπαγέ νύν μ' ἐντεῦθεν ἤδη. ΚΡ. στεῖχέ νυν, τέκνων δ' ἀφοῦ.
ΟΙ. μηδαμῶς ταύτας γ' ἕλῃ μου. ΚΡ. πάντα μὴ βούλου κρατεῖν·
καὶ γὰρ ἁκράτησας οὔ σοι τῷ βίῳ συνέσπετο.
ΧΟ. ὦ πάτρας Θήβης ἔνοικοι, λεύσσετ', Οἰδίπους ὅδε,
ὃς τὰ κλείν' αἰνίγματ' ᾔδει καὶ κράτιστος ἦν ἀνήρ,
πᾶς ὃν ἐζήλου πολιτῶν καὶ τύχαις ἐπέβλεπον,
εἰς ὅσον κλύδωνα δεινῆς συμφορᾶς ἐλήλυθεν.
ὥστε θνητὸν ὄντ' ἐκείνην τὴν τελευταίαν χρεὼν
ἡμέραν ἐπισκοποῦντα μηδέν' ὀλβίζειν, πρὶν ἂν
τέρμα τοῦ βίου περάσῃ μηδὲν ἀλγεινὸν παθών.

---

1497. *ἔπεφνε] ἔπεφνεν 1504. φυτεύσαμεν sine coronide. 1505. περιίδῃς Dawesius] παρίδῃς 1506. ἐκγενεῖς D.] ἐγγενεῖς. Codex a m. pr. ἐνγενεῖσ, cum apostropho super ν. 1508. οἴκτισόν σφασ hoc accentu, deleto qui super σφας positus fuerat gravi. 1512. ηὔχθω μόνον D.] εὔχεσθέ μοι, quod primo εὔχεσθαί μοι scriptum fuit in codice. 1513. ἐᾷ D.] ἀεὶ 1515. ἐξήκεισ m. ant. pro ἐξήκησ. 1517. εἶμι Brunckius] εἰμί

1518. πέμψεις] πέμψηισ corr. ἄποικον] ἀπ' οἴκων, ου a m. recentissima 1521. ἄπαγέ νυν — στεῖχέ νυν Brunckius] ἄπαγε νῦν — στεῖχε νῦν 1525. ᾔδει] ἤδη (ει superscr.) 1526. πᾶς ὃν ἐζήλου πολιτῶν καὶ τύχαις ἐπέβλεπον D.] ὅστις οὐ ζήλῳ πολιτῶν καὶ τύχαις ἐπιβλέπων 1528. ὄντ' ἐκείνην] ὄντα κείνην, ἐ ante κ inserto ab S. χρεὼν Nauckius] ἰδεῖν 1529. μηδέν' ὀλβίζειν πρὶν ἂν] Quattuor vocabula, quae super versum scripta fuerant, erasa. In marg. ab S γρ. πάντα προσδοκᾶν ἕωσ ἄν.

# ΣΟΦΟΚΛΕΟΥΣ ΟΙΔΙΠΟΥΣ ΕΠΙ ΚΟΛΩΝΩι.

## ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ

| | |
|---|---|
| ΟΙΔΙΠΟΥΣ. | ΘΗΣΕΥΣ. |
| ΑΝΤΙΓΟΝΗ. | ΚΡΕΩΝ. |
| ΞΕΝΟΣ. | ΠΟΛΥΝΕΙΚΗΣ. |
| ΧΟΡΟΣ ΑΤΤΙΚΩΝ ΓΕΡΟΝΤΩΝ. | ΑΓΓΕΛΟΣ. |
| ΙΣΜΗΝΗ. | |

## ΥΠΟΘΕΣΙΣ.[a]

Ὁ ἐπὶ Κολωνῷ Οἰδίπους συνημμένος πώς ἐστι τῷ ΤΥΡΑΝΝΩΙ. τῆς γὰρ πατρίδος ἐκπεσὼν ὁ Οἰδίπους ἤδη γεραιὸς ὢν ἀφικνεῖται εἰς Ἀθήνας, ὑπὸ τῆς θυγατρὸς Ἀντιγόνης χειραγωγούμενος· ἦσαν γὰρ[b] τῶν ἀρσένων περὶ τὸν πατέρα φιλοστοργότεραι. ἀφικνεῖται δὲ εἰς Ἀθήνας κατὰ πυθόχρηστον, ὡς αὐτός φησι, χρησθὲν αὐτῷ παρὰ ταῖς σεμναῖς καλουμέναις θεαῖς μεταλλάξαι τὸν βίον. τὸ μὲν οὖν πρῶτον γέροντες ἐγχώριοι, ἐξ ὧν ὁ χορὸς συνέστηκε, πυθόμενοι συνέρχονται καὶ διαλέγονται πρὸς αὐτόν. ἔπειτα δὲ Ἰσμήνη παραγενομένη τὰ κατὰ τὴν στάσιν ἀπαγγέλλει τῶν παίδων καὶ τὴν γενομένην ἄφιξιν τοῦ Κρέοντος πρὸς αὐτόν· ὃς καὶ παραγενόμενος ἐπὶ τῷ ἀγαγεῖν αὐτὸν εἰς τοὐπίσω ἄπρακτος ἀπαλλάττεται. ὁ δὲ πρὸς τὸν Θησέα διελθὼν τὸν χρησμὸν οὕτω τὸν βίον καταστρέφει παρὰ ταῖς θεαῖς.

Τὸ δὲ δρᾶμα τῶν θαυμαστῶν· ὃ καὶ ἤδη γεγηρακὼς ὁ Σοφοκλῆς ἐποίησε, χαριζόμενος οὐ μόνον τῇ πατρίδι, ἀλλὰ καὶ τῷ ἑαυτοῦ δήμῳ (ἦν γὰρ Κολωνῆθεν), ὥστε τὸν μὲν δῆμον ἐπίσημον ἀποδεῖξαι, χαρίσασθαι δὲ καὶ τὰ μέγιστα τοῖς Ἀθηναίοις, δι᾽ ὧν ἀπορθήτους ἔσεσθαι καὶ τῶν ἐχθρῶν αὐτοὺς κρατήσειν ὑποτίθεται ὁ Οἰδίπους, προαναφωνῶν καὶ ὅτι διαστασιάσουσι πρὸς Θηβαίους ποτὲ καὶ τούτων κρατήσουσιν ἐκ χρησμῶν διὰ τὸν τάφον αὐτοῦ.

Ἡ σκηνὴ τοῦ δράματος ὑπόκειται ἐν τῇ Ἀττικῇ ἐν τῷ ἱππίῳ Κολωνῷ, πρὸς τῷ ναῷ τῶν σεμνῶν. ὁ δὲ χορὸς συνέστηκεν ἐξ Ἀθηναίων ἀνδρῶν. προλογίζει Οἰδίπους.

---

[a] De argumenti expositionibus his, quas codici Laurentiano debemus, vide quae in annotationibus ad scholia diximus vol. 2. p. 14—18.

[b] ἦσαν γὰρ] Excidisse videtur αἱ θυγατέρες, nisi negligentius locutus hoc ex praecedente τῆς θυγατρὸς colligi voluit, pro quo Brunckius μιᾶς τῶν θυγατέρων scripsit, ut infra legitur in Argumento Salustii.

## Α Λ Λ Ω Σ.

Τὸν ἐπὶ Κολωνῷ Οἰδίποδα ἐπὶ τετελευτηκότι τῷ πάππῳ Σοφοκλῆς ὁ υἱδοῦς ἐδίδαξεν, υἱὸς ὢν Ἀρίστωνος, ἐπὶ ἄρχοντος Μίκωνος[a], ὅς ἐστι τέταρτος ἀπὸ Καλλίου, ἐφ' οὗ φασιν οἱ πλείους τὸν Σοφοκλέα τελευτῆσαι. σαφὲς δὲ τοῦτ' ἐστὶν ἐξ ὧν ὁ μὲν Ἀριστοφάνης ἐν τοῖς Βατράχοις ἐπὶ Καλλίου ἀνάγει τοὺς τραγικοὺς ὑπὲρ γῆς, ὁ δὲ Φρύνιχος ἐν Μούσαις, ἃς συγκαθῆκε τοῖς Βατράχοις, φησὶν οὕτως

μάκαρ Σοφοκλέης, ὃς πολὺν χρόνον βιοὺς
ἀπέθανεν, εὐδαίμων ἀνὴρ καὶ δεξιός,
πολλὰς ποιήσας καὶ καλὰς τραγῳδίας,
καλῶς δ' ἐτελεύτησ', οὐδὲν ὑπομείνας κακόν.

ἐπὶ δὲ τῷ λεγομένῳ ἱππίῳ Κολωνῷ τὸ δρᾶμα κεῖται. ἔστι γὰρ καὶ ἕτερος Κολωνὸς ἀγοραῖος πρὸς τῷ Εὐρυσακείῳ, πρὸς ᾧ οἱ μισθαρνοῦντες προειστήκεισαν, ὥστε καὶ τὴν παροιμίαν ἐπὶ τοῖς καθυστερίζουσι τῶν καιρῶν διαδοθῆναι

ὄψ' ἦλθες, ἀλλ' ἐς τὸν Κολωνὸν ἴεσο.

μνημονεύει τῶν δυεῖν Κολωνῶν Φερεκράτης ἐν Πετάλῃ διὰ τούτων

οὗτος, πόθεν ἦλθες; Ἐς Κολωνὸν ἱέμην,
οὐ τὸν ἀγοραῖον, ἀλλὰ τὸν τῶν ἱππέων.

---

a ἐπὶ ἄρχοντος Μίκωνος] olymp. 94, 3.

---

## ΣΑΛΟΥΣΤΙΟΥ ΥΠΟΘΕΣΙΣ.

Τὰ πραχθέντα περὶ τὸν Οἰδίποδα ἴσμεν ἅπαντα τὰ ἐν τῷ ἑτέρῳ Οἰδίποδι. πεπήρωται γὰρ καὶ ἀφῖκται εἰς τὴν Ἀττικὴν, ὁδηγούμενος ἐκ μιᾶς τῶν θυγατέρων, Ἀντιγόνης. καὶ ἔστιν ἐν τῷ τεμένει τῶν σεμνῶν, ὅ ἐστιν ἐν τῷ καλουμένῳ ἱππίῳ Κολωνῷ, οὕτω κληθέντι, ἐπεὶ καὶ Ποσειδῶνός ἐστιν ἱερὸν ἱππίου καὶ Προμηθέως, καὶ αὐτοῦ οἱ ὀρεωκόμοι ἵστανται· ἔστι γὰρ αὐτῷ πυθόχρηστον ἐνταῦθα δεῖν αὐτὸν ταφῆς τυχεῖν· οὗ μή ἐστιν ἑτέρῳ βεβήλῳ τόπος, αὐτόθι κάθηται· καὶ κατὰ μικρὸν αὐτῷ τὰ τῆς ὑποθέσεως προέρχεται. ὁρᾷ γάρ τις αὐτὸν τῶν ἐντεῦθεν, καὶ πορεύεται ἀγγελῶν ὅτι τις ἄρα τῷ χωρίῳ τούτῳ προσκάθηται. καὶ ἔρχονται οἱ ἐν τῷ τόπῳ ἐν χοροῦ σχήματι, μαθησόμενοι τὰ πάντα. πρῶτος οὖν ἐστι καταλύων τὴν ὁδοιπορίαν, καὶ τῇ θυγατρὶ διαλεγόμενος. ἄφατος δέ ἐστι καθόλου ἡ οἰκονομία ἐν τῷ δράματι, ὡς οὐδενὶ ἄλλῳ σχεδόν.

---

ΟΙΔΙΠΟΥΣ.

Τέκνον τυφλοῦ γέροντος Ἀντιγόνη, τίνας
χώρους ἀφίγμεθ', ἢ τίνων ἀνδρῶν πόλιν;
τίς τὸν πλανήτην Οἰδίπουν καθ' ἡμέραν
τὴν νῦν σπανιστοῖς δέξεται δωρήμασιν,
σμικρὸν μὲν ἐξαιτοῦντα, τοῦ σμικροῦ δ' ἔτι
μεῖον φέροντα, καὶ τόδ' ἐξαρκοῦν ἐμοί·
στέργειν γὰρ αἱ πάθαι με χὠ χρόνος ξυνὼν
μακρὸς διδάσκει καὶ τὸ γενναῖον τρίτον.
ἀλλ', ὦ τέκνον, θάκησιν εἴ τινα βλέπεις
ἢ πρὸς βεβήλοις ἢ πρὸς ἄλσεσιν θεῶν,
στῆσόν με κἀξίδρυσον, ὡς πυθώμεθα
ὅπου ποτ' ἐσμέν· μανθάνειν γὰρ ἥκομεν
ξένοι πρὸς ἀστῶν, ἃν δ' ἀκούσωμεν τελεῖν.

ΑΝΤΙΓΟΝΗ.

πάτερ ταλαίπωρ' Οἰδίπους, πύργοι μὲν οἳ
πόλιν στέγουσιν, ὡς ἀπ' ὀμμάτων, πρόσω·
χῶρος δ' ὅδ' ἱρός, ὡς ἀπεικάσαι, βρύων
δάφνης, ἐλάας, ἀμπέλου· πυκνόπτεροι δ'
εἴσω κατ' αὐτὸν εὐστομοῦσ' ἀηδόνες·
οὗ κῶλα κάμψον τοῦδ' ἐπ' ἀξέστου πέτρου·

---

5. *σμικροῦ] μικροῦ 9. θάκησιν Seidlerus] θάκοισιν 11. πυθώμεθα Brunckius] πυθοίμεθα 13. ἃν δ' Elmsleius] ʽἄν, omisso δ'. 16. ἀπεικάσαι] ἀφεικάσαι, π ab S superscripto. 17. δ' in initio proximi versus pariterque in aliis locis ubi vocalis in fine versus elisa est.

μακρὰν γὰρ ὡς γέροντι προυστάλης ὁδόν.
ΟΙ. κάθιζέ νύν με καὶ φύλασσε τὸν τυφλόν.
ΑΝ. χρόνου μὲν οὕνεκ' οὐ μαθεῖν με δεῖ τόδε.
ΟΙ. ἔχεις διδάξαι δή μ' ὅποι καθέσταμεν;
ΑΝ. τὰς γοῦν Ἀθήνας οἶδα, τὸν δὲ χῶρον οὔ.
ΟΙ. πᾶς γάρ τις ηὔδα τοῦτό γ' ἡμῖν ἐμπόρων.
ΑΝ. ἀλλ' ὅστις ὁ τόπος ἦ μάθω μολοῦσά ποι;
ΟΙ. ναί, τέκνον, εἴπερ ἐστί γ' ἐξοικήσιμος.
ΑΝ. ἀλλ' ἐστὶ μὴν οἰκητός. οἴομαι δὲ δεῖν
οὐδέν· πέλας γὰρ ἄνδρα τόνδε νῷν ὁρῶ.
ΟΙ. ἦ δεῦρο προσστείχοντα κἀξορμώμενον;
ΑΝ. καὶ δὴ μὲν οὖν παρόντα· χὤ τι σοι λέγειν
εὔκαιρόν ἐστιν ἔννεφ', ὡς ἀνὴρ ὅδε.
ΟΙ. ὦ ξεῖν', ἀκούων τῆσδε τῆς ὑπέρ τ' ἐμοῦ
αὑτῆς θ' ὁρώσης οὕνεχ' ἡμῖν αἴσιος
σκοπὸς προσήκεις ὧν ἀδηλοῦμεν φράσαι —

ΞΕΝΟΣ.

πρὶν νῦν τὰ πλείον' ἱστορεῖν, ἐκ τῆσδ' ἕδρας
ἔξελθ'· ἔχεις γὰρ χῶρον οὐχ ἁγνὸν πατεῖν.
ΟΙ. τίς δ' ἔσθ' ὁ χῶρος; τοῦ θεῶν νομίζεται;
ΞΕ. ἄθικτος οὐδ' οἰκητός· αἱ γὰρ ἔμφοβοι
θεαί σφ' ἔχουσι, Γῆς τε καὶ Σκότου κόραι.
ΟΙ. τίνων τὸ σεμνὸν ὄνομ' ἂν εὐξαίμην κλύων;
ΞΕ. τὰς πάνθ' ὁρώσας Εὐμενίδας ὅ γ' ἐνθάδ' ἂν
εἴποι λεώς νιν· ἄλλα δ' ἀλλαχοῦ καλά.
ΟΙ. ἀλλ' ἵλεῳ μὲν τὸν ἱκέτην δεξαίατο·
ὡς οὐχ ἕδρας γῆς τῆσδ' ἂν ἐξέλθοιμ' ἔτι.
ΞΕ. τί δ' ἐστὶ τοῦτο; ΟΙ. ξυμφορᾶς ξύνθημ' ἐμῆς.
ΞΕ. ἀλλ' οὐδ' ἐμοί τοι τοὐξανιστάναι πόλεως
δίχ' ἐστὶ θάρσος, πρίν γ' ἂν ἐνδείξω τί δρῶ.
ΟΙ. πρός νυν θεῶν, ὦ ξεῖνε, μή μ' ἀτιμάσῃς,
τοιόνδ' ἀλήτην, ὧν σε προστρέπω φράσαι.
ΞΕ. σήμαινε, κοὐκ ἄτιμος ἔκ γ' ἐμοῦ φανεῖ.
ΟΙ. τίς δ' ἔσθ' ὁ χῶρος δῆτ' ἐν ᾧ βεβήκαμεν;
ΞΕ. ὅσ' οἶδα κἀγὼ πάντ' ἐπιστήσει κλύων.
χῶρος μὲν ἱρὸς πᾶς ὅδ' ἔστ'· ἔχει δέ νιν
σεμνὸς Ποσειδῶν· ἐν δ' ὁ πυρφόρος θεὸς
Τιτὰν Προμηθεύς· ὃν δ' ἐπιστείβεις τόπον
χθονὸς καλεῖται τῆσδε χαλκόπους ὀδός,
ἔρεισμ' Ἀθηνῶν· οἱ δὲ πλησίοι γύαι
τόνδ' ἱππότην Κολωνὸν εὔχονται σφίσιν
ἀρχηγὸν εἶναι, καὶ φέρουσι τοὔνομα
τὸ τοῦδε κοινὸν πάντες ὠνομασμένοι.
τοιαῦτά σοι ταῦτ' ἐστίν, ὦ ξέν', οὐ λόγοις
τιμώμεν', ἀλλὰ τῇ ξυνουσίᾳ πλέον.
ΟΙ. ἦ γάρ τινες ναίουσι τούσδε τοὺς τόπους;
ΞΕ. καὶ κάρτα, τοῦδε τοῦ θεοῦ γ' ἐπώνυμοι.
ΟΙ. ἄρχει τις αὐτῶν, ἢ 'πὶ τῷ πλήθει λόγος;
ΞΕ. ἐκ τοῦ κατ' ἄστυ βασιλέως τάδ' ἄρχεται.
ΟΙ. οὗτος δὲ τίς λόγῳ τε καὶ σθένει κρατεῖ;
ΞΕ. Θησεὺς καλεῖται, τοῦ πρὶν Αἰγέως τόκος.
ΟΙ. ἆρ' ἄν τις αὐτῷ πομπὸς ἐξ ὑμῶν μόλοι;
ΞΕ. ὡς πρὸς τί, λέξων ἢ καταρτύσων, παρῇ;
ΟΙ. ὡς ἂν προσαρκῶν σμικρὰ κερδάνῃ μέγα.
ΞΕ. καὶ τίς πρὸς ἀνδρὸς μὴ βλέποντος ἄρκεσις;
ΟΙ. ὅσ' ἂν λέγωμεν πάνθ' ὁρῶντα λέξομεν.
ΞΕ. οἶσθ', ὦ ξέν', ὡς νῦν μὴ σφαλῇς; ἐπείπερ εἶ
γενναῖος, ὡς ἰδόντι, πλὴν τοῦ δαίμονος,
αὐτοῦ μέν', οὗπερ κἀφάνης, ἕως ἐγὼ
τοῖς ἐνθάδ' αὐτοῦ, μὴ κατ' ἄστυ, δημόταις
λέξω τάδ' ἐλθών. οἵδε γὰρ κρινοῦσί σοι
εἰ χρή σε μίμνειν, ἢ πορεύεσθαι πάλιν.
ΟΙ. ὦ τέκνον, ἦ βέβηκεν ἡμὶν ὁ ξένος;
ΑΝ. βέβηκεν, ὥστε πᾶν ἐν ἡσύχῳ, πάτερ,
ἔξεστι φωνεῖν, ὡς ἐμοῦ μόνης πέλας.
ΟΙ. ὦ πότνιαι δεινῶπες, εὖτε νῦν ἕδρας
πρώτων ἐφ' ὑμῶν τῆσδε γῆς ἔκαμψ' ἐγώ,
Φοίβῳ τε κἀμοὶ μὴ γένησθ' ἀγνώμονες,
ὅς μοι, τὰ πόλλ' ἐκεῖν' ὅτ' ἐξέχρη κακά,
ταύτην ἔλεξε παῦλαν ἐν χρόνῳ μακρῷ,
ἐλθόντι χώραν τερμίαν, ὅπου θεῶν
σεμνῶν ἕδραν λάβοιμι καὶ ξενόστασιν,
ἐνταῦθα κάμψειν τὸν ταλαίπωρον βίον,
κέρδη μὲν οἰκήσαντα τοῖς δεδεγμένοις,
ἄτην δὲ τοῖς πέμψασιν, οἵ μ' ἀπήλασαν·
σημεῖα δ' ἥξειν τῶνδέ μοι παρηγγύα,
ἢ σεισμόν, ἢ βροντήν τιν', ἢ Διὸς σέλας.
ἔγνωκα μέν νυν ὥς με τήνδε τὴν ὁδὸν
οὐκ ἔσθ' ὅπως οὐ πιστὸν ἐξ ὑμῶν πτερὸν
ἐξήγαγ' ἐς τόδ' ἄλσος. οὐ γὰρ ἄν ποτε
πρώταισιν ὑμῖν ἀντέκυρσ' ὁδοιπορῶν,
νήφων ἀοίνοις, κἀπὶ σεμνὸν ἑζόμην
βάθρον τόδ' ἀσκέπαρνον. ἀλλά μοι, θεαί,
βίου κατ' ὀμφὰς τὰς Ἀπόλλωνος δότε
πέρασιν ἤδη καὶ καταστροφήν τινα,
εἰ μὴ δοκῶ τι μειόνως ἔχειν, ἀεὶ
μόχθοις λατρεύων τοῖς ὑπερτάτοις βροτῶν.

---

21. νυν praeeunte Brunckio aliisque hic et 49. 96. 173. 188. 1333. pro νῦν, quod est in codice.
25. *τοῦτό γ'] τοῦτον 28. δεῖν] εἶ ex η factum.
30. προσστείχοντα D.] προστείχοντα 32. ἔννεφ']
φ
ἔννεπ', φ a m. pr. 34. *αὑτῆς] αὐτῆς *θ'] om. *οὕνεχ'] οὕνεκ' 35. ὧν Elmsleius] τῶν
χ
ἀδηλοῦμεν ] ἃ δηλοῦμεν ab S. 37. οὐχ] οὐκ
40. *Σκότου] σκότουσ 42. ἂν Vauvillersius] ὧν
43. εἴποι] Praescripta litera χ, ab S. ut videtur.
44. *ἵλεῳ] ἵλεως τὸν editor Londinensis a. 1747.] τόνδ' 45. ὡς Elmsleius] ὥστ' 47. οὐδ' ἐμοί Seidlerus] οὐδ' ἐμόν. Apostrophus et spiritus super ἐ a m. recentiore. 51. *ἄτιμος ἔκ γ'] ἄτιμοσ (nullo super o accentu) γ' ἔκ γ'. φανεῖ] φανῆι pariterque ηι pro ει 53. 205. 269. 290. 583. 584. 586. 804. 805. 815. 816. 837. 852. 860. 967. 938. 978. 1009. 1025. 1106. 1155. 1197. 1273. 1284. 1374. 1527.
52. δ' om. apogr. unum. 54. ἱρὸς D.] ἱερὸς
57. ὀδὸς Brunckius] ὁδὸς 58. οἱ δὲ πλησίοι γύαι] γρ. αἱ δὲ πλησίον γύαι ab S. 61. *ὠνομασμένοι cum scholiasta] ὠνομασμένον

ω
63. πλέον, ω a m. pr. 66. *τις] τίς 69. Hic versus in margine additus ab eadem, ut videtur, manu, etsi atramento alio. Versum omissum non animadvertit qui lineolis, quibus personarum vices indicat manus prima, ipsa nomina substituit: qui per versus 70—75. Ξένῳ Oedipi et Oedipo Ξένου verba tribuit, sed postmodo in rectam viam rediit.
70. *ἄν τις] οὖν τίσ 71. πρὸς τί] προστί παρῇ D.] μόλοι 72. σμικρὰ Elmsleius] μικρὰ 78. τοῖς Brunckius] τοῖσδ' 79. σοι] Superscriptum γε a m. pr., ut videri potest, sed atramento alio. 80. εἰ Turnebus] ἢ 85. γῆς] γυῖ' Burgesius. 86. γέ-
ε
νησθ', ε ab alia m. antiqua. 90. Versus in margine additus ab eadem, ut videtur, manu, sed atramento alio. ξενόστασιν] γρ. καὶ κατάστασιν S.
92. οἰκήσαντα] *οἰκήσοντα 94. *παρηγγύα] παρεγγύα
98. ἐς pro εἰς, quod est in codice, restitui in praepositione simplici et verbis cum ea compositis hoc loco et 415. 567. 712. 739. 754. 800. 801. 834. 915. 165. 981. 1028. 1333. 1368. 1416. 1440. 1530. 1537. 1600. ante literas consonantes. 99. ὑμῖν] ὑμῶν. Correctum ex scholiasta et Suidae (s. v. νηφάλιος θυσία) libris deterioribus. Nam meliores in ὑμῶν consentiunt.

ἴτ', ὦ γλυκεῖαι παῖδες ἀρχαίου Σκότου,
ἴτ', ὦ μεγίστης Παλλάδος καλούμεναι
πασῶν Ἀθῆναι τιμιωτάτη πόλις,
οἰκτείρατ' ἀνδρὸς Οἰδίπου τόδ' ἄθλιον
εἴδωλον· οὐ γὰρ δὴ τόδ' ἀρχαῖον δέμας.
ΑΝ. σίγα. πορεύονται γὰρ οἵδε δή τινες
χρόνῳ παλαιοί, σῆς ἕδρας ἐπίσκοποι.
ΟΙ. σιγήσομαί τε καὶ σύ μ' ἐξ ὁδοῦ ποιῶν
κρύψον κατ' ἄλσος, τῶνδ' ἕως ἂν ἐκμάθω
τίνας λόγους ἐροῦσιν. ἐν γὰρ τῷ μαθεῖν
ἔνεστιν ηὑλάβεια τῶν ποιουμένων.

ΧΟΡΟΣ.

ὅρα· τίς ἄρ' ἦν; ποῦ ναίει;
ποῦ κυρεῖ ἐκτόπιος συθεὶς ὁ πάντων
ὁ πάντων ἀκορέστατος;
προσπεύθου, λεῦσσέ νιν,
προσδέρκου πανταχῆ.
πλανάτας πλανάτας τις ὁ πρέσβυς, οὐδ'
ἔγχωρος· προσέβα γὰρ οὐκ
ἄν ποτ' ἀστιβὲς ἄλσος ἐς
τᾶνδ' ἀμαιμακετᾶν κορᾶν,
ἃς τρέμομεν λέγειν
καὶ παραμειβόμεσθ' ἀδέρκτως,
ἀφώνως, ἀλόγως τὸ τᾶς
εὐφάμου στόμα φροντίδος
ἱέντες, τὰ δὲ νῦν τιν' ἥκειν
λόγος οὐδὲν ἅζονθ',
ὃν ἐγὼ λεύσσων περὶ πᾶν οὔπω
δύναμαι τέμενος
γνῶναι ποῦ μοί ποτε ναίει.
ΟΙ. ὅδ' ἐκεῖνος ἐγώ· φωνῇ γὰρ ὁρῶ,
τὸ φατιζόμενον.
ΧΟ. ἰὼ ἰώ,
δεινὸς μὲν ὁρᾶν, δεινὸς δὲ κλύειν.
ΟΙ. μή μ', ἱκετεύω, προσίδητ' ἄνομον.
ΧΟ. Ζεῦ ἀλεξῆτορ, τίς ποθ' ὁ πρέσβυς;
ΟΙ. οὐ πάνυ μοίρας εὐδαιμονίσαι
πρώτης, ὦ τῆσδ' ἔφοροι χώρας.
δηλῶ δ'· οὐ γὰρ ἂν ὧδ' ἀλλοτρίοις
ὄμμασιν εἷρπον
κἀπὶ σμικροῖς μέγας ὥρμουν.
ΧΟ. ἐή, ἀλαῶν ὀμμάτων.
ἆρα καὶ ἦσθα φυτάλμιος δυσαίων;
μακραίων γ', ὅσ' ἐπεικάσαι.
ἀλλ' οὐ μὰν ἔν γ' ἐμοὶ
προσθήσεις τάσδ' ἀράς.
περᾷς γὰρ περᾷς· ἀλλ' ἵνα τῷδ' ἐν ἀ-
φθέγκτῳ μὴ προπέσῃς νάπει
ποιάεντι, κάθυδρος οὗ
κρατὴρ μειλιχίων ποτῶν
ῥεύματι συντρέχει,
τῶν, ξένε πάμμορ', εὖ φύλαξαι,
μετάσταθ', ἀπόβαθι. πολ-
λὰ κέλευθος ἐρατύοι·
κλύεις, ὦ πολύμοχθ' ἀλᾶτα;
λόγον εἴ τιν' ἴσχεις
πρὸς ἐμὰν λέσχαν, ἀβάτων ἀποβάς,
ἵνα πᾶσι νόμος,
φώνει· πρόσθεν δ' ἀπερύκου.
ΟΙ. θύγατερ, ποῖ τις φροντίδος ἔλθῃ;
ΑΝ. ὦ πάτερ, ἀστοῖς ἴσα χρὴ μελετᾶν,
εἴκοντας ἃ δεῖ καὶ ἀκούοντας.
ΟΙ. πρόσθιγέ νύν μου. ΑΝ. ψαύω καὶ δή.
ΟΙ. ὦ ξεῖνοι, μὴ δῆτ' ἀδικηθῶ
σοὶ πιστεύσας μεταναστάς.
ΧΟ. οὔ τοι μήποτέ σ' ἐκ τῶνδ' ἑδράνων,
ὦ γέρον, ἄκοντά τις ἄξει.
ΟΙ. προβῶ; ΧΟ. ἐπίβαινε πόρσω.
ΟΙ. ἔτι; ΧΟ. προβίβαζε, κούρα,
πόρσω· σὺ γὰρ ἀΐεις.
ΑΝ. ἕπεο μὰν ἕπε' ὧδ' ἀμαυρῷ
κώλῳ, πάτερ, ᾇ σ' ἄγω.
ΟΙ. ⏑ –́ – –
ΑΝ. ⏑́ ⏑ ⏑ –́ ⏑ ⏑ – ⏑ –́
⏑ –́ –́ ⏑ ⏑ – ⏑ –́
ΟΙ. –́ – –́ ⏑ ⏑ – –
ΧΟ. τόλμα ξεῖνος ἐπὶ ξένης,
ὦ τλάμων, ὅ τι καὶ πόλις
τέτροφεν ἄφιλον ἀποστυγεῖν
καὶ τὸ φίλον σέβεσθαι.
ΟΙ. ἄγε νυν σύ με, παῖ,
ἵν' ἂν εὐσεβίας ἐπιβαίνοντες
τὸ μὲν εἴποιμεν, τὸ δ' ἀκούσαιμεν,
καὶ μὴ χρείᾳ πολεμῶμεν.
ΧΟ. αὐτοῦ· μηκέτι τοῦδ' ἀντιπέτρου
βήματος ἔξω πόδα κλίνῃς.
ΟΙ. οὕτως; ΧΟ. ἅλις, ὡς ἀκούεις.
ΟΙ. ἦ 'σθῶ; ΧΟ. λέχριός γ' ἐπ' ἄκρου

117—137. = 149—169.

178—186. — 194—206.

---

113. σιγήσομαί τε] σιγήσομαι 'γὼ Bergkius. ποιῶν D.] πόδα 114. τῶνδ'] δ' ab S. 121. προσπεύθου, λεῦσσέ νιν, προσδέρκου πανταχῆ Hermannus] λεύσατ' αὐτὸν, προσδέρκου, προσπεύθου πανταχῆ 125. ἔγχωρος Bothius] ἐγχώριος 128. ἀμαιμακετᾶν Hermannus] ἀμαιμακέταν 132. εὐφάμου D.] εὐφήμου 135. λεύσσων] λεύσων, ut plerumque: sed λεύσσων 869. 138. *ἐκεῖνος] ἐκεῖνος ὁρᾶν 140. Lineola, mutatae personae index, quam manus prima ante ἰὼ ἰώ posuerat, secunda delevit proximoque versui praescripsit χ (o superscr.). 143. *ἀλεξῆτορ] ἀλεξήτωρ 146. *ἂν] om. 148. ὥρμουν] ὥρμων corr. a m. recentiore. 149. ἐή D,] ἒ ἔ 152. γ' D.] τέ θ' ὅσ' Bothius] ὡς 154. ἀράς] Post ρ duae literae erasae. Videtur ἀρετάς fuisse. 155. *ἀφθέγκτῳ] ἀφέγκτωι 156. προπέσῃς Hermannus] προσπέσῃς

159. *ποτῶν] πότων 163. ἐρατύοι Musgravius] ἐρατύει 166. ἴσχεις Reisigius] ἔχεισ, cui οἴσεισ superscr. a m. recentiore. 167. ἀβάτων] ἀποβάντων pr., erasis literis πο et ν. 170. *ἔλθῃ] ἔλθοι

171. Lineolam huic versui praefixam in χ (o superscr.) mutavit m. secunda, hic et v. 173. ante ψαύω. 172. καὶ Musgravius] κοὐκ 174. *ξεῖνοι] ξένοι 175. μεταναστάς Hermannus] καὶ μεταναστάς 179. προβῶ Hermannus] ἔτ' οὖν ἔτι προβῶ. πόρσω Bothius] πρόσω 180. *ΧΟ.] om. *προβίβαζε] προσβίβαζε 181. πόρσω D.] πρόσω 182. ἕπεο μὰν ἕπε'] ἔσπεο μ' ἂν ἔσπε', sed in marg. ἕπεο μοι

183. ᾇ σ'] ᾶς pr. Correxit S. Quattuor versuum defectum indicavit versuique 184. ΧΟ. praefixit Hermannus. 184. ξένης Bothius] ξείνης 185. τλάμων Bothius] τλᾶμον (τλάμον pr.) 189. *εὐσεβίας] εὐσεβείας (ω superscr.) 190. καὶ ante τὸ μὲν erasum. εἴποιμεν — ἀκούσαιμεν, ω utroque a m. pr. superscripto.

191. *χρείᾳ] χρεῖα 193. κλίνῃς] κλίνῆισ, accentu super ι recentiore. γρ. κινήσηισ S. 194. ΟΙ.] ΑΝ. ΧΟ.] Hoc a m. secunda habet. 195. ἦ 'σθῶ] ἢ σθῶ pr. ἠσθῶ corr. γρ. ἠστῶ (i. e. ἦ στῶ), ὃ καὶ βέλτιον S. Suspecta novitia aoristi forma ἐσθῶ, fortasse in κλιθῶ mutanda.

λᾶος βραχὺς ὀκλάσας.
ΑΝ. πάτερ, ἐμὸν τόδ'· ἐν ἁσυχαίᾳ
βάσει βάσιν ἅρμοσαι,
ΟΙ. ἰώ μοί μοι.
ΑΝ. γεραὸν ἐς χέρα σῶμα σὸν
προκλίνας φιλίαν ἐμάν.
ΟΙ. ὤμοι δύσφρονος ἄτας.
ΧΟ. ὦ τλάμων, ὅτε νῦν χαλᾷς,
αὔδασον, τίς ἔφυς βροτῶν;
τίς ὁ πολύπονος ἄγει; τίν' ἂν
σοῦ πατρίδ' ἐκπυθοίμαν;
ΟΙ. ὦ ξένοι,
ἀπόπτολις· ἀλλὰ μὴ
ΧΟ. τί τόδ' ἀπεννέπεις, γέρον;
ΟΙ. μὴ μὴ μή μ' ἀνέρῃ τίς εἰμι,
μηδ' ἐξετάσῃς πέρα ματεύων.
ΧΟ. τί τόδ'; ΟΙ. αἰνὰ φύσις. ΧΟ. αὔδα.
ΟΙ. τέκνον, ὤμοι, τί γεγώνω;
ΧΟ. τίνος εἶ σπέρματος, ὦ ξένε, φώνει, πατρόθεν;
ΟΙ. ὤμοι ἐγώ, τί πάθω, τέκνον ἐμόν;
ΑΝ. λέγ', ἐπείπερ ἐπ' ἔσχατα βαίνεις.
ΟΙ. ἀλλ' ἐρῶ· οὐ γὰρ ἔχω κατακρυφάν.
ΧΟ. μακρὰ μέλλετον, ἀλλὰ τάχυνε.
ΟΙ. Λαΐου ἴστε τιν' ὄντ'; ΧΟ. ὀοοῦ.
ΟΙ. τό τε Λαβδακιδᾶν γένος; ΧΟ. ὦ Ζεῦ.
ΟΙ. ἄθλιον Οἰδιπόδαν; ΧΟ. σὺ γὰρ ὅδ' εἶ;
ΟΙ. δέος ἴσχετε μηδὲν ὅσ' αὐδῶ.
ΧΟ. ὠὼ ὠώ δύσμορος, ὠώ.
ΟΙ. θύγατερ, τί ποτ' αὐτίκα κύρσει;
ΧΟ. ἔξω πόρσω βαίνετε χώρας.
ΟΙ. ἃ δ' ὑπέσχεο ποῖ καταθήσεις;
ΧΟ. οὐδενὶ μοιριδία τίσις ἔρχεται
ὧν προπάθῃ τὸ τίνειν· ἀπάτα δ' ἀπά-
ταις ἑτέραις ἑτέρα παραβαλλομέ-
να πόνον, οὐ χάριν, ἀντιδίδωσιν ἔ-
χειν. σὺ δὲ τῶνδ' ἑδράνων πάλιν ἔκτοπος
αὖθις ἄφορμος ἐμᾶς χθονὸς ἔκθορε,
μή τι πέρα χρέος
ἐμᾷ πόλει προσάψῃς.
ΑΝ. ὦ ξένοι
αἰδόφρονες, ἀλλ' ἐπεὶ
γεραὸν πατέρα τόνδ' ἐμὸν
οὐκ ἀνέτλατ' ἔργων
ἀκόντων ἀΐοντες αὐδὰν,
ἀλλ' ἐμὲ τὰν μελέαν, ἱκετεύομεν, ὦ ξένοι, οἰκτεί-
πατρὸς ὑπὲρ τοὐμοῦ μόνου ἄντομαι, [ραθ', ἃ
ἄντομαι οὐκ ἀλαοῖς προσορωμένα
ὄμμα σὸν ὄμμασιν, ὥς τις ἀφ' αἵματος
ὑμετέρου προφανεῖσα, τὸν ἄθλιον
αἰδοῦς κῦρσαι· ἐν ὑμῖν ὡς θεῷ [τον χάριν,
κείμεθα τλάμονες. ἀλλ' ἴτε, νεύσατε τὰν ἀδόκη-
πρός σ' ὅ τι σοι φίλον ἐκ σέθεν ἄντομαι,
ἢ τέκνον, ἢ λέχος, ἢ χρέος, ἢ θεός.
οὐ γὰρ ἴδοις ἂν ἀθρῶν βροτὸν ⏑́ ⏑ ⏑
ὅστις ἄν, εἰ θεὸς
ἄγοι, φυγεῖν δύναιτο.
ΧΟ. ἀλλ' ἴσθι, τέκνον Οἰδίπου, σέ τ' ἐξ ἴσου
οἰκτείρομεν καὶ τόνδε συμφορᾶς χάριν·
τὰ δ' ἐκ θεῶν τρέμοντες οὐ σθένοιμεν ἂν
φωνεῖν πέρα τῶν πρὸς σὲ νῦν εἰρημένων.
ΟΙ. τί δῆτα δόξης, ἢ τί κληδόνος καλῆς
μάτην ῥεούσης ὠφέλημα γίγνεται,
εἰ τάς γ' Ἀθήνας φασὶ θεοσεβεστάτας
εἶναι, μόνας δὲ τὸν κακούμενον ξένον
σῴζειν οἵας τε καὶ μόνας ἀρκεῖν ἔχειν;
κἄμοιγε ποῦ ταῦτ' ἐστίν, οἵτινες βάθρων
ἐκ τῶνδέ μ' ἐξάραντες εἶτ' ἐλαύνετε,
ὄνομα μόνον δείσαντες; οὐ γὰρ δὴ τό γε
σῶμ', οὐδὲ τἄργα τἄμ', ἐπεὶ τά γ' ἔργα μου
πεπονθότ' ἐστὶ μᾶλλον ἢ δεδρακότα,
εἴ σοι τὰ μητρὸς καὶ πατρὸς χρείη λέγειν,
ὧν οὕνεκ' ἐκφοβεῖ με. τοῦτ' ἐγὼ καλῶς
ἔξοιδα. καίτοι πῶς ἐγὼ κακὸς φύσιν,
ὅστις παθὼν μὲν ἀντέδρων, ὥστ' εἰ φρονῶν
ἔπρασσον, οὐδ' ἂν ὧδ' ἐγιγνόμην κακός;
νῦν δ' οὐδὲν εἰδὼς ἱκόμην ἵν' ἱκόμην,
ὑφ' ὧν δ' ἔπασχον, εἰδότων ἀπωλλύμην.
ἀνθ' ὧν ἱκνοῦμαι πρὸς θεῶν ὑμᾶς, ξένοι,
ὥσπερ με κἀνεστήσαθ', ὧδε σώσατε,
καὶ μὴ θεοὺς τιμῶντες εἶτα τοὺς θεοὺς
μοίρᾳ ποιεῖσθε μηδαμῶς· ἡγεῖσθε δὲ
βλέπειν μὲν αὐτοὺς πρὸς τὸν εὐσεβῆ βροτῶν,
βλέπειν δὲ πρὸς τοὺς δυσσεβεῖς, φυγὴν δέ του

---

196. λᾶος D.] λάου 197. ἁσυχαίᾳ Hermannus] ἡσυχίᾳ. Verba post ἡσυχίᾳ lecta ἰώ μοί μοι post 198. transposuit et Oedipo tribuit Hermannus. 198. ἅρμοσαι Elmsleius] ἁρμόσαι 200. γεραὸν D.] γεραιὸν 203. ὅτε νῦν] ὅτέ . . . νῦν pr. accentu super ε a m. ant. posito et erasis tribus literis, ε vero diducto ut spatium inter ε et νῦν expleat. 204. τίς ἔφυς] τίσ σ' ἔφυ, annotato non ab S, sed ab alia manu paullo recentiore γρ. τίσ ἔφυσ. 205. τίς ὁ πολύπονος] τίσ ὧν πολύπονοσ, adscripto ab ea quam modo dicebam manu γρ. τίσ ὁ πολύπονοσ. τίν' ἂν Vauvillersius] τίνα 206. σοῦ] σου 210. πέρα]
ι
πέρα 211. τόδ'; αἰνὰ Wunderus] τόδε; δεινὰ αὔδα Antigonae tribuit. 215. ὦ addidit Heathius. ξένε Triclinius] ξεῖνε 217. βαίνεις Triclinius] μένεις 218. κατακρυφάν] Literae κατα a m. ant. supra versum, adscripto in marg. extrema κατακρυφήν. 219. μέλλετον Hermannus] μέλλετ' τάχυνε Elmsleius] ταχύνετε 219. τιν' ὄντ' D.] τιν' ἀπόγονον. ἀπόγονον Reisigius deleverat. 220. ὀοοῦ D.] ὦ ὦ | ἰού 224. ὠὼ — ὠώ D.] ἰὼ ὦ ὦ ὥ. — ὦ ὥ 226. πόρσω Triclinius] πρόσω 227. ὑπέσχεο] ὑπέσχετο, τ radendo in σ converso.
228. *οὐδενὶ μοιριδία] οὐδενί μοι ῥαιδία pr. οὐδενὶ
π
μοίραι διὰ corr. 229. προπάθῃ] προμάθηι, π ab S. 231. * ἑτέρα] ἑτέραι 232. παραβαλλομέναι, sed ι eraso. 233. δέ Triclinius] δ' ἐκ 234. *αὖθις] αὖτις

237. Scholiasta, τὸ τῆς Ἀντιγόνης πρόσωπον ὅλον (i. e. versus 237—253.) καὶ τοῦ χοροῦ τὸ τετράστιχον (i. e. versus 254—257.) ἀθετοῦνται. οὐδὲν δὲ ἐν τοῖς Διδύμου τούτων ὀβελισθὲν εὕρομεν.
238. Inter γεραὸν et πατέρα superscriptum ἀλαὸν ab S. 239. ἔργων] ἔργον pr. 243. τοὐμοῦ μόνου Hermannus] τοῦ μόνου. τοὐμοῦ, sine μόνου, Triclinius. οὐκ ἀλαοῖς] οὐκα . . λοῖσ, α . . in litura trium literarum posito et λοῖσ a m. recentissima inserto. 245. ὥσ τισ a m. pr., ὡστῆσ ab secunda. 247. κῦρσαι Hermannus] κύρσαι ὑμῖν Brunckius] ὑμῖν γὰρ 251. *ἢ τέκνον] ἢ τέκνον λέχος Reiskius] λόγος 252. *ἂν ἀθρῶν] ἀναθρῶν βροτὸν Triclinius] βροτῶν. Trium syllabarum defectum, quae vel in fine versus vel medio in versu exciderunt, indicavit Hermannus. 253. ὅστις] Alterum σ habet ab S. φυγεῖν D.] ἐκφυγεῖν
260. γ' scholiorum editor Romanus] τ' 266. *τἄμ'] τἀμά 268. *χρείη] χρεῖ' ἦι, εῖ in litura pro η ut videtur. 278. μοίρᾳ D.] μοίραις (in apographis aliquot μοίρας vel μοῖραν). In marg. huius versus est ζτ, i. e. ζήτει. Nec certa huius versus emendatio est.

μήπω γενέσθαι φωτὸς ἀνοσίου. τάδ᾽ οὖν
ξυνεὶς σὺ μὴ κάλυπτε τὰς εὐδαίμονας
ἔργοις Ἀθήνας ἀνοσίοις ὑπηρετῶν,
ἀλλ᾽ ὥσπερ ἔλαβες τὸν ἱκέτην ἐχέγγυον,
ῥύου με κἀκφύλασσε· μηδέ μου κάρα
τὸ δυσπρόσοπτον εἰσορῶν ἀτιμάσῃς.
ἥκω γὰρ ἱρὸς εὐσεβής τε καὶ φέρων
ὄνησιν ἀστοῖς τοῖσδ᾽· ὅταν δ᾽ ὁ κύριος
παρῇ τις, ὑμῶν ὅστις ἐστὶν ἡγεμών,
τότ᾽ εἰσακούων πάντ᾽ ἐπιστήσει· τὰ δὲ
μεταξὺ τούτου μηδαμῶς γίγνου κακός.
ΧΟ. ταρβεῖν μέν, ὦ γεραιέ, τἀνθυμήματα
πολλή᾽ στ᾽ ἀνάγκη τἀπὸ σοῦ· λόγοισι γὰρ
οὐκ ὠνόμασται βραχέσι· τοὺς δὲ τῆσδε γῆς
ἄνακτας ἀρκεῖ ταῦτά μοι διειδέναι.
ΟΙ. καὶ ποῦ᾽ σθ᾽ ὁ κραίνων τῆσδε τῆς χώρας, ξένοι;
ΧΟ. πατρῷον ἄστυ γῆς ἔχει· σκοπὸς δέ νιν,
ὃς κἀμὲ δεῦρ᾽ ἔπεμπεν, οἴχεται στελῶν.
ΟΙ. ἦ καὶ δοκεῖτε τοῦ τυφλοῦ τιν᾽ ἐντροπὴν
ἢ φροντίδ᾽ ἕξειν αὐτόν, ὥστ᾽ ἐλθεῖν πέλας;
ΧΟ. [καὶ κάρθ᾽, ὅταν περ τοὔνομ᾽ αἴσθηται τὸ σόν.
ΟΙ. τίς δ᾽ ἔσθ᾽ ὁ κείνῳ τοῦτο τοὔπος ἀγγελῶν;
ΧΟ. μακρὰ κέλευθος· πολλὰ δ᾽ ἐμπόρων ἔπη
φιλεῖ πλανᾶσθαι, τῶν ἐκεῖνος ἀΐων,]
θάρσει, παρέσται. πολὺ γάρ, ὦ γέρον, τὸ σὸν
ὄνομα διήκει πάντας, ὥστε κεἰ βραδὺς
γήρᾳ, κλύων σοῦ δεῦρ᾽ ἀφίξεται ταχύς.
ΟΙ. ἀλλ᾽ εὐτυχὴς ἵκοιτο τῇ θ᾽ αὑτοῦ πόλει
ἐμοί τε. τίς γὰρ ἔσθ᾽ ὃς οὐχ αὑτῷ φίλος;
ΑΝ. ὦ Ζεῦ, τί λέξω; ποῖ φρενῶν ἔλθω, πάτερ;
ΟΙ. τί δ᾽ ἔστι, τέκνον Ἀντιγόνη; ΑΝ. γυναῖχ᾽ ὁρῶ
στείχουσαν ἡμῶν ἆσσον, Αἰτναίας ἐπὶ
πώλου βεβῶσαν· κρατὶ δ᾽ ἡλιοστερὴς
κυνῆ πρόσωπα Θεσσαλίς νιν ἀμπέχει.
τί φῶ;
ἆρ᾽ ἔστιν; ἆρ᾽ οὐκ ἔστιν; ἢ γνώμη πλανᾷ;
καὶ φημὶ κἀπόφημι κοὐκ ἔχω τί φῶ.
τάλαινα,
οὐκ ἔστιν ἄλλη. φαιδρὰ γοῦν ἀπ᾽ ὀμμάτων
σαίνει με προσστείχουσα· σημαίνει δ᾽ ὅτι
μόνης τόδ᾽ ἔστ᾽ ἀδελφὸν Ἰσμήνης κάρα.
ΟΙ. πῶς εἶπας, ὦ παῖ; ΑΝ. παῖδα σήν, ἐμὴν δ᾽ ὁρᾶν
ὅμαιμον· αὐδῇ δ᾽ αὐτίκ᾽ ἔξεστιν μαθεῖν.

ΙΣΜΗΝΗ.

ὦ δισσὰ πατρὸς καὶ κασιγνήτης ἐμοὶ
ἥδιστα προσφωνήμαθ᾽, ὡς ὑμᾶς μόλις
εὑροῦσα λύπῃ δεύτερον μόλις βλέπω.
ΟΙ. ὦ τέκνον, ἥκεις; ΙΣ. ὦ πάτερ δύσμοιρ᾽ ὁρᾶν.
ΟΙ. τέκνον, πέφηνας; ΙΣ. οὐκ ἄνευ μόχθου γέ μοι.
ΟΙ. πρόσψαυσον, ὦ παῖ. ΙΣ. θιγγάνω δυοῖν ὁμοῦ.
ΟΙ. ὦ σπέρμ᾽ ὅμαιμον. ΙΣ. ὦ δύ᾽ ἀθλίω τροφά.
ΟΙ. ἦ τῆσδε κἀμοῦ; ΙΣ. δυσμόρου τ᾽ ἐμοῦ τρίτης.
ΟΙ. τέκνον, τί δ᾽ ἦλθες; ΙΣ. σῇ, πάτερ, προμηθίᾳ.
ΟΙ. πότερα πόθοισι; ΙΣ. καὶ λόγων γ᾽ αὐτάγγελος,
ξὺν ᾧπερ εἶχον οἰκετῶν πιστῷ μόνῳ.
ΟΙ. οἱ δ᾽ αὐθόμαιμοι ποῦ νεανίαι πονεῖν;
ΙΣ. εἴσ᾽ οὗπέρ εἰσι· δεινὰ τἀν κείνοις τανῦν.
ΟΙ. ὦ πάντ᾽ ἐκείνω τοῖς ἐν Αἰγύπτῳ νόμοις
φύσιν κατεικασθέντε καὶ βίου τροφάς·
ἐκεῖ γὰρ οἱ μὲν ἄρσενες κατὰ στέγας
θακοῦσιν ἱστουργοῦντες, αἱ δὲ σύννομοι
τἄξω βίου τροφεῖα πορσύνουσ᾽ ἀεί.
σφῷν δ᾽, ὦ τέκν᾽, οὓς μὲν εἰκὸς ἦν πονεῖν τάδε,
κατ᾽ οἶκον οἰκουροῦσιν ὥστε παρθένοι,
σφὼ δ᾽ ἀντ᾽ ἐκείνων τἀμὰ δυστήνου κακὰ
ὑπερπονεῖτον. ἡ μὲν ἐξ ὅτου νέας
τροφῆς ἔληξε καὶ κατίσχυσεν δέμας,
ἀεὶ μεθ᾽ ἡμῶν δύσμορος πλανωμένη,
γερονταγωγεῖ, πολλὰ μὲν κατ᾽ ἀγρίαν
ὕλην ἄσιτος νηλίπους τ᾽ ἀλωμένη,
πολλοῖσι δ᾽ ὄμβροις ἡλίου τε καύμασι
μοχθοῦσα τλήμων δεύτερ᾽ ἡγεῖται τὰ τῆς
οἴκοι διαίτης, εἰ πατὴρ τροφὴν ἔχοι.
σὺ δ᾽, ὦ τέκνον, πρόσθεν μὲν ἐξίκου πατρὶ
μαντεῖ᾽ ἄγουσα πάντα, Καδμείων λάθρα,
ἃ τοῦδ᾽ ἐχρήσθη σώματος, φύλαξ τέ μου
πιστὴ κατέστης, γῆς ὅτ᾽ ἐξηλαυνόμην·
νῦν δ᾽ αὖ τίν᾽ ἥκεις μῦθον, Ἰσμήνη, πατρὶ
φέρουσα; τίς σ᾽ ἐξῆρεν οἴκοθεν στόλος;
ἥκεις γὰρ οὐ κενή γε, τοῦτ᾽ ἐγὼ σαφῶς
ἔξοιδα, μὴ οὐχὶ δεῖμ᾽ ἐμοὶ φέρουσά τι.
ΙΣ. ἐγὼ τὰ μὲν παθήμαθ᾽ ἅπαθον, πάτερ,
ζητοῦσα τὴν σὴν ποῦ κατοικοίης τροφήν,
παρεῖσ᾽ ἐάσω· δὶς γὰρ οὐχὶ βούλομαι
πονοῦσά τ᾽ ἀλγεῖν καὶ λέγουσ᾽ αὖθις πάλιν.
ἃ δ᾽ ἀμφὶ τοῖν σοῖν δυσμόροιν παίδοιν κακὰ
νῦν ἐστι, ταῦτα σημανοῦσ᾽ ἐλήλυθα.
πρὶν μὲν γὰρ αὐτοῖς ἦν ἔρις Κρέοντί τε
θρόνους ἐᾶσθαι μηδὲ χραίνεσθαι πόλιν,
λόγῳ σκοποῦσι τὴν πάλαι γένους φθοράν,
οἵα κατέσχε τὸν σὸν ἄθλιον δόμον·
νῦν δ᾽ ἐκ θεῶν του κἀξ ἀλιτρίας φρενὸς
εἰσῆλθε τοῖν τρισαθλίοιν ἔρις κακή,
ἀρχῆς λαβέσθαι καὶ κράτους τυραννικοῦ.
χὠ μὲν νεάζων καὶ χρόνῳ μείων γεγὼς

---

281. ἀνοσίου. τάδ᾽ οὖν ξυνεὶς D.] ἀνοσίου βροτῶν. ξὺν οἷς  287. ἱρὸς D.] ἱερὸς  288. κύριος] υ in litura, ρ ex alia litera factum, quae ν fuisse potest, οσ a m. rec. additum.  291. *γίγνου] γίνου
π
294. *τῆσδε] τῆς  298. ἔπεμψεν, π a m. pr.  300. αὐτὸν ὥστ᾽ Porsonus] ἀπόνως τ᾽  301—304 seclusit Henr. Hirzelius in Museo Rhenano a. 1863. vol. 18. p. 306.  302. *δ᾽] om.  307. γήρᾳ D.] εὕδει  308. *θ᾽ αὑτοῦ] τ᾽ αὐτοῦ  309. ἔσθ᾽ ὃς Nauckius] ἐσθλὸς  311. γυναῖχ᾽] γυναῖκ᾽, χ a m. pr. superscr.  312. *ἐπὶ] ἔπι  313. ἡλιοστερὴς] ἡλιοστεγὴς. Coraës in Prodromo Bibl. Gr. p. 298.  315. τί φῶ;]
αι
τί φῶ νιν Hermannus.  316. πλανᾷ] πλανῶ, αι a m. pr.  320. σαίνει] σημαίνει, ει ex η facto a m. pr.  προσστείχουσα D.] προστείχουσα  321. ἔστ᾽ ἀδελφὸν Herwerdenus in Observationibus in Comicos (Lugd. Bat. 1855.) p. 133.] ἐστὶ δῆλον  323. ἔξεστιν] ἐξέσται Blaydesius.  325. *προσφωνήμαθ᾽] προφωνήμαθ᾽

---

327. *δύσμοιρ᾽] δύσμορ᾽  328. μοι] μου pr. ut videtur.  330. ὦ σπέρμ᾽ —] Hic versus legitur post 327. (ὦ τέκνον, ἥκεις —). Transposuit Musgravius.  ὦ δύ᾽ ἀθλίω τροφά D.] ὦ δυσάθλιαι τροφαί
ων
331. τ᾽ Marklandus] δ᾽  333. λόγων] λόγοισ, ων a m. pr.  334. *ξὺν ᾧπερ] ξυνῶπερ τ᾽, eraso accentu super ε.  335. αὐθόμαιμοι] αὖθ᾽ ὅμαιμοι  ποῦ scholiasta] ποῖ  336. δεινὰ δ᾽ m. prima fe-
ν
cit ex δεινὰσ  τἀν κείνοις Schaeferus] δ᾽ ἐκείνοισ, ν ab S inserto.  350. πολλοῖσι δ᾽] πολλοῖσιν, sed correxit m. pr.  351. *δεύτερ᾽] δεῦρ᾽  355. τε Elmsleius] δέ  358. *σ᾽] om.  361. *ἅπαθον] ἃ πάθον  366. *σημανοῦσ᾽] σημαίνουσ᾽  368. πόλιν, λόγῳ σκοποῦσι] πόλιν φόνῳ, σκοποῦσι Blaydesius.  371. κἀξ ἀλιτρίας D.] κἀξαλιτηροῦ

τὸν πρόσθε γεννηθέντα Πολυνείκη θρόνων
ἀποστερίσκει, κἀξελήλακεν πάτρας.
ὁ δ', ὡς καθ' ἡμᾶς ἔσθ' ὁ πληθύων λόγος,
τὸ κοῖλον Ἄργος βὰς φυγάς, προσλαμβάνει
κῆδός τε καινὸν καὶ ξυνασπιστὰς φίλους,
ὡς αὐτίκ' Ἄργος ἢ τὸ Καδμείων πέδον
τιμῇ καθέξων, ἢ πρὸς οὐρανὸν βιβῶν.
ταῦτ' οὐκ ἀριθμός ἐστιν, ὦ πάτερ, λόγων,
ἀλλ' ἔργα δεινά· τοὺς δὲ σοὺς ὅποι θεοὶ
πόνους κατοικτιοῦσιν οὐκ ἔχω μαθεῖν.
ΟΙ. ἤδη γὰρ ἔσχες ἐλπίδ' ὡς ἐμοῦ θεοὺς
ὤραν τιν' ἕξειν, ὥστε σωθῆναί ποτε;
ΙΣ. ἔγωγε τοῖς νῦν γ', ὦ πάτερ, μαντεύμασιν.
ΟΙ. ποίοισι τούτοις; τί δὲ τεθέσπισται, τέκνον;
ΙΣ. σὲ τοῖς ἐκεῖ ζητητὸν ἀνθρώποις ποτὲ
θανόντ' ἔσεσθαι ζῶντά τ' εὐσοίας χάριν.
ΟΙ. τίς δ' ἄν τι τοιοῦδ' ἀνδρὸς εὖ πράξειεν ἄν;
ΙΣ. ἐν σοὶ τὰ κείνων φασὶ γίγνεσθαι κράτη.
ΟΙ. ὅτ' οὐκέτ' εἰμί, τηνικαῦτ' ἄρ' εἴμ' ἀνήρ;
ΙΣ. νῦν γὰρ θεοί σ' ὀρθοῦσι, πρόσθε δ' ὤλλυσαν.
ΟΙ. γέροντα δ' ὀρθοῦν φλαῦρον ὃς νέος πέσῃ.
ΙΣ. καὶ μὴν Κρέοντά γ' ἴσθι σοι τούτων χάριν
ἥξοντα βαιοῦ κοὐχὶ μυρίου χρόνου.
ΟΙ. ὅπως τί δράσῃ, θύγατερ; ἑρμήνευέ μοι.
ΙΣ. ὥς σ' ἄγχι γῆς στήσωσι Καδμείας, ὅπως
κρατῶσι μὲν σοῦ, γῆς δὲ μὴ 'μβαίνῃς ὅρων.
ΟΙ. ἡ δ' ὠφέλησις τίς θύρασι κειμένου;
ΙΣ. κείνοις ὁ τύμβος δυστυχῶν ὁ σὸς βαρύς.
ΟΙ. κἄνευ θεοῦ τις τοῦτό γ' ἂν γνώμῃ μάθοι.
ΙΣ. τούτου χάριν τοίνυν σε προσθέσθαι πέλας
χώρας θέλουσι, μηδ' ἵν' ἂν σαυτοῦ κρατοῖς.
ΟΙ. ἦ καὶ κατασκιῶσι Θηβαίᾳ κόνει;
ΙΣ. ἀλλ' οὐκ ἐᾷ τοὔμφυλον αἷμά σ', ὦ πάτερ.
ΟΙ. οὐκ ἆρ' ἐμοῦ γε μὴ κρατήσωσίν ποτε.
ΙΣ. ἔσται ποτ' ἆρα τοῦτο Καδμείοις βάρος.
ΟΙ. ποίας φανείσης, ὦ τέκνον, συναλλαγῆς;
ΙΣ. τῆς σῆς ὑπ' ὀργῆς, σοῖς ὅταν στῶσιν τάφοις.
ΟΙ. ἃ δ' ἐννέπεις, κλύουσα τοῦ λέγεις, τέκνον;
ΙΣ. ἀνδρῶν θεωρῶν Δελφικῆς ἀφ' ἑστίας.
ΟΙ. καὶ ταῦτ' ἐφ' ἡμῖν Φοῖβος εἰρηκὼς κυρεῖ;
ΙΣ. ὥς φασιν οἱ μολόντες ἐς Θήβης πέδον.
ΟΙ. παίδων τις οὖν ἤκουσε τῶν ἐμῶν τάδε;
ΙΣ. ἄμφω γ' ὁμοίως, κἀξεπίστασθον καλῶς.
ΟΙ. κᾆθ' οἱ κάκιστοι τῶνδ' ἀκούσαντες πάρος
τοὐμοῦ πόθου προὔθεντο τὴν τυραννίδα;
ΙΣ. ἀλγῶ κλύουσα ταῦτ' ἐγώ, φέρω δ' ὅμως.
ΟΙ. ἀλλ' οἱ θεοί σφιν μήτε τὴν πεπρωμένην
ἔριν κατασβέσειαν, ἐν δ' ἐμοὶ τέλος
αὐτοῖν γένοιτο τῆσδε τῆς μάχης πέρι,
ἧς νῦν ἔχονται κἀπαναίρονται δόρυ·
ὡς οὔτ' ἂν ὃς νῦν σκῆπτρα καὶ θρόνους ἔχει
μείνειεν, οὔτ' ἂν οὑξεληλυθὼς πάλιν
ἔλθοι ποτ' αὖθις· οἵ γε τὸν φύσαντ' ἐμὲ
οὕτως ἀτίμως πατρίδος ἐξωθούμενον
οὐκ ἔσχον οὐδ' ἤμυναν, ἀλλ' ἀνάστατος
αὐτοῖν ἐπέμφθην κἀξεκηρύχθην φυγάς.
εἴποις ἂν ὡς θέλοντι τοῦτ' ἐμοὶ τότε
πόλις τὸ δῶρον εἰκότως κατήνεσεν.
οὐ δῆτ', ἐπεί τοι τὴν μὲν αὐτίχ' ἡμέραν,
ὁπηνίκ' ἔζει θυμός, ἥδιστον δέ μοι
τὸ κατθανεῖν ἦν καὶ τὸ λευσθῆναι πέτροις,
οὐδεὶς ἔρωτος τοῦδ' ἐφαίνετ' ὠφελῶν·
χρόνῳ δ', ὅτ' ἤδη πᾶς ὁ μόχθος ἦν πέπων,
κἀμάνθανον τὸν θυμὸν ἐκδραμόντα μοι
μείζω κολαστὴν τῶν πρὶν ἡμαρτημένων,
τὸ τηνίκ' ἤδη τοῦτο μὲν πόλις βίᾳ
ἤλαυνέ μ' ἐκ γῆς χρόνιον, οἱ δ' ἐπωφελεῖν,
οἱ τοῦ πατρός, τῷ πατρὶ δυνάμενοι, τὸ δρᾶν
οὐκ ἠθέλησαν, ἀλλ' ἔπους σμικροῦ χάριν
φυγάς σφιν ἔξω πτωχὸς ἠλώμην ἀεί·
ἐκ ταῖνδε δ', οὔσαιν παρθένοιν, ὅσον φύσις
δίδωσιν αὐταῖν, καὶ τροφὰς ἔχω βίου
καὶ γῆς ἄδειαν καὶ γένους ἐπάρκεσιν·
τὼ δ' ἀντὶ τοῦ φύσαντος εἱλέσθην θρόνους
καὶ σκῆπτρα κραίνειν καὶ τυραννεύειν χθονός.
ἀλλ' οὔ τι μὴ λάχωσι τοῦδε συμμάχου,
οὐδέ σφιν ἀρχῆς τῆσδε Καδμείας ποτὲ
ὄνησις ἥξει, τοῦτ' ἐγᾦδα, τῆσδέ τε
μαντεῖ' ἀκούων συννοῶν τε τἀξ ἐμοῦ
παλαίφαθ' ἁμοὶ Φοῖβος ἤνυσέν ποτε.
πρὸς ταῦτα καὶ Κρέοντα πεμπόντων ἐμοῦ
μαστῆρα, κεἴ τις ἄλλος ἐν πόλει σθένει.
ἐὰν γὰρ ὑμεῖς, ὦ ξένοι, θέληθ' ὁμοῦ
προστάτισι ταῖς σεμναῖσι δημούχοις θεαῖς
ἀλκὴν ποιεῖσθαι, τῇδε μὲν πόλει μέγαν
σωτῆρ' ἀρεῖσθε, τοῖς δ' ἐμοῖς ἐχθροῖς πόνους.
ΧΟ. ἐπάξιος μέν, Οἰδίπους, κατοικτίσαι,
αὐτός τε παῖδές θ' αἵδ'· ἐπεὶ δὲ τῆσδε γῆς

---

375. Huic versui a m. ant. χ adscriptum. 380. 381. Versus propter sententiae absurditatem suspecti. 381. καθέξων] καθέξον in apogr. Paris. 2712. πρὸς οὐρανὸν] προσοῦν̄ον̄ 383. ὅποι] ὅπῃ Halmius. 386. ὤραν] ὥραν a m. sec. Videtur ὤραν fuisse. 390. εὐσοίας] εὐνοίας. Corr. ex schol. 391. τι addidit Hermannus: cui fortasse praeferendum quod Blaydesius coniecit τί δ' ἂν τοιοῦδ' ὑπ' ἀνδρὸς εὖ πράξειεν] εὐπράξειεν 392. τὰ κείνων] τἀκείνων a m. sec. ut Electr. 1345. 393. *ἄρ'] ἆρ' 400. μὲν σοῦ D.] μέν σου 401. θύρασι Elmsleius] θύραισι 404. προσθέσθαι πέλας] Ante προσθέσθαι quinque circiter literae erasae una cum litera α, quae super π verbi προσθέσθαι scripta fuerat, πέλας autem serius additum. Ex his colligi potest a m. pr.

β α
πέλασ προσθέσθαι scriptum fuisse, literis β α rectum verborum ordinem indicantibus. 405. ἂν] αὖ pr. σαυτοῦ] σ ex τ factum, ut videtur. κρατοῖς Brunckius] κρατῇς 406. ἦ] ἢ, accentibus a m. sec. 408. *ἆρ'] ἄρ' 409. *ἆρα] ἄρα 415. μολόντες] Sic pr. μολοῦντεσ ab S. 417. *γ'] θ'

421. σφιν Elmsleius ad Eurip. Med. 393.] σφι τὴν πεπρωμένην] τῶν πεπραγμένων, literis η et η a m. pr. vel S superscriptis. 423. *αὐτοῖν] αὐτῶν 424. κἀπαναίρονται Hermannus] κἀπαναιροῦνται 426. *οὔτ' ἂν οὑξεληλυθὼς] οὔτ' ἐξεληλυθὼς 432. *κατήνεσεν] κατηίνυσεν (sic, non κατήινυσεν). 434. ὁπηνίκ'] ὁπηνίχ' ἔζει] ζ ex ξ factum. Fuit igitur ἔξει. 436. *ἐφαίνετ'] ἐμφαίνετ' 437. δ' ex τ factum. 441. *οἱ] οἳ 443. *ἀλλ' ἔπους σμικροῦ] ἀλλέπου (ἀλλάπου manus multo recentior) σμικροῦ 444. *φυγάς σφιν] φυγασφιν *ἠλώμην] ἠλόμην, priore η in litura pro ει. 450.

ου
λάχωσι,ου a m. pr. 451. οὐδέ Elmsleius] οὔτε

ἥ
452. ἥξει] εξει, ἥ a m. pr. *τε] γε 453. τε τἀξ Heathius] τάτ' ἐξ 454. ἁμοὶ Heathius] ἅ μοι 457. θέληθ' ὁμοῦ D.] θέλητέ μου 458. προστάτισι

σὺν
D.] πρὸσ ταῖσι, σὺν ab alia m. antiqua. 459. *ποιεῖσθαι] ποιεῖσθε *πόλει] τῇ πόλει 460. τοῖς] οἳ in litura pro ἣ *ἐμοῖς] ἐμῆς 461. ἐπάξιος]

σ
ἐπάξιον, σ a m. pr.

σωτῆρα σαὐτὸν τῷδ' ἐπεμβάλλεις λόγῳ,
παραινέσαι σοι βούλομαι τὰ σύμφορα.
ΟΙ. ὦ φίλταθ', ὡς νῦν πᾶν τελοῦντι προξένει.
ΧΟ. θοῦ νῦν καθαρμὸν τῶνδε δαιμόνων, ἐφ' ἃς
τὸ πρῶτον ἵκου καὶ κατέστειψας πέδον.
ΟΙ. τρόποισι ποίοις; ὦ ξένοι, διδάσκετε.
ΧΟ. πρῶτον μὲν ἱρὰς ἐξ ἀειρύτου χοὰς
κρήνης ἐνεγκοῦ, δι' ὁσίων χειρῶν θιγών.
ΟΙ. ὅταν δὲ τοῦτο χεῦμ' ἀκήρατον λάβω;
ΧΟ. κρατῆρές εἰσιν, ἀνδρὸς εὔχειρος τέχνη,
ὧν κρᾶτ' ἔρεψον καὶ λαβὰς ἀμφιστόμους.
ΟΙ. θαλλοῖσιν, ἢ κρόκαισιν, ἢ ποίῳ τρόπῳ;
ΧΟ. οἰὸς νεαλοῦς νεοπόκῳ μαλλῷ βαλών.
ΟΙ. εἶεν· τὸ δ' ἔνθεν ποῖ τελευτῆσαί με χρή;
ΧΟ. χοὰς χέασθαι στάντα πρὸς πρώτην ἕω.
ΟΙ. ἦ τοῖσδε κρωσσοῖς οἷς λέγεις χέω τάδε;
ΧΟ. τρισσάς γε πηγάς· τὸν τελευταῖον δὲ χοῦν
ΟΙ. τοῦ τόνδε πλήσας θῶ; δίδασκε καὶ τόδε.
ΧΟ. ὕδατος, μελίσσης· μηδὲ προσφέρειν μέθυ.
ΟΙ. ὅταν δὲ τούτων γῆ μελάμφυλλος τύχῃ;
ΧΟ. τρὶς ἐννέ' αὐτῇ κλῶνας ἐξ ἀμφοῖν χεροῖν
τιθεὶς ἐλάας τάσδ' ἐπεύχεσθαι λιτάς.
ΟΙ. τούτων ἀκοῦσαι βούλομαι· μέγιστα γάρ.
ΧΟ. ὥς σφας καλοῦμεν Εὐμενίδας, ἐξ εὐμενῶν
στέρνων δέχεσθαι τὸν ἱκέτην σωτήριον
αἰτοῦ σύ τ' αὐτὸς κεἴ τις ἄλλος ἀντὶ σοῦ,
ἄπυστα φωνῶν μηδὲ μηκύνων βοήν.
ἔπειτ' ἀφέρπειν ἄστροφος. καὶ ταῦτά σοι
δράσαντι θαρσῶν ἂν παρασταίην ἐγώ,
ἄλλως δὲ δειμαίνοιμ' ἄν, ὦ ξέν', ἀμφὶ σοί.
ΟΙ. ὦ παῖδε, κλύετον τῶνδε προσχώρων ξένων;
ΑΝ. ἠκούσαμέν τε χὤ τι δεῖ πρόστασσε δρᾶν.
ΟΙ. ἐμοὶ μὲν οὐχ ὁδωτά· λείπομαι γὰρ ἐν
τῷ μήτε σωκεῖν μήθ' ὁρᾶν, δυοῖν κακοῖν·
σφῷν δ' ἀτέρα μολοῦσα πραξάτω τάδε.
ἀρκεῖν γὰρ οἶμαι κἀντὶ μυρίων μίαν
ψυχὴν τάδ' ἐκτίνουσαν, ἢν εὔνους παρῇ.
ἀλλ' ἐν τάχει τι πράσσετον· μόνον δέ με
μὴ λείπετ'· οὐ γὰρ ἂν σθένοι τοὐμὸν δέμας
ἔρημον ἕρπειν οὐδ' ὑφηγητοῦ δίχα.
ΙΣ. ἀλλ' εἶμ' ἐγὼ τελοῦσα· τὸν τόπον δ' ἵνα
χρὴ 'σται μ' ἐφευρεῖν, τοῦτο βούλομαι μαθεῖν.
ΧΟ. τοὐκεῖθεν ἄλσους, ὦ ξένη, τοῦδ'. ἢν δέ του
σπάνιν τιν' ἴσχῃς, ἔστ' ἔποικος, ὃς φράσει.
ΙΣ. χωροῖμ' ἂν ἐς τόδ'· Ἀντιγόνη, σὺ δ' ἐνθάδε
φύλασσε πατέρα τόνδε· τοῖς τεκοῦσι γὰρ
οὐδ' εἰ πονεῖ τις, δεῖ πόνου μνήμην ἔχειν.
ΧΟ. δεινὸν μὲν τὸ πάλαι κείμενον ἤδη κακόν, ὦ ξεῖν',
ὅμως δ' ἔραμαι πυθέσθαι [ἐπεγείρειν·
ΟΙ. τί τοῦτο;
ΧΟ. τᾶς δειλαίας ἀπόρου φανείσας
ἀλγηδόνος, ᾇ ξυνέστας.
ΟΙ. μὴ πρὸς ξενίας ἀνοίξῃς
τᾶς σᾶς, πέπον, ἔργ' ἀναιδῆ.
ΧΟ. τό τοι πολὺ καὶ μηδαμὰ λῆγον
χρῄζω, ξεῖν', ὀρθὸν ἄκουσμ' ἀκοῦσαι.
ΟΙ. ὤμοι.
ΧΟ. στέρξον, ἱκετεύω.
ΟΙ. φεῦ φεῦ.
ΧΟ. πείθου· κἀγὼ γὰρ ὅσον σὺ προσχρῄζεις.
ΟΙ. ἤνεγκον κακότατ', ὦ ξένοι, ἤνεγκον ἑκὼν μέν,
τούτων δ' αὐθαίρετον οὐδέν. [θεὸς ἴστω,
ΧΟ. ἀλλ' ἐς τί;
ΟΙ. κακᾷ μ' εὐνᾷ πόλις οὐδὲν ἴδριν
γάμων ἐνέδησεν ἄτᾳ.
ΧΟ. ἦ ματρόθεν, ὡς ἀκούω,
δυσώνυμα λέκτρ' ἐπλήσω;
ΟΙ. ὤμοι, θάνατος μὲν τάδ' ἀκούειν,
ὦ ξεῖν'· αὗται δὲ δύ' ἐξ ἐμοῦ μὲν
ΧΟ. πῶς φῄς;
ΟΙ. παῖδε, δύο δ' ἄτα
ΧΟ. ὦ Ζεῦ.
ΟΙ. ματρὸς κοινᾶς ἀπέβλαστον ὠδῖνος.
ΧΟ. αὗται γὰρ ἀπόγονοι τεαί;
ΟΙ. κοιναί τε πατρὸς ἀδελφεαί.
ΧΟ. ἰώ. ΟΙ. ἰὼ δῆτα μυρίων γ' ἐπιστροφαὶ κακῶν.
ΧΟ. ἔπαθες ΟΙ. ἔπαθον ἄλαστ' ἔχειν. [μην
ΧΟ. ἔρεξας ΟΙ. οὐκ ἔρεξα. ΧΟ. τί γάρ; ΟΙ. ἐδεξά-
δωρον, ὃ μήποτ' ἐγὼ ταλακάρδιος
ἐπωφέλησα πόλεος ἐξελέσθαι.
ΧΟ. δύστανε, τί γάρ; ἔθου φόνον
ΟΙ. τί τοῦτο; τί δ' ἐθέλεις μαθεῖν; [νόσον.
ΧΟ. πατρός; ΟΙ. παπαῖ, δευτέραν ἔπαισας ἐπὶ νόσῳ
ΧΟ. ἔκανες ΟΙ. ἔκανον. ἔχει δέ μοι
ΧΟ. τί τοῦτο; ΟΙ. πρὸς δίκας τι. ΧΟ. τί γάρ; ΟΙ. ἐγὼ
καὶ γὰρ ἁλοὺς ἐφόνευσα καὶ ὤλεσα· [φράσω.
νόμῳ δὲ καθαρός, ἄϊδρις ἐς τόδ' ἦλθον.
ΧΟ. καὶ μὴν ἄναξ ὅδ' ἡμὶν Αἰγέως γόνος
Θησεὺς κατ' ὀμφὴν σὴν ἐφ' ἀστάλη πάρα.

510—520. = 521—533.
534—541. = 542—548.

---

467. *κατέστειψας] κατέστιψασ 469. ἱρὰς D.] ἱερὰς *ἀειρύτου] ἀειρρύτου 470. ἐνεγκοῦ Elmsleius] ἐνέγκου 471. λάβω] βαλὼν, β et λ in litura,
.λάβω.
et superscripto a m. pr. λάβω, hoc modo βαλών Prima igitur scriptura fuit λαβών. 473. ἔρεψον]
ε
ἔρεψον 475. νεαλοῦς D.] νεαρᾶς νεοπόκῳ Canterus] οἰνεοτόκωι, superscripto οἰοπόκωι a m. antiqua, quae similis est manui S, sed non eadem. *βαλών] λαβών 479. δὲ χοῦν Heimsoethius] δ' ὅλον 481. μηδὲ] μή, cui δὲ m. recentior addidit.
487. σωτήριον] σωτηρίους L. Dindorfius in Thesauro. 488. ἐλάας D.] ἐλαίας *τ'] γ' 491. θαρσῶν Brunckius] θαρρῶν *παρασταίην] παρασταίμην
ο
492. *δὲ] δ' αὖ 494. Lineolam a m. pr. praefixam in χ mutavit m. secunda. Ismenae tribuunt apographa,
τ
Antigonae Brunckius. τε] γε Nauckius. τι] σε
495. ὁδωτὰ] ο ex ω factum. 496. μήτε σωκεῖν D.] μὴ δύνασθαι 497. ἀτέρα Elmsleius] ἡτέρα
499. ἐκτίνουσαν Canterus] ἐκτείνουσαν 502. δίχα Hermannus] δ' ἄνευ 504. χρὴ 'σται D.] χρῆσται

505. τοῦ] τοι pr. ut videtur. 509. *πονεῖ] πονῇ
ϊ
515. ξενίας] ξενείασ, ϊ ab S. 516. *τᾶς σᾶς] τὰς σὰς πέπον Bothius] πέπονθ' 517. μηδαμὰ Brunckius] μηδαμᾶ 518. ξεῖν' Neuius] ξέν' 519. ὤμοι Hermannus] ἰώ μοι 520. *προσχρῄζεις] προχρήιζεισ 522. ἑκὼν Bothius] ἄκων 523. αὐθαίρετον] ἐθελητὸν Hermannus. 525. *μ'] μὲν
ἴδριν Mudgius] ἴδρις 527. ματρόθεν Elmsleius] μητρόθεν 528. ἐπλήσω] ἐπάσω Nauckius. 530. μὲν addidit Elmsleius. 531. παῖδε Elmsleius] παῖδες 534. αὗται γὰρ ἀπόγονοι τεαὶ Hermannus] σαί τ' ἄρ' εἰσὶν ἀπόγονοί τε καὶ 535. τε Meinekius] γε 541. πόλεος Hermannus] πόλεως 542. φόνον] φ ex π factum 547. ἁλοὺς Hermannus] ἄλλους. ἄνους Porsonus. καὶ ὤλεσα Bothius] καὶ ἀπώλεσα 549. ἡμὶν Brunckius] ἡμῖν (ἦμιν Ald.)
550. ἐφ' ἀστάλη D.] ἀπεστάλη

ΘΗΣΕΥΣ.
πολλῶν ἀκούων ἔν τε τῷ πάρος χρόνῳ
τὰς αἱματηρὰς ὀμμάτων διαφθορὰς
ἔγνωκά σ', ὦ παῖ Λαΐου, τανῦν θ' ὁδοῖς
ἐν ταῖσδ' ἀκούων μᾶλλον ἐξεπίσταμαι.
σκευή τε γάρ σε καὶ τὸ δύστηνον κάρα
δηλοῦτον ἡμῖν ὄνθ' ὃς εἶ, καί σ' οἰκτίσας
θέλω 'περέσθαι, δύσμορ' Οἰδίπους, τίνα
πόλεως ἐπέστης προστροπὴν ἐμοῦ τ' ἔχων,
αὐτός τε χἠ σὴ δύσμορος παραστάτις.
δίδασκε· δεινὴν γάρ τιν' ἂν πρᾶξιν τύχοις
λέξας ὁποίας ἐξαφισταίμην ἐγώ,
ὃς οἶδα καὐτὸς ὡς ἐπαιδεύθην ξένος,
ὥσπερ σύ, χὤς τις πλεῖστ' ἀνὴρ ἐπὶ ξένης
ἤθλησα κινδυνεύματ' ἐν τὠμῷ κάρᾳ,
ὥστε ξένον γ' ἂν οὐδέν' ὄνθ', ὥσπερ σὺ νῦν,
ὑπεκτραποίμην μὴ οὐ συνεκσῴζειν· ἐπεὶ
ἔξοιδ' ἀνὴρ ὢν χὤτι τῆς εἰς αὔριον
οὐδὲν πλέον μοι σοῦ μέτεστιν ἡμέρας.
ΟΙ. Θησεῦ, τὸ σὸν γενναῖον ἐν σμικρῷ λόγῳ
παρῆκεν ὥστε βραχέα μοι δεῖσθαι φράσαι.
σὺ γάρ μ' ὅς εἰμι, κἀφ' ὅτου πατρὸς γεγὼς
καὶ γῆς ὁποίας ἦλθον, εἰρηκὼς κυρεῖς·
ὥστ' ἐστί μοι τὸ λοιπὸν οὐδὲν ἄλλο πλὴν
εἰπεῖν ἃ χρῄζω, χὠ λόγος διέρχεται.
ΘΗ. τοῦτ' αὐτὸ νῦν δίδασχ', ὅπως ἂν ἐκμάθω.
ΟΙ. δώσων ἱκάνω τοὐμὸν ἄθλιον δέμας
σοὶ δῶρον, οὐ σπουδαῖον εἰς ὄψιν· τὰ δὲ
κέρδη παρ' αὐτοῦ κρείσσον' ἢ μορφὴ καλή.
ΘΗ. ποῖον δὲ κέρδος ἀξιοῖς ἥκειν φέρων;
ΟΙ. χρόνῳ μάθοις ἄν, οὐχὶ τῷ παρόντι που.
ΘΗ. ποίῳ γὰρ ἡ σὴ προσφορὰ δηλώσεται;
ΟΙ. ὅταν θάνω 'γὼ καὶ σύ μου ταφεὺς γένῃ.
ΘΗ. τὰ λοίσθι' αἰτεῖ τοῦ βίου, τὰ δ' ἐν μέσῳ
ἢ λῆστιν ἴσχεις ἢ δι' οὐδενὸς ποιεῖ.
ΟΙ. ἐνταῦθα γάρ μοι κεῖνα συγκομίζεται.
ΘΗ. ἀλλ' ἐν βραχεῖ δὴ τήνδε μ' ἐξαιτεῖ χάριν.
ΟΙ. ὅρα γε μήν· οὐ σμικρός, οὔκ, ἁγὼν ὅδε.
ΘΗ. πότερα τὰ τῶν σῶν ἐκγόνων, ἢ 'μοῦ λέγεις;
ΟΙ. κεῖνοι κομίζειν κεῖσ' ἀναγκάζουσί με.
ΘΗ. ἀλλ' οὐ θελόντων γ' οὐδὲ σοὶ φεύγειν καλόν.
ΟΙ. ἀλλ' οὐδ', ὅτ' αὐτὸς ἤθελον, παρίεσαν.
ΘΗ. ὦ μῶρε, θυμὸς δ' ἐν κακοῖς οὐ ξύμφορον.
ΟΙ. ὅταν μάθῃς μου, νουθέτει, τανῦν δ' ἔα.
ΘΗ. δίδασκ'· ἄνευ γνώμης γὰρ οὔ με χρὴ λέγειν.
ΟΙ. πέπονθα, Θησεῦ, δεινὰ πρὸς κακοῖς κακά.
ΘΗ. ἦ τὴν παλαιὰν ξυμφορὰν γένους ἐρεῖς;
ΟΙ. οὐ δῆτ', ἐπεὶ πᾶς τοῦτό γ' Ἑλλήνων θροεῖ.
ΘΗ. τί γὰρ τὸ μεῖζον ἢ κατ' ἄνθρωπον νοσεῖς;
ΟΙ. οὕτως ἔχει μοι. γῆς ἐμῆς ἀπηλάθην
πρὸς τῶν ἐμαυτοῦ σπερμάτων· ἔστιν δέ μοι
πάλιν κατελθεῖν μήποθ', ὡς πατροκτόνῳ.
ΘΗ. πῶς δῆτά σ' ἂν πεμψαίαθ', ὥστ' οἰκεῖν δίχα;
ΟΙ. τὸ θεῖον αὐτοὺς ἐξαναγκάσει στόμα.
ΘΗ. ποῖον πάθος δείσαντας ἐκ χρηστηρίων;
ΟΙ. ὅτι σφ' ἀνάγκη τῇδε πληγῆναι χθονί.
ΘΗ. καὶ πῶς γένοιτ' ἂν τἀμὰ κἀκείνων πικρά;
ΟΙ. ὦ φίλτατ' Αἰγέως παῖ, μόνοις οὐ γίγνεται
θεοῖσι γῆρας οὐδὲ κατθανεῖν ποτε,
τὰ δ' ἄλλα συγχεῖ πάνθ' ὁ παγκρατὴς χρόνος.
φθίνει μὲν ἰσχὺς γῆς, φθίνει δὲ σώματος,
θνῄσκει δὲ πίστις, βλαστάνει δ' ἀπιστία,
καὶ πνεῦμα ταυτὸν οὔποτ' οὔτ' ἐν ἀνδράσιν
φίλοις βέβηκεν οὔτε πρὸς πόλιν πόλει.
τοῖς μὲν γὰρ ἤδη, τοῖς δ' ἐν ὑστέρῳ χρόνῳ
τὰ τερπνὰ πικρὰ γίγνεται καὖθις φίλα.
καὶ ταῖσι Θήβαις εἰ τανῦν εὐημερεῖ
καλῶς τὰ πρὸς σέ, μυρίας ὁ μυρίος
χρόνος τεκνοῦται νύκτας ἡμέρας τ' ἰών,
ἐν αἷς τὰ νῦν ξύμφωνα δεξιώματα
δόρει διασκεδῶσιν ἐκ σμικροῦ λόγου·
ἵν' οὑμὸς εὕδων καὶ κεκρυμμένος νέκυς
ψυχρός ποτ' αὐτῶν θερμὸν αἷμα πίεται,
εἰ Ζεὺς ἔτι Ζεὺς χὠ Διὸς Φοῖβος σαφής.
ἀλλ' οὐ γὰρ αὐδᾶν ἡδὺ τἀκίνητ' ἔπη,
ἔα μ' ἐν οἷσιν ἠρξάμην, τὸ σὸν μόνον
πιστὸν φυλάσσων, κοὔποτ' Οἰδίπουν ἐρεῖς
ἀχρεῖον οἰκητῆρα δέξασθαι τόπων
τῶν ἐνθάδ', εἴπερ μὴ θεοὶ ψεύσουσί με.
ΧΟ. ἄναξ, πάλαι καὶ ταῦτα καὶ τοιαῦτ' ἔπη
γῇ τῇδ' ὅδ' ἀνὴρ ὡς τελῶν ἐφαίνετο.
ΘΗ. τίς δῆτ' ἂν ἀνδρὸς εὐμένειαν ἐκβάλοι
τοιοῦδ', ὅτῳ πρῶτον μὲν ἡ δορύξενος
κοινὴ παρ' ἡμῖν αἰέν ἐστιν ἑστία;
ἔπειτα δ' ἱκέτης δαιμόνων ἀφιγμένος
γῇ τῇδε κἀμοὶ δασμὸν οὐ σμικρὸν τίνει.
ἁγὼ σεβισθεὶς οὔποτ' ἐκβαλῶ χάριν
τὴν τοῦδε, χώρᾳ δ' ἔμπολιν κατοικιῶ.
[εἰ δ' ἐνθάδ' ἡδὺ τῷ ξένῳ μίμνειν, σέ νιν
τάξω φυλάσσειν, εἴτ' ἐμοῦ στείχειν μέτα,
τόδ' ἡδύ, τούτων, Οἰδίπους, δίδωμί σοι
κρίναντι χρῆσθαι. τῇδε γὰρ ξυνοίσομαι.]
ΟΙ. ὦ Ζεῦ, διδοίης τοῖσι τοιούτοισιν εὖ.
ΘΗ. τί δῆτα χρῄζεις; ἦ δόμους στείχειν ἐμούς;
ΟΙ. εἴ μοι θέμις γ' ἦν· ἀλλ' ὁ χῶρός ἐσθ' ὅδε,
ΘΗ. ἐν ᾧ τί πράξεις; οὐ γὰρ ἀντιστήσομαι.
ΟΙ. ἐν ᾧ κρατήσω τῶν ἔμ' ἐκβεβληκότων.
ΘΗ. μέγ' ἂν λέγοις δώρημα τῆς συνουσίας.

554. ἐν ταῖσδ' ἀκούων] ἐν ταῖσδε λεύσσων Nauckius. 557. 'περέσθαι Reisigius] τι ἐρέσθαι (ἔρεσθαι a m. sec.). Οἰδίπους Elmsleius] Οἰδίπου 561. ὁποίασ' pr. ὁποίασ σ' corr., σ' fortasse ab S illato. 562. ὃς D.] ὡς οἶδα καὐτὸς Doederlinus] οἶδά γ' αὐτὸς 564. κινδυνεύματ'] Literae νδυ ab S illatae. κάρᾳ] κρατ, α a m. pr. superscripto et τ deleto. 565. γ' ἂν Vauvillersius] γὰρ *οὐδέν'] οὐδὲν 566. μὴ οὐ] μ' οὐ, eraso η. *συνεκσῴζειν] συνεκσώιζειν σ' 570. βραχέα μοι Brunckius] βραχέ' ἐμοὶ 583. τὰ λοίσθι' αἰτεῖ (codex αἰτῆι)] γρ. τὰ λοῖσθ' ἀρ (sic) αἰτῆι *ἐν] ἐμ 587. οὐ] οὐ, ω (i. e. ὡσ, ut est in Lb.) ab alia m. antiqua. *οὐκ ἁγὼν] οὐνἀγὼν (coniunctim), γ post οὖν eraso. 590. οὐ θελόντων Goebelius] εἰ θέλοντ' ἂν 591. *παρίεσαν] παρήεσαν 596. ἦ] ἢ pr.

608. *θεοῖσι] θεοῖσ 609. τὰ δ' ἄλλα] Post τὰ et post ἄλλα litera erasa, ν ut videtur 613. Ante πόλει duae literae erasae cum accentu acuto super altera. 615. *γίγνεται] γίνεται, αι in litura literae ε. 616. *τανῦν] τὰ νῦν 617. τὰ editor Londinensis a. 1722.] τε 619. *δεξιώματα] δεξιάματα 620. δόρει Hermannus] δορὶ 622. αὐτῶν] ῶ ex ὀσ factum. 628. με] ε a m. multo recentiore ex οι vel ου factum. 630. τῇδ'] δ' ab S illatum. 632. ὅτῳ ex Suida s. v. δορύξενος] ὅτου δορύξενοσ, φιλο ab S superscripto. 636. ἁγὼ] ἀγὼ 637. ἔμπολιν Musgravius] ἔμπαλιν 638—641. Seclusit D.: versus 640. 641. notaverat Nauckius. 640. τόδ'] τὸ δ' *Οἰδίπους] οἰδίπου 643. *ἦ] ἢ 647. λέγοις] λόγοισ, ε rec., ut videtur.

ΟΙ. εἰ σοί γ' ἅπερ φῄς ἐμμενεῖ τελοῦντί μοι.
ΘΗ. θάρσει τὸ τοῦδέ γ' ἀνδρός· οὔ σε μὴ προδῶ.
ΟΙ. οὔτοι σ' ὑφ' ὅρκου γ' ὡς κακὸν πιστώσομαι.
ΘΗ. οὔκουν πέρα γ' ἂν οὐδὲν ἢ λόγῳ φέροις.
ΟΙ. πῶς οὖν ποιήσεις; ΘΗ. τοῦ μάλιστ' ὄκνος σ' ἔχει;
ΟΙ. ἥξουσιν ἄνδρες ΘΗ. ἀλλὰ τοῖσδ' ἔσται μέλον.
ΟΙ. ὅρα με λείπων ΘΗ. μὴ δίδασχ' ἃ χρή με δρᾶν.
ΟΙ. ὀκνοῦντ' ἀνάγκη. ΘΗ. τοὐμὸν οὐκ ὀκνεῖ κέαρ.
ΟΙ. οὐκ οἶσθ' ἀπειλὰς ΘΗ. οἶδ' ἐγώ σε μή τινα
ἐνθένδ' ἀπάξοντ' ἄνδρα πρὸς βίαν ἐμοῦ.
πολλαὶ δ' ἀπειλαὶ πολλὰ δὴ μάτην ἔπη
θυμῷ κατηπείλησαν, ἀλλ' ὁ νοῦς ὅταν
αὑτοῦ γένηται, φροῦδα τἀπειλήματα.
κείνοις δ' ἴσως κεὶ δείν' ἐπερρώσθη λέγειν
τῆς σῆς ἀγωγῆς, οἶδ' ἐγώ, φανήσεται
μακρὸν τὸ δεῦρο πέλαγος οὐδὲ πλώσιμον.
θαρσεῖν μὲν οὖν ἔγωγε κἂν ἐμῆς ἄνευ
γνώμης ἐπαινῶ, Φοῖβος εἰ προὔπεμψέ σε·
ὅμως δὲ κἀμοῦ μὴ παρόντος οἶδ' ὅτι
τοὐμὸν φυλάξει σ' ὄνομα μὴ πάσχειν κακῶς.
ΧΟ. εὐίππου, ξένε, τᾶσδε χώρας
ἵκου τὰ κράτιστα γᾶς ἔπαυλα,
τὸν ἀργῆτα Κολωνόν, ἔνθ'
ἁ λίγεια μινύρεται
θαμίζουσα μάλιστ' ἀηδὼν
χλωραῖς ὑπὸ βάσσαις,
τὸν οἰνῶπα νέμουσα κισσὸν
καὶ τὰν ἄβατον θεοῦ
φυλλάδα μυριόκαρπον ἀνήλιον
ἀνήνεμόν τε πάντων
χειμώνων· ἵν' ὁ βακχιώτας
ἀεὶ Διόνυσος ἐμβατεύει
θεαῖς ἀμφιπολῶν τιθήναις.
θάλλει δ' οὐρανίας ὑπ' ἄχνας
ὁ καλλίβοτρυς κατ' ἦμαρ ἀεὶ
νάρκισσος, μεγάλαιν θεαῖν
ἀρχαῖον στεφάνωμ', ὅ τε
χρυσαυγὴς κρόκος· οὐδ' ἄϋπνοι
κρῆναι μινύθουσιν
Κηφισοῦ νομάδες ῥεέθρων,
ἀλλ' αἰὲν ἐπ' ἤματι
ὠκυτόκος πεδίων ἐπινίσσεται
ἀκηράτῳ σὺν ὄμβρῳ
στερνούχου χθονός· οὐδὲ Μουσᾶν
χοροί νιν ἀπεστύγησαν, οὐδ' ἁ
χρυσάνιος Ἀφροδίτα.
ἔστιν δ' οἷον ἐγὼ γᾶς Ἀσίας οὐκ ἐπακούω,
οὐδ' ἐν τᾷ μεγάλᾳ Δωρίδι νάσῳ Πέλοπος πώ-
φύτευμ' ἀχείρητον αὐτόποιον, [ποτε βλαστὸν
ἐγχέων φόβημα δαΐων,
ὃ τᾷδε θάλλει μέγιστα χώρᾳ,
γλαυκᾶς παιδοτρόφου φύλλον ἐλάας·
τὸ μέν τις οὔθ' ἁβὸς οὔτε γήρᾳ [κύκλος
σημαίνων ἁλιώσει χερὶ πέρσας· ὁ γὰρ αἰὲν ὁρῶν
λεύσσει νιν μορίου Διὸς
χὰ γλαυκῶπις Ἀθάνα.
ἄλλον δ' αἶνον ἔχω ματροπόλει τᾷδε κράτιστον,
δῶρον τοῦ μεγάλου δαίμονος, εἰπεῖν, χθονὸς αὔ-
χημα μέγιστον,
εὔιππον, εὔπωλον, εὐθάλασσον.
ὦ παῖ Κρόνου, σὺ γάρ νιν ἐς
τόδ' εἷσας αὔχημ', ἄναξ Ποσειδάν,
ἵπποισιν τὸν ἀκεστῆρα χαλινὸν
πρώταισι ταῖσδε κτίσας ἀγυιαῖς.
ἁ δ' εὐήρετμος ἔκπαγλ' ἁλία χερσὶ παραπτομένα
θρώσκει, τῶν ἑκατομπόδων [πλάτα
Νηρῄδων ἀκόλουθος.
ΑΝ. ὦ πλεῖστ' ἐπαίνοις εὐλογούμενον πέδον,
νῦν σὸν τὰ λαμπρὰ ταῦτα δὴ φαίνειν ἔπη.
ΟΙ. τί δ' ἔστιν, ὦ παῖ, καινόν; ΑΝ. ἆσσον ἔρχεται
Κρέων ὅδ' ἡμῖν οὐκ ἄνευ πομπῶν, πάτερ.
ΟΙ. ὦ φίλτατοι γέροντες, ἐξ ὑμῶν ἐμοὶ
φαίνοιτ' ἂν ἤδη τέρμα τῆς σωτηρίας.
ΧΟ. θάρσει, παρέσται· καὶ γὰρ εἰ γέρων ἐγώ,
τὸ τῆσδε χώρας οὐ γεγήρακε σθένος.

ΚΡΕΩΝ.

ἄνδρες χθονὸς τῆσδ' εὐγενεῖς οἰκήτορες,
ὁρῶ τιν' ὑμᾶς ὀμμάτων εἰληφότας
φόβον νεώρη τῆς ἐμῆς ἐπεισόδου.
ὃν μήτ' ὀκνεῖτε μήτ' ἀφῆτ' ἔπος κακόν.
ἥκω γὰρ οὐχ ὡς δρᾶν τι βουληθείς, ἐπεὶ
γέρων μέν εἰμι, πρὸς πόλιν δ' ἐπίσταμαι
σθένουσαν ἥκων, εἴ τιν' Ἑλλάδος, μέγα.
ἀλλ' ἄνδρα τόνδε τηλικόσδ' ἀπεστάλην
πείσων ἕπεσθαι πρὸς τὸ Καδμείων πέδον,
οὐκ ἐξ ἑνὸς στείλαντος, ἀλλ' ἀνδρῶν ὑπὸ
πάντων κελευσθείς, οὕνεχ' ἧκέ μοι γένει
τὰ τοῦδε πενθεῖν πήματ' ἐς πλεῖστον πόλεως.
ἀλλ', ὦ ταλαίπωρ' Οἰδίπους, κλύων ἐμοῦ
ἱκοῦ πρὸς οἴκους. πᾶς σε Καδμείων λεὼς
καλεῖ δικαίως, ἐκ δὲ τῶν μάλιστ' ἐγώ,
ὅσῳπερ, εἰ μὴ πλεῖστον ἀνθρώπων ἔφυν
κάκιστος, ἀλγῶ τοῖσι σοῖς κακοῖς, γέρον,
ὁρῶν σε τὸν δύστηνον ὄντα μὲν ξένον,
ἀεὶ δ' ἀλήτην κἀπὶ προσπόλου μιᾶς
βιοστερῆ χωροῦντα, τὴν ἐγὼ τάλας
οὐκ ἄν ποτ' ἐς τοσοῦτον αἰκίας πεσεῖν
ἔδοξ', ὅσον πέπτωκεν ἥδε δύσμορος,
ἀεί σε κηδεύουσα καὶ τὸ σὸν κάρα

668—680. = 681—693.
694—706. — 707—719.

---

649. Punctum post θάρσει, nullum post ἀνδρός. 652. *σ'] om. 654. *λείπων] λειπὼν, quod λιπὼν esse potest, si transponatur ὅρα λιπών με — 657. Post βίαν litera erasa. 660. αὑτοῦ] αὐτοῦ pr. 663. πλώσιμον] πλεύσιμον Meinekius. 664. κἂν ἐμῆς ἄνευ D.] κἄνευ τῆς ἐμῆς 670. ἔνθ' ἁ Porsonus] ἔνθα 674. οἰνῶπα νέμουσα D.] οἴνωπ' ἀνέχουσα 678. ὁ ex οὐ factum ut videtur. *βακχιώτας] βακχειώτας 680. θεαῖς Elmsleius] θείαις ἀμφιπολῶν] ἀμφιπωλῶν a correctore. Fuerat ἀμφιπόνων. 685. κρόκος] Prius κ in litura. 689. *ἐπινίσσεται] ἐπινίσεται 692. ἁ] αὖ 698. ἀχείρητον] ἀχήρητον, sed η priore in ει mutato. Pollux 2, 154. ἀχείρωτον (ἀχειρόδοτον cod. Paris.) δὲ Σοφοκλῆς εἶπε τὸ ἀχειρούργητον.

.ε.
700. μέγιστα Triclinius] μεγίσται 701. παιδοτρόφου, ε fortasse a m. pr. 702. οὔθ' ἁβὸς D.] οὔτε νεαρὸς 703. χερὶ Heathius] χειρὶ αἰὲν Porsonus] εἰσαιὲν 708. χθονὸς addidit Porsonus. 714. *ἵπποισιν] ἵπποισι 715. *ταῖσδε κτίσας] ταῖσ δ' ἔκτισασ 721. σὸν Nauckius] σοὶ φαίνειν] κραίνειν Nauckius. 726. ἐγὼ] κυρῶ superscr. ab S. 727. *γεγήρακε] γεγήρακεν 732. *οὐχ ὡς] ὡσ οὐχ ὡσ (sic) δρᾶν in litura. Videtur δράσειν fuisse, ut ex acuto super α posito et litera extrema ν colligi potest, ante quam tres literae erasae. 735. τηλικόσδ' Brunckius] τηλικόνδ' 737. *ὑπὸ] ὕπο 738. *οὕνεχ' ἧκε] οὕνεκ' ἧκε (ϊ superscr.) 741. ἱκοῦ Elmsleius] ἥκου, ϊ ab S. In apographis ἵκου. 744. ἀλγῶ inter versus ab alia m. ant. 746. δ' illatum ab S.

πτωχῷ διαίτῃ, τηλικοῦτος, οὐ γάμων
ἔμπειρος, ἀλλὰ τοὐπιόντος ἁρπάσαι.
ἆρ' ἄθλιον τοὔνειδος, ὢ τάλας ἐγώ,
ὠνείδισ' ἐς σὲ κἀμὲ καὶ τὸ πᾶν γένος;
ἀλλ' οὐ γὰρ ἔστι τἀμφανῆ κρύπτειν, σύ νιν,
πρὸς θεῶν πατρῴων, Οἰδίπους, πεισθεὶς ἐμοὶ
κρύψον, θελήσας ἄστυ καὶ δόμους μολεῖν
τοὺς σοὺς πατρῴους, τήνδε τὴν πόλιν φίλως
εἰπών· ἐπαξία γάρ· ἡ δ' οἴκοι πλέον
δίκῃ σέβοιτ' ἄν, οὖσα σὴ πάλαι τροφός.

ΟΙ. ὦ πάντα τολμῶν κἀπὸ παντὸς ἂν φέρων
λόγου δικαίου μηχάνημα ποικίλον,
τί ταῦτα πειρᾷ κἀμὲ δεύτερον θέλεις
ἑλεῖν, ἐν οἷς μάλιστ' ἂν ἀλγοίην ἁλούς;
πρόσθεν τε γάρ με τοῖσιν οἰκείοις κακοῖς
νοσοῦνθ', ὅτ' ἦν μοι τέρψις ἐκπεσεῖν χθονός,
οὐκ ἤθελες θέλοντι προσθέσθαι χάριν,
ἀλλ' ἡνίκ' ἤδη μεστὸς ἦ θυμούμενος
καὶ τοὐν δόμοισιν ἦν διαιτᾶσθαι γλυκύ,
τότ' ἐξεώθεις κἀξέβαλλες, οὐδέ σοι
τὸ συγγενὲς τοῦτ' οὐδαμῶς τότ' ἦν φίλον·
νῦν τ' αὖθις ἡνίκ' εἰσορᾷς πόλιν τέ μοι
ξυνοῦσαν εὔνουν τήνδε καὶ γένος τὸ πᾶν,
πειρᾷ μετασπᾶν, σκληρὰ μαλθακῶς λέγων.
καίτοι τίς αὕτη τέρψις ἄκοντας φιλεῖν;
ὥσπερ τις εἴ σοι λιπαροῦντι μὲν τυχεῖν
μηδὲν διδοίη μηδ' ἐπαρκέσαι θέλοι,
πλήρη δ' ἔχοντι θυμὸν ὧν χρῄζοις, τότε
δωροῖθ', ὅτ' οὐδὲν ἡ χάρις χάριν φέροι,
ἆρ' ἂν ματαίου τῆσδ' ἂν ἡδονῆς τύχοις;
τοιαῦτα μέντοι καὶ σὺ προσφέρεις ἐμοί,
λόγῳ μὲν ἐσθλά, τοῖσι δ' ἔργοισιν κακά.
φράσω δὲ καὶ τοῖσδ' ὥς σε δηλώσω κακόν.
ἥκεις ἔμ' ἄξων, οὐχ ἵν' ἐς δόμους ἄγῃς,
ἀλλ' ὡς πάραυλον οἰκίσῃς, πόλις δέ σοι
κακῶν ἄνατος τῆσδ' ἀπαλλαχθῇ χθονός.
οὐκ ἔστι σοι ταῦτ', ἀλλά σοι τάδ' ἔστ', ἐκεῖ
χώρας ἀλάστωρ οὑμὸς ἐνναίων ἀεί·
ἔστιν δὲ παισὶ τοῖς ἐμοῖσι τῆς ἐμῆς
χθονὸς λαχεῖν τοσοῦτον, ἐνθανεῖν μόνον.
ἆρ' οὐκ ἄμεινον ἢ σὺ τἀν Θήβαις φρονῶ;
πολλῷ γ', ὅσῳπερ ἐκ σαφεστέρων κλύω,
Φοίβου τε καὐτοῦ Ζηνός, ὃς κείνου πατήρ.
τὸ σὸν δ' ἀφῖκται δεῦρ' ὑπόβλητον στόμα,
πολλὴν ἔχον στόμωσιν· ἐν δὲ τῷ λέγειν
κάκ' ἂν λάβοις τὰ πλείον' ἢ σωτήρια.
ἀλλ' οἶδα γάρ σε ταῦτα μὴ πείθων, ἴθι·
ἡμᾶς δ' ἔα ζῆν ἐνθάδ'· οὐ γὰρ ἂν κακῶς
οὐδ' ὧδ' ἔχοντες ζῷμεν, εἰ τερποίμεθα.

ΚΡ. πότερα νομίζεις δυστυχεῖν ἔμ' ἐς τὰ σὰ
ἢ σ' ἐς τὰ σαυτοῦ μᾶλλον ἐν τῷ νῦν λόγῳ;
ΟΙ. ἐμοὶ μέν ἐσθ' ἥδιστον, εἰ σὺ μήτ' ἐμὲ
πείθειν οἷός τ' εἶ μήτε τούσδε τοὺς πέλας.
ΚΡ. ὦ δύσμορ', οὐδὲ τῷ χρόνῳ φύσας φανεῖ
φρένας ποτ', ἀλλὰ λῦμα τῷ γήρᾳ τρέφει;
ΟΙ. γλώσσῃ σὺ δεινός· ἄνδρα δ' οὐδέν' οἶδ' ἐγὼ
δίκαιον ὅστις ἐξ ἅπαντος εὖ λέγει.
ΚΡ. χωρὶς τό τ' εἰπεῖν πολλὰ καὶ τὰ καίρια.
ΟΙ. ὡς δὴ σὺ βραχέα, ταῦτα δ' ἐν καιρῷ λέγεις.
ΚΡ. οὐ δῆθ' ὅτῳ γε νοῦς ἴσος καὶ σοὶ πάρα.
ΟΙ. ἄπελθ', ἐρῶ γὰρ καὶ πρὸ τῶνδε, μηδέ με
φύλασσ' ἐφορμῶν ἔνθα χρὴ ναίειν ἐμέ.
ΚΡ. μαρτύρομαι τούσδ', οὐχὶ σ', ὅς γνώσει φίλους
οἷ' ἀνταμείβει ῥήματ', ἤν σ' ἕλω ποτέ.
ΟΙ. τίς δ' ἄν με τῶνδε συμμάχων ἕλοι βίᾳ;
ΚΡ. ἦ μὴν σὺ κἄνευ τοῦδε λυπηθεὶς ἔσει.
ΟΙ. ποίῳ σὺν ἔργῳ τοῦτ' ἀπειλήσας ἔχεις;
ΚΡ. παίδοιν δυοῖν σοι τὴν μὲν ἀρτίως ἐγὼ
ξυναρπάσας ἔπεμψα, τὴν δ' ἄξω τάχα.
ΟΙ. οἴμοι. ΚΡ. τάχ' ἕξεις μᾶλλον οἰμώζειν τάδε.
ΟΙ. τὴν παῖδ' ἔχεις μου; ΚΡ. τήνδε τ' οὐ μακροῦ
ΟΙ. ἰὼ ξένοι, τί δράσετ'; ἦ προδώσετε, [χρόνου.
κοὐκ ἐξελᾶτε τὸν ἀσεβῆ τῆσδε χθονός;
ΧΟ. χώρει, ξέν', ἔξω θᾶσσον· οὔτε γὰρ τὰ νῦν
δίκαια πράσσεις οὔθ' ἃ πρόσθεν εἴργασαι.
ΚΡ. ὑμῖν ἂν εἴη τήνδε καιρὸς ἐξάγειν
ἄκουσαν, εἰ θέλουσα μὴ πορεύσεται.
ΑΝ. οἴμοι τάλαινα, ποῖ φύγω; ποίαν λάβω
θεῶν ἄρηξιν ἢ βροτῶν; ΧΟ. τί δρᾷς, ξένε;
ΚΡ. οὐχ ἅψομαι τοῦδ' ἀνδρός, ἀλλὰ τῆς ἐμῆς.
ΟΙ. ὦ γῆς ἄνακτες. ΧΟ. ὦ ξέν', οὐ δίκαια δρᾷς.
ΚΡ. δίκαια. ΧΟ. πῶς δίκαια; ΚΡ. τοὺς ἐμοὺς ἄγω.
ΟΙ. ἰὼ πόλις. [εἶ χερῶν.
ΧΟ. τί δρᾷς, ὦ ξέν'; οὐκ ἀφήσεις; τάχ' ἐς βάσανον
ΚΡ. εἴργου. ΧΟ. σοῦ μὲν οὔ, τάδε γε μωμένου.
ΚΡ. πόλει μαχεῖ γάρ, εἴ τι πημανεῖς ἐμέ.
ΟΙ. οὐκ ἠγόρευον ταῦτ' ἐγώ; ΧΟ. μέθες χεροῖν
τὴν παῖδα θᾶσσον. ΚΡ. μὴ 'πίτασσ' ἃ μὴ κρατεῖς.
ΧΟ. χαλᾶν λέγω σοι. ΚΡ. σοὶ δ' ἔγωγ' ὁδοιπορεῖν.
ΧΟ. προβᾶθ' ὧδε, βᾶτε βᾶτ', ἔντοποι.

833—843. = 876—886.

---

ηι
751. πτωχῶι, ηι a m. pr. superscripto. 752. ἔμπειρος] ἔγκληρος Nauckius. 753. *ἆρ'] ἄρ' 755. νιν Blaydesius] νῦν 757. κρύψον] Aliud verbum requiri animadvertit Nauckius. 758. φίλως εἰπών] φίλως λιπὼν Blaydesius. φίλον λιπὼν Herwerdenus. 761. ἂν φέρων] ἀμφέρων pr. ἀν (sic sine accentu] φέρων corr. 767. ἤθελες θέλοντι] Literae θελες θελοντι in litura angustiore ab S. Videtur ἠθέλοντι fuisse. 768. ἦ D.] ἦν. Post v. 769. addit verba ex 438. repetita καὶ μάνθανον τὸν θυμὸν ἐκδραμόντα μοι, deleta ab Valckenario ad Eurip. Hipp. 1029. 770. *ἐξεώθεις] ἐξεώθηισ 774. σκληρὰ] σκλῆρὰ (sic). 775. *τίς αὕτη] τοσαύτη 778. *χρῄζοις] χρήιζεισ 779. δωροῖθ'] ν ante
οι
θ' illatum a m. pr. φέροι] φέρει, οι a m. pr. superscripto. 780. *τῆσδ' ἂν] ἂν om. 781. *σὺ] σοὶ 782. ἔργοισιν] ν ab S. 783. *τοῖσδ'] τοῖσ 785. *οἰκίσῃς] οἰκήσηισ 786. *ἄνατος] ἄναιτος τῆσδ' Scaliger] τῶνδ' 787. Post ἔστ' duae vel tres literae erasae. 796. σωτήρια] σωτηρία pr. 797. οἶδα γὰρ] δα et γ in litura. ἀλλ' οἶσθα γάρ
.ἢ.
με Blaydesius. 799. *ζῷμεν] ζῶμεν εἰ] εἰ, ἢ a m. pr. superscripto. 808. 809. Nullae notae perso-
.σω.
narum. 810. ὅτῳ] ὅ.τῶι. Videtur οὕτωι fuisse. 813. οὐχὶ σ', ὅς γνώσει φίλους D.] οὐ σέ, πρὸς δὲ τοὺς φίλους 816. τοῦδε Musgravius] τῶνδε,
·οι·
δε ab S illato. 818. σοι] σε, οι a m. pr. 820. οἴμοι Brunckius] ὤιμοι οἰμώζειν] οἰμώζεισ, superscripto ν ab S, ut videtur. 821. τ' Bothius] γ' 825. οὔθ' ἃ] οὔτε Koenius. εἴργασαι] εἰργάσω Blaydesius, ut v. 854. 827. πορεύσεται] σ ab S insertum. 829. ἄρηξιν] ἀρήξειν pr. δρᾷς] σ ab S. 837. ΚΡ.] ΟΙΔ. Personarum nomina per totam fabulam a m. secunda sunt substituta pro lineolis quibus prima manus personarum vices indicaverat. μαχεῖ — πημανεῖς Porsonus] μάχηι — πημαίνεις 838. ΟΙ. Mudgius] ΧΟ. 838—840. Chori verba Creonti, Creontis choro tribuebantur. Corexit Wunderus. 840. *δ' ἔγωγ'] δ' ἐγὼ δ' 841. *ὧδε, βᾶτε] ὧδ' ἐμβᾶτε ἔντοποι Brunckius] ἐντόπιοι

πόλις ἐναίρεται, πόλις ἐμὰ, σθένει. προβᾶθ' ὧδέ
ΑΝ. ἀφέλκομαι δύστηνος, ὦ ξένοι ξένοι. [μοι.
ΟΙ. ποῦ, τέκνον, εἶ μοι; ΑΝ. πρὸς βίαν πορεύομαι.
ΟΙ. ὄρεξον, ὦ παῖ, χεῖρας. ΑΝ. ἀλλ' οὐδὲν σθένω.
ΚΡ. οὐκ ἄξεθ' ὑμεῖς; ΟΙ. ὦ τάλας ἐγώ, τάλας.
ΚΡ. οὔκουν ποτ' ἐκ τούτοιν γε μὴ σκήπτροιν ἔτι
ὁδοιπορήσῃς· ἀλλ' ἐπεὶ νικᾶν θέλεις
πατρίδα τε τὴν σὴν καὶ φίλους, ὑφ' ὧν ἐγὼ
ταχθεὶς τάδ' ἔρδω, καὶ τύραννος ὢν ὅμως,
νίκα. χρόνῳ γὰρ, οἶδ' ἐγώ, γνώσει τάδε,
ὁθούνεκ' αὐτὸς αὑτὸν οὔτε νῦν καλὰ
δρᾷς οὔτε πρόσθεν εἰργάσω βίᾳ φίλων,
ὀργῇ χάριν δοὺς, ἥ σ' ἀεὶ λυμαίνεται.
ΧΟ. ἐπίσχες αὐτοῦ, ξεῖνε. ΚΡ. μὴ ψαύειν λέγω.
ΧΟ. οὔτοι σ' ἀφήσω, τῶνδέ γ' ἐστερημένος.
ΚΡ. καὶ μεῖζον ἆρα ῥύσιον πόλει τάχα
θήσεις· ἐφάψομαι γὰρ οὐ ταύταιν μόναιν.
ΧΟ. ἀλλ' ἐς τί τρέψει; ΚΡ. τόνδ' ἀπάξομαι λαβών.
ΧΟ. δεινὸν λέγεις σύ. ΚΡ. τοῦτο νῦν πεπράξεται.
ΧΟ. ἢν μή σ' ὁ κραίνων τῆσδε γῆς ἀπειργάθῃ.
ΟΙ. ὦ φθέγμ' ἀναιδές, ἦ σὺ γὰρ ψαύσεις ἐμοῦ;
ΚΡ. αὐδῶ σιωπᾶν. ΟΙ. μὴ γὰρ αἵδε δαίμονες
θεῖέν μ' ἄφωνον τῆσδε τῆς ἀρᾶς ἔτι,
ὅς μ', ὦ κάκιστε, ψιλὸν ὄμμ' ἀποσπάσας
πρὸς ὄμμασιν τοῖς πρόσθεν ἐξοίχει βίᾳ.
τοιγὰρ σέ τ' αὐτὸν καὶ γένος τὸ σὸν θεῶν
ὁ πάντα λεύσσων Ἥλιος δοίη βίον
τοιοῦτον οἷον κἀμὲ γηράναι ποτέ.
ΚΡ. ὁρᾶτε ταῦτα, τῆσδε γῆς ἐγχώριοι;
ΟΙ. ὁρῶσι κἀμὲ καὶ σέ, καὶ φρονοῦσ' ὅτι
ἔργοις πεπονθὼς ῥήμασίν σ' ἀμύνομαι.
ΚΡ. οὔτοι καθέξω θυμὸν, ἀλλ' ἄξω βίᾳ
κεἰ μοῦνός εἰμι τόνδε καὶ χρόνῳ βραδύς.
ΟΙ. ἰὼ τάλας. [λεῖν.
ΧΟ. ὅσον λῆμ' ἔχων ἀφίκου, ξέν', εἰ τάδε δοκεῖς τε-
ΚΡ. δοκῶ. ΧΟ. τάνδ' ἄρ' οὐκέτι νεμῶ πόλιν.
ΚΡ. τοῖς τοι δικαίοις χὼ βραχὺς νικᾷ μέγαν.
ΟΙ. ἀκούεθ' οἷα φθέγγεται; ΧΟ. τά γ' οὐ τελεῖ
⏑ ⏓ ⏑ – – ΚΡ. Ζεὺς ἂν εἰδείη, σὺ δ' οὔ.
ΧΟ. ἆρ' οὐχ ὕβρις τάδ'; ΚΡ. ὕβρις, ἀλλ' ἀνεκτέα.
ΧΟ. ἰὼ πᾶς λεὼς, ἰὼ γᾶς πρόμοι,
μόλετε σὺν τάχει, μόλετ'· ἐπεὶ πέραν περῶσ'
οἵδε δή.

ΘΗ. τίς ποθ' ἡ βοή; τί τοὔργον; ἐκ τίνος φόβου ποτὲ
βουθυτοῦντά μ' ἀμφὶ βωμὸν ἔσχετ' ἐναλίῳ θεῷ
τοῦδ' ἐπιστάτῃ Κολωνοῦ; λέξαθ', ὡς εἰδῶ τὸ πᾶν,
οὗ χάριν δεῦρ' ᾖξα θᾶσσον ἢ καθ' ἡδονὴν ποδός.
ΟΙ. ὦ φίλτατ', ἔγνων γὰρ τὸ προσφώνημά σου,
πέπονθα δεινὰ τοῦδ' ὑπ' ἀνδρὸς ἀρτίως.
ΘΗ. τὰ ποῖα ταῦτα, τίς δ' ὁ πημήνας; λέγε.
ΟΙ. Κρέων ὅδ', ὃν δέδορκας, οἴχεται τέκνων
ἀποσπάσας μου τὴν μόνην ξυνωρίδα.
ΘΗ. πῶς εἶπας; ΟΙ. οἷά περ πέπονθ' ἀκήκοας.
ΘΗ. οὔκουν τις ὡς τάχιστα προσπόλων μολὼν
πρὸς τούσδε βωμοὺς πάντ' ἀναγκάσει λεὼν
ἄνιππον ἱππότην τε θυμάτων ἄπο
σπεύδειν ἀπὸ ῥυτῆρος, ἔνθα δίστομοι
μάλιστα συμβάλλουσιν ἐμπόρων ὁδοί,
ὡς μὴ παρέλθωσ' αἱ κόραι, γέλως δ' ἐγὼ
ξένῳ γένωμαι τῷδε, χειρωθεὶς βίᾳ.
ἴθ', ὡς ἄνωγα, σὺν τάχει. τοῦτον δ' ἐγὼ,
εἰ μὲν δι' ὀργῆς ἧκον, ἧς ὅδ' ἄξιος,
ἄτρωτον οὐ μεθῆκ' ἂν ἐξ ἐμῆς χερός·
νῦν δ' οὕσπερ αὐτὸς τοὺς νόμους εἰσῆλθ' ἔχων,
τούτοισι κοὐκ ἄλλοισιν ἁρμοσθήσεται.
οὐ γάρ ποτ' ἔξει τῆσδε τῆς χώρας, πρὶν ἂν
κείνας ἐναργεῖς δεῦρό μοι στήσῃς ἄγων·
ἐπεὶ δέδρακας οὔτ' ἐμοῦ καταξίως
οὔθ' ὧν πέφυκας αὐτὸς οὔτε σῆς χθονὸς,
ὅστις δίκαι' ἀσκοῦσαν εἰσελθὼν πόλιν
κἄνευ νόμου κραίνουσαν οὐδὲν, εἶτ' ἀφεὶς
τὰ τῆσδε τῆς γῆς κύρι' ὧδ' ἐπεσπεσὼν
ἄγεις θ' ἃ χρῄζεις καὶ παρίστασαι βίᾳ·
καί μοι πόλιν κένανδρον ἢ δούλην τινὰ
ἔδοξας εἶναι, κἄμ' ἴσον τῷ μηδενί.
καίτοι σε Θῆβαί γ' οὐκ ἐπαίδευσαν κακόν·
οὐ γὰρ φιλοῦσιν ἄνδρας ἐκδίκους τρέφειν,
οὐδ' ἄν σ' ἐπαινέσειαν, εἰ πυθοίατο
συλῶντα τἀμὰ καὶ τὰ τῶν θεῶν βίᾳ
ἄγοντα φωτῶν ἀθλίων ἱκτήρια.
οὔκουν ἔγωγ' ἂν σῆς ἐπεμβαίνων χθονὸς,
οὐδ' εἰ τὰ πάντων εἶχον ἐνδικώτατα,
ἄνευ γε τοῦ κραίνοντος, ὅστις ἦν, χθονὸς
οὔθ' εἷλκον οὔτ' ἂν ἦγον, ἀλλ' ἠπιστάμην
ξένον παρ' ἀστοῖς ὡς διαιτᾶσθαι χρεών.
σὺ δ' ἀξίαν οὐκ οὖσαν αἰσχύνεις πόλιν
τὴν αὐτὸς αὑτοῦ, καί σ' ὁ πληθύων χρόνος
γέρονθ' ὁμοῦ τίθησι καὶ τοῦ νοῦ κενόν.
εἶπον μὲν οὖν καὶ πρόσθεν, ἐννέπω δὲ νῦν,
τὰς παῖδας ὡς τάχιστα δεῦρ' ἄγειν τινὰ,

---

843. προβᾶθ' ὧδέ μοι separato versu, cui prima manu lineolam, secunda Oedipi nomen praefixit. 844. ἀφέλκομαι Triclinius] ἀφέλκομ' ὦ 849. *ὁδοιπορήσῃς] ὁδοιπορήσεις (ει superscr.) νικᾶν] νικᾶν 850. τε addidit Triclinius. 853. *αὑτὸν] αὐτὸν 858. *ἆρα] ἄρα 861. *λέγεις] λέγοις σύ addidit Heimsoethius. τοι L. Dindorfius. Syllabam quae excidit Triclinius supplevit addito ὡς ante τοῦτο. 862. Hunc versum, qui in codice Creonti continuatur, choro tribuit Piderit, μ' in σ' mutato. 863. *ψαύσεις] ψαύεις (ν superscr.) 865. θεῖέν μ'] θεῖεμ', ν a m. pr. τῆς editor Londinensis a. 1747.] γῆς 866. μ'] Fortasse delendum. ὅς γ' Blaydesius. 868. σέ τ' αὐτὸν Brunckius] σε χ' αὐτὸν 870. γηράναι ποτέ D.] γηρᾶναί ποτε 875. χρόνωι βραδύσ, .γηρῶν. .βαρύσ. γηρῶν βαρύσ a m. perantiqua superscripto. 879. νεμῶ] νέμω. νεμῶ legit scholiasta. 882. Lacunam indicavit Hermannus. Fortasse excidit εἰ Ζεὺς ἔτι Ζεύς. σαφῶς ἐγῷδα Spengelius in Leutschii Philologo vol. 19. p. 445. Ζεὺς ἂν D.] ζεῦστ' ἂν (στ uno ductu), in ζεὺς ταῦτ' ἂν mutatum ab S, ut est in apographis. 883. *ἆρ'] ἄρ'

886. περῶσ' οἵδε δή Elmsleius] περῶσι δή, quod separato versu est in cod. 887. *ποθ'] ποθεν 889. *εἰδῶ] ἰδω (sine spiritu). 893. ποῖα ταῦτα] Literas α τ inseruit S, erasis duabus quae post αὖτα scriptae fuerant. 897. *οὔκουν] οὐκοῦν 899. Hunc versum in margine habet a m. pr., etsi atramento alio. 902. *δ'] om. 905. ἧκον ex ἧκεν factum, quod legitur in lemmate scholii. 906. οὐ μεθῆκ' ἂν] οὐδ' ἀφῆκ' ἂν, erasis post κ literis εν ut videtur. In marg. adscriptum μεθῆκ' ἂν, fortasse ab S, etsi sine γρ. 907. οὕσπερ Reiskius] ὥσπερ 909. ποτ' ἕξει] ποθ' ἕξει, θ a m. aliquanto recentiore ex τ facto. 910. *στήσῃς] στήσεις 911. *οὔτ' ἐμοῦ] οὔτε μου 915. *ἐπεσπεσὼν (ἐπεισπεσὼν scriptum)] ἐπιπεσὼν 924. *οὔκουν] οὐκοῦν *ἐπεμβαίνων] ἐπιβαίνων 927. *ἂν ἦγον] ἀνῆγον 928. *ξένον] ξεῖνον ἀστοῖς] αὐτοῖσ pr. 929. *αἰσχύνεις] αἰσχύνησ 930. *αὑτοῦ] αὐτοῦ *χρόνος] χρολὸσ (sic) cum puncto super ρ, eraso vero accentu literae ο.

εἰ μὴ μέτοικος τῆσδε τῆς χώρας θέλεις
εἶναι βίᾳ τε κοὐχ ἑκών· καὶ ταῦτά σοι
τῷ νῷ θ' ὁμοίως κἀπὸ τῆς γλώσσης λέγω.
ΧΟ. ὁρᾷς ἵν' ἥκεις, ὦ ξέν'; ὡς ἀφ' ὧν μὲν εἶ
φαίνει δίκαιος, δρῶν δ' ἐφευρίσκει κακά.
ΚΡ. ἐγὼ οὔτ' ἄνανδρον τήνδε τὴν πόλιν νέμων,
ὦ τέκνον Αἰγέως, οὔτ' ἄβουλον, ὡς σὺ φῄς,
τοὔργον τόδ' ἐξέπραξα, γιγνώσκων δ' ὅτι
οὐδείς ποτ' αὐτοὺς τῶν ἐμῶν ἂν ἐμπέσοι
ζῆλος ξυναίμων, ὥστ' ἐμοῦ τρέφειν βίᾳ.
ᾔδη δ' ὁθούνεκ' ἄνδρα καὶ πατροκτόνον
κἄναγνον οὐ δεξοίατ', οὐδ' ὅτῳ γάμοι
ξυνόντες ηὑρέθησαν ἀνόσιοι τέκνων.
τοιοῦτον αὐτοῖς Ἄρεος εὔβουλον πάγον
ἐγὼ ξυνῄδη χθόνιον ὄνθ', ὃς οὐκ ἐᾷ
τοιούσδ' ἀλήτας τῇδ' ὁμοῦ ναίειν πόλει·
ᾧ πίστιν ἴσχων τήνδ' ἐχειρούμην ἄγραν.
καὶ ταῦτ' ἂν οὐκ ἔπρασσον, εἰ μή μοι πικρὰς
αὐτῷ τ' ἀρὰς ἠρᾶτο καὶ τὠμῷ γένει·
ἀνθ' ὧν πεπονθὼς ἠξίουν τάδ' ἀντιδρᾶν.
θυμοῦ γὰρ οὐδὲν γῆράς ἐστιν ἄλλο πλὴν
θανεῖν· θανόντων δ' οὐδὲν ἄλγος ἅπτεται.
πρὸς ταῦτα πράξεις οἷον ἂν θέλῃς· ἐπεὶ
ἐρημία με, κεἰ δίκαι' ὅμως λέγω,
σμικρὸν τίθησι· πρὸς δὲ τὰς πράξεις ὅμως,
καὶ τηλικόσδ' ὤν, ἀντιδρᾶν πειράσομαι.
ΟΙ. ὦ λῆμ' ἀναιδές, τοῦ καθυβρίζειν δοκεῖς,
πότερον ἐμοῦ γέροντος, ἢ σαυτοῦ, τόδε;
ὅστις φόνους σοι καὶ γάμους καὶ συμφορὰς
τοῦ σοῦ διῆκας στόματος, ἃς ἐγὼ τάλας
ἤνεγκον ἄκων· θεοῖς γὰρ ἦν οὕτω φίλον,
τάχ' ἄν τι μηνίουσιν ἐς γένος πάλαι.
ἐπεὶ καθ' αὑτόν γ' οὐκ ἂν ἐξεύροις ἐμοὶ
ἁμαρτίας ὄνειδος οὐδὲν ἀνθ' ὅτου
τάδ' εἰς ἐμαυτὸν τοὺς ἐμούς θ' ἡμάρτανον.
ἐπεὶ δίδαξον, εἴ τι θέσφατον πατρὶ
χρησμοῖσιν ἱκνεῖθ' ὥστε πρὸς παίδων θανεῖν,
πῶς ἂν δικαίως τοῦτ' ὀνειδίζοις ἐμοί,
ὃς οὔτε βλάστας πω γενεθλίους πατρὸς,
οὐ μητρὸς εἶχον, ἀλλ' ἀγέννητος τότ' ἦ;
εἰ δ' αὖ φανεὶς δύστηνος, ὡς ἐγὼ 'φάνην,
ἐς χεῖρας ἦλθον πατρὶ καὶ κατέκτανον,
μηδὲν ξυνιεὶς ὧν ἔδρων εἰς οὕς τ' ἔδρων,
πῶς ἂν τό γ' ἆκον πρᾶγμ' ἂν εἰκότως ψέγοις;
μητρὸς δέ, τλῆμον, οὐκ ἐπαισχύνει γάμους
οὔσης ὁμαίμου σῆς μ' ἀναγκάζων λέγειν
οἵους ἐρῶ τάχ'· οὐ γὰρ οὖν σιγήσομαι,
σοῦ γ' ἐς τόδ' ἐξελθόντος ἀνόσιον στόμα.
ἔτικτε γάρ μ' ἔτικτεν, ὤμοι μοι κακῶν,
οὐκ εἰδότ' οὐκ εἰδυῖα, καὶ τεκοῦσά με
αὐτῆς ὄνειδος παῖδας ἐξέφυσέ μοι.
ἀλλ' ἓν γὰρ οὖν ἔξοιδα, σὲ μὲν ἑκόντ' ἐμὲ
κείνην τε ταῦτα δυσστομεῖν· ἐγὼ δέ νιν
ἄκων ἔγημα, φθέγγομαί τ' ἄκων τάδε.
ἀλλ' οὐ γὰρ οὔτ' ἐν τοῖσδ' ἀκούσομαι κακὸς
γάμοισιν οὔθ' οὓς αἰὲν ἐμφορεῖς σύ μοι
φόνους πατρῴους ἐξονειδίζων πικρῶς.
ἓν γάρ μ' ἄμειψαι μοῦνον ὧν σ' ἀνιστορῶ.
εἴ τίς σε τὸν δίκαιον αὐτίκ' ἐνθάδε
κτείνοι παραστάς, πότερα πυνθάνοι' ἂν εἰ
πατήρ σ' ὁ καίνων, ἢ τίνοι' ἂν εὐθέως;
δοκῶ μέν, εἴπερ ζῆν φιλεῖς, τὸν αἴτιον
τίνοι' ἄν, οὐδὲ τοὔνδικον περιβλέποις.
τοιαῦτα μέντοι καὐτὸς εἰσέβην κακά,
θεῶν ἀγόντων· οἷς ἐγὼ οὐδὲ τὴν πατρὸς
ψυχὴν ἂν οἶμαι ζῶσαν ἀντειπεῖν ἐμοί.
σὺ δ', εἶ γὰρ οὐ δίκαιος, ἀλλ' ἅπαν καλὸν
λέγειν νομίζων, ῥητὸν ἄρρητόν τ' ἔπος,
τοιαῦτ' ὀνειδίζεις με τῶνδ' ἐναντίον.
καί σοι τὸ Θησέως ὄνομα θωπεῦσαι καλόν,
καὶ τὰς Ἀθήνας, ὡς κατῴκηνται καλῶς·
κᾆθ' ὧδ' ἐπαινῶν πολλὰ τοῦδ' ἐκλανθάνει,
ὁθούνεκ' εἴ τις γῆ θεοὺς ἐπίσταται
τιμαῖς σεβίζειν, ἥδε τῷδ' ὑπερφέρει,
ἀφ' ἧς σὺ κλέψας τὸν ἱκέτην γέροντ' ἐμὲ
αὐτόν τ' ἐχειροῦ τὰς κόρας τ' οἴχει λαβών.
ἀνθ' ὧν ἐγὼ νῦν τάσδε τὰς θεὰς ἐμοὶ
καλῶν ἱκνοῦμαι καὶ κατασκήπτω λιταῖς
ἐλθεῖν ἀρωγοὺς ξυμμάχους θ', ἵν' ἐκμάθῃς
οἵων ὑπ' ἀνδρῶν ἥδε φρουρεῖται πόλις.
ΧΟ. ὁ ξεῖνος, ὦναξ, χρηστός· αἱ δὲ συμφοραὶ
αὐτοῦ πανώλεις, ἄξιαι δ' ἀμυναθεῖν.
ΘΗ. ἅλις λόγων· ὡς οἱ μὲν ἐξηρπασμένοι
σπεύδουσιν, ἡμεῖς δ' οἱ παθόντες ἕσταμεν.
ΚΡ. τί δῆτ' ἀμαυρῷ φωτὶ προστάσσεις ποιεῖν;
ΘΗ. ὁδοῦ κατάρχειν τῆς ἐκεῖ, πομπὸν δέ με
χωρεῖν, ἵν', εἰ μὲν ἐν τόποισι τοῖσδ' ἔχεις
τὰς παῖδας ἡμῶν, αὐτὸς ἐκδείξῃς ἐμοί·
εἰ δ' ἐγκρατεῖς φεύγουσιν, οὐδὲν δεῖ πονεῖν·
ἄλλοι γὰρ οἱ σπεύδοντες, οὓς οὐ μή ποτε
χώρας φυγόντες τῆσδ' ἐπεύξωνται θεοῖς.
ἀλλ' ἐξυφηγοῦ· γνῶθι δ' ὡς ἔχων ἔχει
καί σ' εἷλε θηρῶνθ' ἡ τύχη· τὰ γὰρ δόλῳ
τῷ μὴ δικαίῳ κτήματ' οὐχὶ σῴζεται.
κοὐκ ἄλλον ἕξεις ἐς τάδ'· ὡς ἔξοιδά σε
οὐ ψιλὸν οὐδ' ἄσκευον ἐς τοσήνδ' ὕβριν

936. τῷ νῷ] τοῦ νοῦ Meinekius. 938. *δ' ἐφευρίσκει] τ' ἐφευρίσκηι 939. νέμων Schneidewinus] λέγω (*λέγων) 941. τοὔργον τόδ'] τοῦργον τόγ' *γιγνώσκων δ' ὅτι] γινώσκων δ' ὅτι
ν
944. ᾔδη] ᾔιδη, ν a m. rec. ὁθούνεκ'] ὅθ' οὕνεκ' ut solet. 945. *κἄναγνον] κἄνανδρον δεξοίατ' Elmsleius] δεξαίατ' 946. ηὑρέθησαν D.] εὑρέθησαν 948. ξυνῄδη Brunckius] ξυνῄδειν 954. 955. seclusit Blaydesius. 957. *κεἰ] καὶ εἰ 960. λῆμ'] λ ex δ factum, ut δῆμ' est in lemmate scholii. 966. αὑτόν γ'] αὑτὸν pr., addito postmodo γ' ab eadem manu. 967. Ante ἁμαρτίασ elutum δ σ'. 971. *ὀνειδίζοις] ὀνειδίζεις 972. *πω] πῶσ γενεθλίους] ου ex α factum ab S. 973. ἦ] In marg. ab S ἔα ἦ. 976. *ξυνεὶς] ξυνιεῖσ 977. πῶς Elmsleius] πῶς γ' τό γ'] γ' in litura literae θ, post quam quattuor literae erasae, quarum prima α fuit. Videtur igitur ἆκον bis scriptum fuisse. πρᾶγμ'] μ ab S illatum. 978. *τλῆμον] τλήμων

984. *αὑτῆς] αὐτῆς 986. *δυσστομεῖν] δυστο-
ο
μεῖν 989. ἐμφορεῖς] ἐμφερεῖσ, ο a m. antiqua. ἀμφέρεις L. Dindorfius in Thesauro vol. 1. part. 2. p. 609. 998. ἐγὼ οὐδὲ] ἐγὼυδὲ, υ ab S, ut videtur, inserto. 999. ἐμοί] ἔχειν Nauckius. 1002. ἐναν-
ο
τίον] ἐναντίων, ο a m. pr. 1003. καί σοι] καὶ σοὶ pr. 1007. τιμαῖς Turnebus] τιμᾶσ pr. τιμὰσ corr. ἥδε] η in litura. Videtur οι vel ει fuisse. τῷδ' Kunhardtus] τοῦδ' 1009. *τ' ἐχειροῦ] τε χειροῦ 1010. *τάσδε τὰς θεὰς] τᾶσδε θεᾶσ 1012. *θ] om. 1015. ἀμυναθεῖν Elmsleius] ἀμυνάθειν 1016. ἐξηρπασμένοι] οι in ην mutavit S. ἐξειργασμένοι F. G. Schmidtius. 1018. ποιεῖν] ποεῖν 1021. τὰς παῖδας ἡμῶν] τὰς τοῦδε παῖδας D. 1024. *ἐπεύξωνται] ἐπεύχονται 1026. *θηρῶνθ'] θηρῶντα τύχη] Δίκη Doederlinus.

ἥκοντα τόλμης τῆς παρεστώσης τανῦν,
ἀλλ᾽ ἔσθ᾽ ὅτῳ σὺ πιστὸς ὢν ἕδρας τάδε.
ἃ δεῖ μ᾽ ἀθρῆσαι, μηδὲ τήνδε τὴν πόλιν
ἑνὸς ποιῆσαι φωτὸς ἀσθενεστέραν.
νοεῖς τι τούτων, ἢ μάτην τὰ νῦν τέ σοι
δοκεῖ λελέχθαι χὤτε ταῦτ᾽ ἐμηχανῶ;
ΚΡ. οὐδὲν σὺ μεμπτὸν ἐνθάδ᾽ ὢν ἐρεῖς ἐμοί·
οἴκοι δὲ χἡμεῖς εἰσόμεσθ᾽ ἃ χρὴ ποιεῖν.
ΘΗ. χωρῶν ἀπείλει νῦν· σὺ δ᾽ ἡμῖν, Οἰδίπους,
ἕκηλος αὐτοῦ μίμνε, πιστωθεὶς ὅτι,
ἢν μὴ θάνω ᾽γὼ πρόσθεν, οὐχὶ παύσομαι
πρὶν ἄν σε τῶν σῶν κύριον στήσω τέκνων.
ΟΙ. ὄναιο, Θησεῦ, τοῦ τε γενναίου χάριν
καὶ τῆς πρὸς ἡμᾶς ἐνδίκου προμηθίας.
ΧΟ. εἴην ὅθι δαΐων
ἀνδρῶν τάχ᾽ ἐπιστροφαὶ
τὸν χαλκοβόαν Ἄρη
μίξουσιν, ἢ πρὸς Πυθίαις,
ἢ λαμπάσιν ἀκταῖς,
οὗ πότνιαι σεμνὰ τιθηνοῦνται τέλη
θνατοῖσιν, ὧν καὶ χρυσέα
κλῂς ἐπὶ γλώσσᾳ βέβακε προσπόλων Εὐμολπιδᾶν·
ἔνθ᾽ οἶμαι τὸν ἐγρεμάχαν
Θησέα καὶ τὰς διστόλους
ἀδμῆτας ἀδελφὰς
αὐτάρκει τάχ᾽ ἐμμίξειν βοᾷ
τούσδ᾽ ἀνὰ χώρους·
ἢ που τὸν ἐφέσπερον
πέτρας νιφάδος πελῶσ᾽
Οἰάτιδος ἐκ νομοῦ,
πώλοισιν ἢ ῥιμφαρμάτοις
φεύγοντες ἁμίλλαις.
ἁλώσεται· δεινὸς ὁ προσχώρων Ἄρης,
δεινὰ δὲ Θησειδᾶν ἀκμά.
πᾶς γὰρ ἀστράπτει χαλινός, πᾶσα δ᾽ ὁρμᾶται κατὰ
ἀμπυκτήρι᾽ ⏒ ⏑ ⏑ ‒
ἄμβασις, οἳ τὰν ἱππίαν
τιμῶσιν Ἀθάναν
καὶ τὸν πόντιον γαιάοχον
Ῥέας φίλον υἱόν.
ἔρδουσιν, ἢ μέλλουσ᾽;

1044—1058. = 1059—1073.
1074—1084. = 1085—1095.

ὡς προμνᾶταί τί μοι
γνώμα τάχ᾽ ἐνδώσειν [μων πάθη.
τᾶν δεινὰ τλασᾶν, δεινὰ δ᾽ εὑρουσᾶν πρὸς αὐθαί-
τελεῖ τελεῖ Ζεύς τι κατ᾽ ἆμαρ·
μάντις εἴμ᾽ ἐσθλῶν ἀγώνων.
εἴθ᾽ ἀελλαία ταχύρρωστος πελειὰς
αἰθερίας νεφέλας κύρσαιμι τῶνδ᾽ ἀγώνων
ἐωρήσασα τοὐμὸν ὄμμα.
ἰὼ πάνταρχε θεῶν,
παντόπτα Ζεῦ, πόροις
γᾶς τᾶσδε δαμούχοις
σθένει ᾽πινικείῳ τὸν εὔαγρον τελειῶσαι λόχον,
σεμνά τε παῖς Παλλὰς Ἀθάνα.
καὶ τὸν ἀγρευτὰν Ἀπόλλω
καὶ κασιγνήταν πυκνοστίκτων ὀπαδὸν
ὠκυπόδων ἐλάφων στέργω διπλᾶς ἀρωγὰς
μολεῖν γᾷ τᾷδε καὶ πολίταις.
ὦ ξεῖν᾽ ἀλῆτα, τῷ σκοπῷ μὲν οὐκ ἐρεῖς
ὡς ψευδόμαντις· τὰς κόρας γὰρ εἰσορῶ
τάσδ᾽ ἆσσον αὖθις ὧδε προσπολουμένας.
ΟΙ. ποῦ ποῦ; τί φῄς; πῶς εἶπας; ΑΝ. ὦ πάτερ πάτερ,
τίς ἂν θεῶν σοι τόνδ᾽ ἄριστον ἄνδρ᾽ ἰδεῖν
δοίη, τὸν ἡμᾶς δεῦρο προσπέμψαντά σοι;
ΟΙ. ὦ τέκνον, ἦ πάρεστον; ΑΝ. αἵδε γὰρ χέρες
Θησέως ἔσωσαν φιλτάτων τ᾽ ὀπαόνων.
ΟΙ. προσέλθετ᾽, ὦ παῖ, πατρί, καὶ τὸ μηδαμὰ
ἐλπισθὲν ἥξειν σῶμα βαστάσαι δότε.
ΑΝ. αἰτεῖς ἃ τεύξει· σὺν πόθῳ γὰρ ἡ χάρις.
ΟΙ. ποῦ δῆτα, ποῦ ᾽στόν; ΑΝ. αἵδ᾽ ὁμοῦ πελάζομεν.
ΟΙ. ὦ φίλτατ᾽ ἔρνη. ΑΝ. τῷ τεκόντι πᾶν φίλον.
ΟΙ. ὦ σκῆπτρα φωτός. ΑΝ. δυσμόρου γε δύσμορα.
ΟΙ. ἔχω τὰ φίλτατ᾽, οὐδ᾽ ἔτ᾽ ἂν πανάθλιος
θανὼν ἂν εἴην σφῷν παρεστώσαιν ἐμοί.
ἐρείσατ᾽, ὦ παῖ, πλευρὸν ἀμφιδέξιον
ἐμφύντε τῷ φύσαντι, κἀναπαύσατον
τοῦ πρόσθ᾽ ἐρήμου τοῦδε δυστήνου πλάνου.
καί μοι τὰ πραχθέντ᾽ εἴπαθ᾽ ὡς βράχιστ᾽, ἐπεὶ
ταῖς τηλικαῖσδε σμικρὸς ἐξαρκεῖ λόγος.

---

1031. Duae post ἕδρασ literae erasae, fortasse ασ. 1033. *ποιῆσαι] ποῆσαι 1037. δὲ χἠμεῖς] δέχημ . σ, litera post μ (η ut videtur) erasa et restituto ει. *ποιεῖν] ποεῖν 1050. σεμνὰ Valckenarius ad Eurip. Hipp. 25.] σεμναὶ τιθηνοῦνται τέλη] Syllabae νοῦνται τέλη proximo versui sunt adiectae, quinque minimum post τιθη literis erasis, quae haud dubie νοῦνται fuerunt. 1052. κλῂς] κλη.ησ pr. Videtur κληειησ fuisse. 1054. ἐγρεμάχαν] ὀρειοβάταν γρ. ap. schol. ab S. 1055. διστόλους] α super δι
ε
a pr. m. 1056. ἀδελφὰς] ἀδελφὰσ, ε ab S superscripto. 1059. ἤ Hermannus] ἢ ἐφέσπερον] ἐφ᾽ ἕσπερον a m. rec. 1060. πελῶσ᾽] γρ. πελάζουσι,
ρ .. ι
ab S. 1062. ῥιμφαρμάτοις] ῥίμφαμάρτοσ, ο ex υ facto. 1066. *Θησειδᾶν] θησιδᾶν 1068. κατὰ ἀμπυκτήρι᾽ ‒⏑⏑‒ ἄμβασις D.] κατ᾽ ἀμπυκτήρια φάλαρα πώλων ἄμβασις. κατὰ sine elisione scripserat Bothius recteque animadverterat φάλαρα ex glossemate esse illatum: de quo liquet ex glossa Hesychii, ἀμπυκτήρια: τὰ φάλαρα. Σοφοκλῆς Οἰδίποδι ἐν Κολωνῷ. πώλων, quod ego eieci, interpolator ex v. 1063. sumsit. 1074. μέλλουσ᾽ Hermannus] μέλλουσιν

1076. ἐνδώσειν scholiasta] ἂν δώσειν 1078. τᾶν — τλασᾶν — εὑρουσᾶν ex schol.] τὰν — τλᾶσαν — εὑροῦσαν αὐθαίμων Bothius] αὐθομαίμων 1083. κύρσαιμι τῶνδ᾽ Wunderus] κύρσαιμ᾽, αὐτῶν δ᾽. κύρσαιμ᾽ ἄνωθ᾽ ἀγώνων Hermannus. 1084. ἐωρήσασα Wunderus] θεωρήσασα. Praestat fortasse αἰωρήσασα, non obstante syllaba prima brevi versus antistrophici 1095. 1086. Ζεῦ ante πάνταρχε lectum huc transposuit Hermannus. 1088. σθένει ᾽πινικείῳ D.] ἐπινικείωι σθένει. σθένει transposuit
ο
Hermannus. 1094. *διπλᾶς] διπλὰσ 1096. ἐπιχ praescriptum, corruptum ex ἔτι χορός. τῷ σκοπῷ] τὸν σκοπὸν Elmsleius. 1099. *ὦ πάτερ πάτερ] ὦ πάτερ ὦ πάτερ 1100. *τόνδ᾽] τῶνδ᾽ 1102.
″ ᾽ ″
πάρεστον] ο ex ι factum. 1103. ἔσωσαν] εσωσαν pr. Lineolis // literae ειν exprimi solent. τ᾽ a m. pr. insertum. 1104. *προσέλθετ᾽] πρόσελθ᾽ *μηδαμὰ] μηδαμᾶ 1105. Versus in marg. additus a m. pr., sed atramento alio. *δότε] τόδε 1109. γε Reiskius] τε 1110. *ἔτ᾽ ἂν] ὅταν 1111. θανὼν] τανῦν Blaydesius. 1112. * πλευρὸν] πλευρὰν ἀμφιδέξιον Mudgius] ἀμφιδεξιόν: unde in apographis ἀμφὶ δεξιόν. 1113. ἐμφύντε Mudgius] ἐμφύτε pr. ἐμφῦσᾰ corr., addito ab S gl. ἀντὶ τοῦ ἐμφῦσαι. *κἀναπαύσατον] κἀναπαύσετον. Fuit
.τε.
primo κἀναπαυστέον. 1114. τοῦδε] τοῦδε, τε ab S, ut videtur.

ΑΝ. ὅδ' ἔσθ' ὁ σώσας· τοῦδε χρὴ κλύειν, πάτερ,
καὶ σοί τε τοὔργον τοῦτ' ἐμοί τ' ἔσται βραχύ.
ΟΙ. ὦ ξεῖνε, μὴ θαύμαζε, πρὸς τὸ λιπαρὲς
τέκν' εἰ φανέντ' ἄελπτα μηκύνω λόγον.
ἐπίσταμαι γὰρ τήνδε τὴν ἐς τάσδε μοι
τέρψιν παρ' ἄλλου μηδενὸς πεφασμένην·
σὺ γάρ νιν ἐξέσωσας, οὐκ ἄλλος βροτῶν.
καὶ σοὶ θεοὶ πόροιεν ὡς ἐγὼ θέλω,
αὐτῷ τε καὶ γῇ τῇδ'· ἐπεὶ τό γ' εὐσεβὲς
μόνοις παρ' ὑμῖν ηὗρον ἀνθρώπων ἐγὼ
καὶ τοὐπιεικὲς καὶ τὸ μὴ ψευδοστομεῖν.
εἰδὼς δ' ἀμύνω τοῖσδε τοῖς λόγοις τάδε·
ἔχω γὰρ ἅχω διὰ σὲ κοὐκ ἄλλον βροτῶν.
καί μοι χέρ', ὦναξ, δεξιὰν ὄρεξον, ὡς
ψαύσω φιλήσω τ', εἰ θέμις, τὸ σὸν κάρα.
καίτοι τί φωνῶ; πῶς ἂν ἀγνὸν ὄντα σὲ
θιγεῖν θελήσαιμ' ἀνδρός, ᾧ τίς οὐκ ἔνι
κηλὶς κακῶν ξύνοικος; οὐκ ἔγωγέ σε,
οὐδ' οὖν ἐάσω. τοῖς γὰρ ἐμπείροις ἐμῶν
μόνοις οἷόν τε συνταλαιπωρεῖν τάδε.
σὺ δ' αὐτόθεν μοι χαῖρε καὶ τὰ λοιπά μου
μέλου δικαίως, ὥσπερ ἐς τόδ' ἡμέρας.
ΘΗ. οὔτ' εἴ τι μῆκος τῶν λόγων ἔθου πλέον,
τέκνοισι τερφθεὶς τοῖσδε, θαυμάσας ἔχω,
οὔτ' εἰ πρὸ τοὐμοῦ προὔλαβες τὰ τῶνδ' ἔπη·
βάρος γὰρ ἡμᾶς οὐδὲν ἐκ τούτων ἔχει.
οὐ γὰρ λόγοισι τὸν βίον σπουδάζομεν
λαμπρὸν ποιεῖσθαι μᾶλλον ἢ τοῖς δρωμένοις.
δείκνυμι δ'· ὧν γὰρ ὤμοσ' οὐκ ἐψευσάμην
οὐδέν σε, πρέσβυ. τάσδε γὰρ πάρειμ' ἄγων
ζώσας, ἀκραιφνεῖς τῶν κατηπειλημένων.
χὤπως μὲν ἁγὼν ᾑρέθη τί δεῖ μάτην
κομπεῖν, ἅ γ' εἴσει καὐτὸς ἐκ ταύταιν ξυνών;
λόγος δ' ὃς ἐμπέπτωκεν ἀρτίως ἐμοὶ
στείχοντι δεῦρο, συμβαλοῦ γνώμην, ἐπεὶ
σμικρὸς μὲν εἰπεῖν, ἄξιος δὲ θαυμάσαι.
πρᾶγος δ' ἀτίζειν οὐδὲν ἄνθρωπον χρεών.
ΟΙ. τί δ' ἔστι, τέκνον Αἰγέως; δίδασκέ με,
ὡς μὴ εἰδότ' αὐτὸν μηδὲν ὧν σὺ πυνθάνει.
ΘΗ. φασίν τιν' ἡμῖν ἄνδρα, σοὶ μὲν ἔμπολιν
οὐκ ὄντα, συγγενῆ δέ, προσπεσόντα πως
βωμῷ καθῆσθαι τῷ Ποσειδῶνος, παρ' ᾧ
θύων ἔκυρον, ἡνίκ' ὡρμώμην ἐγώ.
ΟΙ. ποδαπόν; τί προσχρῄζοντα τῷ θακήματι;
ΘΗ. οὐκ οἶδα πλὴν ἕν· σοῦ γάρ, ὡς λέγουσί μοι,
βραχύν τιν' αἰτεῖ μῦθον οὐκ ὄγκου πλέων.
ΟΙ. ποῖόν τιν'; οὐ γὰρ ἥδ' ἕδρα σμικροῦ λόγου.
ΘΗ. σοί φασιν αὐτὸν ἐς λόγους ἐλθεῖν μολόντ'
αἰτεῖν ἀπελθεῖν τ' ἀσφαλῶς τῆς δεῦρ' ὁδοῦ.
ΟΙ. τίς δῆτ' ἂν εἴη τήνδ' ὁ προσθακῶν ἕδραν;
ΘΗ. ὅρα κατ' Ἄργος εἴ τις ὑμῖν ἐγγενὴς
ἔσθ', ὅστις ἄν σου τοῦτο προσχρῄζοι τυχεῖν.
ΟΙ. ὦ φίλτατε, σχὲς οὗπερ εἶ. ΘΗ. τί δ' ἔστι σοι;
ΟΙ. μή μου δεηθῇς. ΘΗ. πράγματος ποίου; λέγε.
ΟΙ. ἔξοιδ' ἀκούων τῶνδ' ὃς ἔσθ' ὁ προστάτης.
ΘΗ. καὶ τίς ποτ' ἐστὶν ὅν γ' ἐγὼ ψέξαιμί τι;
ΟΙ. παῖς οὑμός, ὦναξ, στυγνός, οὗ λόγων ἐγὼ
ἄλγιστ' ἂν ἀνδρῶν ἐξανασχοίμην κλύων.
ΘΗ. τί δ'; οὐκ ἀκούειν ἔστι, καὶ μὴ δρᾶν ἃ μὴ
χρῄζεις; τί σοι τοῦτ' ἐστὶ λυπηρὸν κλύειν;
ΟΙ. ἔχθιστον, ὦναξ, φθέγμα τοῦθ' ἥκει πατρί·
καὶ μὴ μ' ἀνάγκῃ προσβάλῃς τάδ' εἰκαθεῖν.
ΘΗ. ἀλλ' εἰ τὸ θάκημ' ἐξαναγκάζει, σκόπει
μή σοι πρόνοι' ᾖ τοῦ θεοῦ φυλακτέα.
ΑΝ. πάτερ, πιθοῦ μοι, κεἰ νέα παραινέσω.
τὸν ἄνδρ' ἔασον τόνδε τῇ θ' αὑτοῦ φρενὶ
χάριν παρασχεῖν τῷ θεῷ θ' ἃ βούλεται,
καὶ νῷν ὕπεικε τὸν κασίγνητον μολεῖν.
οὐ γάρ σε, θάρσει, πρὸς βίαν παρασπάσει
γνώμης, ἃ μὴ σοι συμφέροντα λέξεται.
λόγων δ' ἀκοῦσαι τίς βλάβη; τά τοι κακῶς
ηὑρημέν' ἔργα τῷ λόγῳ μηνύεται.
ἔφυσας αὐτόν· ὥστε μηδὲ δρῶντά σε
τὰ τῶν κακίστων δυσσεβέστατ', ὦ πάτερ,
θέμις σέ γ' εἶναι κεῖνον ἀντιδρᾶν κακῶς.
ἀλλ' ἔασον· εἰσὶ χἀτέροις γοναὶ κακαὶ
καὶ θυμὸς ὀξύς, ἀλλὰ νουθετούμενοι
φίλων ἐπῳδαῖς ἐξεπᾴδονται φύσιν.
σὺ δ' εἰς ἐκεῖνα, μὴ τὰ νῦν, ἀποσκόπει
πατρῷα καὶ μητρῷα πήμαθ' ἅπαθες,
κἂν κεῖνα λεύσσῃς, οἶδ' ἐγώ, γνώσει κακοῦ
θυμοῦ τελευτὴν ὡς κακὴ προσγίγνεται.
ἔχεις γὰρ οὐχὶ βαιὰ τἀνθυμήματα,
τῶν σῶν ἀδέρκτων ὀμμάτων τητώμενος.
ἀλλ' ἡμὶν εἶκε· λιπαρεῖν γὰρ οὐ καλὸν
δίκαια προσχρῄζουσιν, οὐδ' αὐτὸν μὲν εὖ
πάσχειν, παθόντα δ' οὐκ ἐπίστασθαι τίνειν.
ΟΙ. τέκνον, βαρεῖαν ἡδονὴν νικᾶτέ με
λέγοντες· ἔστω δ' οὖν ὅπως ὑμῖν φίλον.
μόνον, ξέν', εἴπερ κεῖνος ὧδ' ἐλεύσεται,
μηδεὶς κρατείτω τῆς ἐμῆς ψυχῆς ποτέ.
ΘΗ. ἅπαξ τὰ τοιαῦτ', οὐχὶ δὶς χρῄζω κλύειν,
ὦ πρέσβυ, κομπεῖν δ' οὐχὶ βούλομαι· σὺ δ' ὢν
σῶς ἴσθ', ἐάν περ κἀμέ τις σῴζῃ θεῶν.

---

1118. τοὔργον τοῦτ' ἐμοί τ' ἔσται Hermannus] τοὖργον τοὐμὸν ἔσται 1119. 1120. Inverso ordine habet, sed adscripto β et α. 1121. τὴν Musgravius] σὴν *τάσδε μοι] τᾶσδέ μοι 1124. πόροιεν]
οι
πορεῖεν, οι a m. rec. ν ab S habet. 1125. *τό γ'] τοῦτό γ' 1126. ὑμῖν] ὑ ex ἡ factum. ηὗρον D.] εὗρον 1129. ἄλλον] ἄλλου corr. 1130. *χέρ'] χαῖρ' *δεξιὰν] δεξιάν τ' 1131. *εἰ] ἢ 1132. πῶς ἂν ἁγνὸν ὄντα σὲ D.] πῶς δ' ἂν ἄθλιος γεγὼς
δ'
1135. ἐμῶν D.] βροτῶν 1137. δ'] τ', δ' ab S.
1141. οὔτ' Elmsleius] οὐδ' 1144. *ποιεῖσθαι] ποεῖσθαι 1148. ἁγὼν Heathius] ἁγὼν οὗτος: quod qui servare volet, μάτην delebit. 1151. *στείχοντι] στίχειν τί 1153. οὐδὲν pr. οὐδέν' corr. ἄνθρωπον] ἀνθρώπων. Correctum ex schol. 1155. *μὴ] μ' 1159. *ὡρμώμην] ὁρμώμην 1160. *προσχρῄζοντα] προσχρήιζοντι

1164. μολόντ'] μόνον Vauvillersius. 1165. τ' addidit Heathius. 1166. Post προσθακῶν quattuor circiter literae erasae. 1169. φίλτατε, σχὲς Heathius] φίλτατ', ἴσχες οὗπερ] υ radendo in ι mutatum. 1174. κλύων] ω in litura pro ει ut videtur.
1178. εἰκαθεῖν Elmsleius] εἰκάθειν 1181. *κεἰ]
θ' . . .
καὶ εἰ 1183. θ'] δ', θ' a m. pr. 1184. τὸν] τὸν τὸν 1187. κακῶς Hermannus] καλῶς 1188. ηὑρημέν' D.] εὑρημέν' 1189. μηδὲ Dawesius] μήτε
1190. δυσσεβέστατ', ὦ Dawesius] δυσσεβεστάτων
1192. ἔασον] αὐτὸν pr. αὐτὸν sec. Correxit editor Londinensis a. 1722. 1194. *ἐξεπᾴδονται] ἐξαπάιδονται 1196. *ἅπαθες] ἃ 'πάθεσ 1197. λεύσσῃς Piersonus Verisim. p. 260.] λύσηισ 1198. *προσγίγνεται] προσγίνεται 1199. οὐχὶ βαιὰ Musgravius] οὐχὶ βίαια 1201. ἡμὶν] ἧμιν 1209. δ' post κομπεῖν ab S insertum. σὺ δ' ὢν D.] σὺ δὲ, cui superscriptum δέ σε (fortasse pro σὲ δὲ) ab S, ut videtur. 1210. σῶς Scaliger] σῶν, cui S gl. adscripsit ἀντὶ τοῦ σῶιον. *ἴσθ'] ἴσθι *σῴζῃ] σώιζει

ΧΟ. ὅστις τοῦ πλέονος μέρους χρῄζει τοῦ μετρίου
ζώειν, σκαιοσύναν φυλάσσων [παρεὶς
ἐν ἐμοὶ κατάδηλος ἔσται.
ἐπεὶ πολλὰ μὲν αἱ μακραὶ ἁμέραι κατέθεντο δὴ
λύπας ἐγγυτέρω, τὰ τέρποντα δ' οὐκ ἂν ἴδοις
ὅταν τις ἐς πλέον πέσῃ [ὅπου,
τοῦ θέλοντος· ὁ δ' ἐπίκουρος ἰσοτέλεστος,
Ἄϊδος ὅτε μοῖρ' ἀνυμέναιος
ἄλυρος ἄχορος ἀναπέφηνε,
θάνατος ἐς τελευτάν. [φανῆ,
μὴ φῦναι τὸν ἅπαντα νικᾷ λόγον· τὸ δ', ἐπεὶ
βῆναι κεῖθεν ὅθεν περ ἥκει
πολὺ δεύτερον ὡς τάχιστα. [φέρον,
ὡς εὖτ' ἂν τὸ νέον παρῇ κούφας ἀφροσύνας
τίς πλάγχθη πολύμοχθος ἔξω; τίς οὐ καμάτων
φόνοι, στάσεις, ἔρις, μάχαι [ἔνι;
καὶ φθόνος· τό τε κατάμεμπτον ἐπιλέλογχε
πύματον ἀκρατὲς ἀπροσόμιλον
γῆρας ἄφιλον, ἵνα πρόπαντα
κακὰ κακῶν ξυνοικεῖ.
ἐν ᾧ τλάμων ὅδ', οὐκ ἐγὼ μόνος,
πάντοθεν βόρειος ὥς τις
ἀκτὰ κυματοπλὴξ χειμερία κλονεῖται,
ὣς καὶ τόνδε κατ' ἄκρας
δειναὶ κυματοαγεῖς
ἆται κλονέουσιν ἀεὶ ξυνοῦσαι,
αἱ μὲν ἀπ' ἀελίου δυσμᾶν,
αἱ δ' ἀνατέλλοντος,
αἱ δ' ἀνὰ μέσσαν ἀκτῖν',
αἱ δ' ἐννυχιᾶν ἀπὸ ῥιπᾶν.
ΑΝ. καὶ μὴν ὅδ' ἡμῖν, ὡς ἔοικεν, ὁ ξένος
ἀνδρῶν γε μοῦνος, ὦ πάτερ, δι' ὄμματος
ἀστακτὶ λείβων δάκρυον ὧδ' ὁδοιπορεῖ.
ΟΙ. τίς οὗτος; ΑΝ. ὅνπερ καὶ πάλαι κατείχομεν
γνώμῃ, πάρεστι δεῦρο Πολυνείκης ὅδε.

ΠΟΛΥΝΕΙΚΗΣ.

οἴμοι, τί δράσω; πότερα τἀμαυτοῦ κακὰ
πρόσθεν δακρύσω, παῖδες, ἢ τὰ τοῦδ' ὁρῶν
πατρὸς γέροντος; ὃν ξένης ἐπὶ χθονὸς
σὺν σφῷν ἐφηύρηκ' ἐνθάδ' ἐκβεβλημένον
ἐσθῆτι σὺν τοιᾷδε, τῆς ὁ δυσφιλὴς
γέρων γέροντι συγκατῴκηκεν πίνος
πλευρὰν μαραίνων, κρατὶ δ' ὀμματοστερεῖ
κόμη δι' αὔρας ἀκτένιστος ᾄσσεται·
ἀδελφὰ δ', ὡς ἔοικε, τούτοισιν φορεῖ
τὰ τῆς ταλαίνης νηδύος θρεπτήρια.
ἁγὼ πανώλης ὄψ' ἄγαν ἐκμανθάνω·
καὶ μαρτυρῶ κάκιστος ἀνθρώπων τροφαῖς
ταῖς σαῖσιν ἥκειν· τἀμὰ μὴ 'ξ ἄλλων πύθῃ.
ἀλλ' ἔστι γὰρ καὶ Ζηνὶ σύνθακος θρόνων
Αἰδὼς ἐπ' ἔργοις πᾶσι, καὶ πρὸς σοί, πάτερ,
παρασταθήτω· τῶν γὰρ ἡμαρτημένων
ἄκη μὲν ἔστι, προσφορὰ δ' οὐκ ἔστ' ἔτι.
τί σιγᾷς;
φώνησον, ὦ πάτερ, τι· μή μ' ἀποστραφῇς.
οὐδ' ἀνταμείβει μ' οὐδέν; ἀλλ' ἀτιμάσας
πέμψεις ἄναυδος, οὐδ' ἃ μηνίεις φράσας;
ὦ σπέρματ' ἀνδρὸς τοῦδ', ἐμαὶ δ' ὁμαίμονες,
πειράσατ' ἀλλ' ὑμεῖς γε κινῆσαι πατρὸς
τὸ δυσπρόσοιστον κἀπροσήγορον στόμα,
ὡς μή μ' ἄτιμον, τοῦ θεοῦ γε προστάτην,
οὕτως ἀφῇ με μηδὲν ἀντειπὼν ἔπος.
ΑΝ. λέγ', ὦ ταλαίπωρ', αὐτὸς ὧν χρείᾳ πάρει·
τὰ πολλὰ γάρ τοι ῥήματ' ἢ τέρψαντά τι,
ἢ δυσχεράναντ', ἢ κατοικτίσαντά πως,
παρέσχε φωνὴν τοῖς ἀφωνήτοις τινά.
ΠΟ. ἀλλ' ἐξερῶ· καλῶς γὰρ ἐξηγεῖ σύ μοι·
πρῶτον μὲν αὐτὸν τὸν θεὸν ποιούμενος
ἀρωγόν, ἔνθεν μ' ὧδ' ἀνέστησεν μολεῖν
ὁ τῆσδε τῆς γῆς κοίρανος, διδοὺς ἐμοὶ
λέξαι τ' ἀκοῦσαί τ' ἀσφαλεῖ σὺν ἐξόδῳ.
καὶ ταῦτ' ἀφ' ὑμῶν, ὦ ξένοι, βουλήσομαι
καὶ ταῖνδ' ἀδελφαῖν καὶ πατρὸς κυρεῖν ἐμοί.
ἃ δ' ἦλθον ἤδη σοὶ θέλω λέξαι, πάτερ.
γῆς ἐκ πατρῴας ἐξελήλαμαι φυγάς,
τοῖς σοῖς πανάρχοις οὕνεκ' ἐνθακεῖν θρόνοις
γονῇ πεφυκὼς ἠξίουν γεραίτερος.
ἀνθ' ὧν μ' Ἐτεοκλῆς, ὢν φύσει νεώτερος,
γῆς ἐξέωσεν, οὔτε νικήσας λόγῳ
οὔτ' εἰς ἔλεγχον χειρὸς οὐδ' ἔργου μολών,
πόλιν δὲ πείσας. ὧν ἐγὼ μάλιστα μὲν
τὴν σὴν Ἐρινὺν αἰτίαν εἶναι λέγω·
ἔπειτα κἀπὸ μάντεων ταύτῃ κλύω.
ἐπεὶ γὰρ ἦλθον Ἄργος ἐς τὸ Δωρικόν,
λαβὼν Ἄδραστον πενθερὸν ξυνωμότας
ἔστησ' ἐμαυτῷ γῆς ὅσοιπερ Ἀπίας
πρῶτοι καλοῦνται καὶ τετίμηνται δόρει,
ὅπως τὸν ἑπτάλογχον ἐς Θήβας στόλον
ξὺν τοῖσδ' ἀγείρας ἢ θάνοιμι πανδίκως,
ἢ τοὺς τάδ' ἐκπράξαντας ἐκβάλοιμι γῆς.
εἶεν· τί δῆτα νῦν ἀφιγμένος κυρῶ;
σοὶ προστροπαίους, ὦ πάτερ, λιτὰς ἔχων,
αὐτός τ' ἐμαυτοῦ ξυμμάχων τε τῶν ἐμῶν,
οἳ νῦν σὺν ἑπτὰ τάξεσιν σὺν ἑπτά τε
λόγχαις τὸ Θήβης πεδίον ἀμφεστᾶσι πᾶν·
οἷος δορυσσοῦς Ἀμφιάρεως, τὰ πρῶτα μὲν
δόρει κρατύνων, πρῶτα δ' οἰωνῶν ὁδοῖς·
ὁ δεύτερος δ' Αἰτωλὸς Οἰνέως τόκος
Τυδεύς· τρίτος δ' Ἐτέοκλος, Ἀργεῖος γεγώς·
τέταρτον Ἱππομέδοντ' ἀπέστειλεν πατὴρ
Ταλαός· ὁ πέμπτος δ' εὔχεται κατασκαφῇ
Καπανεὺς τὸ Θήβης ἄστυ δῃώσειν πυρί·
ἕκτος δὲ Παρθενοπαῖος Ἀρκὰς ὄρνυται,
ἐπώνυμος τῆς πρόσθεν ἀδμήτης χρόνῳ
μητρὸς λοχευθείς, πιστὸς Ἀταλάντης γόνος·

1211—1224. = 1225—1238.

1211. τοῦ et χρῄζει serius addita, fortasse a m. pr. 1213. ζώειν] ζώιειν 1214. κατάδηλος] Super τ aliquid erasum et alterum quoque α in litura positum. 1218. ὅπου, ὅταν τις] ὁπότ' ἄν τισ, cum γρ. ὅπου ὅτ' ἄν τισ ab S. 1219. θέλοντος] δέοντος Reiskius. 1220. ὁ δ' Hermannus] οὐδ' ἐπίκουροσ pr. ἔπι κοῦροσ sec. In marg. ab S οἶμαι κόροσ. 1230. *φέρον] φέρων 1231. πολύμοχθος] κακότατος D. 1234. *κατάμεμπτον] κατάπεμπτον

1242. ὧς Brunckius] ὡς 1244. *ἆται] αἶτε pr. αἵτε (non αἴτε) corr. 1248. αἱ δ' ἐννυχιᾶν Lachmannus ex verbis scholiastae ἐννύχια ὄρη] νυχίαν (*νυχιᾶν) ῥιπᾶν] Ῥιπᾶν schol. 1250. ἀνδρῶν γε μοῦνος] Verba interpolata. ἀνδρῶν δίχ' ἄλλων D. 1255. Ante παῖδεσ sex literae erasae. Fortasse παῖδεσ bis scriptum fuit. 1256. Versus serius in marg. additus. 1257. ἐφηύρηκ' D.] ἐφεύρηκ' 1259. πίνος Scaliger] πόνος

1266. τἀμὰ Reiskius] τἄλλα 1270. *προσφορὰ] πρόσφορα 1274. *μηνίεις] μηνιεῖς 1279. οὕτως ἀφῇ με D.] οὕτως μ' ἀφῇ γε 1286. *ἔνθεν] ἔνθε 1288. *ἀσφαλεῖ] ἀσφαλῆι 1294. γεραίτερος Nauckius] γεραιτέραι 1297. οὐδ' Hermannus] οὔτ' 1299. *Ἐρινὺν] ἐρινῦν 1304. δόρει D.] δορὶ 1306. τοῖσδ'] δ' ab S illatum. 1310. τ' Reiskius] γ'

1313. οἷος] οἵουσ pr. δορυσσοῦς Reisigius] δορύσσους 1314. δόρει Hermannus] δορὶ

ἐγὼ δὲ σός, κεἰ μὴ σός, ἀλλὰ τοῦ κακοῦ
πότμου φυτευθείς, σός γέ τοι καλούμενος,
ἄγω τὸν Ἄργους ἄφοβον ἐς Θήβας στρατόν.
οἵ σ᾽ ἀντὶ παίδων τῶνδε καὶ ψυχῆς, πάτερ,
ἱκετεύομεν ξύμπαντες ἐξαιτούμενοι
μῆνιν βαρεῖαν εἰκαθεῖν ὁρμωμένῳ
τῷδ᾽ ἀνδρὶ τοὐμοῦ πρὸς κασιγνήτου τίσιν,
ὅς μ᾽ ἐξέωσε κἀπεσύλησεν πάτρας.
εἰ γάρ τι πιστόν ἐστιν ἐκ χρηστηρίων,
οἷς ἂν σὺ προσθῇ, τοῖσδ᾽ ἔφασκ᾽ εἶναι κράτος.
πρός νύν σε κρηνῶν καὶ θεῶν ὁμογνίων
αἰτῶ πιθέσθαι καὶ παρεικαθεῖν, ἐπεὶ
πτωχοὶ μὲν ἡμεῖς καὶ ξένοι, ξένος δὲ σύ·
ἄλλους δὲ θωπεύοντες οἰκοῦμεν σύ τε
κἀγώ, τὸν αὐτὸν δαίμον᾽ ἐξειληχότες.
ὁ δ᾽ ἐν δόμοις τύραννος, ὢ τάλας ἐγώ,
κοινῇ καθ᾽ ἡμῶν ἐγγελῶν ἁβρύνεται·
ὅν, εἰ σὺ τἠμῇ ξυμπαραστήσει φρενί,
βραχεῖ σὺν ὄγκῳ καὶ χρόνῳ διασκεδῶ.
ὥστ᾽ ἐν δόμοισι τοῖσι σοῖς στήσω σ᾽ ἄγων,
στήσω δ᾽ ἐμαυτόν, κεῖνον ἐκβαλὼν βίᾳ.
καὶ ταῦτα σοῦ μὲν ξυνθέλοντος ἔστι μοι
κομπεῖν, ἄνευ σοῦ δ᾽ οὐδὲ σωθῆναι σθένω.

ΧΟ. τὸν ἄνδρα, τοῦ πέμψαντος οὕνεκ᾽, Οἰδίπους,
εἰπὼν ὁποῖα ξύμφορ᾽ ἔκπεμψαι πάλιν.

ΟΙ. ἀλλ᾽ εἰ μέν, ἄνδρες τῆσδε δημοῦχοι χθονός,
μὴ ᾽τύγχαν᾽ αὐτὸν δεῦρο προσπέμψας ἐμοὶ
Θησεύς, δικαιῶν ὥστ᾽ ἐμοῦ κλύειν λόγους,
οὔ τἄν ποτ᾽ ὀμφῆς τῆς ἐμῆς ἐπῄσθετο·
νῦν δ᾽ ἀξιωθεὶς εἶσι κἀκούσας γ᾽ ἐμοῦ
τοιαῦθ᾽ ἃ τὸν τοῦδ᾽ οὔ ποτ᾽ εὐφρανεῖ βίον·
ὅς γ᾽, ὦ κάκιστε, σκῆπτρα καὶ θρόνους ἔχων,
ἃ νῦν ὁ σὸς ξύναιμος ἐν Θήβαις ἔχει,
τὸν αὐτὸς αὑτοῦ πατέρα τόνδ᾽ ἀπήλασας
κἄθηκας ἄπολιν καὶ στολὰς ταύτας φορεῖν,
ἃς νῦν δακρύεις εἰσορῶν, ὅτ᾽ ἐν πόνῳ
ταὐτῷ βεβηκὼς τυγχάνεις κακῶν ἐμοί.
οὐ κλαυτὰ δ᾽ ἐστίν, ἀλλ᾽ ἐμοὶ μὲν οἰστέα
τάδ᾽, ὥσπερ ἂν ζῶ, σοῦ φονέως μεμνημένον.
σὺ γάρ με μόχθῳ τῷδ᾽ ἔθηκας ἔντροφον,
σύ μ᾽ ἐξέωσας· ἐκ σέθεν δ᾽ ἀλώμενος
ἄλλους ἐπαιτῶ τὸν καθ᾽ ἡμέραν βίον.
εἰ δ᾽ ἐξέφυσα τάσδε μὴ ᾽μαυτῷ τροφοὺς
τὰς παῖδας, ἦ τἂν οὐκ ἂν ἦ τὸ σὸν μέρος·
νῦν δ᾽ αἵδε μ᾽ ἐκσῴζουσιν, αἵδ᾽ ἐμαὶ τροφοί,
αἵδ᾽ ἄνδρες, οὐ γυναῖκες, ἐς τὸ συμπονεῖν·
ὑμεῖς δ᾽ ἀπ᾽ ἄλλου κοὐκ ἐμοῦ πεφύκατον.
τοιγάρ σ᾽ ὁ δαίμων εἰσορᾷ μὲν οὔ τί πω
ὡς αὐτίκ᾽, εἴπερ οἵδε κινοῦνται λόχοι
πρὸς ἄστυ Θήβης. οὐ γὰρ ἔσθ᾽ ὅπως πόλιν
κείνην ἐρείψεις, ἀλλὰ πρόσθεν αἵματι
πεσεῖ μιανθεὶς χὠ σύναιμος ἐξ ἴσου.
τοιάσδ᾽ ἀρὰς σφῷν πρόσθε τ᾽ ἐξανῆκ᾽ ἐγὼ
νῦν τ᾽ ἀνακαλοῦμαι ξυμμάχους ἐλθεῖν ἐμοί,
ἵν᾽ ἀξιῶτον τοὺς φυτεύσαντας σέβειν
καὶ μὴ ᾽ξατιμάζητον, εἰ τυφλοῦ πατρὸς
τοιώδ᾽ ἐφύτην· αἵδε γὰρ τάδ᾽ οὐκ ἔδρων.
τοιγὰρ τὸ σὸν θάκημα καὶ τοὺς σοὺς θρόνους
κρατοῦσιν, εἴπερ ἐστὶν ἡ παλαίφατος
Δίκη ξύνεδρος Ζηνὸς ἀρχαίοις νόμοις.
σὺ δ᾽ ἔρρ᾽ ἀπόπτυστός τε κἀπάτωρ ἐμοῦ,
κακῶν κάκιστε, τάσδε συλλαβὼν ἀράς,
ἅς σοι καλοῦμαι, μήτε γῆς ἐμφυλίου
δόρει κρατῆσαι μήτε νοστῆσαί ποτε
τὸ κοῖλον Ἄργος, ἀλλὰ συγγενεῖ χερὶ
θανεῖν κτανεῖν θ᾽ ὑφ᾽ οὗπερ ἐξελήλασαι.
τοιαῦτ᾽ ἀρῶμαι, καὶ καλῶ τὸ Ταρτάρου
στυγνὸν πατρῷον ἔρεβος, ὥς σ᾽ ἀποικίσῃ,
καλῶ δὲ τάσδε δαίμονας, καλῶ δ᾽ Ἄρη
τὸν σφῷν τὸ δεινὸν μῖσος ἐμβεβληκότα.
καὶ ταῦτ᾽ ἀκούσας στεῖχε, κἀξάγγελλ᾽ ἰὼν
καὶ πᾶσι Καδμείοισι τοῖς σαυτοῦ θ᾽ ἅμα
πιστοῖσι συμμάχοισιν, οὕνεκ᾽ Οἰδίπους
τοιαῦτ᾽ ἔνειμε παισὶ τοῖς αὑτοῦ γέρα.

ΧΟ. Πολύνεικες, οὔτε ταῖς παρελθούσαις ὁδοῖς
ξυνήδομαί σοι, νῦν τ᾽ ἴθ᾽ ὡς τάχος πάλιν.

ΠΟ. οἴμοι κελεύθου τῆς τ᾽ ἐμῆς δυσπραξίας,
οἴμοι δ᾽ ἑταίρων· οἷον ἆρ᾽ ὁδοῦ τέλος
Ἄργους ἀφωρμήθημεν, ὢ τάλας ἐγώ,
τοιοῦτον οἷον οὐδὲ φωνῆσαί τινι
ἔξεσθ᾽ ἑταίρων, οὐδ᾽ ἀποστρέψαι πάλιν,
ἀλλ᾽ ὄντ᾽ ἄναυδον τῇδε συγκῦρσαι τύχῃ.
ὦ τοῦδ᾽ ὅμαιμοι παῖδες, ἀλλ᾽ ὑμεῖς, ἐπεὶ
τὰ σκληρὰ πατρὸς κλύετε τοῦδ᾽ ἀρωμένου,
μή τοί με πρὸς θεῶν σφώ γ᾽, ἐὰν αἱ τοῦδ᾽ ἀραὶ
πατρὸς τελῶνται καί τις ὑμῖν ἐς δόμους
νόστος γένηται, μή μ᾽ ἀτιμάσητέ γε,
ἀλλ᾽ ἐν τάφοισι θέσθε κἀν κτερίσμασιν.
καὶ σφῷν ὁ νῦν ἔπαινος, ὃν κομίζετον
τοῦδ᾽ ἀνδρὸς οἷς πονεῖτον, οὐκ ἐλάσσονα
ἔτ᾽ ἄλλον οἴσει τῆς ἐμῆς ὑπουργίας.

ΑΝ. Πολύνεικες, ἱκετεύω σε πεισθῆναί τί μοι.

ΠΟ. ὦ φιλτάτη τὸ ποῖον Ἀντιγόνη; λέγε.

ΑΝ. στρέψαι στράτευμ᾽ εἰς Ἄργος ὡς τάχιστά γε,
καὶ μὴ σέ τ᾽ αὐτὸν καὶ πόλιν διεργάσῃ.

ΠΟ. ἀλλ᾽ οὐχ οἷόν τε· πῶς γὰρ αὖθις ἂν πάλιν
στράτευμ᾽ ἄγοιμι ταυτὸν εἰσάπαξ τρέσας;

---

1326. ἀντὶ] ἀμφὶ L. Dindorfius in Thesauro s. v. Ἀμφί. 1328. εἰκαθεῖν Elmsleius] εἰκάθειν 1332. σὺ] σοὶ pr. 1334. παρεικαθεῖν Elmsleius] παρεικάθειν 1337. *ἐξειληχότες] ἐξειληφότες 1340. *ξυμπαραστήσει] ξυμπαραστήσεισ φρενὶ] χερὶ Blaydesius. 1342. τοῖσι σοῖς] τοῖσσοῖσ 1344. ξυνθέλοντος] ξυνεθέλοντοσ, sed eraso priore ε. 1346. Οἰδίπους Valckenarius] οἰδίπου 1348. δημοῦχοι] δημοῦχοσ ab S. 1351. οὔ τἄν Brunckius] οὔτ᾽ ἄν 1352. *γ᾽ ἐμοῦ] γέ μου 1353. ἃ τὸν] αὐτὸν pr. 1355. σὸσ ab S. σοὶ pr. 1357. *φορεῖν] φέρειν 1358. πόνῳ] βυθῷ Reiskius. 1360. *κλαυτὰ δ᾽ ἐστὶν] κλαυστὰ δ᾽ ἐστὶν S. κλαυστ᾽ ἐστὶν pr. 1361. *φονέως] φονέος μεμνημένον D.] μεμνημένος 1362. μόχθῳ] μόχθωι, ωι ex οσ vel οισ facto. 1363. δ᾽ addidit S. 1364. Ante βίον duae literae erasae. 1366. οὐκ ἂν ἦ] ἦ in ἦν mutatum ab correctore multo recentiore, novitia uso literae ν forma. 1367. δ᾽ αἵδε μ᾽ ab S. δαί μ᾽ pr.

1370. σ᾽ ὁ δαίμων — ὡς] σε δαίμων — ὃς Dobraeus. πω] που, ω a m. pr. superscr. 1373. ἐρείψεις Turnebus] ἐρεῖ τις 1375. Versus in margine additus. 1376. ἀνακαλοῦμαι] ἀγκαλοῦμαι D. Vid. ad Electr. 693. 1379. ἐφύτην Elmsleius] ἔφυτον 1381. κρατοῦσιν] κρανοῦσιν Hartungius. κρινοῦσιν Nauckius. 1386. δόρει Hermannus] δορὶ 1389. τὸ Hermannus] τοῦ 1392. ἐμβεβληκότα] μ in litura quae formae literae ν qua librarius utitur accommodatior est quam κ, etsi ἐκβεβληκότα est in Florentino apographo (Lb.) ex codice ipso ducto. 1396. αὑτοῦ Brunckius] αὐτοῦ 1402. τινι Tyrwhittus] τινα 1404. συγκῦρσαι pr. συγκύρσαι corr. 1407. σφώ γ᾽, ἐὰν Elmsleius] σφῶϊν γ᾽ ἂν 1410. *κἀν] κ᾽ ἐν 1414. *πεισθῆναι] πισθῆναι 1415. *τὸ] om. 1417. τ᾽ Brunckius] γ᾽ 1418. *τε] γε ἂν Vauvillersius] αὖ

ΑΝ. τί δ' αὖθις, ὦ παῖ, δεῖ σε θυμοῦσθαι; τί σοι
πάτραν κατασκάψαντι κέρδος ἔρχεται;
ΠΟ. αἰσχρὸν τὸ φεύγειν καὶ τὸ πρεσβεύοντ' ἐμὲ
οὕτω γελᾶσθαι τοῦ κασιγνήτου πάρα.
ΑΝ. ὁρᾷς τὰ τοῦδ' οὖν ὡς ἐς ὀρθὸν ἐκφέρεις
μαντεύμαθ', ὃς σφῷν θάνατον ἐξ ἀμφοῖν θροεῖ;
ΠΟ. χρῄζει γάρ· ἡμῖν δ' οὐχὶ συγχωρητέα.
ΑΝ. οἴμοι τάλαινα· τίς δὲ τολμήσει κλύων
τὰ τοῦδ' ἕπεσθαι τἀνδρός, οἷ' ἐθέσπισεν;
ΠΟ. οὐκ ἀγγελοῦμεν φλαῦρ'· ἐπεὶ στρατηλάτου
χρηστοῦ τὰ κρείσσω μηδὲ τἀνδεᾶ λέγειν.
ΑΝ. οὕτως ἄρ', ὦ παῖ, ταῦτά σοι δεδογμένα;
ΠΟ. καὶ μή μ' ἐπίσχῃς γ'· ἀλλ' ἐμοὶ μὲν ἥδ' ὁδὸς
ἔσται μέλουσα δύσποτμός τε καὶ κακὴ
πρὸς τοῦδε πατρὸς τῶν τε τοῦδ' Ἐρινύων.
σφῷν δ' εὖ διδοίη Ζεύς, τάδ' εἰ τελεῖτέ μοι
[θανόντ', ἐπεὶ οὔ μοι ζῶντί γ' αὖθις ἕξετον].
μέθεσθε δ' ἤδη, χαίρετόν τ'· οὐ γάρ μ' ἔτι
βλέποντ' ἐσόψεσθ' αὖθις. ΑΝ. ὦ τάλαιν' ἐγώ.
ΠΟ. μή τοί μ' ὀδύρου. ΑΝ. καὶ τίς ἄν σ' ὁρμώμενον
ἐς προῦπτον Ἅιδην οὐ καταστένοι, κάσι;
ΠΟ. εἰ χρή, θανοῦμαι. ΑΝ. μὴ σύ γ', ἀλλ' ἐμοὶ πιθοῦ.
ΠΟ. μὴ πεῖθ' ἃ μὴ δεῖ. ΑΝ. δυστάλαινά τἄρ' ἐγώ,
εἴ σου στερηθῶ. ΠΟ. ταῦτα δ' ἐν τῷ δαίμονι
καὶ τῇδε φῦναι χἀτέρᾳ. σφὼ δ' οὖν ἐγὼ
θεοῖς ἀρῶμαι μή ποτ' ἀντῆσαι κακῶν·
ἀνάξιαι γὰρ πᾶσίν ἐστε δυστυχεῖν.
ΧΟ. νέα τάδε νεόθεν ἦλθέ μοι
νέα βαρύποτμα κακὰ παρ' ἀλαοῦ ξένου,
εἴ τι μοῖρα μὴ κιγχάνει.
μάτην γὰρ οὐδὲν ἀξίωμα δαιμόνων ἔχω φράσαι.
ὁρᾷ ὁρᾷ πάντ' ἀεὶ χρόνος, ἐπεὶ μὲν ἕτερα,
τὰ δὲ παρ' ἦμαρ αὖθις αὔξων ἄνω.
ἔκτυπεν αἰθήρ, ὦ Ζεῦ.
ΟΙ. ὦ τέκνα τέκνα, πῶς ἄν, εἴ τις ἔντοπος,
τὸν πάντ' ἄριστον δεῦρο Θησέα πόροι;
ΑΝ. πάτερ, τί δ' ἐστὶ τἀξίωμ' ἐφ' ᾧ καλεῖς;
ΟΙ. Διὸς πτερωτὸς ἥδε μ' αὐτίκ' ἄξεται
βροντὴ πρὸς Ἅιδην. ἀλλὰ πέμψαθ' ὡς τάχος.
ΧΟ. ἴδε μάλα μέγας ἐρείπεται
κτύπος ἄφατος ὅδε διόβολος· ἐς δ' ἄκραν
δεῖμ' ὑπῆλθε κρατὸς φόβαν.
ἔπτηξα θυμόν· οὐρία γὰρ ἀστραπὴ φλέγει πάλιν.
τί μὰν ἀφήσει τέλος; δέδια δ'· οὐ γὰρ ἅλιον
ἀφορμᾷ ποτ' οὐδ' ἄνευ ξυμφορᾶς.
ὦ μέγας αἰθήρ, ὦ Ζεῦ.
ΟΙ. ὦ παῖδες, ἥκει τῷδ' ἐπ' ἀνδρὶ θέσφατος
βίου τελευτή, κοὐκέτ' ἔστ' ἀποστροφή.
ΑΝ. πῶς οἶσθα; τῷ δὲ συμβαλὼν ἔχεις, πάτερ;
ΟΙ. καλῶς κάτοιδ'. ἀλλ' ὡς τάχιστά μοι μολὼν
ἄνακτα χώρας τῆσδέ τις πορευσάτω. [βος.
ΧΟ. ἔα ἔα, ἰδοὺ μάλ' αὖθις ἀμφίσταται διαπρύσιος ὄτο-
ἵλαος, ὦ δαίμων, ἵλαος, εἴ τι γᾷ
ματέρι τυγχάνεις ἀφεγγὲς φέρων.
ἐναισίου δὲ σοῦ τύχοιμι, μηδ' ἄλαστον ἄνδρ' ἰδὼν
ἀκερδῆ χάριν μετάσχοιμί πως. Ζεῦ ἄνα, σοὶ φωνῶ.
ΟΙ. ἆρ' ἐγγὺς ἁνήρ; ἆρ' ἔτ' ἐμψύχου, τέκνα,
κιχήσεταί μου καὶ κατορθοῦντος φρένα;
ΑΝ. τί δ' ἂν θέλοις τὸ πιστὸν ἐμφῦναι φρενί;
ΟΙ. ἀνθ' ὧν ἔπασχον εὖ τελεσφόρον χάριν
δοῦναί σφιν, ἥνπερ τυγχάνων ὑπεσχόμην.
ΧΟ. ἰὼ ἰὼ παῖ, βᾶθι βᾶθ', ⏑⏑́–⏑– εἴτ' ἄκρον ἐπὶ γύα-
ἐναλίῳ Ποσειδαονίῳ θεῷ [λον
βούθυτον ἑστίαν ἁγίζων, ἱκοῦ.
ὁ γὰρ ξένος σε καὶ πόλισμα καὶ φίλους ἐπαξιοῖ
δικαίαν χάριν παρασχεῖν παθών. –⏑́ ἄϊσσ', ὦναξ.
ΘΗ. τίς αὖ παρ' ὑμῶν κοινὸς ἠχεῖται κτύπος,
σαφὴς μὲν ἀστῶν, ἐμφανὴς δὲ τοῦ ξένου;
μή τις Διὸς κεραυνός, ἤ τις ὀμβρία
χάλαζ' ἐπιρράξασα; πάντα γὰρ θεοῦ
τοιαῦτα χειμάζοντος εἰκάσαι πάρα.
ΟΙ. ἄναξ, ποθοῦντι προυφάνης, καί σοι θεῶν
τύχην τις ἐσθλὴν τῆσδ' ἔθηκε τῆς ὁδοῦ.
ΘΗ. τί δ' ἐστίν, ὦ παῖ Λαΐου, νέορτον αὖ;
ΟΙ. ῥοπὴ βίου μοι· καί σ' ἅπερ ξυνῄνεσα
θέλω πόλιν τε τήνδε μὴ ψεύσας θανεῖν.
ΘΗ. ἐν τῷ δὲ κεῖσαι τοῦ μόρου τεκμηρίῳ;
ΟΙ. αὐτοὶ θεοὶ κήρυκες ἀγγέλλουσί μοι,
ψεύδοντες οὐδὲν σῆμα τῶν προκειμένων.
ΘΗ. πῶς εἶπας, ὦ γεραιέ, δηλοῦσθαι τάδε;
ΟΙ. αἱ πολλὰ βρονταὶ διατελεῖς τὰ πολλά τε
στράψαντα χειρὸς τῆς ἀνικήτου βέλη.

1447—1456. = 1462—1471.

1477—1485. = 1491—1499.

1424. ἐκφέρεις Tyrwhittus] ἐκφέρει 1426. χρῄζει] ει in litura duarum literarum. 1429. *οὐκ] οὐδ' 1432. μὲν in litura. Videtur δ' fuisse. 1435. εὖ διδοίη Burgesius] εὐοδοίη *τελεῖτε] τελεῖται pr., τελοῖτε sec. 1436. ἐπεὶ] ἐπ', superscripto literis minutioribus ει. Versus spurius in locum genuini, qui exciderat, ab interpolatore illatus. 1437. *τ'] γ' 1438. *αὖθις] αὖτισ 1441. *πιθοῦ] πείθου 1444. σφὼ Elmsleius] σφῶιν 1448. νέα ante βαρύποτμα addidit Hermannus. 1450. κιγχάνει Hermannus] τυγχάνηι pr., in κιχάνηι mutatum ab eadem aliave manu. 1453. πάντ' D.] ταῦτ' ἐπεὶ] Corruptum. ἕτερα] ἑτέρα pr. 1455. τὰ δὲ παρ' ἦμαρ ex schol.] τάδε πήματ' 1462. μάλα μέγασ ab S in litura quinque literarum. Videtur igitur μέγασ scriptum fuisse, omisso μάλα. *ἐρείπεται] ἐρίπεται 1466. οὐρία Elmsleius] οὐρανία
.ἀφήσει.
1468. ἀφήσει] ἀφῆσ (in ἀφ' ἧσ mutatum). ἐφήσει D. 1469. *δέδια] δέδεια δ' Triclinius] τόδ'

ε
1470. ἀφορμᾶι, ε a m. pr. ut videtur. οὐδ' Heathius] οὐκ 1474. Addidi πάτερ. In apographis nonnullis est οἶσθα τοῦτο, in aliis τῷ δὲ τοῦτο. Huic
ο
versui praefixum χ a m. sec. pro lineola, quam m. pr. posuerat. ΑΝ. Turnebus. 1481. *ἀφεγγὲς] ἀφθεγγὲσ 1482. σοῦ τύχοιμι Cobetus in Nov. Lect. p. 201.] συντύχοιμι 1486. *ἆρ'] ἄρ' 1487. κιχή-
.ε. ο
σεται, ε ab S, ut videtur. 1488. ΑΝ Turnebus] χ m. sec., lineola a m. pr. 1491. ΧΟ. hic a m. pr. Alterum ἰὼ addidit Hermannus. Post βᾶθ' indicavi lacunam, fortasse sic explendam, ἰὼ ἰὼ παῖ, βᾶθι βᾶθι· μὴ μέλλ', ἄναξ, ἔτ' (sic Heimsoethius pro εἴτ') ἄκρον ἐπὶ γύαλον —. Nam redierat Theseus ad aram Neptuni, ab qua avocatus erat v. 887. ἄκρον Vauvillersius] ἄκραν *ἐπὶ γύαλον] ἐπιγύαλον, relicto post hoc vocabulum sex vel octo literarum spatio. 1494. *Ποσειδαονίῳ] ποσειδαωνίωι θεῷ Hermannus] θεῷ τυγχάνεις 1495. ἁγίζων] ἁγιάζων, superscripto ab alia m. ant. ἁγίζων ἱκοῦ Elmsleius] ἵκου 1498. *παθών] παθῶν 1499. Indicavi lacunam. σπεῦσον supplevit Triclinius. 1501. ἀστῶν Reiskius] αὐτῶν 1506. τῆσδ' ἔθηκε Heathius] θῆκε τῆσδε 1512. σῆμα τῶν D.] σημάτων 1514. *αἱ πολλὰ βρονταὶ] αἱ πολλαὶ βρονταί. δηλοῦσι βρονταὶ Meinekius. 1515. στράψαντα Piersonus] στρέψαντα. In Lb. τὰ πολλά τ' ἀ | στράψαντα.

ΘΗ. πείθεις με· πολλὰ γάρ σε θεσπίζονθ' ὁρῶ
κοὐ ψευδόφημα· χὤ τι χρὴ ποιεῖν λέγε.
ΟΙ. ἐγὼ διδάξω, τέκνον Αἰγέως, ἅ σοι
γήρως ἄλυπα τῇδε κείσεται πόλει.
χῶρον μὲν αὐτὸς αὐτίκ' ἐξηγήσομαι,
ἄθικτος ἡγητῆρος, οὗ με χρὴ θανεῖν.
τοῦτον δὲ φράζε μή ποτ' ἀνθρώπων τινὶ,
μήθ' οὗ κέκευθε μήτ' ἐν οἷς κεῖται τόποις·
ὥς σοι πρὸ πολλῶν ἀσπίδων ἀλκὴν ὅδε
δορός τ' ἐπακτοῦ γειτονῶν ἀεὶ τιθῇ.
ἃ δ' ἐξάγιστα μηδὲ κινεῖται λόγῳ
αὐτὸς μαθήσει, κεῖσ' ὅταν μόλῃς μόνος·
ὡς οὔτ' ἂν ἀστῶν τῶνδ' ἂν ἐξείποιμί τῳ
οὔτ' ἂν τέκνοισι τοῖς ἐμοῖς, στέργων ὅμως.
ἀλλ' αὐτὸς ἀεὶ σῷζε, χὤταν ἐς τέλος
τοῦ ζῆν ἀφικνῇ, τῷ προφερτάτῳ μόνῳ
σήμαιν', ὁ δ' ἀεὶ τὠπιόντι δεικνύτω.
χοὕτως ἀδῆον τήνδ' ἐνοικήσεις πόλιν
σπαρτῶν ἀπ' ἀνδρῶν· αἱ δὲ μυρίαι πόλεις,
κἂν εὖ τις οἰκῇ, ῥᾳδίως καθύβρισαν.
θεοὶ γὰρ εὖ μὲν, ὀψὲ δ' εἰσορῶσ', ὅταν
τὰ θεῖ' ἀφείς τις ἐς τὸ μαίνεσθαι τραπῇ·
ὃ μὴ σὺ, τέκνον Αἰγέως, βούλου παθεῖν.
τὰ μὲν τοιαῦτ' οὖν εἰδότ' ἐκδιδάσκομεν.
χῶρον δ', ἐπείγει γάρ με τοὐκ θεοῦ παρὸν,
στείχωμεν ἤδη, μηδ' ἔτ' ἐντρεπώμεθα.
ὦ παῖδες, ὧδ' ἕπεσθ'· ἐγὼ γὰρ ἡγεμὼν
σφῷν αὖ πέφασμαι καινὸς, ὥσπερ σφὼ πατρί.
χωρεῖτε καὶ μὴ ψαύετ', ἀλλ' ἐᾶτέ με
αὐτὸν τὸν ἱρὸν τύμβον ἐξευρεῖν, ἵνα
μοῖρ' ἀνδρὶ τῷδε τῇδε κρυφθῆναι χθονί.
τῇδ' ὧδε, τῇδε βᾶτε· τῇδε γάρ μ' ἄγει
Ἑρμῆς ὁ πομπὸς ἥ τε νερτέρα θεός.
ὦ φῶς ἀφεγγὲς, πρόσθε πού ποτ' ἦσθ' ἐμὸν,
νῦν δ' ἔσχατόν σου τοὐμὸν ἅπτεται δέμας.
ἤδη γὰρ ἕρπω τὸν τελευταῖον βίον
κρύψων παρ' Ἅιδην. ἀλλὰ, φίλτατε ξένων,
αὐτός τε χώρα θ' ἥδε πρόσπολοί τε σοὶ
εὐδαίμονες γένοισθε, κἀπ' εὐπραξίᾳ
μέμνησθέ μου θανόντος εὐτυχεῖς ἀεί.
ΧΟ. εἰ θέμις ἐστί μοι τὰν ἀφανῆ θεὸν
καὶ σὲ λιταῖς σεβίζειν,
ἐννυχίων ἄναξ,
Αἰδωνεῦ Αἰδωνεῦ, λίσσωμαι
ἐπιπόνῳ μήτ' ἐπὶ βαρυαχεῖ
ξένον ἐξανύσαι
μόρῳ τὰν παγκευθῆ κάτω
νεκρῶν πλάκα καὶ Στύγιον δόμον.
1556—1567. = 1568—1578.

πολλῶν γὰρ ἂν καὶ μάταν
πημάτων ἱκνουμένων
πάλιν σφε δαίμων δίκαιος αὔξοι.
ὦ χθόνιαι θεαὶ, σῶμά τ' ἀνικάτου
θηρὸς, ὃν ἐν πύλαισι
φασὶ πολυξένοις
εὐνᾶσθαι κνυζᾶσθαί τ' ἐξ ἄντρων
ἀδάματον φύλακα παρ' Ἀΐδᾳ
λόγος αἰὲν ἔχει·
τὸν, ὦ Γᾶς παῖ καὶ Ταρτάρου,
κατεύχομαι ἐν καθαρῷ βῆναι
ὁρμωμένῳ νερτέρας
τῷ ξένῳ νεκρῶν πλάκας.
σέ τοι κικλήσκω τὸν αἰένυπνον.

ΑΓΓΕΛΟΣ.

ἄνδρες πολῖται, ξυντομωτάτως μὲν ἂν
τύχοιμι λέξας Οἰδίπουν ὀλωλότα·
ἃ δ' ἦν τὰ πραχθέντ' οὔθ' ὁ μῦθος ἐν βραχεῖ
φράσαι πάρεστιν οὔτε τἄργ' ὅσ' ἦν ἐκεῖ.
ΧΟ. ὄλωλε γὰρ δύστηνος; ΑΓ. ὡς λελοιπότα
κεῖνον τὸν ἀεὶ βίοτον ἐξεπίστασο.
ΧΟ. πῶς; ἆρα θείᾳ κἀπόνῳ τάλας τύχῃ;
ΑΓ. ταῦτ' ἐστὶν ἤδη κἀποθαυμάσαι πρέπον.
ὡς μὲν γὰρ ἐνθένδ' εἷρπε, καὶ σύ που παρὼν
ἔξοισθ', ὑφηγητῆρος οὐδενὸς φίλων,
ἀλλ' αὐτὸς ἡμῖν πᾶσιν ἐξηγούμενος.
ἐπεὶ δ' ἀφῖκτο τὸν καταρράκτην ὁδὸν
χαλκοῖς βάθροισι γῆθεν ἐρριζωμένον,
ἔστη κελεύθων ἐν πολυσχίστων μιᾷ,
κοίλου πέλας κρατῆρος, οὗ τὰ Θησέως
Περίθου τε κεῖται πίστ' ἀεὶ ξυνθήματα·
ἀφ' οὗ μέσος στὰς τοῦ τε Θορικίου πέτρου
κοίλης τ' ἀχέρδου κἀπὸ λαΐνου τάφου,
καθέζετ'· εἶτ' ἔλυσε δυσπινεῖς στολάς.
κἄπειτ' ἀΰσας παῖδας ἠνώγει ῥυτῶν
ὑδάτων ἐνεγκεῖν λουτρὰ καὶ χοὰς ποθεν·
τὼ δ' εὐχλόου Δήμητρος ἐς προσόψιον
πάγον μολόντε τάσδ' ἐπιστολὰς πατρὶ
ταχεῖ πόρευσαν σὺν χρόνῳ, λουτροῖς τέ νιν
ἐσθῆτί τ' ἐξήσκησαν ᾗ νομίζεται.
ἐπεὶ δὲ παντὸς εἶχε δρῶντος ἡδονὴν
κοὐκ ἦν ἔτ' οὐδὲν ἀργὸν ὧν ἐφίετο,
κτύπησε μὲν Ζεὺς χθόνιος, αἱ δὲ παρθένοι
ῥίγησαν, ὡς ἤκουσαν· ἐς δὲ γούνατα
πατρὸς πεσοῦσαι κλᾶον οὐδ' ἀνίεσαν
στέρνων ἀραγμοὺς οὐδὲ παμμήκεις γόους.
ὁ δ' ὡς ἀκούει φθόγγον ἐξαίφνης πικρὸν,
πτύξας ἐπ' αὐταῖς χεῖρας εἶπεν, ὦ τέκνα,

1517. *χρὴ ποιεῖν] χρῆν ποεῖν 1519. τῇδε κείσεται] γρ. σῆι τε κείσεται, ab S, ut opinor. 1521. χρὴ] ν post η erasum. 1525. γειτονῶν] γειτόνῶν, circumflexo a m. recentiore. 1527. μαθήσει] μαθήσηι, ηι in litura. Non fuit ει. 1529. *στέργων] ὅμως] στέργω νόμωι 1530. ἀεὶ — ἐς D.] αἰεὶ — εἰς 1531. *ἀφικνῇ] ἀφίκηι 1532. *ἀεὶ] αἰεὶ 1541. μηδ' ἔτ' Reisigius] μηδέ γ' 1543. *σφὼ] σφῶι 1545. ἱρὸν D.] ἱερὸν 1549. *πού] ποῦ ποτ' in litura. Fuit .στ., erasa utrinque litera.

1551. τὸν τελευταῖον βίον | κρύψων] τήν τελευταίαν ὁδὸν, | κεύσων D. τὴν τελεύταίαν, βίον | κρύ ψων Musgravius. 1559. Αἰδωνεῦ Αἰδωνεῦ Hermannus] ἀϊδωνεῦ ἀϊδωνεῦ 1560. λίσσωμαι D.] λίσσομαι 1561.ἐπιπόνῳ Seidlerus] μήτ' ἐπιπόνω (sic, sine iota adscripto) *ἐπὶ βαρυαχεῖ] ἐπιβαρυάχει pr. ἐπιβαρυαχεῖ corr. 1562. ἐξανύσαι Vauvillersius] ἐκτανύσαι 1564. νεκρῶν Triclinius] νεκύων

1566. σφε Reiskius] σε 1570. πολυξένοις Musgravius] πολυξέστοις 1571. *κνυζᾶσθαι] κνυζεῖσθαι

1572. ἀδάματον Brunckius] ἀδάμαστον 1573. ἔχει Triclinius] ἀνέχει 1574. τὸν Hermannus] ὃν

1575. βῆναι] μολεῖν Hermannus. 1578. *τὸν] τίν', quod non correctum est. αἰένυπνον] αἰὲν ἄϋπνον pr. 1584. τὸν ἀεὶ] σαφῶς τὸν D. 1585. *κἀπόνῳ] καὶ πόνωι 1588. *ὑφηγητῆρος] ὑφ' (ἀφ' m. pr.) ἡγητῆροσ 1590. καταρράκτην] Alterum ρ ab S. *ὁδὸν] ὁδὸν 1592. πολυσχίστων Heathius] πολυσχίστωι 1595. ἀφ' οὗ μέσος Brunckius] ἐφ'
τε
οὗ μέσου *τοῦ τε Θορικίου] τοῦθ' ορικίου, θ ex τ facto et τε ab S superscripto. 1597. *ἔλυσε] ἔδυσε 1600. *τὼ δ'] τῶιδ' 1601. μολόντε D.] μολοῦσαι 1605. *ἐφίετο]ἐφείετο
η
1608. κλᾶον D.] κλαῖον *ἀνίεσαν] ἀνειεσαν, η a m. pr.

οὐκ ἔστ᾽ ἔθ᾽ ὑμῖν τῇδ᾽ ἐν ἡμέρᾳ πατήρ.
ὄλωλε γὰρ δὴ πάντα τἀμά, κοὐκέτι
τὴν δυσπόνητον ἕξετ᾽ ἀμφ᾽ ἐμοὶ τροφήν·
σκληρὰν μέν, οἶδα, παῖδες· ἀλλ᾽ ἓν γὰρ μόνον
τὰ πάντα λύει ταῦτ᾽ ἔπος μοχθήματα.
τὸ γὰρ φιλεῖν οὐκ ἔστιν ἐξ ὅτου πλέον
ἢ τοῦδε τἀνδρὸς ἔσχεθ᾽, οὗ τητώμεναι
τὸ λοιπὸν ἤδη τὸν βίον διάξετον.
τοιαῦτ᾽ ἐπ᾽ ἀλλήλοισιν ἀμφικείμενοι
λύγδην ἔκλαον πάντες. ὡς δὲ πρὸς τέλος
γόων ἀφίκοντ᾽ οὐδ᾽ ἔτ᾽ ὠρώρει βοή,
ἦν μὲν σιωπή, φθέγμα δ᾽ ἐξαίφνης τινὸς
θώϋξεν αὐτόν, ὥστε πάντας ὀρθίας
στῆσαι φόβῳ δείσαντας ἐξαίφνης τρίχας.
καλεῖ γὰρ αὐτὸν πολλὰ πολλαχῇ θεός·
ὦ οὗτος οὗτος, Οἰδίπους, τί μέλλομεν
χωρεῖν; πάλαι δὴ τἀπὸ σοῦ βραδύνεται.
ὁ δ᾽ ὡς ἐπῄσθετ᾽ ἐκ θεοῦ καλούμενος,
αὐδᾷ μολεῖν οἱ γῆς ἄνακτα Θησέα.
κἀπεὶ προσῆλθεν, εἶπεν, ὦ φίλον κάρα,
δός μοι χερὸς σῆς πίστιν ἀρχαίαν τέκνοις,
ὑμεῖς τε, παῖδες, τῷδε· καὶ καταίνεσον
μήποτε προδώσειν τάσδ᾽ ἑκών, τελεῖν δ᾽ ὅσ᾽ ἂν
μέλλῃς φρονῶν εὖ ξυμφέροντ᾽ αὐταῖς ἀεί.
ὁ δ᾽, ὡς ἀνὴρ γενναῖος, οὐκ οἴκτου μέτα
κατῄνεσεν τάδ᾽ ὅρκιος δράσειν ξένῳ.
ὅπως δὲ ταῦτ᾽ ἔδρασεν, εὐθὺς Οἰδίπους
ψαύσας ἀμαυραῖς χερσὶν ὧν παίδων λέγει,
ὦ παῖδε, τλάσας χρὴ τὸ γενναῖον φρενὶ
χωρεῖν τόπων ἐκ τῶνδε, μηδ᾽ ἃ μὴ θέμις
λεύσσειν δικαιοῦν, μηδὲ φωνούντων κλύειν.
ἀλλ᾽ ἕρπεθ᾽ ὡς τάχιστα· πλὴν ὁ κύριος
Θησεὺς παρέστω μανθάνων τὰ δρώμενα.
τοσαῦτα φωνήσαντος εἰσηκούσαμεν
ξύμπαντες· ἀστακτὶ δὲ σὺν ταῖς παρθένοις
στένοντες ὡμαρτοῦμεν. ὡς δ᾽ ἀπήλθομεν,
χρόνῳ βραχεῖ στραφέντες ἐξαπείδομεν
τὸν ἄνδρα τὸν μὲν οὐδαμοῦ παρόντ᾽ ἔτι,
ἄνακτα δ᾽ αὐτὸν ὀμμάτων ἐπίσκιον
χεῖρ᾽ ἀντέχοντα κρατός, ὡς δεινοῦ τινος
φόβου φανέντος οὐδ᾽ ἀνασχετοῦ βλέπειν.
ἔπειτα μέντοι βαιὸν οὐδὲ σὺν χρόνῳ
ὁρῶμεν αὐτὸν γῆν τε προσκυνοῦνθ᾽ ἅμα
καὶ τὸν θεῶν Ὄλυμπον ἐν ταὐτῷ λόγῳ.
μόρῳ δ᾽ ὁποίῳ κεῖνος ὤλετ᾽ οὐδ᾽ ἂν εἷς
θνητῶν φράσειε πλὴν τὸ Θησέως κάρα.
οὐ γάρ τις αὐτὸν οὔτε πυρφόρος θεοῦ
κεραυνὸς ἐξέπραξεν οὔτε ποντία
θύελλα κινηθεῖσα τῷ τότ᾽ ἐν χρόνῳ,
ἀλλ᾽ ἤ τις ἐκ θεῶν πομπός, ἢ τὸ νερτέρων
εὔνουν διαστὰν γῆς ἀλύπητον βάθρον.

ἀλγεινὸς ἐξεπέμπετ᾽, ἀλλ᾽ εἴ τις βροτῶν
θαυμαστός. εἰ δὲ μὴ δοκῶ φρονῶν λέγειν,
οὐκ ἂν παρείμην οἷσι μὴ δοκῶ φρονεῖν.
ΧΟ. ποῦ δ᾽ αἵ τε παῖδες χοἰ προπέμψαντες φίλων;
ΑΓ. αἵδ᾽ οὐχ ἑκάς· γόων γὰρ οὐκ ἀσήμονες
φθόγγοι σφε σημαίνουσι δεῦρ᾽ ὁρμωμένας.
ΑΝ. αἰαῖ, ἔστιν ἔστι νῷν δὴ
οὐ τὸ μέν, ἄλλο δὲ μή, πατρὸς ἔμφυτον
ἄλαστον αἷμα δυσμόροιν στενάζειν,
ᾧτινε τὸν πολὺν
ἄλλοτε μὲν πόνον ἔμπεδον εἴχομεν,
ἐν πυμάτῳ δ᾽ ἀλόγιστα παροίσομεν
ἰδόντε καὶ παθόντε.
ΧΟ. τί δ᾽ ἔστιν; ΑΝ. ἔστιν μὲν εἰκάσαι, φίλοι.
ΧΟ. βέβηκεν; ΑΝ. ὡς μάλιστ᾽ ἂν ἐν πόθῳ λάβοις.
τί γάρ, ὅτῳ μήτ᾽ Ἄρης
μήτε πόντος ἀντέκυρσεν,
ἄσκοποι δὲ πλάκες ἔμαρψαν
ἐν ἀφανεῖ τινι μόρῳ φερόμενον.
τάλαινα, νῷν δ᾽ ὀλεθρία
νὺξ ἐπ᾽ ὄμμασιν βέβακε.
πῶς γὰρ ἤ τιν᾽ ἀπίαν
γᾶν ἢ πόντιον κλύδων᾽ ἀλώμεναι βίου δύσοι-
στον ἕξομεν τροφάν;
ΙΣ. οὐ κάτοιδα. κατά με φόνιος
Ἀΐδας ἕλοι πάρος
τάλαιναν· ὡς ἔμοιγ᾽ ὁ μέλλων βίος οὐ βιωτός.
ΧΟ. ὦ διδύμα τέκνων ἀρίστα,
τὸ φέρον ἐκ θεοῦ καλῶς
μηδὲν ἄγαν φλέγεσθον· οὔ τοι κατάμεμπτ᾽ ἐβήτην.
ΑΝ. πόθος καὶ κακῶν ἄρ᾽ ἦν τις.
καὶ γὰρ ὃ μηδαμὰ δὴ τὸ φίλον φίλον,
ὁπότε γε καὶ τὸν ἐν χεροῖν κατεῖχον.
ὦ πάτερ, ὦ φίλος,
ἀνὴρ γὰρ οὐ στενακτὸς οὐδὲ σὺν νόσοις

1670—1687. = 1697—1714.
1688—1696. — 1715—1723.

---

1618. *ἔσχεθ᾽] ἔσχετ᾽ 1619. ἤδη τὸν βίον Elmsleius] ἤδη βίοτον. ἤδη τοῦ βίου Suidas s. v. τητᾶσθαι. 1621. ἔκλαον D.] ἔκλαιον 1622. οὐδ᾽ ἔτ᾽ Turnebus] οὐδέ τ᾽ 1625. φόβῳ] φ et β in litura a m. sec. Fortasse harum literarum sedem permutaverat librarius. ἐξαίφνης] εὐθέως D. 1626. καλεῖ] *κάλει πολλαχῇ] πολλαχεῖ, ηι a m. pr. 1627. μέλλομεν χωρεῖν] μέλλομεν; χώρει· Nauckius. 1630. *οἱ] οἷ 1634. τάσδ᾽] σ in litura. 1635. * μέλλῃς] μέλλεισ 1638. ἔδρασεν] ἔπραξεν Heimsoethius. 1640. τλάσας] τλάντε D. *φρενὶ] φέρειν 1641. *μηδ᾽] μή μ᾽ 1652. ἀνασχετοῦ] ἀνασχέτου pr. 1658. *αὐτὸν] αὐτῶν θεοῦ pr. θεὸσ ab S. 1662. ἀλύπητον] γρ. ἀλάμπετον ab S.

1664. *ἀλγεινὸς] ἀλγεινῶς 1667. χοἰ] χ in ampliore litura. Fuit fortasse καί. 1669. *φθόγγοι σφε] φθόγγοισ δὲ 1670. αἰαῖ] αἶ αἶ φεῦ. φεῦ delevit editor Glasgoviensis a. 1745. *ἔστι] ἔστιν 1673. ᾥτινε Badhamus] ᾧτινι 1675. ἐν] ἐμ pr. 1676. παθούσα corr. παθοῦσα pr. παθόντε Brunckius. 1677. Post τί δ᾽ duae literae erasae. ἔστιν μὲν] οὐκ ἔστι μὲν. οὐκ delevit Hermannus. 1678. ἐν Canterus] εἰ 1679. τί γὰρ] ἀν praefixum a m. sec., lineola a pr. Χο. Ald. 1680. πόντος] Per μήτε νόσος ἐπῆλθεν explicat scholiasta, quasi πόνος legerit, quod est in uno apographo, vel νοῦσος, quod coniecit Reisigius. 1682. φερόμενον Kunhardtus] φαινόμεναι 1683. τάλαινα] ἀν praefixum a m. sec., lineola a pr. *ὀλεθρία] ὀλεθρίαν 1684. *βέβακε] βέβηκε 1685. πῶς] πόθι Heimsoethius. 1688. *ΙΣ.] Nulla personae nota. πάρος addidit D. 1691. Quod ante τάλαιναν legebatur πατρὶ ξυνθανεῖν γεραιῷ delevit D. 1693. διδύμα — ἀρίστα Triclinius] δίδυμα — ἄριστα 1695. Post καλῶς legitur φέρειν χρὴ in initio proximi versus. Delevit Elmsleius. 1696. μηδὲν D.] μηδ᾽ ἄγαν Burtonus] ἄγαν οὕτω 1695. καταπεμπτ᾽, μ a m. antiqua. ἐβήτην Elmsleius] ἔβητον 1697. ΑΝ.] Personae notam habet a m. sec. *ἦν τις] ἦν τισ ἦν 1698. ὃ μηδαμὰ Brunckius] ὁ μηδαμῆι δὴ τὸ φίλον] δὴ φίλον ἦν Brunckius. 1699. ὁπότε γε καὶ τὸν] Verba interpolata. Metro satisfacit quod partim Arndtius partim Heimsoethius coniecerunt ἕως γ᾽ ἔτ᾽ αὐτὸν —.

ὢ τὸν ἀεὶ κατὰ γᾶς σκότον εἱμένος·
οὐδὲ γὰρ ὢν ἀφίλητος ἐμοί ποτε
καὶ τᾷδε μὴ κυρήσῃς.
ΧΟ. ἔπραξεν; ΑΝ. ἔπραξεν οἷον ἤθελεν.
ΧΟ. τὸ ποῖον; ΑΝ. ἇς ἔχρῃζε γᾶς ἐπὶ ξένας
ἔθανε· κοίταν δ' ἔχει
νέρθεν εὐσκίαστον αἰὲν,
οὐδὲ πένθος ἔλιπ' ἄκλαυτον.
ἀνὰ γὰρ ὄμμα σε τόδ', ὦ πάτερ, ἐμὸν
στένει δακρῦον, οὐδ' ἔχω
πῶς με χρὴ τὸ σὸν τάλαιναν
ἀφανίσαι τοσόνδ' ἄχος.
⏒ — ⏒ ⏑ — ⏑ ⏒ ⏑ — ⏑ ⏒ ἔρημος ἔθανες ὧδέ μοι.
ΙΣ. ὦ τάλαινα, τίς ἄρα με πότμος
⏒ ⏑ — ⏑ ⏒ ⏑ —
ἐπαμμένει σέ τ', ὦ φίλα, τὰς πατρὸς ὧδ' ἐρήμας;
ΧΟ. ἀλλ' ἐπεὶ ὀλβίως γ' ἔλυσεν
τὸ τέλος, ὦ φίλαι, βίου, [δείς.
λήγετε τοῦδ' ἄχους· κακῶν γὰρ δυσάλωτος οὐ-
ΑΝ. πάλιν, φίλα, συθῶμεν. ΙΣ. ὡς τί ῥέξομεν;
ΑΝ. ἵμερος ἔχει με ΙΣ. τίς;
ΑΝ. τὰν χθόνιον ἑστίαν ἰδεῖν
ΙΣ. τίνος; ΑΝ. πατρὸς, τάλαιν' ἐγώ.
ΙΣ. θέμις δὲ πῶς τάδ' ἐστί; μῶν
οὐχ ὁρᾷς; ΑΝ. τί τόδ' ἐπέπληξας;
ΙΣ. καὶ τόδ', ὡς ΑΝ. τί τόδε μάλ' αὖθις;
ΙΣ. ἄταφος ἔπιτνε δίχα τε παντός.
ΑΝ. ἄγε με, καὶ τότ' ἐπενάριξον.
ΙΣ. αἰαῖ, δυστάλαινα, ποῖ δῆτ'
αὖθις ὧδ' ἔρημος ἄπορος
αἰῶνα τλάμον' ἕξω;
ΧΟ. φίλαι, τρέσητε μηδέν. ΑΝ. ἀλλὰ ποῖ φύγω;
ΧΟ. καὶ πάρος ἀπέφυγε ΑΝ. τί;
ΧΟ. τὰ σφῷν τὸ μὴ πίτνειν κακῶς.
ΑΝ. φρονῶ, ΧΟ. τί δῆθ' ὅπερ νοεῖς;
1724—1736. = 1737--1750.
ΑΝ. ὅπως μολούμεθ' ἐς δόμους
οὐκ ἔχω. ΧΟ. μηδέ γε μάτευε.
ΑΝ. μόγος ἔχει. ΧΟ. καὶ πάρος ἐπεῖχε.
ΑΝ. τοτὲ μὲν ἄπορα, τοτὲ δ' ὕπερθεν.
ΧΟ. μέγ' ἄρα πέλαγος ἐλαχέτην τι.
ΑΝ. αἰαῖ, ποῖ μόλωμεν, ὦ Ζεῦ;
ἐλπίδων γὰρ ἐς τίν' ἔτι με
δαίμων τανῦν ἐλαύνει;
ΘΗ. παύετε θρήνων, παῖδες· ἐν οἷς γὰρ
χάρις ἡ χθονία ξύν' ἀπόκειται
πενθεῖν οὐ χρή· νέμεσις γάρ.
ΑΝ. ὦ τέκνον Αἰγέως, προσπίτνομέν σοι.
ΘΗ. τίνος, ὦ παῖδες, χρείας ἀνύσαι;
ΑΝ. τύμβον θέλομεν προσιδεῖν αὐταὶ
πατρὸς ἡμετέρου. ΘΗ. ἀλλ' οὐ θεμιτόν.
ΑΝ. πῶς εἶπας, ἄναξ, κοίραν' Ἀθηνῶν;
ΘΗ. ὦ παῖδες, ἀπεῖπεν ἐμοὶ κεῖνος
μήτε πελάζειν ἐς τούσδε τόπους
μήτ' ἐπιφωνεῖν μηδένα θνητῶν
θήκην ἱερὰν, ἣν κεῖνος ἔχει·
καὶ ταῦτά μ' ἔφη πράσσοντα κακῶν
χώραν ἕξειν αἰὲν ἄλυπον.
ταῦτ' οὖν ἔκλυεν δαίμων ἡμῶν
χὠ πάντ' ἀΐων Διὸς Ὅρκος.
ΑΝ. ἀλλ' εἰ τάδ' ἔχει κατὰ νοῦν κείνῳ,
ταῦτ' ἂν ἀπαρκοῖ· Θήβας δ' ἡμᾶς
τὰς ὠγυγίους πέμψον, ἐάν πως
διακωλύσωμεν ἰόντα φόνον
τοῖσιν ὁμαίμοις.
ΘΗ. δράσω καὶ τάδε καὶ πάνθ' ὁπόσ' ἂν
μέλλω πράσσειν πρόσφορά θ' ὑμῖν
καὶ τῷ κατὰ γῆς, ὃς νέον ἔρρει,
πρὸς χάριν· οὐ δεῖ μ' ἀποκάμνειν.
ΧΟ. ἀλλ' ἀποπαύετε μηδ' ἐπὶ πλείω
θρῆνον ἐγείρετε·
πάντως γὰρ ἔχει τάδε κῦρος.

1702. γὰρ ὢν Hermannus] γέρων 1703. τᾷδε Triclinius] τάδε 1709. ἀνὰ Hermannus] ἀεὶ 1710. * δακρῦον] δάκρυον 1712. τοσόνδ'] τόσον Arndtius. Quae post ἄχοσ sequuntur verba partim spuria in cod. in tres versus divisa sunt, ἰὼ μὴ | γᾶσ ἐπὶ ξένασ θανεῖν ἔχρηιζεσ ἀλλ' | ἔρημοσ — μοι. 1715. *ΙΣ.] Nulla personae nota. Post hunc versum delevi cum Lachmanno verba ex v. 1735. illata αὖθις ὧδ' ἔρημος ἄπορος 1718. ἐπαμμένει Hermannus] ἐπιμένει τὰς addidit Hermannus. 1720. ΧΟ. a m. antiqua. 1724. In toto hoc colloquio personarum vices a manu prima solis lineolis indicatae. 1725. *ῥέξομεν] ῥέξωμεν 1726. τίς] $\overset{o}{\chi}$ praefixum a m. sec. 1728. 1729. *ΙΣ.] $\overset{o}{\chi}$ a m. sec. 1728. * ἐγώ] ἔγωγε 1729. Post θέμισ tres literae erasae. τάδ' ab S illatum. 1731. τόδε] δε in litura unius literae. 1733. ἐπενάριξον Elmsleius] ἐνάριξον 1734. αἰαῖ] αἶ αἶ 1736. τλάμον'] ο in ω mutatum a corr. 1739. ἀπέφυγε ΑΝ. τί; ΧΟ. τὰ σφῷν Hermannus] ἀπεφεύγετον σφῶϊν. Ante σφῶϊν, a quo versus incipit in codice, est χ (voluit $\overset{o}{\chi}$) a m. antiqua. 1741. ὅπερ νοεῖς Graserus] ὑπερνοεῖς

1744. ἐπεῖχε Wunderus] ἐπεί 1745. Ante τοτὲ μὲν lineola. ἄπορα Wunderus] πέρα 1746. ἐλαχέτην Elmsleius] ἐλάχετον. Quae post hunc versum sequuntur ΑΝ. ναὶ ναί. ξύμφημι καὐτός delevit D. 1748. αἰαῖ D.] φεῦ φεῦ *μόλωμεν] μέλωμεν 1749. τίν' ἔτι με Hermannus] τί με 1750. τανῦν] Prius ν in litura duarum literarum. γ' post τανῦν omissum in duobus apographis. In aliis τὸ νῦν (vel τονῦν) γ'. 1751. ΘΗ.] $\overset{o}{\chi}$ a m. antiqua. Theseo tribuit Heathius. 1752. ξύν' ἀπόκειται Reisigius] ξυναπόκειται 1754. ΑΝ.] Sic etiam codex. *προσπίτνομεν] προσπίπτομεν 1755—1759. Nulla personarum nomina, sed lineolae. 1755. χρείας] χρείαν Brunckius. 1758. θεμιτὸν] θεμιστὸν (eraso σ) κεῖσε μολεῖν. Verba κεῖσε μολεῖν delevit Bothius. 1764. κακῶν Hermannus] καλῶς 1766. *ἔκλυεν] ἔκλυε 1768. *ΑΝ.] Lineola. 1772. τοῖσιν ὁμαίμοις] τοῖς ἡμετέροισιν ὁμαίμοις Meinekius 1773. ὁπόσ' Porsonus] ὅσ' 1775. *ἔρρει] ἔρρεισ 1776. οὐ Hermannus] οὐ γὰρ 1777. μηδ' Elmsleius] μήτ' *ἐπὶ πλείω] ἐπιπλείω 1778. θρῆνον] θρήνων

# ΣΟΦΟΚΛΕΟΥΣ ΗΛΕΚΤΡΑ.

## ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

ΠΑΙΔΑΓΩΓΟΣ.
ΟΡΕΣΤΗΣ.
ΗΛΕΚΤΡΑ.
ΧΟΡΟΣ.
ΧΡΥΣΟΘΕΜΙΣ.
ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.
ΑΙΓΙΣΘΟΣ.

## ΥΠΟΘΕΣΙΣ.

Ὑπόκειται ὧδε· τροφεὺς δεικνὺς τῷ Ὀρέστῃ τὰ ἐν Ἄργει. μικρὸν γὰρ αὐτὸν ὄντα κλέψασα ἡ Ἠλέκτρα, ἡνίκα ὁ πατὴρ ἐσφάζετο, δέδωκε τῷ τροφεῖ, φοβουμένη μὴ καὶ αὐτὸν φονεύσωσι σὺν τῷ πατρί.

## ΑΛΛΩΣ.

Τροφεύς ἐστιν ὁ προλογίζων πρεσβύτης παιδαγωγὸς ὁ ὑποκείμενος καὶ ὑπεκθέμενος τὸν Ὀρέστην εἰς τὴν Φωκίδα πρὸς Στρόφιον καὶ ὑποδεικνὺς αὐτῷ τὰ ἐν Ἄργει. μικρὸν γὰρ αὐτὸν κλέψας ἐκ τοῦ Ἄργους ὁ παιδαγωγὸς ἔφυγεν καὶ διὰ εἴκοσιν ἐτῶν ἐπανελθὼν εἰς τὸ Ἄργος μετ᾽ αὐτοῦ δείκνυσιν αὐτῷ τὰ ἐν Ἄργει.

[Ἡ σκηνὴ τοῦ δράματος ὑπόκειται ἐν Ἄργει. ὁ δὲ χορὸς συνέστηκεν ἐξ ἐπιχωρίων παρθένων. προλογίζει δὲ ὁ παιδαγωγὸς Ὀρέστου.]

ΠΑΙΔΑΓΩΓΟΣ.

Ὦ τοῦ στρατηγήσαντος ἐν Τροίᾳ ποτὲ
Ἀγαμέμνονος παῖ, νῦν ἐκεῖν᾽ ἔξεστί σοι
παρόντι λεύσσειν, ὧν πρόθυμος ἦσθ᾽ ἀεί.
τὸ γὰρ παλαιὸν Ἄργος οὑπόθεις τόδε,
τῆς οἰστροπλῆγος ἄλσος Ἰνάχου κόρης·
αὕτη δ᾽, Ὀρέστα, τοῦ λυκοκτόνου θεοῦ
ἀγορὰ Λύκειος· οὑξ ἀριστερᾶς δ᾽ ὅδε
Ἥρας ὁ κλεινὸς ναός· οἷ δ᾽ ἱκάνομεν,
φάσκειν Μυκήνας τὰς πολυχρύσους ὁρᾶν,
πολύφθορόν τε δῶμα Πελοπιδῶν τόδε,
ὅθεν σε πατρὸς ἐκ φονῶν ἐγώ ποτε
πρὸς σῆς ὁμαίμου καὶ κασιγνήτης λαβὼν
ἤνεγκα κἀξέσωσα κἀξεθρεψάμην
τοσόνδ᾽ ἐς ἥβης, πατρὶ τιμωρὸν φόνου.

1. στρατηγήσαντος] γρ. τυραννήσαντος ab S.

10. Πελοπιδῶν] πελοπιδαν, ων a m. pr. (ων written above)
11. φονῶν D.] φόνων 14. τιμωρὸν φόνου] τιμωρῶν φθόνου pr., sed correctum a m. pr. vel ab S.

νῦν οὖν, Ὀρέστα καὶ σὺ φίλτατε ξένων
Πυλάδη, τί χρὴ δρᾶν ἐν τάχει βουλευτέον·
ὡς ἡμὶν ἤδη λαμπρὸν ἡλίου σέλας
ἑῷα κινεῖ φθέγματ' ὀρνίθων σαφῆ
μέλαινά τ' ἄστρων ἐκλέλοιπεν εὐφρόνη.
πρὶν οὖν τιν' ἀνδρῶν ἐξοδοιπορεῖν στέγης,
ξυνάπτετον λόγοισιν· ὡς ἐνταῦθ' ἔβης
ἵν' οὐκέτ' ὀκνεῖν καιρός, ἀλλ' ἔργων ἀκμή.

ΟΡΕΣΤΗΣ.

ὦ φίλτατ' ἀνδρῶν προσπόλων, ὥς μοι σαφῆ
σημεῖα φαίνεις ἐσθλὸς εἰς ἡμᾶς γεγώς.
ὥσπερ γὰρ ἵππος εὐγενής, κἂν ᾖ γέρων,
ἐν τοῖσι δεινοῖς θυμὸν οὐκ ἀπώλεσεν,
ἀλλ' ὀρθὸν οὖς ἵστησιν, ὡσαύτως δὲ σὺ
ἡμᾶς τ' ὀτρύνεις καὐτὸς ἐν πρώτοις ἕπει.
τοιγὰρ τὰ μὲν δόξαντα δηλώσω, σὺ δὲ
ὀξεῖαν ἀκοὴν τοῖς ἐμοῖς λόγοις διδούς,
εἰ μή τι καιροῦ τυγχάνω, μεθάρμοσον.
ἐγὼ γὰρ ἡνίχ' ἱκόμην τὸ Πυθικὸν
μαντεῖον, ὡς μάθοιμ' ὅτῳ τρόπῳ πατρὶ
δίκας ἀροίμην τῶν φονευσάντων πάρα,
χρῇ μοι τοιαῦθ' ὁ Φοῖβος ὧν πεύσει τάχα·
ἄσκευον αὐτὸν ἀσπίδων τε καὶ στρατοῦ
δόλοισι κλέψαι χειρὸς ἐνδίκους σφαγάς.
ὅτ' οὖν τοιόνδε χρησμὸν εἰσηκούσαμεν,
σὺ μὲν μολών, ὅταν σε καιρὸς εἰσάγῃ,
δόμων ἔσω τῶνδ', ἴσθι πᾶν τὸ δρώμενον,
ὅπως ἂν εἰδὼς ἡμὶν ἀγγείλῃς σαφῆ.
οὐ γάρ σε μὴ γήρᾳ τε καὶ χρόνῳ μακρῷ
γνῶσ' οὐδ' ὑποπτεύσουσιν ὧδ' ἠνθισμένον.
λόγῳ δὲ χρῶ τοιῷδ', ὅτι ξένος μὲν εἶ
Φωκεὺς παρ' ἀνδρὸς Φανοτέως ἥκων· ὁ γὰρ
μέγιστος αὐτοῖς τυγχάνει δορυξένων.
ἄγγελλε δ' ὅρκον προστιθεὶς ὁθούνεκα
τέθνηκ' Ὀρέστης ἐξ ἀναγκαίας τύχης,
ἄθλοισι Πυθικοῖσιν ἐκ τροχηλάτων
δίφρων κυλισθείς· ὧδ' ὁ μῦθος ἑστάτω.
ἡμεῖς δὲ πατρὸς τύμβον, ὡς ἐφίετο,
λοιβαῖσι πρῶτον καὶ καρατόμοις χλιδαῖς
στέψαντες, εἶτ' ἄψορρον ἥξομεν πάλιν,
τύπωμα χαλκόπλευρον ἠρμένοι χεροῖν,
ὃ καὶ σὺ θάμνοις οἶσθά μοι κεκρυμμένον,
ὅπως λόγῳ κλέπτοντες ἡδεῖαν φάτιν
φέρωμεν αὐτοῖς τοὐμὸν ὡς ἔρρει δέμας
φλογιστὸν ἤδη καὶ κατηνθρακωμένον.
τί γάρ με λυπεῖ τοῦθ', ὅταν λόγῳ θανὼν
ἔργοισι σωθῶ κἀξενέγκωμαι κλέος;
δοκῶ μὲν οὐδὲν ῥῆμα σὺν κέρδει κακόν.
ἤδη γὰρ εἶδον πολλάκις καὶ τοὺς σοφοὺς
λόγῳ μάτην θνῄσκοντας· εἶθ', ὅταν δόμους
ἔλθωσιν αὖθις, ἐκτετίμηνται πλέον·
ὡς κἄμ' ἐπαυχῶ τῆσδε τῆς φήμης ἄπο
δεδορκότ' ἐχθροῖς ἄστρον ὡς λάμψειν ἔτι.
ἀλλ', ὦ πατρῴα γῆ θεοί τ' ἐγχώριοι,
δέξασθέ μ' εὐτυχοῦντα ταῖσδε ταῖς ὁδοῖς,
σύ τ', ὦ πατρῷον δῶμα· σοῦ γὰρ ἔρχομαι
δίκῃ καθαρτὴς πρὸς θεῶν ὡρμημένος·
καὶ μή μ' ἄτιμον τῆσδ' ἀποστείλητε γῆς,
ἀλλ' ἀρχέπλουτον καὶ καταστάτην δόμων.
εἴρηκα μέν νυν ταῦτα· σοὶ δ' ἤδη, γέρον,
τὸ σὸν μελέσθω βάντι φρουρῆσαι χρέος.
νὼ δ' ἔξιμεν· καιρὸς γάρ, ὅσπερ ἀνδράσιν
μέγιστος ἔργου παντός ἐστ' ἐπιστάτης.

ΗΛΕΚΤΡΑ.

ἰώ μοί μοι.

ΠΑ. καὶ μὴν θυρῶν ἔδοξα προσπόλων τινὸς
ὑποστενούσης ἔνδον αἰσθέσθαι, τέκνον.

ΟΡ. ἆρ' ἐστὶν ἡ δύστηνος Ἠλέκτρα; θέλεις
μείνωμεν αὐτοῦ κἀνακούσωμεν γόων;

ΠΑ. ἥκιστα. μηδὲν πρόσθεν ἢ τὰ Λοξίου
πειρώμεθ' ἔρδειν κἀπὸ τῶνδ' ἀρχηγετεῖν,
πατρὸς χέοντες λουτρά· ταῦτα γὰρ φέρει
νίκην τ' ἐφ' ἡμῖν καὶ κράτος τῶν δρωμένων.

ΗΛ. ὦ φάος ἁγνὸν
καὶ γῆς ἰσόμοιρ' ἀήρ, ὥς μοι
πολλὰς μὲν θρήνων ᾠδάς,
πολλὰς δ' ἀντήρεις ᾔσθου
στέρνων πληγὰς αἱμασσομένων,
ὁπόταν δνοφερὰ νὺξ ὑπολειφθῇ·
τὰ δὲ παννυχίδων ἤδη στυγεραὶ
ξυνίσασ' εὐναὶ μογερῶν οἴκων,
ὅσα τὸν δύστηνον ἐμὸν θρηνῶ
πατέρ', ὃν κατὰ μὲν βάρβαρον αἶαν
φοίνιος Ἄρης οὐκ ἐξένισεν,
μήτηρ δ' ἡμὴ χὼ κοινολεχὴς
Αἴγισθος ὅπως δρῦν ὑλοτόμοι
σχίζουσι κάρα φονίῳ πελέκει.
κοὐδεὶς τούτων οἶκτος ἀπ' ἄλλης
ἢ 'μοῦ φέρεται, σοῦ, πάτερ, οὕτως
αἰκῶς οἰκτρῶς τε θανόντος.
ἀλλ' οὐ μὲν δὴ
λήξω θρήνων στυγερῶν τε γόων,
ἔς τ' ἂν παμφεγγεῖς ἄστρων
ῥιπάς, λεύσσω δὲ τόδ' ἦμαρ,
μὴ οὐ τεκνολέτειρ' ὥς τις ἀηδὼν
ἐπὶ κωκυτῷ τῶνδε πατρῴων
πρὸ θυρῶν ἠχὼ πᾶσι προφωνεῖν.
ὦ δῶμ' Ἀΐδου καὶ Περσεφόνης,
ὦ χθόνι' Ἑρμῆ καὶ πότνι' Ἀρά,
σεμναί τε θεῶν παῖδες Ἐρινύες,

86—89. = 103—106.

113. αἳ τοὺς ἀδίκως θνῄσκοντας ὁρᾶτε,
τοὺς εὐνὰς ὑποκλεπτομένους

---

15. Versus a m. pr. in margine additus. 16. Πυλάδη] πυλάδησ, eraso σ 21. ἔβης D.] ἐμὲν 28. τ' factum ex alia litera, γ' ut videtur. ἕπει] ἕπηι, pariterque ηι pro ει 35. 144. 365. 402. 405. 430. 516. 519. 622. 628. 790. 809. 835. 888. 922. 964. 972. 996. 1038. 1048. 1207. 1475. 1477. 33. πατρὸσ a m. recentiore ex πατρὶ factum. 47. ὅρκον Reiskius] ὅρκῳ 51. ἐφίετο] ἐφεῖτο νῷν D. 52. λοιβαῖσι, τε a m. recenti (τε written above the line). 55. που ex μοι factum, litera tamen μ incerta, ut etiam ποι primo scriptum fuisse possit. 57. *φέρωμεν] φέροιμεν 61. *οὐδὲν] ὡς οὐδὲν *σὺν κέρδει] συγκέρδει 65. ἄπο] ο ex ω factum.

73. Encliticum νυν a Brunckio aliisque restitutum hic et 428. 615. 854. 889. 947. 1119. 1200. 1435. 77. ἰώ μοί μοι (codex ἰώ μοι μοί) D. deleto quod addebatur δύστηνος. 81. κἀνακούσωμεν] ἐπακούσωμεν supra versum. 83. ἀρχηγετεῖν] η ex α factum videtur. 84. *πατρὸς χέοντες] πατρὸ σχέσοντεσ, ευ super έ a m. pr. 87. ἰσόμοιρ' Porsonus] ἰσόμοιρος 90. *πληγὰς] πλαγὰς 96. ἐξένισεν pr., ἐξείνισεν corr. 98. ὑλοτόμοι] ὑλοτόμον vel ὑλοτόμου pr., οι superscripto a m. pr. 99. *φονίῳ] φοινίῳι 102. ἀϊκῶς (debebat αἰκῶς) Brunckius] ἀδίκως. ἀδίκως et ἀεικῶς apud scholiastam. Conf. 216. 105. παμφεγγεῖς Hermannus] λεύσσω παμφεγγεῖς 110. Ἀΐδου] ἅιδου pr. 113. 114. Versus spurios duo eiecit D., alterum praeeunte Porsono. 113. ὁρᾶτε, | τοὺς] ὁρᾶθ', | αἳ τοὺς Dobraeus.

ἔλθετ', ἀρήξατε, τίσασθε πατρὸς
φόνον ἡμετέρου,
καί μοι τὸν ἐμὸν πέμψατ' ἀδελφόν.
μούνη γὰρ ἄγειν οὐκέτι σωκῶ
λύπης ἀντίρροπον ἄχθος.

ΧΟΡΟΣ.

ὦ παῖ, παῖ δυστανοτάτας [οἰμωγὰν
'Ηλέκτρα ματρὸς, τίν' ἀεὶ τάκεις ὧδ' ἀκόρεστον
τὸν πάλαι ἐκ δολερᾶς ἀθεώτατα
ματρὸς ἁλόντ' ἀπάταις 'Αγαμέμνονα
κακᾷ τε χειρὶ πρόδοτον; ὡς ὁ τάδε πορὼν
ὄλοιτ', εἴ μοι θέμις τάδ' αὐδᾶν.

ΗΛ. ὦ γενέθλα γενναίων,
ἥκετ' ἐμῶν καμάτων παραμύθιον.
οἶδά τε καὶ ξυνίημι τάδ', οὔ τί με
φυγγάνει, οὐδ' ἐθέλω προλιπεῖν τόδε,
μὴ οὐ τὸν ἐμὸν στενάχειν πατέρ' ἄθλιον.
ἀλλ', ὦ παντοίας φιλότητος ἀμειβόμεναι χάριν,
ἐᾶτέ μ' ὧδ' ἀλύειν,
αἰαῖ, ἱκνοῦμαι.

ΧΟ. ἀλλ' οὔτοι τόν γ' ἐξ 'Αΐδα [οὔτ' ἄνταις,
παγκοίνου λίμνας πατέρ' ἀνστάσεις οὔτε γόοισιν
ἀλλ' ἀπὸ τῶν μετρίων ἐπ' ἀμήχανον
ἄλγος ἀεὶ στενάχουσα διόλλυσαι,
ἐν οἷς ἀνάλυσίς ἐστιν οὐδεμία κακῶν.
τί μοι τῶν δυσφόρων ἐφίει;

ΗΛ. νήπιος ὃς τῶν οἰκτρῶς
οἰχομένων γονέων ἐπιλάθεται.
ἀλλ' ἐμέ γ' ἁ στονόεσσ' ἄραρεν φρένας,
ἃ Ἴτυν, αἰὲν Ἴτυν ὀλοφύρεται,
ὄρνις ἀτυζομένα, Διὸς ἄγγελος.
ἰὼ παντλᾶμον Νιόβα, σὲ δ' ἔγωγε νέμω θεὸν,
ἅτ' ἐν τάφῳ πετραίῳ
αἰαῖ δακρύεις.

ΧΟ. οὔτοι σοὶ μούνᾳ, τέκνον,
ἄχος ἐφάνη βροτῶν,
πρὸς ὅ τι σὺ τῶν ἔνδον εἶ περισσὰ,
οἷς ὁμόθεν εἶ καὶ γονᾷ ξύναιμος,
οἵα Χρυσόθεμις ζώει καὶ 'Ιφιάνασσα,
κρυπτᾷ τ' ἀχέων ἐν ἥβᾳ
ὄλβιος, ὃν ἁ κλεινὰ
γᾶ ποτε Μυκηναίων
δέξεται εὐπατρίδαν, Διὸς εὔφρονι
βήματι μολόντα τάνδε γᾶν 'Ορέσταν.

ΗΛ. ὅν γ' ἐγὼ ἀκάματα προσμένουσ', ἄτεκνος,
τάλαιν', ἀνύμφευτος αἰὲν οἰχνῶ,
δάκρυσι μυδαλέα, τὸν ἀνήνυτον
οἶτον ἔχουσα κακῶν· ὁ δὲ λάθεται
ὧν τ' ἔπαθ' ὧν τ' ἐδάη. τί γὰρ οὐκ ἐμοὶ
ἔρχεται ἀγγελίας ἀπατώμενον;
ἀεὶ μὲν γὰρ ποθεῖ,
ποθῶν δ' οὐκ ἀξιοῖ φανῆναι.

ΧΟ. θάρσει μοι, θάρσει, τέκνον.
ἔτι μέγας οὐρανῷ
Ζεὺς, ὃς ἐφορᾷ πάντα καὶ κρατύνει·
ᾧ τὸν ὑπεραλγῆ χόλον νέμουσα
μήθ' οἷς ἐχθαίρεις ὑπεράχθεο μήτ' ἐπιλάθου·
χρόνος γὰρ εὐμαρὴς θεός.
οὔτε γὰρ ὁ τὰν Κρίσᾳ
βούνομον ἔχων ἀκτὰν
παῖς 'Αγαμεμνονίδας ἀπερίτροπος
οὔθ' ὁ παρὰ τὸν 'Αχέροντα θεὸς ἀνάσσων.

ΗΛ. ἀλλ' ἐμὲ μὲν ὁ πολὺς ἀπολέλοιπεν ἤδη
βίοτος ἀνέλπιστος, οὐδ' ἔτ' ἀρκῶ·
ἅτις ἄνευ τοκέων κατατάκομαι,
ἇς φίλος οὔτις ἀνὴρ ὑπερίσταται,
ἀλλ' ἁπερεί τις ἔποικος ἀναξία
οἰκονομῶ θαλάμους πατρὸς, ὧδε μὲν
ἀεικεῖ σὺν στολᾷ,
κεναῖς δ' ἀμφίσταμαι τραπέζαις.

ΧΟ. οἰκτρὰ μὲν νόστοις αὐδὰ,
οἰκτρὰ δ' ἐν κοίταις πατρῴαις
ὅτε οἱ παγχάλκων ἀνταία
γενύων ὡρμάθη πλαγά.
δόλος ἦν ὁ φράσας, ἔρος ὁ κτείνας,
δεινὰν δεινῶς προφυτεύσαντες
μορφὰν, εἴτ' οὖν θεὸς εἴτε βροτῶν
ἦν ὁ ταῦτα πράσσων.

ΗΛ. ὦ πασᾶν κείνα πλέον ἁμέρα
ἐλθοῦσ' ἐχθίστα δή μοι·
ὦ νὺξ, ὦ δείπνων ἀρρήτων
ἔκπαγλ' ἄχθη·
τοὺς ἐμὸς ἴδε πατὴρ
θανάτους αἰκεῖς διδύμαιν χειροῖν,
αἳ τὸν ἐμὸν εἷλον βίον πρόδοτον, αἵ μ' ἀπώλεσαν·
οἷς θεὸς ὁ μέγας 'Ολύμπιος
ποίνιμα πάθεα παθεῖν πόροι,
μηδέ ποτ' ἀγλαΐας ἀποναίατο
τοιάδ' ἀνύσαντες ἔργα.

ΧΟ. φράζου μὴ πόρσω φωνεῖν.
οὐ γνώμαν ἴσχεις ἐξ οἵων
τὰ παρόντ' οἰκείας εἰς ἄτας
ἐμπίπτεις οὕτως αἰκῶς;
πολὺ γάρ τι κακῶν ὑπερεκτήσω,
σᾷ δυσθύμῳ τίκτουσ' ἀεὶ
ψυχᾷ πολέμους· τὰ δὲ τοῖς δυνατοῖς
οὐκ ἐριστὰ πλάθειν.

ΗΛ. δεινοῖς ἠναγκάσθην, δεινοῖς·
ἔξοιδ', οὐ λάθει μ' ὀργά.

121—136. = 137—152.
153—172. = 173—192.
193—212. = 213—232.

---

121. ὦ Turnebus] ἰὼ 124. ἀθεώτατα Porsonus] ἀθεωτάτας 126. *ὡς] ὦς 129. γενέθλα] γένεθλα pr. γενναίων Monkius] γενναίων πατέρων 132. *οὐδ' ἐθέλω] οὐδ' αὖ θέλω, superscripto a m. rec. οὐδὲ 133. στενάχειν Elmsleius] στοναχεῖν 136. αἰαῖ] αἶ αἶ, factum ex αἰαί 139. γόοισιν Triclinius] γόοις οὔτ' ἄνταις Hermannus] οὔτε λιταῖσιν αἰαῖ pr., in αἶ αἶ mutatum. 150. *παντλᾶμον] παντλάμων

λ

157. *οἵα] οἷα 160. H delevit et versui 164. praefixit Tyrwhittus. ὄλβιος, ὃν] ὄλβιον ὃν Brunckius. κλεινὰ] α in litura duarum triumve literarum 163. βήματι] νεύματι Burgesius. 164. ὅν γ' ἐγὼ Hermannus] ὃν ἔγωγ' 168. ὁ δὲ λάθεται]

o

ὧδ' ἐλάθεται pr., o a m. ant.

169. ἔπαθ'] ἔπαθεν pr., ἔπαθ' rec. 171. ἀεὶ Brunckius] αἰεὶ 175. ἔτι pr., a m. antiqua in ἔστι mutatum. οὐρανῷ Heathius] ἐν οὐρανῷ 180. Κρίσᾳ Musgravius] κρίσαν 181. βούνομον pr., βουνόμον corr. 182. *'Αγαμεμνονίδας] ἀγαμεμνίδας

ν

191. σὺν στολᾷ] συστολᾶι, ν a m. ant. 192. *ἀμφίσταμαι] ἀφίσταμαι pr. ἐφίσταμαι a m. rec. 196. οἱ Hermannus] σοι 197. ἔροσ ex ἔρωσ factum. 201. ἁμέρα] ἁμερᾶν pr. 205. ἴδε Brunckius] εἶδε 206. αἰκεῖς Hermannus] ἀϊκεῖς χειροῖν Brunckius] χεροῖν 216. ἀϊκῶς (debebat αἰκῶς) Brunckius] ἀεικῶς

218. ἀεὶ] ἀ̓εὶ 221. δεινοῖς — δεινοῖς Brunckius] ἐν δεινοῖς — ἐν δεινοῖς

ἀλλ᾽ ἐν γὰρ δεινοῖς οὐ σχήσω
ταύτας ἄτας,
ὄφρα με βίος ἔχῃ.
τίνι γάρ ποτ᾽ ἄν, ὦ φιλία γενέθλα,
πρόσφορον ἀκούσαιμ᾽ ἔπος, τίνι φρονοῦντι καίρια;
ἄνετέ μ᾽ ἄνετε παράγοροι·
τάδε γὰρ ἄλυτα κεκλήσεται,
οὐδέ ποτ᾽ ἐκ καμάτων ἀποπαύσομαι
ἀνάριθμος ὧδε θρήνων.
ΧΟ. ἀλλ᾽ οὖν εὐνοίᾳ γ᾽ αὐδῶ,
μάτηρ ὡσεί τις πιστά,
μὴ τίκτειν σ᾽ ἄταν ἄταις.
ΗΛ. καὶ τί μέτρον κακότατος ἔφυ; φέρε,
πῶς ἐπὶ τοῖς φθιμένοις ἀμελεῖν καλόν;
ἐν τίνι τοῦτ᾽ ἔβλαστ᾽ ἀνθρώπων;
μήτ᾽ εἴην ἔντιμος τούτοις
μήτ᾽, εἴ τῳ πρόσκειμαι χρηστῷ,
ξυνναίοιμ᾽ εὔκηλος, γονέων
ἐκτίμους ἴσχουσα πτέρυγας
ὀξυτόνων γόων.
εἰ γὰρ ὁ μὲν θανὼν γᾶ τε καὶ οὐδὲν ὢν
κείσεται τάλας,
οἱ δὲ μὴ πάλιν
δώσουσ᾽ ἀντιφόνους δίκας,
ἔρροι τ᾽ ἂν αἰδὼς
ἁπάντων τ᾽ εὐσέβεια θνατῶν.
ΧΟ. ἐγὼ μέν, ὦ παῖ, καὶ τὸ σὸν σπεύδουσ᾽ ἅμα
καὶ τοὐμὸν αὐτῆς ἦλθον· εἰ δὲ μὴ καλῶς
λέγω, σὺ νίκα· σοὶ γὰρ ἑψόμεσθ᾽ ἅμα.
ΗΛ. αἰσχύνομαι μέν, ὦ γυναῖκες, εἰ δοκῶ
πολλοῖσι θρήνοις δυσφορεῖν ὑμῖν ἄγαν.
ἀλλ᾽ ἡ βία γὰρ ταῦτ᾽ ἀναγκάζει με δρᾶν,
σύγγνωτε· πῶς γὰρ ἥτις εὐγενὴς γυνή,
πατρῷ᾽ ὁρῶσα πήματ᾽, οὐ δρῴη τάδ᾽ ἄν,
ἁγὼ κατ᾽ ἦμαρ καὶ κατ᾽ εὐφρόνην ἀεὶ
θάλλοντα μᾶλλον ἢ καταφθίνονθ᾽ ὁρῶ;
ᾗ πρῶτα μὲν τὰ μητρός, ἥ μ᾽ ἐγείνατο,
ἔχθιστα συμβέβηκεν· εἶτα δώμασιν
ἐν τοῖς ἐμαυτῆς τοῖς φονεῦσι τοῦ πατρὸς
ξύνειμι, κἀκ τῶνδ᾽ ἄρχομαι κἀκ τῶνδέ μοι
λαβεῖν θ᾽ ὁμοίως καὶ τὸ τητᾶσθαι πέλει.
ἔπειτα ποίας ἡμέρας δοκεῖς μ᾽ ἄγειν,
ὅταν θρόνοις Αἴγισθον ἐνθακοῦντ᾽ ἴδω
τοῖσιν πατρῴοις, εἰσίδω δ᾽ ἐσθήματα
φοροῦντ᾽ ἐκείνῳ ταὐτὰ καὶ παρεστίους
σπένδοντα λοιβὰς ἔνθ᾽ ἐκεῖνον ὤλεσεν,
ἴδω δὲ τούτων τὴν τελευταίαν ὕβριν,
τὸν αὐτοέντην ἡμὶν ἐν κοίτῃ πατρὸς
ξὺν τῇ ταλαίνῃ μητρί, μητέρ᾽ εἰ χρεὼν
ταύτην προσαυδᾶν, τῷδε συγκοιμωμένην·
ἡ δ᾽ ὧδε τλήμων ὥστε τῷ μιάστορι
ξύνεστ᾽, Ἐρινὺν οὔτιν᾽ ἐκφοβουμένη·
ἀλλ᾽ ὥσπερ ἐγγελῶσα τοῖς ποιουμένοις,
τηροῦσ᾽ ἐκείνην ἡμέραν, ἐν ᾗ τότε
πατέρα τὸν ἀμὸν ἐκ δόλου κατέκτανεν,
ταύτῃ χοροὺς ἵστησι καὶ μηλοσφαγεῖ
θεοῖσιν ἔμμην᾽ ἱρὰ τοῖς σωτηρίοις.
ἐγὼ δ᾽ ὁρῶσ᾽ ἡ δύσμορος κατὰ στέγας
κλάω, τέτηκα, κἀπικωκύω πατρὸς
τὴν δυστάλαιναν δαῖτ᾽ ἐπωνομασμένην
αὐτὴ πρὸς αὑτήν· οὐδὲ γὰρ κλαῦσαι πάρα
τοσόνδ᾽ ὅσον μοι θυμὸς ἡδονὴν φέρει.
αὕτη γὰρ ἡ λόγοισι γενναία γυνὴ
φωνοῦσα τοιάδ᾽ ἐξονειδίζει κακά,
ὦ δύσθεον μίσημα, σοὶ μόνῃ πατὴρ
τέθνηκεν, ἄλλος δ᾽ οὔτις ἐν πένθει βροτῶν;
κακῶς ὄλοιο, μηδέ σ᾽ ἐκ γόων ποτὲ
τῶν νῦν ἀπαλλάξειαν οἱ κάτω θεοί.
τάδ᾽ ἐξυβρίζει, πλὴν ὅταν κλύῃ τινὸς
ἥξοντ᾽ Ὀρέστην· τηνικαῦτα δ᾽ ἐμμανὴς
βοᾷ παραστᾶσ᾽, οὐ σύ μοι τῶνδ᾽ αἰτία;
οὐ σὸν τόδ᾽ ἐστὶ τοὔργον, ἥτις ἐκ χερῶν
κλέψασ᾽ Ὀρέστην τῶν ἐμῶν ὑπεξέθου;
ἀλλ᾽ ἴσθι τοι τίσουσά γ᾽ ἀξίαν δίκην.
τοιαῦθ᾽ ὑλακτεῖ, σὺν δ᾽ ἐποτρύνει πέλας
ὁ κλεινὸς αὐτῇ ταὐτὰ νυμφίος παρών,
ὁ πάντ᾽ ἄναλκις οὗτος, ἡ πᾶσα βλάβη,
ὁ σὺν γυναιξὶ τὰς μάχας ποιούμενος.
ἐγὼ δ᾽ Ὀρέστην τῶνδε προσμένουσ᾽ ἀεὶ
παυστῆρ᾽ ἐφήξειν ἡ τάλαιν᾽ ἀπόλλυμαι.
μέλλων γὰρ ἀεὶ δρᾶν τι τὰς οὔσας τέ μου
καὶ τὰς ἀπούσας ἐλπίδας διέφθορεν.
ἐν οὖν τοιούτοις οὔτε σωφρονεῖν, φίλαι,
οὔτ᾽ εὐσεβεῖν πάρεστιν· ἀλλ᾽ ἔν τοι κακοῖς
πολλὴ ᾽στ᾽ ἀνάγκη κἀπιτηδεύειν κακά.
ΧΟ. φέρ᾽ εἰπέ, πότερον ὄντος Αἰγίσθου πέλας
λέγεις τάδ᾽ ἡμῖν, ἢ βεβῶτος ἐκ δόμων;
ΗΛ. ἦ κάρτα. μὴ δόκει μ᾽ ἄν, εἴπερ ἦν πέλας,
θυραῖον οἰχνεῖν· νῦν δ᾽ ἀγροῖσι τυγχάνει.
ΧΟ. ἦ κἂν ἐγὼ θαρσοῦσα μᾶλλον ἐς λόγους
τοὺς σοὺς ἱκοίμην, εἴπερ ὧδε ταῦτ᾽ ἔχει;
ΗΛ. ὡς νῦν ἀπόντος ἱστόρει τί σοι φίλον.
ΧΟ. καὶ δή σ᾽ ἐρωτῶ, τοῦ κασιγνήτου τί φῄς,
ἥξοντος ἢ μέλλοντος; εἰδέναι θέλω.
ΗΛ. φησίν γε, φάσκων δ᾽ οὐδὲν ὧν λέγει ποιεῖ.
ΧΟ. φιλεῖ γὰρ ὀκνεῖν πρᾶγμ᾽ ἀνὴρ πράσσων μέγα.
ΗΛ. καὶ μὴν ἔγωγ᾽ ἔσωσ᾽ ἐκεῖνον οὐκ ὄκνῳ.
ΧΟ. θάρσει· πέφυκεν ἐσθλός, ὥστ᾽ ἀρκεῖν φίλοις.
ΗΛ. πέποιθ᾽, ἐπεὶ τἂν οὐ μακρὰν ἔζων ἐγώ.
ΧΟ. μὴ νῦν ἔτ᾽ εἴπῃς μηδέν· ὡς δόμων ὁρῶ
τὴν σὴν ὅμαιμον, ἐκ πατρὸς ταὐτοῦ φύσιν,
Χρυσόθεμιν, ἔκ τε μητρός, ἐντάφια χεροῖν
φέρουσαν, οἷα τοῖς κάτω νομίζεται.

ΧΡΥΣΟΘΕΜΙΣ.

τίν᾽ αὖ σὺ τήνδε πρὸς θυρῶνος ἐξόδοις
ἐλθοῦσα φωνεῖς, ὦ κασιγνήτη, φάτιν,
κοὐδ᾽ ἐν χρόνῳ μακρῷ διδαχθῆναι θέλεις
θυμῷ ματαίῳ μὴ χαρίζεσθαι κενά;
καίτοι τοσοῦτόν γ᾽ οἶδα κἀμαυτήν, ὅτι
ἀλγῶ ᾽πὶ τοῖς παροῦσιν· ὥστ᾽ ἄν, εἰ σθένος
λάβοιμι, δηλώσαιμ᾽ ἂν οἷ᾽ αὐτοῖς φρονῶ.
νῦν δ᾽ ἐν κακοῖς μοι πλεῖν ὑφειμένῃ δοκεῖ,
καὶ μὴ δοκεῖν μὲν δρᾶν τι, πημαίνειν δὲ μή.

---

226. *ποτ᾽ ἂν] ἂν om. γενέθλα] γένεθλα pr. 236. *κακότατος] κακότητος 238. *ἔβλαστ᾽] ἔβλαστεν 242. ἴσχουσα] ἰσχύουσα pr. 250. εὐσέβεια, ϊ a m. ant. 261. μὲν τὰ ab S illatum. 265. λαβεῖν] β ex θ factum. 272. αὐτοέντην] αὐτοφόντην, sed in schol. γρ. αὐτοέντην ἡμὶν] ἧμιν pr. in scholio. 275. Hunc versum in marg. habet a m. pr. ἡ δ᾽ Schaeferus] ἥδ᾽ 276. *Ἐρινὺν] ἐρινῦν hic et ἐρινῦς v. 491. 278. τηροῦσ᾽ Meinekius] εὑροῦσ᾽ 279. ἀμὸν] ἀ in litura, haud dubie pro ε.

281. *ἱρὰ] ἱερὰ 282. ὁρῶσ᾽ ἡ] *ὁρῶσα 283. κλάω D.] κλαίω 285. *αὑτήν] αὐτήν 286. φέρει] ἔχει Nauckius. 300. ταὐτὰ Blomfieldus] ταῦτα 305. ἀεὶ] ἁιεὶ, ι a m. rec. interserto. 308. ἔν τοι Hermannus] ἐν τοῖσ 314. κἂν] δ᾽ ἂν pr., in κἂν mutatum ab alia m. ant. 319. φάσκων δ᾽] φάσκον τ᾽ (vel σ᾽) pr. ποιεῖ] ποεῖ, eraso ι post ο. 331. θυμῷ ματαίῳ] γρ. ψυχῆι ματαίαι ab S.

τοιαῦτα δ' ἄλλα καὶ σὲ βούλομαι ποιεῖν.
καίτοι τὸ μὲν δίκαιον οὐχ ᾗ 'γὼ λέγω,
ἀλλ' ᾗ σὺ κρίνεις· εἰ δ' ἐλευθέραν με δεῖ
ζῆν, τῶν κρατούντων ἐστὶ πάντ' ἀκουστέα.
ΗΛ. δεινόν γέ σ' οὖσαν πατρὸς οὗ σὺ παῖς ἔφυς
κείνου λελῆσθαι, τῆς δὲ τικτούσης μέλειν.
ἅπαντα γάρ σοι τἀμὰ νουθετήματα
κείνης διδακτά, κοὐδὲν ἐκ σαυτῆς λέγεις.
ἔπειθ' ἑλοῦ γε θάτερ', ἢ φρονεῖν κακῶς,
ἢ τῶν φίλων φρονοῦσα μὴ μνήμην ἔχειν·
ἥτις λέγεις μὲν ἀρτίως ὡς, εἰ λάβοις
σθένος, τὸ τούτων μῖσος ἐκδείξειας ἄν·
ἐμοῦ δὲ πατρὶ πάντα τιμωρουμένης
οὔτε ξυνέρδεις τήν τε δρῶσαν ἐκτρέπεις.
οὐ ταῦτα πρὸς κακοῖσι δειλίαν ἔχει;
ἐπεὶ δίδαξον, ἢ μάθ' ἐξ ἐμοῦ, τί μοι
κέρδος γένοιτ' ἂν τῶνδε ληξάσῃ γόων.
οὐ ζῶ; κακῶς μέν, οἶδ', ἀπαρκούντως δ' ἐμοί.
λυπῶ δὲ τούτους, ὥστε τῷ τεθνηκότι
τιμὰς προσάπτειν, εἴ τις ἔστ' ἐκεῖ χάρις.
σὺ δ' ἡμὶν ἡ μισοῦσα μισεῖς μὲν λόγῳ,
ἔργῳ δὲ τοῖς φονεῦσι τοῦ πατρὸς ξύνει.
ἐγὼ μὲν οὖν οὐκ ἄν ποτ', οὐδ' εἴ μοι τὰ σὰ
μέλλοι τις οἴσειν δῶρ', ἐφ' οἷσι νῦν χλιδᾷς,
τούτοις ὑπεικάθοιμι· σοὶ δὲ πλουσία
τράπεζα κείσθω καὶ περιρρείτω βίος.
ἐμοὶ γὰρ ἔστω τοὐμὲ μὴ λυπεῖν μόνον
βόσκημα· τῆς σῆς δ' οὐκ ἐρῶ τιμῆς τυχεῖν,
οὐδ' ἂν σύ, σώφρων γ' οὖσα. νῦν δ' ἐξὸν πατρὸς
πάντων ἀρίστου παῖδα κεκλῆσθαι, καλοῦ
τῆς μητρός· οὕτω γὰρ φανεῖ πλείστοις κακή,
θανόντα πατέρα καὶ φίλους προδοῦσα σούς.
ΧΟ. μηδὲν πρὸς ὀργήν, πρὸς θεῶν· ὡς τοῖς λόγοις
ἔνεστιν ἀμφοῖν κέρδος, εἰ σὺ μὲν μάθοις
τοῖς τῆσδε χρῆσθαι, τοῖς δὲ σοῖς αὕτη πάλιν.
ΧΡ. ἐγὼ μέν, ὦ γυναῖκες, ἠθάς εἰμί πως
τῶν τῆσδε μύθων· οὐδ' ἂν ἐμνήσθην ποτέ,
εἰ μὴ κακὸν μέγιστον εἰς αὐτὴν ἰὸν
ἤκουσ', ὃ ταύτην τῶν μακρῶν σχήσει γόων.
ΗΛ. φέρ' εἰπὲ δὴ τὸ δεινόν· εἰ γὰρ τῶνδέ μοι
μεῖζόν τι λέξεις, οὐκ ἂν ἀντείποιμ' ἔτι.
ΧΡ. ἀλλ' ἐξερῶ σοι πᾶν ὅσον κάτοιδ' ἐγώ.
μέλλουσι γάρ σ', εἰ τῶνδε μὴ λήξεις γόων,
ἐνταῦθα πέμψειν ἔνθα μή ποθ' ἡλίου
φέγγος προσόψει, ζῶσα δ' ἐν κατηρεφεῖ
στέγῃ χθονὸς τῆσδ' ἐκτὸς ὑμνήσεις κακά.
πρὸς ταῦτα φράζου καί με μή ποθ' ὕστερον
παθοῦσα μέμψῃ· νῦν γὰρ ἐν καλῷ φρονεῖν.
ΗΛ. ἦ ταῦτα δή με καὶ βεβούλευνται ποιεῖν;
ΧΡ. μάλισθ'· ὅταν περ οἴκαδ' Αἴγισθος μόλῃ.
ΗΛ. ἀλλ' ἐξίκοιτο τοῦδέ γ' οὕνεκ' ἐν τάχει.
ΧΡ. τίν', ὦ τάλαινα, τόνδ' ἐπηράσω λόγον;
ΗΛ. ἐλθεῖν ἐκεῖνον, εἴ τι τῶνδε δρᾶν νοεῖ.
ΧΡ. ὅπως πάθῃς τί χρῆμα; ποῦ ποτ' εἶ φρενῶν;
ΗΛ. ὅπως ἀφ' ὑμῶν ὡς προσωτάτω φύγω.
ΧΡ. βίου δὲ τοῦ παρόντος οὐ μνείαν ἔχεις;
ΗΛ. καλὸς γὰρ οὑμὸς βίοτος ὥστε θαυμάσαι.
ΧΡ. ἀλλ' ἦν ἄν, εἰ σύ γ' εὖ φρονεῖν ἠπίστασο.
ΗΛ. μή μ' ἐκδίδασκε τοῖς φίλοις εἶναι κακήν.
ΧΡ. ἀλλ' οὐ διδάσκω· τοῖς κρατοῦσι δ' εἰκαθεῖν.
ΗΛ. σὺ ταῦτα θώπευ'· οὐκ ἐμοὺς τρόπους λέγεις.
ΧΡ. καλόν γε μέντοι μὴ 'ξ ἀβουλίας πεσεῖν.
ΗΛ. πεσούμεθ', εἰ χρή, πατρὶ τιμωρούμενοι.
ΧΡ. πατὴρ δὲ τούτων, οἶδα, συγγνώμην ἔχει.
ΗΛ. ταῦτ' ἐστὶ τἄπη πρὸς κακῶν ἐπαινέσαι.
ΧΡ. σὺ δ' οὐχὶ πείσει καὶ συναινέσεις ἐμοί;
ΗΛ. οὐ δῆτα· μή πω νοῦ τοσόνδ' εἴην κενή.
ΧΡ. χωρήσομαί τἄρ' οἷπερ ἐστάλην ὁδοῦ.
ΗΛ. ποῖ δ' ἐμπορεύει; τῷ φέρεις τάδ' ἔμπυρα;
ΧΡ. μήτηρ με πέμπει πατρὶ τυμβεῦσαι χοάς.
ΗΛ. πῶς εἶπας; ἦ τῷ δυσμενεστάτῳ βροτῶν;
ΧΡ. ὃν ἔκταν' αὐτή· τοῦτο γὰρ λέξαι θέλεις.
ΗΛ. ἐκ τοῦ φίλων πεισθεῖσα; τῷ τοῦτ' ἤρεσεν;
ΧΡ. ἐκ δείματός του νυκτέρου, δοκεῖν ἐμοί.
ΗΛ. ὦ θεοὶ πατρῷοι, συγγένεσθέ γ' ἀλλὰ νῦν.
ΧΡ. ἔχεις τι θάρσος τοῦδε τοῦ τάρβους πέρι;
ΗΛ. εἴ μοι λέγοις τὴν ὄψιν, εἴποιμ' ἂν τότε.
ΧΡ. ἀλλ' οὐ κάτοιδα πλὴν ἐπὶ σμικρὸν φράσαι.
ΗΛ. λέγ' ἀλλὰ τοῦτο· πολλά τοι σμικροὶ λόγοι
ἔσφηλαν ἤδη καὶ κατώρθωσαν βροτούς.
ΧΡ. λόγος τις αὐτήν ἐστιν εἰσιδεῖν πατρὸς
τοῦ σοῦ τε κἀμοῦ δευτέραν ὁμιλίαν
ἐλθόντος ἐς φῶς· εἶτα τόνδ' ἐφέστιον
πῆξαι λαβόντα σκῆπτρον οὑφόρει ποτὲ
αὐτός, τανῦν δ' Αἴγισθος· ἔκ τε τοῦδ' ἄνω
βλαστεῖν βρύοντα θαλλόν, ᾧ κατάσκιον
πᾶσαν γενέσθαι τὴν Μυκηναίων χθόνα.
τοιαῦτά του παρόντος, ἡνίχ' Ἡλίῳ
δείκνυσι τοὔναρ, ἔκλυον ἐξηγουμένου.
πλείω δὲ τούτων οὐ κάτοιδα, πλὴν ὅτι
πέμπει μ' ἐκείνη τοῦδε τοῦ φόβου χάριν.
πρός νυν θεῶν σε λίσσομαι τῶν ἐγγενῶν
ἐμοὶ πιθέσθαι μηδ' ἀβουλίᾳ πεσεῖν·
εἰ γάρ μ' ἀπώσει, σὺν κακῷ μέτει πάλιν.
ΗΛ. ἀλλ', ὦ φίλη, τούτων μὲν ὧν ἔχεις χεροῖν
τύμβῳ προσάψῃς μηδέν· οὐ γάρ σοι θέμις
οὐδ' ὅσιον ἐχθρᾶς ἀπὸ γυναικὸς ἱστάναι
κτερίσματ' οὐδὲ λουτρὰ προσφέρειν πατρί·
ἀλλ' ἢ πνοαῖσιν ἢ βαθυσκαφεῖ κόνει
κρύψον νιν, ἔνθα μή ποτ' εἰς εὐνὴν πατρὸς
τούτων πρόσεισι μηδέν· ἀλλ' ὅταν θάνῃ,
κειμήλι' αὐτῇ ταῦτα σωζέσθω κάτω.
ἀρχὴν δ' ἄν, εἰ μὴ τλημονεστάτη γυνὴ
πασῶν ἔβλαστε, τάσδε δυσμενεῖς χοὰς
οὐκ ἄν ποθ' ὅν γ' ἔκτεινε, τῷδ' ἐπέστεφε.
σκέψαι γὰρ εἴ σοι προσφιλῶς αὐτῇ δοκεῖ
γέρα τάδ' οὑν τάφοισι δέξασθαι νέκυς,

---

337. ἄλλα D.] ἀλλὰ *ποιεῖν] ποεῖν 340. *ἀκουστέα] ἀκοστέα, ut ἤκοσεν pro ἤκουσεν Tr. 431. 345. ἔπειθ' pr., ἐπεί θ' (cum gl. rec. τοι) sec. 354. ἀπαρκούντως Thomas M. s. v. ἀπαρκεῖ] ἐπαρκούντωσ δ' ἐμοί Brunckius] δέ μοι 357. ἡμὶν] ἡμῖν pr. 359. οὖν a m. recenti additum. 363. τοὐμὲ μὴ] τοῦ με μὴ pr., corr. a m. sec. λυπεῖν μόνον] λήγειν γόων Schneidewinus. 364. τυχεῖν]
λα
τυχεῖν, λα a m. paullo recentiore. 365. δ' ab S insertum. 371. *αὕτη] αὐτὴ 375. et 379. γόων]
τ
γρ. καὶ λόγων ab S. 378. σοι] σοι, τ a m. sec. 379. *λήξεις] λήξηισ 385. ποιεῖν] ι post ο erasum

391. προσωτάτω φύγω L. Dindorfius] προσώτατ' ἐκφύγω 396. εἰκαθεῖν Elmsleius] εἰκάθειν 413. λέγοις Triclinius] λέγεις 414. σμικρὸν] σμι-
ων
κροῦ, ων a m. pr. Alia m. ant. υ in ν mutavit et ων erasit. 422. *ᾧ] τῶι 427. *μ' ἐκείνη] με
λ
κείνη 428. Η praefixum hoc loco et omissum v. 431. Correxit Turnebus. 433. ἀπὸ a m. rec. additum. 435. πνοαῖσιν] ῥοαῖσιν Heathius. 439. δ' ἂν] γὰρ superscr. a m. pr. 443. δέξασθαι] δέξεσθαι Heathius. νέκυσ in litura pro αυτωσ vel αυτασ.

ὑφ᾽ ἧς θανὼν ἄτιμος ὥστε δυσμενὴς
ἐμασχαλίσθη κἀπὶ λουτροῖσιν κάρᾳ
κηλῖδας ἐξέμαξεν. ἆρα μὴ δοκεῖς
λυτήρι᾽ αὐτῇ ταῦτα τοῦ φόνου φέρειν;
οὐκ ἔστιν. ἀλλὰ ταῦτα μὲν μέθες· σὺ δὲ
τεμοῦσα κρατὸς βοστρύχων ἄκρας φόβας
κἀμοῦ ταλαίνης, σμικρὰ μὲν τάδ᾽, ἀλλ᾽ ὅμως
ἄχω, δὸς αὐτῷ, τήνδ᾽ ἀλιπαρῆ τρίχα
καὶ ζῶμα τοὐμὸν οὐ χλιδαῖς ἠσκημένον.
αἰτοῦ δὲ προσπίτνουσα γῆθεν εὐμενῆ
ἡμῖν ἀρωγὸν αὐτὸν εἰς ἐχθροὺς μολεῖν,
καὶ παῖδ᾽ Ὀρέστην ἐξ ὑπερτέρας χερὸς
ἐχθροῖσιν αὐτοῦ ζῶντ᾽ ἐπεμβῆναι ποδί,
ὅπως τὸ λοιπὸν αὐτὸν ἀφνεωτέραις
χερσὶ στέφωμεν ἢ τανῦν δωρούμεθα.
οἶμαι μὲν οὖν, οἶμαί τι κἀκείνῳ μέλον
πέμψαι τάδ᾽ αὐτῇ δυσπρόσοπτ᾽ ὀνείρατα·
ὅμως δ᾽, ἀδελφή, σοί θ᾽ ὑπούργησον τάδε
ἐμοί τ᾽ ἀρωγά, τῷ τε φιλτάτῳ βροτῶν
πάντων, ἐν Ἅιδου κειμένῳ κοινῷ πατρί.
ΧΟ. πρὸς εὐσέβειαν ἡ κόρη λέγει· σὺ δέ,
εἰ σωφρονήσεις, ὦ φίλη, δράσεις τάδε.
ΧΡ. δράσω· τὸ γὰρ δίκαιον οὐκ ἔχει λόγον
δυοῖν ἐρίζειν, ἀλλ᾽ ἐπισπεύδειν τὸ δρᾶν.
πειρωμένῃ δὲ τῶνδε τῶν ἔργων ἐμοὶ
σιγὴ παρ᾽ ὑμῶν, πρὸς θεῶν, ἔστω, φίλαι·
ὡς εἰ τάδ᾽ ἡ τεκοῦσα πεύσεται, πικρὰν
δοκῶ με πεῖραν τήνδε τολμήσειν ἔτι.
ΧΟ. εἰ μὴ ᾽γὼ παράφρων μάντις ἔφυν καὶ γνώμας
λειπομένα σοφᾶς,
εἶσιν ἁ πρόμαντις
Δίκα, δίκαια φερομένα χεροῖν κράτη·
μέτεισιν, ὦ τέκνον, οὐ μακροῦ χρόνου.
ὕπεστί μοι θράσος,
ἁδυπνόων κλύουσαν
ἀρτίως ὀνειράτων.
οὐ γάρ ποτ᾽ ἀμναστεῖ γ᾽ ὁ φύσας Ἑλλάνων ἄναξ,
οὐδ᾽ ἁ παλαιὰ χαλκόπλακτος ἀμφάκης γένυς,
ἅ νιν κατέπεφνεν αἰσχίσταις ἐν αἰκίαις.
ἥξει καὶ πολύπους καὶ πολύχειρ ἁ δεινοῖς
κρυπτομένα λόχοις
χαλκόπους Ἐρινύς.
ἄλεκτρ᾽ ἄνυμφα γὰρ ἐπέβα μιαιφόνων
γάμων ἁμιλλήμαθ᾽ οἷσιν οὐ θέμις.
πρὸ τῶνδέ τοί μ᾽ ἔχει
μήποτε μήποθ᾽ ἡμῖν
ἀψεγὲς πελᾶν τέρας
τοῖς δρῶσι καὶ συνδρῶσιν. ἤ τοι μαντεῖαι βροτῶν
οὐκ εἰσὶν ἐν δεινοῖς ὀνείροις οὐδ᾽ ἐν θεσφάτοις,
εἰ μὴ τόδε φάσμα νυκτὸς εὖ κατασχήσει.

472—487. = 488—503.

ὦ Πέλοπος ἁ πρόσθεν
πολύπονος ἱππεία,
ὡς ἔμολες αἰανὴ
τᾷδε γᾷ.
εὖτε γὰρ ὁ ποντισθεὶς
Μυρτίλος ἐκοιμάθη,
παγχρύσων ἐκ δίφρων
δυστάνοις αἰκίαις
πρόρριζος ἐκριφθείς,
οὔ τί πω
ἔλιπεν ἐκ τοῦδ᾽ οἴκου
πολύπονος αἰκία.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ἀνειμένη μέν, ὡς ἔοικας, αὖ στρέφει·
οὐ γὰρ πάρεστ᾽ Αἴγισθος, ὅς σ᾽ ἐπεῖχ᾽ ἀεὶ
μή τοι θυραίαν γ᾽ οὖσαν αἰσχύνειν φίλους·
νῦν δ᾽, ὡς ἄπεστ᾽ ἐκεῖνος, οὐδὲν ἐντρέπει
ἐμοῦ γε. καίτοι πολλὰ πρὸς πολλούς με δὴ
ἐξεῖπας ὡς θρασεῖα καὶ πέρα δίκης
ἄρχω, καθυβρίζουσα καὶ σὲ καὶ τὰ σά.
ἐγὼ δ᾽ ὕβριν μὲν οὐκ ἔχω, κακῶς δέ σε
λέγω κακῶς κλύουσα πρὸς σέθεν θαμά.
πατὴρ γάρ, οὐδὲν ἄλλο, σοὶ πρόσχημ᾽ ἀεὶ
ὡς ἐξ ἐμοῦ τέθνηκεν. ἐξ ἐμοῦ· καλῶς
ἔξοιδα· τῶνδ᾽ ἄρνησις οὐκ ἔνεστί μοι.
ἡ γὰρ Δίκη νιν εἷλεν, οὐκ ἐγὼ μόνη,
ᾗ χρῆν σ᾽ ἀρήγειν, εἰ φρονοῦσ᾽ ἐτύγχανες·
ἐπεὶ πατὴρ σὸς οὗτος, ὃν θρηνεῖς ἀεί,
τὴν σὴν ὅμαιμον μοῦνος Ἑλλήνων ἔτλη
θῦσαι θεοῖσιν, οὐκ ἴσον καμὼν ἐμοὶ
λύπης, ὅτ᾽ ἔσπειρ᾽, ὥσπερ ἡ τίκτουσ᾽ ἐγώ.
εἶεν, δίδαξον δή με τοῦ χάριν τίνων
ἔθυσεν αὐτήν. πότερον Ἀργείων ἐρεῖς;
ἀλλ᾽ οὐ μετῆν αὐτοῖσι τήν γ᾽ ἐμὴν κτανεῖν.
ἀλλ᾽ ἀντ᾽ ἀδελφοῦ δῆτα Μενέλεω κτανὼν
τἄμ᾽ οὐκ ἔμελλε τῶνδέ μοι δώσειν δίκην;
πότερον ἐκείνῳ παῖδες οὐκ ἦσαν διπλοῖ,
οὓς τῆσδε μᾶλλον εἰκὸς ἦν θνῄσκειν, πατρὸς
καὶ μητρὸς ὄντας, ἧς ὁ πλοῦς ὅδ᾽ ἦν χάριν;
ἢ τῶν ἐμῶν Ἅιδης τιν᾽ ἵμερον τέκνων
ἢ τῶν ἐκείνης ἔσχε δαίσασθαι πλέον;
ἢ τῷ πανώλει πατρὶ τῶν μὲν ἐξ ἐμοῦ
παίδων πόθος παρεῖτο, Μενέλεω δ᾽ ἐνῆν;
οὐ ταῦτ᾽ ἀβούλου καὶ κακοῦ γνώμην πατρός;
δοκῶ μέν, εἰ καὶ σῆς δίχα γνώμης λέγω.
φαίη δ᾽ ἂν ἡ θανοῦσά γ᾽, εἰ φωνὴν λάβοι.
ἐγὼ μὲν οὖν οὐκ εἰμὶ τοῖς πεπραγμένοις
δύσθυμος· εἰ δὲ σοὶ δοκῶ φρονεῖν κακῶς
γνώμην δικαίαν σχοῦσα, τοὺς πέλας ψέγε.
ΗΛ. ἐρεῖς μὲν οὐχὶ νῦν γέ μ᾽ ὡς ἄρξασά τι
λυπηρὸν εἶτα σοῦ τάδ᾽ ἐξήκουσ᾽ ὕπο.
ἀλλ᾽ ἢν ἐφῇς μοι, τοῦ τεθνηκότος θ᾽ ὕπερ
λέξαιμ᾽ ἂν ὀρθῶς τῆς κασιγνήτης θ᾽ ὁμοῦ.

---

445. κάρᾳ ex scholio] κάρα  447. αὐτῇ] αὐτὴ κ μ pr., αὐτῆι a m. paullo recentiore.  449. φόβας, κ et μ a m. pr.  451. τήνδ᾽ ἀλιπαρῆ] τήνδε λιπαρῆ ἐν ὑπομνήματι ap. schol.  453. προσπίτνοῦσα, circumflexo a m. rec. addito.  456. ἐπεμβῆναι] ἐπιβῆναι pr.  466. λόγον] λόγοιν Scaliger.  467. ἐπισπεύδειν] ἐπισπέρχειν Mauricius Schmidtius, collatis glossis Hesychii, in quibus ἐπισπέρχειν per ἐπισπεύδειν explicatur. ἐπισπεύδει apud Stobaeum Flor. 11, 9.  472. *᾽γὼ] ἐγὼ  479. θράσος] In θάρσοσ mutatum a m. ant.  483. *ἀμναστεῖ] ἀμνηστεῖ  484. χαλκόπλακτος] χαλκόπληκτος  485. ἀμφάκης ex Hesychio s. h. v.] ἀμφήκης  496. *μήποτε] om.  ἡμῖν] ἧμιν pr., ἡμῖν a m. rec.  497. ἀψεγὲς] ἀψεφὲς D.  498. ἤ] ἢ pr.

506. αἰανὴ] αἰανὴσ, eraso σ  510. ἐκ addidit D.  512. ἐκριφθεὶς] ἐκριφ$^{θ}$εὶσ, θ a m. pr.  513. οὔ τί πω Hermannus] οὔ τίς πω  514. *ἔλιπεν] ἔλειπεν  οἴκου] οἴκουσ, sed eraso σ vel potius σι  516. *στρέφει vel στρέφῃ] τρέφηι  517. σ᾽ a m. rec. additum  525. σοι] τοι pr., sed in σοι mutatum ab eadem.  528. *νιν εἷλεν, οὐκ] μιν εἷλεν κ᾽οὐκ pr., νιν εἷλε κ᾽ οὐκ a m. ant.  530. σὸς οὗτος Erfurdtius] οὗτος σὸς  534. δή] δέ pr.  τίνων] τίνων, οσ a m. pr.  543. πλέον] ο a m. rec. ex ω factum.
554. Super ἐφῇσ aliquid erasum, simile formis literarum αδε.  *θ] om.

ΚΛ. καὶ μὴν ἐφίημ'· εἰ δέ μ' ὧδ' ἀεὶ λόγους
ἐξῆρχες, οὐκ ἂν ἦσθα λυπηρὰ κλύειν.
ΗΛ. καὶ δὴ λέγω σοι. πατέρα φῂς κτεῖναι. τίς ἂν
τούτου λόγος γένοιτ' ἂν αἴσχίων ἔτι,
εἴτ' οὖν δικαίως εἴτε μή; λέξω δέ σοι
ὡς οὐ δίκῃ γ' ἔκτεινας, ἀλλά σ' ἔσπασεν
πειθὼ κακοῦ πρὸς ἀνδρὸς, ᾧ τανῦν ξύνει.
ἐροῦ δὲ τὴν κυναγὸν Ἄρτεμιν τίνος
ποινὰς τὰ πολλὰ πνεύματ' ἔσχ' ἐν Αὐλίδι·
ἢ 'γὼ φράσω· κείνης γὰρ οὐ θέμις μαθεῖν.
πατήρ ποθ' οὑμὸς, ὡς ἐγὼ κλύω, θεᾶς
παίζων κατ' ἄλσος ἐξεκίνησεν ποδοῖν
στικτὸν κεράστην ἔλαφον, οὗ κατὰ σφαγὰς
ἐκκομπάσας ἔπος τι τυγχάνει βαλών.
κἀκ τοῦδε μηνίσασα Λητῴα κόρη
κατεῖχ' Ἀχαιοὺς, ὡς πατὴρ ἀντίσταθμον
τοῦ θηρὸς ἐκθύσειε τὴν αὑτοῦ κόρην.
ὧδ' ἦν τὰ κείνης θύματ'· οὐ γὰρ ἦν λύσις
ἄλλη στρατῷ πρὸς οἶκον οὐδ' εἰς Ἴλιον.
ἀνθ' ὧν βιασθεὶς πολλὰ κἀντιβὰς μόλις
ἔθυσεν αὐτὴν, οὐχὶ Μενέλεω χάριν.
εἰ δ' οὖν, ἐρῶ γὰρ καὶ τὸ σὸν, κεῖνον θέλων
ἐπωφελῆσαι ταῦτ' ἔδρα, τούτου θανεῖν
χρῆν αὐτὸν οὕνεκ' ἐκ σέθεν; ποίῳ νόμῳ;
ὅρα τιθεῖσα τόνδε τὸν νόμον βροτοῖς
μὴ πῆμα σαυτῇ καὶ μετάγνοιαν τιθῇς.
εἰ γὰρ κτενοῦμεν ἄλλον ἀντ' ἄλλου, σύ τοι
πρώτη θάνοις ἂν, εἰ δίκης γε τυγχάνοις.
ἀλλ' εἰσόρα μὴ σκῆψιν οὐκ οὖσαν τιθῇς.
εἰ γὰρ θέλεις, δίδαξον ἀνθ' ὅτου τανῦν
αἴσχιστα πάντων ἔργα δρῶσα τυγχάνεις,
ἥτις ξυνεύδεις τῷ παλαμναίῳ, μεθ' οὗ
πατέρα τὸν ἁμὸν πρόσθεν ἐξαπώλεσας,
καὶ παιδοποιεῖς, τοὺς δὲ πρόσθεν εὐσεβεῖς
κἀξ εὐσεβῶν βλαστόντας ἐκβαλοῦσ' ἔχεις.
πῶς ταῦτ' ἐπαινέσαιμ' ἄν; ἢ καὶ ταῦτ' ἐρεῖς
ὡς τῆς θυγατρὸς ἀντίποινα λαμβάνεις;
αἰσχρῶς γ', ἐάν περ καὶ λέγῃς· οὐ γὰρ καλὸν
ἐχθροῖς γαμεῖσθαι τῆς θυγατρὸς οὕνεκα.
ἀλλ' οὐ γὰρ οὐδὲ νουθετεῖν ἔξεστί σε,
ἣ πᾶσαν ἵης γλῶσσαν ὡς τὴν μητέρα
κακοστομοῦμεν. καί σ' ἔγωγε δεσπότιν
ἢ μητέρ' οὐκ ἔλασσον εἰς ἡμᾶς νέμω,
ἣ ζῶ βίον μοχθηρὸν, ἔκ τε σοῦ κακοῖς
πολλοῖς ἀεὶ ξυνοῦσα τοῦ τε συννόμου.
ὁ δ' ἄλλος ἔξω, χεῖρα σὴν μόλις φυγὼν,
τλήμων Ὀρέστης δυστυχῆ τρίβει βίον·
ὃν πολλὰ δή μέ σοι τρέφειν μιάστορα
ἐπῃτιάσω· καὶ τόδ', εἴπερ ἔσθενον,
ἔδρων ἂν, εὖ τοῦτ' ἴσθι. τοῦδέ γ' οὕνεκα
κήρυσσέ μ' εἰς ἅπαντας, εἴτε χρῇς κακὴν
εἴτε στόμαργον εἴτ' ἀναιδείας πλέαν.
εἰ γὰρ πέφυκα τῶνδε τῶν ἔργων ἴδρις,
σχεδόν τι τὴν σὴν οὐ καταισχύνω φύσιν.
ΧΟ. ὁρῶ μένος πνέουσαν· εἰ δὲ σὺν δίκῃ
ξύνεστι, τοῦδε φροντίδ' οὐκέτ' εἰσορῶ.
ΚΛ. ποίας δέ μοι δεῖ πρός γε τήνδε φροντίδος,
ἥτις τοιαῦτα τὴν τεκοῦσαν ὕβρισεν,
καὶ ταῦτα τηλικοῦτος; ἆρά σοι δοκεῖ
χωρεῖν ἂν ἐς πᾶν ἔργον αἰσχύνης ἄτερ;
ΗΛ. εὖ νυν ἐπίστω τῶνδέ μ' αἰσχύνην ἔχειν,
κεἰ μὴ δοκῶ σοι· μανθάνω δ' ὁθούνεκα
ἔξωρα πράσσω κοὐκ ἐμοὶ προσεικότα.
ἀλλ' ἡ γὰρ ἐκ σοῦ δυσμένεια καὶ τὰ σὰ
ἔργ' ἐξαναγκάζει με ταῦτα δρᾶν βίᾳ·
αἰσχροῖς γὰρ αἰσχρὰ πράγματ' ἐκδιδάσκεται.
ΚΛ. ὦ θρέμμ' ἀναιδὲς, ἦ σ' ἐγὼ καὶ τἄμ' ἔπη
καὶ τἄργα τἀμὰ πόλλ' ἄγαν λέγειν ποιεῖ.
ΗΛ. σύ τοι λέγεις νιν, οὐκ ἐγώ· σὺ γὰρ ποιεῖς
τοὔργον, τὰ δ' ἔργα τοὺς λόγους εὑρίσκεται.
ΚΛ. ἀλλ' οὐ μὰ τὴν δέσποιναν Ἄρτεμιν θράσους
τοῦδ' οὐκ ἀλύξεις, εὖτ' ἂν Αἴγισθος μόλῃ.
ΗΛ. ὁρᾷς; πρὸς ὀργὴν ἐκφέρει, μεθεῖσά μοι
λέγειν ἃ χρῄζοιμ', οὐδ' ἐπίστασαι κλύειν.
ΚΛ. οὔκουν ἐάσεις οὐδ' ὑπ' εὐφήμου βοῆς
θῦσαί μ', ἐπειδὴ σοί γ' ἐφῆκα πᾶν λέγειν;
ΗΛ. ἐῶ, κελεύω, θῦε, μηδ' ἐπαιτιῶ
τοὐμὸν στόμ', ὡς οὐκ ἂν πέρα λέξαιμ' ἔτι.
ΚΛ. ἔπαιρε δὴ σὺ θύμαθ' ἡ παροῦσά μοι
πάγκαρπ', ἄνακτι τῷδ' ὅπως λυτηρίους
εὐχὰς ἀνάσχω δειμάτων, ἃ νῦν ἔχω.
κλύοις ἂν ἤδη, Φοῖβε προστατήριε,
κεκρυμμένην μου βάξιν. οὐ γὰρ ἐν φίλοις
ὁ μῦθος, οὐδὲ πᾶν ἀναπτύξαι πρέπει
πρὸς φῶς παρούσης τῆσδε πλησίας ἐμοὶ,
μὴ σὺν φθόνῳ τε καὶ πολυγλώσσῳ βοῇ
σπείρῃ ματαίαν βάξιν ἐς πᾶσαν πόλιν.
ἀλλ' ὧδ' ἄκουε· τῇδε γὰρ κἀγὼ φράσω.
ἃ γὰρ προσεῖδον νυκτὶ τῇδε φάσματα
δισσῶν ὀνείρων, ταῦτά μοι, Λύκει' ἄναξ,
εἰ μὲν πέφηνεν ἐσθλὰ, δὸς τελεσφόρα,
εἰ δ' ἐχθρὰ, τοῖς ἐχθροῖσιν ἔμπαλιν μέθες·
καὶ μή με πλούτου τοῦ παρόντος εἴ τινες
δόλοισι βουλεύουσιν ἐκβαλεῖν, ἐφῇς,
ἀλλ' ὧδέ μ' ἀεὶ ζῶσαν ἀβλαβεῖ βίῳ
δόμους Ἀτρειδῶν σκῆπτρά τ' ἀμφέπειν τάδε,
φίλοισί τε ξυνοῦσαν οἷς ξύνειμι νῦν
εὐημεροῦσαν καὶ τέκνων ὅσων ἐμοὶ
δύσνοια μὴ πρόσεστιν ἢ λύπη πικρά.
ταῦτ', ὦ Λύκει' Ἄπολλον, ἵλεως κλύων
δὸς πᾶσιν ἡμῖν ὥσπερ ἐξαιτούμεθα.
τὰ δ' ἄλλα πάντα καὶ σιωπώσης ἐμοῦ
ἐπαξιῶ σε δαίμον' ὄντ' ἐξειδέναι·
τοὺς ἐκ Διός γὰρ εἰκός ἐστι πάνθ' ὁρᾶν.
ΠΑ. ξέναι γυναῖκες, πῶς ἂν εἰδείην σαφῶς
εἰ τοῦ τυράννου δώματ' Αἰγίσθου τάδε;
ΧΟ. τάδ' ἐστὶν, ὦ ξέν'· αὐτὸς ᾔκασας καλῶς.
ΠΑ. ἦ καὶ δάμαρτα τήνδ' ἐπεικάζων κυρῶ

---

556. λόγους] λόγουσ pr., in λόγοισ mutatum a m. recenti. 559. ἔτι] ἐτ' . . . pr. erasis duabus tribusve literis aliisque quae superscriptae fuerunt. Videtur igitur ἔτ' ἂν fuisse. 562. *πειθὼ] πιθὼ 564. ποινὰς] ὰ in ῆ mutatum a m. rec. Αὐλίδι] αὐλίωι pr., correctum a m. sec. 572. *αὑτοῦ] αὐτοῦ 581. *τιθῇς] τίθηισ 583. *τυγχάνοις] τυγχάνεισ 584. *τιθῇς] τίθησ 586. Hunc versum in margine addidit m. pr. 588. ἁμὸν] ἁ ex ἐ factum ab alia m. ant. in litura. 590. *βλαστόντας] βλαστῶντασ 591. ἐπαινέσαιμ' ἂν] γρ. ἐπαινέσωμεν ab S. ταῦτ' Dobraeus] τοῦτ' 592. *λαμβάνεις] τυγχάνει pr., quod S erasit superscripto λαμβάνει 593. γ' Hartungius] δ' 595. σε] σοι pr. 596. *ἵης] ἵεισ 606. χρῇς Wunderus] χρὴ

614. ἆρα] ἆρ' οὐ a m. rec. 615. ἐς ante consonantes pro εἰς, quod est in codice, restitui hic et 642. 681. 954. 1120. 1166. 1348. partim ex apographis. 618. *προσεικότα] ʽπροσηκότα 623. ποιεῖ] ι post ο erasum. 624. *ποιεῖς] ποεῖσ 641. πολυγλώσσῳ]

λυ λυ
ποιγλώσσωι (vel πουγλώσσωι) pr., sed corr. ab eadem. παλιγλώσσῳ Meinekius. 650. ἀεὶ D.] αἰεὶ 653. εὐημεροῦσαν, ι super α a m. ant. scripto. 662. ᾔκασας Brunckius] εἴκασας

κείνου; πρέπει γὰρ ὡς τύραννος εἰσορᾶν.
ΧΟ. μάλιστα πάντων· ἥδε σοι κείνη πάρα.
ΠΑ. ὦ χαῖρ', ἄνασσα. σοὶ φέρων ἥκω λόγους
ἡδεῖς φίλου παρ' ἀνδρὸς Αἰγίσθῳ θ' ὁμοῦ.
ΚΛ. ἐδεξάμην τὸ ῥηθέν· εἰδέναι δέ σου
πρώτιστα χρῄζω τίς σ' ἀπέστειλεν βροτῶν.
ΠΑ. Φανοτεὺς ὁ Φωκεύς, πρᾶγμα πορσύνων μέγα.
ΚΛ. τὸ ποῖον, ὦ ξέν'; εἰπέ. παρὰ φίλου γὰρ ὢν
ἀνδρός, σάφ' οἶδα, προσφιλεῖς λέξεις λόγους.
ΠΑ. τέθνηκ' Ὀρέστης· ἐν βραχεῖ ξυνθεὶς λέγω.
ΗΛ. οἳ 'γὼ τάλαιν', ὄλωλα τῇδ' ἐν ἡμέρᾳ.
ΚΛ. τί φῄς, τί φῄς, ὦ ξεῖνε; μὴ ταύτης κλύε.
ΠΑ. θανόντ' Ὀρέστην νῦν τε καὶ πάλαι λέγω.
ΗΛ. ἀπωλόμην δύστηνος, οὐδέν εἰμ' ἔτι.
ΚΛ. σὺ μὲν τὰ σαυτῆς πρᾶσσ', ἐμοὶ δὲ σύ, ξένε,
τἀληθὲς εἰπέ, τῷ τρόπῳ διόλλυται;
ΠΑ. κἀπεμπόμην πρὸς ταῦτα καὶ τὸ πᾶν φράσω.
κεῖνος γὰρ ἐλθὼν ἐς τὸ κλεινὸν Ἑλλάδος
πρόσχημ' ἀγῶνος Δελφικῶν ἄθλων χάριν,
ὅτ' ᾔσθετ' ἀνδρὸς ὀρθίων κηρυγμάτων
δρόμον προκηρύξαντος οὗ πρώτη κρίσις,
εἰσῆλθε λαμπρός, πᾶσι τοῖς ἐκεῖ σέβας·
δρόμου δ' ἰσώσας τἀφέσει τὰ τέρματα
νίκης ἔχων ἐξῆλθε πάντιμον γέρας.
χὤπως μὲν ἐν πολλοῖσι παῦρά σοι λέγω,
οὐκ οἶδα τοιοῦδ' ἀνδρὸς ἔργα καὶ κράτη·
ἓν δ' ἴσθ'· ὅσων γὰρ εἰσεκήρυξαν βραβῆς
δρόμων διαύλων ἆθλ' ἅπερ νομίζεται,
τούτων ἐνεγκὼν πάντα τἀπινίκια
ὠλβίζετ', Ἀργεῖος μὲν ἀνακαλούμενος,
ὄνομα δ' Ὀρέστης, τοῦ τὸ κλεινὸν Ἑλλάδος
Ἀγαμέμνονος στράτευμ' ἀγείραντός ποτε.
καὶ ταῦτα μὲν τοιαῦθ'· ὅταν δέ τις θεῶν
βλάπτῃ, δύναιτ' ἂν οὐδ' ἂν ἰσχύων φυγεῖν.
κεῖνος γὰρ ἄλλης ἡμέρας, ὅθ' ἱππικῶν
ἦν ἡλίου τέλλοντος ὠκύπους ἀγών,
εἰσῆλθε πολλῶν ἁρματηλατῶν μέτα.
εἷς ἦν Ἀχαιός, εἷς ἀπὸ Σπάρτης, δύο
Λίβυες ζυγωτῶν ἁρμάτων ἐπιστάται·
κἀκεῖνος ἐν τούτοισι Θεσσαλὰς ἔχων
ἵππους, ὁ πέμπτος· ἕκτος ἐξ Αἰτωλίας
ξανθαῖσι πώλοις· ἕβδομος Μάγνης ἀνήρ·
ὁ δ' ὄγδοος λεύκιππος, Αἰνιὰν γένος·
ἔνατος Ἀθηνῶν τῶν θεοδμήτων ἄπο·
Βοιωτὸς ἄλλος, δέκατον ἐκπληρῶν ὄχον.
στάντες δ' ὅπου νιν οἱ τεταγμένοι βραβῆς
κλήρους ἔπηλαν καὶ κατέστησαν δίφρους,
χαλκῆς ὑπαὶ σάλπιγγος ᾖξαν· οἱ δ' ἅμα
ἵπποις ὁμοκλήσαντες ἡνίας χεροῖν
ἔσεισαν· ἐν δὲ πᾶς ἐμεστώθη δρόμος
κτύπου κροτητῶν ἁρμάτων· κόνις δ' ἄνω
φορεῖθ'· ὁμοῦ δὲ πάντες ἀναμεμιγμένοι
φείδοντο κέντρων οὐδέν, ὡς ὑπερβάλοι
χνόας τις αὐτῶν καὶ φρυάγμαθ' ἱππικά.
ὁμοῦ γὰρ ἀμφὶ νῶτα καὶ τροχῶν βάσεις
ἤφριζον, εἰσέβαλλον ἱππικαὶ πνοαί.
κεῖνος δ' ὑπ' αὐτὴν ἐσχάτην στήλην ἔχων
ἔχριμπτ' ἀεὶ σύριγγα, δεξιόν τ' ἀνεὶς
σειραῖον ἵππον εἶργε τὸν προσκείμενον.
καὶ πρὶν μὲν ὀρθοὶ πάντες ἕστασαν δίφροι·
ἔπειτα δ' Αἰνιᾶνος ἀνδρὸς ἄστομοι
πῶλοι βίᾳ φέρουσιν, ἐκ δ' ὑποστροφῆς,
τελοῦντες ἕκτον ἕβδομόν τ' ἤδη δρόμον,
μέτωπα συμπαίουσι Βαρκαίοις ὄχοις·
κἀντεῦθεν ἄλλος ἄλλον ἐξ ἑνὸς κακοῦ
ἔθραυε κἀνέπιπτε, πᾶν δ' ἐπίμπλατο
ναυαγίων Κρισαῖον ἱππικῶν πέδον.
γνοὺς δ' οὑξ Ἀθηνῶν δεινὸς ἡνιοστρόφος
ἔξω παρασπᾷ κἀνοκωχεύει παρεὶς
κλύδων' ἔφιππον ἐν μέσῳ κυκώμενον.
ἤλαυνε δ' ἔσχατος μὲν ὑστέρας ἔχων
πώλους Ὀρέστης, τῷ τέλει πίστιν φέρων·
ὅπως δ' ὁρᾷ μόνον νιν ἐλλελειμμένον,
ὀξὺν δι' ὤτων κέλαδον ἐνσείσας θοαῖς
πώλοις διώκει, κἀξισώσαντε ζυγὰ
ἠλαυνέτην, τότ' ἄλλος, ἄλλοθ' ἅτερος
κάρα προβάλλων ἱππικῶν ὀχημάτων.
καὶ τοὺς μὲν ἄλλους πάντας ἀσφαλεῖς δρόμους
ὠρθοῦθ' ὁ τλήμων ὀρθὸς ἐξ ὀρθῶν δίφρων·
ἔπειτα λύων ἡνίαν ἀριστερὰν
κάμπτοντος ἵππου λανθάνει στήλην ἄκραν
παίσας· ἔθραυσε δ' ἄξονος μέσας χνόας
κἀξ ἀντύγων ὤλισθε, σὺν δ' ἑλίσσεται
τμητοῖς ἱμᾶσι· τοῦ δὲ πίπτοντος πέδῳ
πῶλοι διεσπάρησαν ἐς μέσον δρόμον.
στρατὸς δ' ὅπως ὁρᾷ νιν ἐκπεπτωκότα
δίφρων, ἀνωλόλυξε τὸν νεανίαν,
οἷ' ἔργα δράσας οἷα λαγχάνει κακά,
φορούμενος πρὸς οὖδας, ἄλλοτ' οὐρανῷ
σκέλη προφαίνων, ἔς τέ νιν διφρηλάται,
μόλις κατασχεθόντες ἱππικὸν δρόμον,
ἔλυσαν αἱματηρόν, ὥστε μηδένα
γνῶναι φίλων ἰδόντ' ἂν ἄθλιον δέμας.
καί νιν πυρᾷ κέαντες εὐθὺς ἐν βραχεῖ
χαλκῷ μέγιστον σῶμα δειλαίας σποδοῦ
φέρουσιν ἄνδρες Φωκέων τεταγμένοι,
ὅπως πατρῴας τύμβον ἐκλάχοι χθονός.
τοιαῦτά σοι ταῦτ' ἐστίν, ὡς μὲν ἐν λόγῳ
ἀλγεινά, τοῖς δ' ἰδοῦσιν, οἵπερ εἴδομεν,
μέγιστα πάντων ὧν ὄπωπ' ἐγὼ κακῶν.
ΧΟ. φεῦ φεῦ· τὸ πᾶν δὴ δεσπόταισι τοῖς πάλαι
πρόρριζον, ὡς ἔοικεν, ἔφθαρται γένος.
ΚΛ. ὦ Ζεῦ, τί ταῦτα, πότερον εὐτυχῆ λέγω,
ἢ δεινὰ μέν, κέρδη δέ; λυπηρῶς δ' ἔχει,

---

669. σ' additum ab S. 674. *'γὼ] ἐγὼ 676. πάλαι λέγω] γρ. τότ' ἐννέπω, non ab S, sed alia m. paullo recentiore. 684. *δρόμον] δρόμου 686. δρόμου] ου in litura ex ω, ut videtur, factum. τἠ 'φέσει (debebat τἀφέσει) Musgravius] τῇ φύσει 690. βραβῆς] ει a m. rec. super η 691. ἆθλ' ἅπερ Porsonus] πένταθλ' ἃ 693. ἀνακαλούμενος] ἀγκαλούμενος D. Quod pariter restituendum videtur Oed. Col. 1376. Trach. 910. Phil. 800. 697. δύναιτ'] Post αι duae vel tres literae erasae. ἰσχύων] ὁ σθένων Heimsoethius. ὅπου νιν D. in Praefat. ad edit. Lips. quartam (a. 1863.) p. XVII.] ὅθ' αὐτοὺς βραβῆς] ει super η ab alia m. ant. 710. κλήρους Wunderus] κλήροις ἀναμεμιγμένοι] Probabilius ἀμμεμιγμένοι. Conf. ad v. 693.

620. αὐτὴν ἐσχάτην] Super ὴν et ην duae literae erasae. 721. ἔχριμπτ'] ἔχριπτ', μ a m. pr. *δεξιόν τ' ἀνεὶς] δεξιὸν ἀνεὶσ, inserto a m. recentissima δ' (non τ') post δεξιόν. 724. *Αἰνιᾶνος] αἰνειᾶνοσ, ut αἰνειᾶν 706. 730. Κρισαῖον Brunckius] κρισσαῖον 732. κἀνοκωχεύει Cobetus] κἀνακωχεύει 734. ὑστέρας] δ' additum a m. recentissima. 736. ὅπως δ'] Sic pr.: ὅδ' ὡσ δ' sec. ἐλλελειμμένον] ἐνλελειμμένον pr., ν a m. rec. in λ mutato. 739. ἄλλος] αὐτὸς Nauckius. 742. ὠρθοῦθ'] Alterum θ ex τ factum. 745. ἄξονος] οσ ex ασ factum. 754. κατασχεθόντες Elmsleius] κατασχέθοντες 757. κέαντες Brunckius] κήαντες (οισ) 761. λόγῳ] λόγωι; οισ a m. pr.

εἰ τοῖς ἐμαυτῆς τὸν βίον σώζω κακοῖς.
ΠΑ. τί δ' ὧδ' ἀθυμεῖς, ὦ γύναι, τῷ νῦν λόγῳ;
ΚΛ. δεινὸν τὸ τίκτειν ἐστίν· οὐδὲ γὰρ κακῶς
πάσχοντι μῖσος ὧν τέκῃ προσγίγνεται.
ΠΑ. μάτην ἄρ' ἡμεῖς, ὡς ἔοικεν, ἥκομεν.
ΚΛ. οὔτοι μάτην γε. πῶς γὰρ ἂν μάτην λέγοις;
εἴ μοι θανόντος πίστ' ἔχων τεκμήρια
προσῆλθες, ὅστις τῆς ἐμῆς ψυχῆς γεγώς,
μαστῶν ἀποστὰς καὶ τροφῆς ἐμῆς, φυγὰς
ἀπεξενοῦτο· καί μ', ἐπεὶ τῆσδε χθονὸς
ἐξῆλθεν, οὐκέτ' εἶδεν· ἐγκαλῶν δέ μοι
φόνους πατρῴους δείν' ἐπηπείλει τελεῖν·
ὥστ' οὔτε νυκτὸς ὕπνον οὔτ' ἐξ ἡμέρας
ἐμὲ στεγάζειν ἡδύν, ἀλλ' ὁ προστατῶν
χρόνος διῆγέ μ' αἰὲν ὡς θανουμένην.
νῦν δ'—ἡμέρᾳ γὰρ τῇδ' ἀπηλλάγην φόβου
πρὸς τῆσδ' ἐκείνου θ'· ἥδε γὰρ μείζων βλάβη
ξύνοικος ἦν μοι, τοὐμὸν ἐκπίνουσ' ἀεὶ
ψυχῆς ἄκρατον αἷμα—νῦν δ' ἕκηλά που
τῶν τῆσδ' ἀπειλῶν οὕνεχ' ἡμερεύσομεν.
ΗΛ. οἴμοι τάλαινα· νῦν γὰρ οἰμῶξαι πάρα,
Ὀρέστα, τὴν σὴν ξυμφοράν, ὅθ' ὧδ' ἔχων
πρὸς τῆσδ' ὑβρίζει μητρός. ἆρ' ἔχει καλῶς;
ΚΛ. οὔτοι σύ· κεῖνος δ' ὡς ἔχει καλῶς ἔχει.
ΗΛ. ἄκουε, Νέμεσι τοῦ θανόντος ἀρτίως.
ΚΛ. ἤκουσεν ὧν δεῖ κἀπεκύρωσεν καλῶς.
ΗΛ. ὕβριζε· νῦν γὰρ εὐτυχοῦσα τυγχάνεις.
ΚΛ. οὔκουν Ὀρέστης καὶ σὺ παύσετον τάδε.
ΗΛ. πεπαύμεθ' ἡμεῖς, οὐχ ὅπως σε παύσομεν.
ΚΛ. πολλῶν ἂν ἥκοις, ὦ ξέν', ἄξιος τυχεῖν,
εἰ τήνδ' ἔπαυσας τῆς πολυγλώσσου βοῆς.
ΠΑ. οὔκουν ἀποστείχοιμ' ἄν, εἰ τάδ' εὖ κυρεῖ;
ΚΛ. ἥκιστ'· ἐπείπερ οὔτ' ἐμοῦ κατάξι' ἂν
πράξειας οὔτε τοῦ πορεύσαντος ξένου.
ἀλλ' εἴσιθ' εἴσω· τήνδε δ' ἔκτοθεν βοᾶν
ἔα τά θ' αὑτῆς καὶ τὰ τῶν φίλων κακά.
ΗΛ. ἆρ' ὑμὶν ὡς ἀλγοῦσα κὠδυνωμένη
δεινῶς δακρῦσαι κἀπικωκῦσαι δοκεῖ
τὸν υἱὸν ἡ δύστηνος ὧδ' ὀλωλότα;
ἀλλ' ἐγγελῶσα φροῦδος. ὦ τάλαιν' ἐγώ·
Ὀρέστα φίλταθ', ὥς μ' ἀπώλεσας θανών.
ἀποσπάσας γὰρ τῆς ἐμῆς οἴχει φρενὸς
αἵ μοι μόναι παρῆσαν ἐλπίδων ἔτι,
σὲ πατρὸς ἥξειν ζῶντα τιμωρόν ποτε
κἀμοῦ ταλαίνης. νῦν δὲ ποῖ με χρὴ μολεῖν;
μόνη γάρ εἰμι, σοῦ τ' ἀπεστερημένη
καὶ πατρός. ἤδη δεῖ με δουλεύειν πάλιν
ἐν τοῖσιν ἐχθίστοισιν ἀνθρώπων ἐμοί,
φονεῦσι πατρός. ἆρά μοι καλῶς ἔχει;
ἀλλ' οὔ τι μὴν ἔγωγε τοῦ λοιποῦ χρόνου
ξύνοικος εἴσειμ', ἀλλὰ τῇδε πρὸς πύλῃ
παρεῖσ' ἐμαυτὴν ἄφιλος αὐανῶ βίον.
πρὸς ταῦτα καινέτω τις, εἰ βαρύνεται,
τῶν ἔνδον ὄντων· ὡς χάρις μέν, ἢν κτάνῃ,
λύπη δ', ἐὰν ζῶ· τοῦ βίου δ' οὐδεὶς πόθος.
ΧΟ. ποῦ ποτε κεραυνοὶ Διός, ἢ ποῦ φαέθων Ἅλιος,
κρύπτουσιν ἕκηλοι; [εἰ ταῦτ' ἐφορῶντες
ΗΛ. αἰαῖ αἰαῖ.
ΧΟ. ὦ παῖ, τί δακρύεις;
ΗΛ. φεῦ.
ΧΟ. μηδὲν μέγ' ἀΰσῃς.
ΗΛ. ἀπολεῖς. ΧΟ. πῶς;
ΗΛ. εἰ τῶν φανερῶς οἰχομένων εἰς Ἀΐδαν ἐλπίδ' ὑποίσεις, κατ' ἐμοῦ τακομένας μᾶλλον ἐπεμβάσει.
ΧΟ. οἶδα γὰρ ἄνακτ' Ἀμφιάρεων χρυσοδέτοις ἕρκεσι
καὶ νῦν ὑπὸ γαίας [κρυφθέντα γυναικῶν·
ΗΛ. αἰαῖ αἰαῖ.
ΧΟ. πάμψυχος ἀνάσσει.
ΗΛ. φεῦ.
ΧΟ. φεῦ δῆτ'· ὀλοὰ γὰρ
ΗΛ. ἐδάμη. ΧΟ. ναί.
ΗΛ. οἶδ' οἶδ'· ἐφάνη γὰρ μελέτωρ ἀμφὶ τὸν ἐν πένθει· ἐμοὶ δ' οὔτις ἔτ' ἔσθ'· ὃς γὰρ ἔτ' ἦν,
φροῦδος ἀναρπασθείς.
ΧΟ. δειλαία δειλαίων κυρεῖς.
ΗΛ. κἀγὼ τοῦδ' ἴστωρ, ὑπερίστωρ,
πανσύρτῳ παμμήνῳ δεινῶν
στυγνῶν τ' ἀχέων αἰῶνι.
ΧΟ. εἴδομεν ἃ θρηνεῖς.
ΗΛ. μή μέ νυν μηκέτι
παραγάγῃς, ἵν' οὐ
ΧΟ. τί φῄς;
ΗΛ. πάρεισιν ἐλπίδων ἔτι κοινοτόκων
εὐπατρίδων τ' ἀρωγαί.
ΧΟ. πᾶσι θνατοῖς ἔφυ μόρος.
ΗΛ. ἦ καὶ χαλαργοῖς ἐν ἁμίλλαις
οὕτως, ὡς κείνῳ δυστάνῳ,
τμητοῖς ὁλκοῖς ἐγκῦρσαι;
ΧΟ. ἄσκοπος ἁ λώβα.
ΗΛ. πῶς γὰρ οὔκ; εἰ ξένος
ἄτερ ἐμᾶν χερῶν
ΧΟ. παπαῖ.
ΗΛ. κέκευθεν, οὔτε του τάφου ἀντιάσας
οὔτε γόων παρ' ἡμῶν.
ΧΡ. ὑφ' ἡδονῆς τοι, φιλτάτη, διώκομαι
τὸ κόσμιον μεθεῖσα σὺν τάχει μολεῖν·
φέρω γὰρ ἡδονάς τε κἀνάπαυλαν ὧν
πάροιθεν εἶχες καὶ κατέστενες κακῶν.

824—836. = 837—848.
849—859. = 860—870.

769. *νῦν] ναῦ (sic) 770. οὐδὲ] δ in litura. 771. τέκῃ] τέκει pr. *προσγίγνεται] προσγίνεμαι ται 783. ἀπηλλάγην, μαι a m. pr. 790. ἆρ'] ἄρ' pr. 797. τυχεῖν] φιλεῖν, a m. aliquanto recentiore in τυχεῖν mutatum. 798. τήνδ' ἔπαυσας] τήνδε παύσαις Wunderus. πολυγλώσσου βοῆς] Hesychii gl. περισπερχοῦς βοῆς: ὑπερεπειγούσης ex hoc loco sumtam videri posse monet Meinekius in Leutschii Philologo vol. 13. p. 551. 800. κατάξι' ἂν Bothius] καταξίως 802. τήνδε δ'] Sic m. recentior pro τὴν δέ τ' 807. *ὦ] ὦ 809. οἴχει φρενὸς] φρενὸσ οἴχῃι pr., οἴχῃι φρενὸσ a. m. rec. in litura. 812. μολεῖν] βλέπειν G. Wolffius. 818. ξύνοικος εἴσειμ' Hermannus] ξύνοικος ἔσομ' (ἔσσομ' codex a m. recenti). ἔτ' οἶκον εἴσειμ' Heimsoethius

825. Ἅλιος] ἀέλιος 827. Codex hic ἒ ἒ αἶ αἶ, in antistropha v. 840. ἒ ἒ et separato versu ἰώ. Sophoclem prebabilius est utrobique scripsisse quod restitui αἰαῖ αἰαῖ. 838. γυναικῶν Brunckius] γυναικῶν ἀπάταις 840. αἰαῖ αἰαῖ] V. ad v. 827. 850. *ἴστωρ] ἵστωρ 851. παμμήνῳ δεινῶν D.] παμμήνῳ πολλῶν δεινῶν 852. ἀχέων] ἀχαίων pr. αἰῶνι addidit Hermannus. 853. ἃ θρηνεῖς Erfurdtius] ἃ θροεῖς 856. αὐδᾷς δὲ ποῖον post τί φῄς lectum eiecit Triclinius. 859. εὐπατρίδων (apud Suidam εὐπατριδῶν s. v. παραγάγῃς) Neuius] εὐπατριδᾶν *ἀρωγαί cum scholiasta] ἀρωγοί 860. *πᾶσι] πᾶσιν 861. χαλαργοῖς] Rectus accentus χαλάργοις esse videtur. 863. ἐγκῦρσαι] ἐνκύρσαι, litera ρ ab S inserta 867. παπαῖ] παπαί pr. 868. του] τοῦ pr. 873. ἡδονὰς] εὐδίαν Heimsoethius.

ΗΛ. πόθεν δ' ἂν εὕροις τῶν ἐμῶν σὺ πημάτων
ἄρηξιν, οἷς ἴασιν οὐκ ἔνεστ' ἰδεῖν;
ΧΡ. πάρεστ' Ὀρέστης ἡμίν, ἴσθι τοῦτ' ἐμοῦ
κλύουσ', ἐναργῶς, ὥσπερ εἰσορᾷς ἐμέ.
ΗΛ. ἀλλ' ἦ μέμηνας, ὦ τάλαινα, κἀπὶ τοῖς
σαυτῆς κακοῖσι κἀπὶ τοῖς ἐμοῖς γελᾷς;
ΧΡ. μὰ τὴν πατρῴαν ἑστίαν, ἀλλ' οὐχ ὕβρει
λέγω τάδ', ἀλλ' ἐκεῖνον ὡς παρόντα νῷν.
ΗΛ. οἴμοι τάλαινα· καὶ τίνος βροτῶν λόγον
τόνδ' εἰσακούσασ' ὧδε πιστεύεις ἄγαν;
ΧΡ. ἐγὼ μὲν ἐξ ἐμοῦ τε κοὐκ ἄλλων σαφῆ
σημεῖ' ἰδοῦσα τῷδε πιστεύω λόγῳ.
ΗΛ. τίν', ὦ τάλαιν', ἰδοῦσα πίστιν; ἐς τί μοι
βλέψασα θάλπει τῷδ' ἀνηκέστῳ πυρί;
ΧΡ. πρός νυν θεῶν ἄκουσον, ὡς μαθοῦσά μου
τὸ λοιπὸν ἢ φρονοῦσαν ἢ μώραν λέγῃς.
ΗΛ. σὺ δ' οὖν λέγ', εἴ σοι τῷ λόγῳ τις ἡδονή.
ΧΡ. καὶ δὴ λέγω σοι πᾶν ὅσον κατειδόμην.
ἐπεὶ γὰρ ἦλθον πατρὸς ἀρχαῖον τάφον,
ὁρῶ κολώνης ἐξ ἄκρας νεορρύτους
πηγὰς γάλακτος καὶ περιστεφῆ κύκλῳ
πάντων ὅσ' ἐστὶν ἀνθέων θήκην πατρός.
ἰδοῦσα δ' ἔσχον θαῦμα, καὶ περισκοπῶ
μή πού τις ἡμῖν ἐγγὺς ἐγχρίμπτῃ βροτῶν.
ὡς δ' ἐν γαλήνῃ πάντ' ἐδερκόμην τόπον,
τύμβου προσεῖρπον ἆσσον· ἐσχάτης δ' ὁρῶ
πυρᾶς νεώρη βόστρυχον τετμημένον·
κεὐθὺς τάλαιν' ὡς εἶδον, ἐμπαίει τί μοι
ψυχῇ σύνηθες ὄμμα, φιλτάτου βροτῶν
πάντων Ὀρέστου τοῦθ' ὁρᾶν τεκμήριον·
καὶ χερσὶ βαστάσασα δυσφημῶ μὲν οὔ,
χαρᾷ δὲ πίμπλημ' εὐθὺς ὄμμα δακρύων.
καὶ νῦν θ' ὁμοίως καὶ τότ' ἐξεπίσταμαι
μή του τόδ' ἀγλάϊσμα πλὴν κείνου μολεῖν.
τῷ γὰρ προσήκει πλήν γ' ἐμοῦ καὶ σοῦ τόδε;
κἀγὼ μὲν οὐκ ἔδρασα, τοῦτ' ἐπίσταμαι,
οὐδ' αὖ σύ· πῶς γάρ; ᾗ γε μηδὲ πρὸς θεοὺς
ἔξεστ' ἀκλαύτῳ τῆσδ' ἀποστῆναι στέγης.
ἀλλ' οὐδὲ μὲν δὴ μητρὸς οὔθ' ὁ νοῦς φιλεῖ
τοιαῦτα πράσσειν οὔτε δρῶσ' ἐλάνθανεν·
ἀλλ' ἔστ' Ὀρέστου ταῦτα τἀπιτύμβια.
ἀλλ', ὦ φίλη, θάρσυνε. τοῖς αὐτοῖσί τοι
οὐχ αὑτὸς ἀεὶ δαιμόνων παραστατεῖ.
νῷν ἦν τὰ πρόσθεν στυγνός· ἡ δὲ νῦν ἴσως
πολλῶν ὑπάρξει κῦρος ἡμέρα καλῶν.
ΗΛ. φεῦ, τῆς ἀνοίας ὥς σ' ἐποικτείρω πάλαι.
ΧΡ. τί δ' ἔστιν; οὐ πρὸς ἡδονὴν λέγω τάδε;
ΗΛ. οὐκ οἶσθ' ὅποι γῆς οὐδ' ὅποι γνώμης φέρει.
ΧΡ. πῶς δ' οὐκ ἐγὼ κάτοιδ' ἅ γ' εἶδον ἐμφανῶς;
ΗΛ. τέθνηκεν, ὦ τάλαινα· τἀκείνου δέ σοι
σωτήρι' ἔρρει· μηδὲν ἐς κεῖνόν γ' ὅρα.
ΧΡ. οἴμοι τάλαινα· τοῦ τάδ' ἤκουσας βροτῶν;
ΗΛ. τοῦ πλησίον παρόντος, ἡνίκ' ὤλλυτο.
ΧΡ. καὶ ποῦ 'στιν οὗτος; θαῦμά τοί μ' ὑπέρχεται.
ΗΛ. κατ' οἶκον ἡδὺς οὐδὲ μητρὶ δυσχερής.
ΧΡ. οἴμοι τάλαινα· τοῦ γὰρ ἀνθρώπων ποτ' ἦν
τὰ πολλὰ πατρὸς πρὸς τάφον κτερίσματα;
ΗΛ. οἶμαι μάλιστ' ἔγωγε τοῦ τεθνηκότος
μνημεῖ' Ὀρέστου ταῦτα προσθεῖναί τινα.
ΧΡ. ὦ δυστυχής· ἐγὼ δὲ σὺν χαρᾷ λόγους
τοιούσδ' ἔχουσ' ἔσπευδον, οὐκ εἰδυῖ' ἄρα
ἵν' ἦμεν ἄτης· ἀλλὰ νῦν, ὅθ' ἱκόμην,
τά τ' ὄντα πρόσθεν ἄλλα θ' εὑρίσκω κακά.
ΗΛ. οὕτως ἔχει σοι ταῦτ'· ἐὰν δέ μοι πίθῃ,
τῆς νῦν παρούσης πημονῆς λύσεις βάρος.
ΧΡ. ἦ τοὺς θανόντας ἐξαναστήσω ποτέ;
ΗΛ. οὐκ ἔσθ' ὅ γ' εἶπον· οὐ γὰρ ὧδ' ἄφρων ἔφυν.
ΧΡ. τί γὰρ κελεύεις ὧν ἐγὼ φερέγγυος;
ΗΛ. τλῆναί σε δρῶσαν ἂν ἐγὼ παραινέσω.
ΧΡ. ἀλλ' εἴ τις ὠφέλειά γ', οὐκ ἀπώσομαι.
ΗΛ. ὅρα, πόνου τοι χωρὶς οὐδὲν εὐτυχεῖ.
ΧΡ. ὁρῶ· ξυνοίσω πᾶν ὅσονπερ ἂν σθένω.
ΗΛ. ἄκουε δή νυν ᾗ βεβούλευμαι ποιεῖν.
παρουσίαν μὲν οἶσθα καὶ σύ που φίλων
ὡς οὔτις ἡμῖν ἐστιν, ἀλλ' Ἅιδης λαβὼν
ἀπεστέρηκε καὶ μόνα λελείμμεθον.
ἐγὼ δ' ἕως μὲν τὸν κασίγνητον βίῳ
θάλλοντ' ἔτ' εἰσήκουον, εἶχον ἐλπίδας
φόνου ποτ' αὐτὸν πράκτορ' ἵξεσθαι πατρός·
νῦν δ' ἡνίκ' οὐκέτ' ἔστιν, ἐς σὲ δὴ βλέπω,
ὅπως τὸν αὐτόχειρα πατρῴου φόνου
ξὺν τῇδ' ἀδελφῇ μὴ κατοκνήσεις κτανεῖν,
Αἴγισθον· οὐδὲν γάρ σε δεῖ κρύπτειν μ' ἔτι.
ποῖ γὰρ μενεῖς ῥᾴθυμος ἐς τίν' ἐλπίδων
βλέψασ' ἔτ' ὀρθήν; ᾗ πάρεστι μὲν στένειν
πλούτου πατρῴου κτῆσιν ἐστερημένῃ,
πάρεστι δ' ἀλγεῖν ἐς τοσόνδε τοῦ χρόνου

---

σ
876. ἴασιν] ἴ. ασιν, erasa post ἴ litera σ, ut videtur, et σ super ν a m. ant. scripto. ἰδεῖν] ἔτι superscriptum ab S. Quod qui substituit, non ἴασιν, sed ἴασις legi voluit. 877. *ἡμὶν] ἦμιν 881. ὕβρει] ὕβριν pr., ὕβρει sec. 885. ἄλλων D.] ἄλλης, in ἄλλου mutatum a m. recenti, ut est in apographis, nisi quod in Florentino Γ ἄλλης est, superscripto tamen ου. 888. *βλέψασα] κλέψασα 890.
ʹ
λοιπὸν] λοιπὸν μ', accentu acuto a m. recenti ad-
η
dito. μώραν Neuius] μωρὰν λέγῃς] λέγοισῃ, a m. rec. 891. τῷ λόγῳ] τῶν λόγων Reiskius 896. ἐστὶν] εισιν superscr. a m. pr. vel S. 898. *ἐγχρίμπτῃ] ἐγχρίπτηι 901. νεώρη Ellendtius]
οι
νεωρῆ 902. μοι] μου, οι a m. rec. 903. ψυχῆι a m. rec., ψυχῆσ pr. 905. βαστάσασα] Ultimum α ab S additum. 912. ἀκλαύτῳ D.] ἀκλαύστῳ 914. ἐλάνθανεν, quod Heathius in ἐλάνθαν' ἄν mutabat,
ι
in codice ἐλάνθαν scriptum, compendio, quod super ν positum est, εν significante, licet satis spatii esset syllabae plene scribendae, ut alibi scribere solet librarius. 915. τἀπιτύμβια D.] τἀπιτίμια. γρ. τἀγλαΐσματα (sumtum ex v. 908.) adscriptum ab S.

917. οὐχ αὑτὸς ἀεὶ D.] οὐκ αὐτὸσ αἰεὶ. οὐχ ὡὐτὸς αἰεὶ Brunckius. 918. νῷν] *νῷν δ' *πρόσθεν] πρόσθε 920. φ$^{ευ}$, literis ευ ab S adscriptis.
έ
922. φέρει] φορηι pr., ο (vel υ) in έ mutato a m. rec. γρ. ἔφυσ ab S. 929. δυσχερής] γρ, δυσμενήσ ab S. 934. σὺν in litura quattuor vel quinque literarum. 935. τοιούσδ' ex τούσδ' factum a m. pr. 938. *πίθῃ] πιθῆι 940. ἦ] ἢ pr. 941.
γ
ὅ γ'] ὅδ', γ a m. ant. 943. ἂν] ἃν 945. πόνου] πόνουσ, eraso σ 947. *ποιεῖν] ποεῖν, adscripto a m. rec. γρ. τελεῖν 948. καὶ σύ που φίλων] καί πού (καὶ ποῦ ab alia m.) σοι φίλων, adscripto a m. recentiore (eadem quae v. 947. γρ. τελεῖν scripsit) γρ. καὶ σύ που φίλων. 950. λελείμμεθον] λελει in litura trium literarum, quarum una τ fuisse videtur. 952. θάλλοντ' ἔτ' Reiskius] θάλλοντά τ' 956. *κατοκνήσεις] κατοκνήσηισ 961. πάρεστι δ' a m. rec. ex πάρεστιν factum.

ἄλεκτρα γηράσκουσαν ἀνυμέναιά τε.
καὶ τῶνδε μέντοι μηκέτ' ἐλπίσῃς ὅπως
τεύξει ποτ'· οὐ γὰρ ὧδ' ἄβουλός ἐστ' ἀνὴρ
Αἴγισθος ὥστε σόν ποτ' ἢ κἀμὸν γένος
βλαστεῖν ἐᾶσαι, πημονὴν αὐτῷ σαφῆ.
ἀλλ' ἢν ἐπίσπῃ τοῖς ἐμοῖς βουλεύμασιν,
πρῶτον μὲν εὐσέβειαν ἐκ πατρὸς κάτω
θανόντος οἴσει τοῦ κασιγνήτου θ' ἅμα·
ἔπειτα δ' ὥσπερ ἐξέφυς, ἐλευθέρα
καλεῖ τὸ λοιπὸν καὶ γάμων ἐπαξίων
τεύξει· φιλεῖ γὰρ πρὸς τὰ χρηστὰ πᾶς ὁρᾶν.
λόγων γε μὴν εὔκλειαν οὐχ ὁρᾷς ὅσην
σαυτῇ τε κἀμοὶ προσβαλεῖς πεισθεῖσ' ἐμοί;
τίς γάρ ποτ' ἀστῶν ἢ ξένων ἡμᾶς ἰδὼν
τοιοῖσδ' ἐπαίνοις οὐχὶ δεξιώσεται,
ἴδεσθε τώδε τὼ κασιγνήτω, φίλοι,
ὣ τὸν πατρῷον οἶκον ἐξεσωσάτην,
ὣ τοῖσιν ἐχθροῖς εὖ βεβηκόσιν ποτὲ
ψυχῆς ἀφειδήσαντε προυστήτην φόνου.
τούτω φιλεῖν χρή, τώδε χρὴ πάντας σέβειν·
τώδ' ἔν θ' ἑορταῖς ἔν τε πανδήμῳ πόλει
τιμᾶν ἅπαντας οὕνεκ' ἀνδρείας χρεών.
τοιαῦτά τοι νὼ πᾶς τις ἐξερεῖ βροτῶν,
ζώσαιν θανούσαιν θ' ὥστε μὴ 'κλιπεῖν κλέος.
ἀλλ', ὦ φίλη, πείσθητι, συμπόνει πατρί,
σύγκαμν' ἀδελφῷ, παῦσον ἐκ κακῶν ἐμέ,
παῦσον δὲ σαυτήν, τοῦτο γιγνώσκουσ', ὅτι
ζῆν αἰσχρὸν αἰσχρῶς τοῖς καλῶς πεφυκόσιν.
ΧΟ. ἐν τοῖς τοιούτοις ἐστὶν ἡ προμηθία
καὶ τῷ λέγοντι καὶ κλύοντι σύμμαχος.
ΧΡ. καὶ πρίν γε φωνεῖν, ὦ γυναῖκες, εἰ φρενῶν
ἐτύγχαν' αὕτη μὴ κακῶν, ἐσῴζετ' ἂν
τὴν εὐλάβειαν, ὥσπερ οὐχὶ σῴζεται.
ποῖ γάρ ποτ' ἐμβλέψασα τοιοῦτον θράσος
αὐτή θ' ὁπλίζει κἄμ' ὑπηρετεῖν καλεῖς;
οὐκ εἰσορᾷς; γυνὴ μὲν οὐδ' ἀνὴρ ἔφυς,
σθένεις δ' ἔλασσον τῶν ἐναντίων χερί.
δαίμων δὲ τοῖς μὲν εὐτυχὴς καθ' ἡμέραν,
ἡμῖν δ' ἀπορρεῖ κἀπὶ μηδὲν ἔρχεται.
τίς οὖν τοιοῦτον ἄνδρα βουλεύων ἑλεῖν
ἄλυπος ἄτης ἐξαπαλλαχθήσεται;
ὅρα κακῶς πράσσοντε μὴ μείζω κακὰ
κτησώμεθ', εἴ τις τούσδ' ἀκούσεται λόγους.
λύει γὰρ ἡμῖν οὐδὲν οὐδ' ἐπωφελεῖ
βάξιν καλὴν λαβόντε δυσκλεῶς θανεῖν.
[οὐ γὰρ θανεῖν ἔχθιστον, ἀλλ' ὅταν θανεῖν
χρῄζων τις εἶτα μηδὲ τοῦτ' ἔχῃ λαβεῖν.]
ἀλλ' ἀντιάζω, πρὶν πανωλέθρους τὸ πᾶν
ἡμᾶς τ' ὀλέσθαι κἀξερημῶσαι γένος,
κατάσχες ὀργήν. καὶ τὰ μὲν λελεγμένα
ἄρρητ' ἐγώ σοι κἀτελῆ φυλάξομαι,
αὐτὴ δὲ νοῦν σχὲς ἀλλὰ τῷ χρόνῳ ποτὲ,
σθένουσα μηδὲν τοῖς κρατοῦσιν εἰκαθεῖν.
ΧΟ. πιθοῦ· προνοίας οὐδὲν ἀνθρώποις ἔφυ
κέρδος λαβεῖν ἄμεινον οὐδὲ νοῦ σοφοῦ.
ΗΛ. ἀπροσδόκητον οὐδὲν εἴρηκας· καλῶς δ'
ᾔδη σ' ἀπορρίψουσαν ἁπηγγελλόμην.
ἀλλ' αὐτόχειρί μοι μόνῃ τε δραστέον
τοὔργον τόδ'· οὐ γὰρ δὴ κενόν γ' ἀφήσομεν.
ΧΡ. φεῦ·
εἴθ' ὤφελες τοιάδε τὴν γνώμην πατρὸς
θνήσκοντος εἶναι· πᾶν γὰρ ἂν κατειργάσω.
ΗΛ. ἀλλ' ἦ φύσιν γε, τὸν δὲ νοῦν ἥσσων τότε.
ΧΡ. ἄσκει τοιαύτη νοῦν δι' αἰῶνος μένειν.
ΗΛ. ὡς οὐχὶ συνδράσουσα νουθετεῖς τάδε.
ΧΡ. εἰκὸς γὰρ ἐγχειροῦντα καὶ πράσσειν κακῶς.
ΗΛ. ζηλῶ σε τοῦ νοῦ, τῆς δὲ δειλίας στυγῶ.
ΧΡ. ἀνέξομαι κλύουσα χὤταν εὖ λέγῃς.
ΗΛ. ἀλλ' οὔ ποτ' ἐξ ἐμοῦ γε μὴ πάθῃς τόδε.
ΧΡ. μακρὸς τὸ κρῖναι ταῦτα χὠ λοιπὸς χρόνος.
ΗΛ. ἄπελθε· σοὶ γὰρ ὠφέλησις οὐκ ἔνι.
ΧΡ. ἔνεστιν· ἀλλὰ σοὶ μάθησις οὐ πάρα.
ΗΛ. ἐλθοῦσα μητρὶ ταῦτα πάντ' ἔξειπε σῇ.
ΧΡ. οὐδ' αὖ τοσοῦτον ἔχθος ἐχθαίρω σ' ἐγώ.
ΗΛ. ἀλλ' οὖν ἐπίστω γ' οἷ μ' ἀτιμίας ἄγεις.
ΧΡ. ἀτιμίας μὲν οὔ, προμηθίας δὲ σοῦ.
ΗΛ. τῷ σῷ δικαίῳ δῆτ' ἐπισπέσθαι με δεῖ;
ΧΡ. ὅταν γὰρ εὖ φρονῇς, τόθ' ἡγήσει σὺ νῷν.
ΗΛ. ἦ δεινὸν εὖ λέγουσαν ἐξαμαρτάνειν.
ΧΡ. εἴρηκας ὀρθῶς ᾧ σὺ πρόσκεισαι κακῷ.
ΗΛ. τί δ'; οὐ δοκῶ σοι ταῦτα σὺν δίκῃ λέγειν;
ΧΡ. ἀλλ' ἔστιν ἔνθα χἠ δίκη βλάβην φέρει.
ΗΛ. τούτοις ἐγὼ ζῆν τοῖς νόμοις οὐ βούλομαι.
ΧΡ. ἀλλ' εἰ ποιήσεις ταῦτ', ἐπαινέσεις ἐμέ.
ΗΛ. καὶ μὴν ποιήσω γ' οὐδὲν ἐκπλαγεῖσά σε.
ΧΡ. καὶ τοῦτ' ἀληθὲς, οὐδὲ βουλεύσει πάλιν;
ΗΛ. βουλῆς γὰρ οὐδέν ἐστιν ἔχθιον κακῆς.
ΧΡ. φρονεῖν ἔοικας οὐδὲν ὧν ἐγὼ λέγω.
ΗΛ. πάλαι δέδοκται ταῦτα κοὐ νεωστί μοι.
ΧΡ. ἄπειμι τοίνυν· οὔτε γὰρ σὺ τἄμ' ἔπη
τολμᾷς ἐπαινεῖν οὔτ' ἐγὼ τοὺς σοὺς τρόπους.
ΗΛ. ἀλλ' εἴσιθ'· οὔ σοι μὴ μεθέψομαί ποτε,
οὐδ' ἢν σφόδρ' ἱμείρουσα τυγχάνῃς, ἐπεὶ
πολλῆς ἀνοίας καὶ τὸ θηρᾶσθαι κενά.
ΧΡ. ἀλλ' εἰ σεαυτῇ τυγχάνεις δοκοῦσά τι
φρονεῖν, φρόνει τοιαῦθ'· ὅταν γὰρ ἐν κακοῖς
ἤδη βεβήκῃς, τἄμ' ἐπαινέσεις ἔπη.
ΧΟ. τί τοὺς ἄνωθεν φρονιμωτάτους οἰωνοὺς
ἐσορώμενοι τροφᾶς κηδομένους ἀφ' ὧν τε βλά-
στω-

1058—1069. = 1070—1081.

966. αὔτῳ] αὐτῶι pr. 967. βουλεύμασιν] ν erasum. 969. θανόντος] κεύθοντος Meinekius.
ή
973. λόγων Dobraeus] λόγῳ 981. χρὴ] χρῆν . . ., tribus fere literis erasis et ή a m. recentiore superscripto. 984. πᾶς τις] πᾶσι.σ litera una erasa. πᾶσ τισ a m. recenti positum. 985. μὴ 'κλιπεῖν] γρ. μοι λιπεῖν a m. recenti. 986. *πείσθητι] 'πίσθητι (sic) 988. γιγνώσκουσ'] γινώσκουσ' 991. κλύοντι] τῶι κλύοντι, deleto a m. pr. τῶι 993. Versus ab S illatus. 998. ἔλασσον Brunckius] ἔλατ-
ήσ
τον 999. εὐτυχὴς] εὐτυχεῖ, ήσ a m. pr. 1005. Post γὰρ litera erasa. ἡμῖν Elmsleius] ἡμᾶς 1007. Versus ab S illatus. 1007. 1008. Seclusit
ων
Nauckius. 1008. χρῄζων] χρήζ . ., ων a pr. literis duabus elutis, haud dubie ηι: nam in Lb. χρήζηι ἔχῃ] ἔχει, sed in ἔχηι mutatum a m. pr.

1014. εἰκαθεῖν Elmsleius] εἰκάθειν 1015. *πιθοῦ] πείθου 1018. ᾔδη] ᾔδειν. Correctum ex Thoma Mag. s. v. Ἐπαγγέλλω p. 143, 7. cuius libri duo ἤδη, ceteri ᾔδειν: ut vix dubitari possit quin Thomas quoque suo in codice ᾔδειν legerit, ἤδη autem librarii error sit. 1019. ἀλλ' αὐτόχειρί μοι] γρ. ἀλλ' οὐδὲν ἧσσον μοι ab S. 1022. πᾶν Dawesius] πάντα ἂν erasum. 1023. ἦ Elmsleius] ἦν ἥσσων] ἧσσον pr. 1024. νοῦν] γ' οὖν pr. 1029.
π
πάθῃς] μάθηισ, π a m. rec. τόδε] δ ex τ factum a m. ant. 1038. τόθ'] θ ex τ factum. 1052. *οὔ σοι]
ει
οὗ σοὶ 1053. τυγχάνῃς] τυγχάνησ, ει a m. pr.

σιν ἀφ' ὧν τ' ὄνασιν εὕρωσι, τάδ' οὐκ ἐπ' ἴσας
ἀλλ' οὐ τὰν Διὸς ἀστραπὰν [τελοῦμεν;
καὶ τὰν οὐρανίαν Θέμιν
δαρὸν οὐκ ἀπόνητοι.
ὦ χθονία βροτοῖσι φάμα, κατά μοι βόασον οἰκτρὰν
ὄπα τοῖς ἔνερθ' Ἀτρείδαις, ἀχόρευτα φέρουσ'
ὀνείδη·
ὅτι σφὶν ἤδη τὰ μὲν ἐκ δόμων νοσεῖ—,
τὰ δὲ πρὸς τέκνων διπλῆ φύλοπις οὐκέτ' ἐξισοῦται
φιλοτασίῳ διαίτᾳ. πρόδοτος δὲ μόνα σαλεύει
Ἠλέκτρα, τὸν ἀεὶ γόον
δειλαία στενάχουσ' ὅπως
ἁ πάνδυρτος ἀηδών, [ἑτοίμα,
οὔτε τι τοῦ θανεῖν προμηθὴς τό τε μὴ βλέπειν
διδύμαν ἑλοῦσ' Ἐρινύν. τίς ἂν εὔπατρις ὧδε βλά-
οὐδεὶς τῶν ἀγαθῶν γὰρ [στοι;
ζῶν κακῶς εὔκλειαν αἰσχῦναι θέλει
νώνυμος, ὦ παῖ παῖ,
ὡς καὶ σὺ πάγκλαυτον αἰῶνα κοινὸν εἵλου,
τὸ μὴ καλὸν καθοπλίσασα, δύο φέρει δ' ἐν ἑνὶ
σοφά τ' ἀρίστα τε παῖς κεκλῆσθαι. [λόγῳ,
ζῴης μοι καθύπερθεν
χειρὶ καὶ πλούτῳ τεῶν ἐχθρῶν ὅσον
νῦν ὑπόχειρ ναίεις·
ἐπεί σ' ἐφηύρηκα μοίρᾳ μὲν οὐκ ἐν ἐσθλᾷ
βεβῶσαν, ἃ δὲ μέγιστ' ἔβλαστε νόμιμα, τῶνδε
φερομέναν
ἄριστα τᾷ Ζηνὸς εὐσεβείᾳ.

ΟΡ. ἆρ', ὦ γυναῖκες, ὀρθά τ' εἰσηκούσαμεν
ὀρθῶς θ' ὁδοιποροῦμεν ἔνθα χρῄζομεν;
ΧΟ. τί δ' ἐξερευνᾷς καὶ τί βουληθεὶς πάρει;
ΟΡ. Αἴγισθον ἔνθ' ᾤκηκεν ἱστορῶ πάλαι.
ΧΟ. ἀλλ' εὖ θ' ἱκάνεις χὠ φράσας ἀζήμιος.
ΟΡ. τίς οὖν ἂν ὑμῶν τοῖς ἔσω φράσειεν ἂν
ἡμῶν ποθεινὴν κοινόπουν παρουσίαν;
ΧΟ. ἥδ', εἰ τὸν ἄγχιστόν γε κηρύσσειν χρεών.
ΟΡ. ἴθ', ὦ γύναι, δήλωσον εἰσελθοῦσ' ὅτι
Φωκῆς ματεύουσ' ἄνδρες Αἴγισθόν τινες.
ΗΛ. οἴμοι τάλαιν', οὐ δή ποθ' ἧς ἠκούσαμεν
φήμης φέροντες ἐμφανῆ τεκμήρια;
ΟΡ. οὐκ οἶδα τὴν σὴν κληδόν'· ἀλλά μοι γέρων
ἐφεῖτ' Ὀρέστου Στρόφιος ἀγγεῖλαι πέρι.
ΗΛ. τί δ' ἔστιν, ὦ ξέν'; ὡς μ' ὑπέρχεται φόβος.
ΟΡ. φέροντες αὐτοῦ σμικρὰ λείψαν' ἐν βραχεῖ
τεύχει θανόντος, ὡς ὁρᾷς, κομίζομεν.

1082—1089. = 1090—1097.

ΗΛ. οἲ 'γὼ τάλαινα, τοῦτ' ἐκεῖν'· ἤδη σαφὲς
πρόχειρον ἄχθος, ὡς ἔοικε, δέρκομαι.
ΟΡ. εἴπερ τι κλάεις τῶν Ὀρεστείων κακῶν,
τόδ' ἄγγος ἴσθι σῶμα τοὐκείνου στέγον.
ΗΛ. ὦ ξεῖνε, δός νυν πρὸς θεῶν, εἴπερ τόδε
κέκευθεν αὐτὸν τεῦχος, ἐς χεῖρας λαβεῖν,
ὅπως ἐμαυτὴν καὶ γένος τὸ πᾶν ὁμοῦ
ξὺν τῇδε κλαύσω κἀποδύρωμαι σποδῷ.
ΟΡ. δόθ' ἥτις ἐστὶ προσφέροντες· οὐ γὰρ ὡς
ἐν δυσμενείᾳ γ' οὖσ' ἐπαιτεῖται τόδε,
ἀλλ' ἢ φίλων τις, ἢ πρὸς αἵματος φύσιν.
ΗΛ. ὦ φιλτάτου μνημεῖον ἀνθρώπων ἐμοὶ
ψυχῆς Ὀρέστου λοιπόν, ὥς σ' ἀπ' ἐλπίδων
οὐχ ὧνπερ ἐξέπεμπον εἰσεδεξάμην.
νῦν μὲν γὰρ οὐδὲν ὄντα βαστάζω χεροῖν,
δόμων δέ σ', ὦ παῖ, λαμπρὸν ἐξέπεμψ' ἐγώ.
ὡς ὤφελον πάροιθεν ἐκλιπεῖν βίον,
πρὶν ἐς ξένην σε γαῖαν ἐκπέμψαι χεροῖν
κλέψασα ταῖνδε κἀνασώσασθαι φόνου,
ὅπως θανὼν ἔκεισο τῇ τόθ' ἡμέρᾳ,
τύμβου πατρῴου κοινὸν εἰληχὼς μέρος.
νῦν δ' ἐκτὸς οἴκων κἀπὶ γῆς ἄλλης φυγὰς
κακῶς ἀπώλου, σῆς κασιγνήτης δίχα·
κοὔτ' ἐν φίλαισι χερσὶν ἡ τάλαιν' ἐγὼ
λουτροῖς σ' ἐκόσμησ' οὔτε παμφλέκτου πυρὸς
ἀνειλόμην, ὡς εἰκός, ἄθλιον βάρος,
ἀλλ' ἐν ξέναισι χερσὶ κηδευθεὶς τάλας
σμικρὸς προσήκεις ὄγκος ἐν σμικρῷ κύτει.
οἴμοι τάλαινα τῆς ἐμῆς πάλαι τροφῆς
ἀνωφελήτου, τὴν ἐγὼ θάμ' ἀμφὶ σοὶ
πόνῳ γλυκεῖ παρέσχον· οὔτε γάρ ποτε
μητρὸς σύ γ' ἦσθα μᾶλλον ἢ κἀμοῦ φίλος,
οὔθ' οἱ κατ' οἶκον ἦσαν, ἀλλ' ἐγὼ τροφός,
ἐγὼ δ' ἀδελφὴ σὴ προσηυδώμην ἀεί.
νῦν δ' ἐκλέλοιπε ταῦτ' ἐν ἡμέρᾳ μιᾷ
θανόντι σὺν σοί· πάντα γὰρ συναρπάσας
θύελλ' ὅπως βέβηκας. οἴχεται πατήρ,
τέθνηκ' ἐγώ, σὺ φροῦδος αὐτὸς εἶ θανών·
γελῶσι δ' ἐχθροί, μαίνεται δ' ὑφ' ἡδονῆς
μήτηρ ἀμήτωρ, ἧς ἐμοὶ σὺ πολλάκις
φήμας λάθρα προὔπεμπες ὡς φανούμενος
τιμωρὸς αὐτός. ἀλλὰ ταῦθ' ὁ δυστυχὴς
δαίμων ὁ σός τε κἀμὸς ἐξαφείλετο,
ὅς σ' ὧδέ μοι προὔπεμψεν ἀντὶ φιλτάτης
μορφῆς σποδόν τε καὶ σκιὰν ἀνωφελῆ.|
οἴμοι μοι.

---

1061. βλάστωσιν Schaeferus] βλαστῶσιν ὄνασιν Brunckius] ὄνησιν 1063. οὐ τὰν Triclinius] οὐ μὰ τὰν 1070. σφὶν Schaeferus] σφίσιν νοσεῖ] Deest syllaba una, quam Triclinius addito δὴ supplevit. In apogr. Parisino 2794. est νοσεῖται. Sophocles incertum est utrum verbo usus sit an adiectivo aliquo trisyllabo, intellecto ἐστί. 1075. γόον (vel νόμον) D.] πατρὸς 1077. πάνδυρτος Porsonus] πανόδυρτος 1081. ἂν Triclinius] ἂν οὖν βλάστοι Schaeferus] βλαστοῖ 1082. γὰρ addidit Hermannus. 1084. νώνυμος] νώνυμνοσ pr. et schol. 1086. καθοπλίσασα] ὑπεροπλίσασα Heimsoethius. 1088. φέρει δ' Nauckius] φέρειν ἐν addidit Brunckius. 1090. *καθύπερθεν] καθύπερθε χειρὶ ex Eustathio p. 1083, 17.] χερὶ 1091. τεῶν Hermannus] τῶν 1092. ὑπόχειρ Musgravius] ὑπὸ χεῖρα 1093. ἐφηύρηκα D.] ἐφεύρηκα *ἐν] om. 1097. Ζηνὸς] διὸσ, cum γρ. ἀρίστα ταζηνόσ (sic) ab S. 1099. *θ'] δ' 1101. ἱστορῶ] γρ. μαστεύω ab S inter scholia. 1107. *ματεύουσ'] μα.στεύουσ', erasa post μα litera ν 1111. *Στρόφιος] στροφίοσ

1115. οἲ 'γὼ] οἳ ἐγὼ 1117. κλάεις D.] κλαίεις
1124. ἐπαιτεῖται τόδε] ἐπαιτεῖ τόδε pr., ἐπαιτεῖται τάδε a m. rec. 1125. Delet Iahnius. 1127. σ' addidit Brunckius. ἀπ'] ὑπ' Schaeferus. 1128. ἐξέπεμπον] εἰσέπεμπον, in ἐξέπεμπον mutatum a m. ant. (εἰσέπεμπον etiam Lb.). 1131. ὤφελον] ὤφελεσ$^{ω}$ correxit m. ant. 1132. ἐκπέμψαι] ἐκπέμψαι, ω a m. rec. 1133. κλέψασα] κλεψασα$^{ν}$, ν a m. rec. inter versus κἀνασώσασθαι] κἀνασώσασθαι$^{σα}$, σα a m. rec., quae σαν (i. e. κἀνασώσασαν) scribere voluit.
1136. κἀπὶ] κἀπὸ pr. Correxit m. ant. 1137. κακῶς] κακῶ, σ ab S addito. 1139. *σ'] om. 1141. *ξέναισι] ξένησι 1146. φίλος] τέκος D. 1148. σὴ] σοι$^{ἡ}$, ἡ a m. pr. 1152. ἐγώ· σὺ Erfurdtius] ἐγώ σοι 1157. ἐξαφείλετο] ἐξαφείλατο pr. 1158. φιλτάτης] φιλτάτου$^{ησ}$, ησ a m. pr. 1160. 1162. οἴμοι μοι] οἴ μοι μοί

ὢ δέμας οἰκτρὸν, φεῦ φεῦ,
ὢ δεινοτάτας, οἴμοι μοι,
πεμφθεὶς κελεύθους, φίλταθ', ὥς μ' ἀπώλεσας
ἀπώλεσας δῆτ', ὢ κασίγνητον κάρα.
τοιγὰρ σὺ δέξαι μ' ἐς τὸ σὸν τόδε στέγος,
τὴν μηδὲν ἐς τὸ μηδὲν, ὡς σὺν σοὶ κάτω
ναίω τὸ λοιπόν. καὶ γὰρ ἡνίκ' ἦσθ' ἄνω,
ξὺν σοὶ μετεῖχον τῶν ἴσων, καὶ νῦν ποθῶ
τοῦ σοῦ θανοῦσα μἀπολείπεσθαι τάφου·
τοὺς γὰρ θανόντας οὐχ ὁρῶ λυπουμένους.
ΧΟ. θνητοῦ πέφυκας πατρὸς, Ἠλέκτρα, φρόνει·
θνητὸς δ' Ὀρέστης· ὥστε μὴ λίαν στένε.
ΟΡ. φεῦ φεῦ, τί λέξω; ποῖ λόγων ἀμηχανῶν
ἔλθω; κρατεῖν γὰρ οὐκέτι γλώσσης σθένω.
ΗΛ. τί δ' ἔσχες ἄλγος πρὸς τί τοῦτ' εἰπὼν κυρεῖς;
ΟΡ. ἦ σὸν τὸ κλεινὸν εἶδος Ἠλέκτρας τόδε;
ΗΛ. τόδ' ἔστ' ἐκεῖνο, καὶ μάλ' ἀθλίως ἔχον.
ΟΡ. οἴμοι ταλαίνης ἆρα τῆσδε συμφορᾶς.
ΗΛ. οὐ δή ποτ', ὦ ξέν', ἀμφ' ἐμοὶ στένεις τάδε;
ΟΡ. ὢ σῶμ' ἀτίμως κἀθέως ἐφθαρμένον.
ΗΛ. οὔτοι ποτ' ἄλλην ἢ 'μὲ δυσφημεῖς, ξένε.
ΟΡ. φεῦ τῆς ἀνύμφου δυσμόρου τε σῆς τροφῆς.
ΗΛ. τί μοι ποτ', ὦ ξέν', ὧδ' ἐπισκοπῶν στένεις;
ΟΡ. ὡς οὐκ ἄρ' ᾔδη τῶν ἐμῶν οὐδὲν κακῶν.
ΗΛ. ἐν τῷ διέγνως τοῦτο τῶν εἰρημένων;
ΟΡ. ὁρῶν σε πολλοῖς ἐμπρέπουσαν ἄλγεσιν.
ΗΛ. καὶ μὴν ὁρᾷς γε παῦρα τῶν ἐμῶν κακῶν.
ΟΡ. καὶ πῶς γένοιτ' ἂν τῶνδ' ἔτ' ἐχθίω βλέπειν;
ΗΛ. ὁθούνεκ' εἰμὶ τοῖς φονεῦσι σύντροφος.
ΟΡ. τοῖς τοῦ; πόθεν τοῦτ' ἐξεσήμηνας κακόν;
ΗΛ. τοῖς πατρός. εἶτα τοῖσδε δουλεύω βίᾳ.
ΟΡ. τίς γάρ σ' ἀνάγκῃ τῇδε προτρέπει βροτῶν;
ΗΛ. μήτηρ καλεῖται· μητρὶ δ' οὐδὲν ἐξισοῖ.
ΟΡ. τί δρῶσα; πότερα χερσὶν, ἢ λύμῃ βίου;
ΗΛ. καὶ χερσὶ καὶ λύμαισι καὶ πᾶσιν κακοῖς.
ΟΡ. οὐδ' οὑπαρήξων οὐδ' ὁ κωλύσων πάρα;
ΗΛ. οὐ δῆθ'· ὃς ἦν γάρ μοι σὺ προὔθηκας σποδόν.
ΟΡ. ὢ δύσποτμ', ὡς ὁρῶν σ' ἐποικτείρω πάλαι.
ΗΛ. μόνος βροτῶν νυν ἴσθ' ἐποικτείρας ποτέ.
ΟΡ. μόνος γὰρ ἥκω τοῖς ἴσοις ἀλγῶν κακοῖς.
ΗΛ. οὐ δή ποθ' ἡμὶν ξυγγενὴς ἥκεις ποθέν;
ΟΡ. ἐγὼ φράσαιμ' ἄν, εἰ τὸ τῶνδ' εὔνουν πάρα.
ΗΛ. ἀλλ' ἐστὶν εὔνουν, ὥστε πρὸς πιστὰς ἐρεῖς.
ΟΡ. μέθες τόδ' ἄγγος νῦν, ὅπως τὸ πᾶν μάθῃς.

1173. πᾶσιν γὰρ ἡμῖν τοῦτ' ὀφείλεται παθεῖν

---

1163. κελεύθους] κελεύθου pr., correctum a m. ant. 1168. μετεῖχον] Ex κατεῖχον factum a m. ant. 1169. μἀπολείπεσθαι D.] μὴ ἀπολείπεσθαι 1173. Versum spurium πᾶσιν — παθεῖν notavit Bergkius. Legitur apud Stobaeum Floril. 98, 16. adiunctus versui ex Aristophanis Polyido apposito, τὸ γὰρ φοβεῖσθαι τὸν θάνατον λῆρος πολύς. 1174. *ἀμηχανῶν] ἀμηχάνων 1175. γλώσσης] λ in ν mutavit literisque σσ literam μ superscripsit m. pr. Hinc γνώμησ est in Lb. 1177. Ἠλέκτρας] ἠλέκτρα, σ
.ου.
a m. recentiore addito. 1180. οὐ] τί, ου et duo
δὴ
puncta a m. pr. 1184. μοι] μοι, δὴ a m. pr., eraso μοι 1185. ᾔδη Brunckius] ᾔδειν οὐδὲν] ἐγὼ, superscripto ab alia m. ant. οὐδὲν 1193. γάρ σ'] γὰρ pr., sine σ', quod alia m. ant. addidit. *ἀνάγκῃ] ἀνάγκη τῇδε] Gl. εἰσ τοῦτο literis maiusculis superscriptum. προτρέπει] προστρέπει Reiskius. 1197. *οὐδ' ὁ] οὔθ' ὁ 1198. δῆθ'] δῆτ' pr., θ ab alia m. 1201. τοῖσ ἴσοισ pr., τοῖσι σοῖσ corr.

ΗΛ. μὴ δῆτα, πρὸς θεῶν, τοῦτό μ' ἐργάσῃ, ξένε.
ΟΡ. πιθοῦ λέγοντι κοὐχ ἁμαρτήσει ποτέ.
ΗΛ. μὴ πρὸς γενείου, μὴ 'ξέλῃ τὰ φίλτατα.
ΟΡ. οὔ φημ' ἐάσειν. ΗΛ. ὢ τάλαιν' ἐγὼ σέθεν,
Ὀρέστα, τῆς σῆς εἰ στερήσομαι ταφῆς.
ΟΡ. εὔφημα φώνει· πρὸς δίκης γὰρ οὐ στένεις.
ΗΛ. πῶς τὸν θανόντ' ἀδελφὸν οὐ δίκῃ στένω;
ΟΡ. οὔ σοι προσήκει τήνδε προσφωνεῖν φάτιν.
ΗΛ. οὕτως ἄτιμός εἰμι τοῦ τεθνηκότος;
ΟΡ. ἄτιμος οὐδενὸς σὺ, τοῦτο δ' οὐχὶ σόν.
ΗΛ. εἴπερ γ' Ὀρέστου σῶμα βαστάζω τόδε.
ΟΡ. ἀλλ' οὐκ Ὀρέστου, πλὴν λόγῳ γ' ἠσκημένον.
ΗΛ. ποῦ δ' ἔστ' ἐκείνου τοῦ ταλαιπώρου τάφος;
ΟΡ. οὐκ ἔστι· τοῦ γὰρ ζῶντος οὐκ ἔστιν τάφος.
ΗΛ. πῶς εἶπας, ὦ παῖ; ΟΡ. ψεῦδος οὐδὲν ὧν
λέγω.
ΗΛ. ἦ ζῇ γὰρ ἁνήρ; ΟΡ. εἴπερ ἔμψυχός γ' ἐγώ.
ΗΛ. ἦ γὰρ σὺ κεῖνος; ΟΡ. τήνδε προσβλέψασά μου
σφραγῖδα πατρὸς ἔκμαθ' εἰ σαφῆ λέγω.
ΗΛ. ὢ φίλτατον φῶς. ΟΡ. φίλτατον, συμμαρτυρῶ.
ΗΛ. ὢ φθέγμ', ἀφίκου; ΟΡ. μηκέτ' ἄλλοθεν πύθῃ.
ΗΛ. ἔχω σε χερσίν; ΟΡ. ὡς τὰ λοίπ' ἔχοις ἀεί.
ΗΛ. ὦ φίλταται γυναῖκες, ὦ πολῖτιδες,
ὁρᾶτ' Ὀρέστην τόνδε, μηχαναῖσι μὲν
θανόντα, νῦν δὲ μηχαναῖς σεσωσμένον.
ΧΟ. ὁρῶμεν, ὦ παῖ, κἀπὶ συμφοραῖσί μοι
γεγηθὸς ἕρπει δάκρυον ὀμμάτων ἄπο.
ΗΛ. ἰὼ γοναί,
γοναὶ σωμάτων ἐμοὶ φιλτάτων, ἐμόλετ' ἀρτίως,
ἐφηύρετ', ἤλθετ', εἴδεθ' οὓς ἐχρῄζετε.
ΟΡ. πάρεσμεν· ἀλλὰ σῖγ' ἔχουσα πρόσμενε.
ΗΛ. τί δ' ἔστιν;
ΟΡ. σιγᾶν ἄμεινον, μή τις ἔνδοθεν κλύῃ.
ΗΛ. ἀλλ' οὐ τὰν Ἄρτεμιν
τὰν αἰὲν ἀδμήταν
τόδε μὲν οὔ ποτ' ἀξιώσω τρέσαι
περισσὸν ἄχθος ἔνδον γυναικῶν ὂν ἀεί.
ΟΡ. ὅρα γε μὲν δὴ κἂν γυναιξὶν ὡς Ἄρης
ἔνεστιν· εὖ δ' ἔξοισθα πειραθεῖσά που.
ΗΛ. ὀτοτοτοτοῖ τοτοῖ,
ἀνέφελον ἐπέβαλες, οὔ ποτε καταλύσιμον,
οὐδέ ποτε λησόμενον ἁμέτερον
οἷον ἔφυ κακόν.
ΟΡ. ἔξοιδα, παῖ, ταῦτ'· ἀλλ' ὅταν παρουσία
φράζῃ, τότ' ἔργων τῶνδε μεμνῆσθαι χρεών.
ΗΛ. ὁ πᾶς ἐμοὶ [χρόνος·
ὁ πᾶς ἂν πρέποι παρὼν ἐννέπειν τάδε δίκᾳ
μόλις γὰρ ἔσχον νῦν ἐλεύθερον στόμα.
ΟΡ. ξύμφημι κἀγώ. τοιγαροῦν σώζου τόδε.
ΗΛ. τί δρῶσα;
ΟΡ. οὗ μή 'στι καιρὸς μὴ μακρὰν βούλου λέγειν.

1232—1252. = 1253—1272.

---

1207. *πιθοῦ] πείθου Inter 1215. et 1216. ἀλλ' ἐμὸν adscriptum, Est glossema verborum τοῦτο δ' οὐχὶ σόν 1222. *προσβλέψασα] προσβλέψουσα 1226. *χερσὶν] χεροῖν, cum γρ, χερσὶ a m. ant. ὡς] ω ex ο factum. ἔχοις] In ἔχεισ mutatum ab alia m. ant. 1234. Alterum γοναὶ om. pr. Addidit m. recentior. 1235. ἐφηύρετ' D.] ἐφεύρετ' 1245. ὀτοτοτοτοῖ τοτοῖ Hermannus] ὀτοττοῖ 1246. ἀνέφελον] ἐκνέφελον Heimsoethius. ἐπέβαλες] Secundum ε ex ι factum. 1251. παῖ Meinekius] καὶ. Conf. Phil. 79. 1255. τάδε δίκᾳ] τάδε δικαια (sine accentu et litera α cum proxima χ uno ductu scripta), adscripto ab S γρ. τάδε δίκα 1256. ἔσχον] ἔχων (literis εχ uno ductu expressis ita ut ex σχ factae videantur) pr. ἔσχον ab alia m. ant.

ΗΛ. τίς οὖν ἂν ἀξίαν
γε σοῦ πεφηνότος
μεταβάλοιτ᾽ ἂν ὧδε σιγὰν λόγων;
ἐπεί σε νῦν ἀφράστως ἀέλπτως τ᾽ ἐσεῖδον.
ΟΡ. τότ᾽ εἶδες, ὅτε θεοί μ᾽ ἐπώτρυναν μολεῖν
⏑ ⏊ ⏑ – ⏑ ⏊ ⏑ – ⏑ ⏊ ⏑ –.
ΗΛ. ἔφρασας ὑπερτέραν
τᾶς πάρος ἔτι χάριτος, εἴ σε θεὸς ἐπόρισεν
ἁμέτερα πρὸς μέλαθρα· δαιμόνιον
αὐτὸ τίθημ᾽ ἐγώ.
ΟΡ. τὰ μέν σ᾽ ὀκνῶ χαίρουσαν εἰργαθεῖν, τὰ δὲ
δέδοικα λίαν ἡδονῇ νικωμένην.
ΗΛ. ἰὼ χρόνῳ μακρῷ φιλτάταν
ὁδὸν ἐπαξιώσας ὧδέ μοι φανῆναι,
μή τί με, πολύπονον ὧδ᾽ ἰδὼν
ΟΡ. τί μὴ ποιήσω; ΗΛ. μή μ᾽ ἀποστερήσῃς
τῶν σῶν προσώπων ἁδονὰν μεθέσθαι.
ΟΡ. ἦ κάρτα κἂν ἄλλοισι θυμοίμην ἰδών.
ΗΛ. ξυναινεῖς;
ΟΡ. τί μὴν οὔ;
ΗΛ. ὦ φίλαι, ἔκλυον ἂν ἐγὼ οὐδ᾽ ἂν ἤλπισ᾽ αὐδάν.
* * * * * * ἔσχον ὀργὰν
ἄναυδον οὐδὲ σὺν βοᾷ κλύουσα
τάλαινα. νῦν δ᾽ ἔχω σε· προυφάνης δὲ
φιλτάταν ἔχων πρόσοψιν,
ἇς ἐγὼ οὐδ᾽ ἂν ἐν κακοῖς λαθοίμαν.
ΟΡ. τὰ μὲν περισσεύοντα τῶν λόγων ἄφες,
καὶ μήτε μήτηρ ὡς κακὴ δίδασκέ με
μήθ᾽ ὡς πατρῷαν κτῆσιν Αἴγισθος δόμων
ἀντλεῖ, τὰ δ᾽ ἐκχεῖ, τὰ δὲ διασπείρει μάτην·
χρόνου γὰρ ἄν σοι καιρὸν ἐξείργοι λόγος.
ἃ δ᾽ ἁρμόσει μοι τῷ παρόντι νῦν χρόνῳ
σήμαιν᾽, ὅπου φανέντες ἢ κεκρυμμένοι
γελῶντας ἐχθροὺς παύσομεν τῇ νῦν ὁδῷ.
οὕτω δ᾽ ὅπως μήτηρ σε μὴ ᾽πιγνώσεται
φαιδρῷ προσώπῳ νῷν ἐπελθόντοιν δόμους,
ἀλλ᾽ ὡς ἐπ᾽ ἄτῃ τῇ μάτην λελεγμένῃ
στέναζ᾽· ὅταν γὰρ εὐτυχήσωμεν, τότε
χαίρειν παρέσται καὶ γελᾶν ἐλευθέρως.
ΗΛ. ἀλλ᾽, ὦ κασίγνηθ᾽, ὧδ᾽ ὅπως καὶ σοὶ φίλον
καὶ τοὐμὸν ἔσται τῇδ᾽, ἐπεὶ τὰς ἡδονὰς
πρὸς σοῦ λαβοῦσα κοὐκ ἐμὰς ἐκτησάμην,
κοὐδ᾽ ἄν σε λυπήσασα δεξαίμην βραχὺ
αὐτὴ μέγ᾽ εὑρεῖν κέρδος· οὐ γὰρ ἂν καλῶς
ὑπηρετοίην τῷ παρόντι δαίμονι.
ἀλλ᾽ οἶσθα μὲν τἀνθένδε, πῶς γὰρ οὔ; κλύων
ὁθούνεκ᾽ Αἴγισθος μὲν οὐ κατὰ στέγας,
μήτηρ δ᾽ ἐν οἴκοις· ἣν σὺ μὴ δείσῃς ποθ᾽ ὡς
γέλωτι τοὐμὸν φαιδρὸν ὄψεται κάρα·
μῖσός τε γὰρ παλαιὸν ἐντέτηκέ μοι,
κἀπεί σ᾽ ἐσεῖδον, οὔ ποτ᾽ ἐκλήξω χαρᾷ
δακρυρροοῦσα. πῶς γὰρ ἂν λήξαιμ᾽ ἐγώ,
ἥτις μιᾷ σε τῇδ᾽ ὁδῷ θανόντα τε
καὶ ζῶντ᾽ ἐσεῖδον; εἴργασαι δέ μ᾽ ἄσκοπα,
ὥστ᾽, εἰ πατήρ μοι ζῶν ἵκοιτο, μηκέτ᾽ ἂν
τέρας νομίζειν αὐτό, πιστεύειν δ᾽ ὁρᾶν.
ὅτ᾽ οὖν τοιαύτην ἡμὶν ἐξήκεις ὁδόν,
ἄρχ᾽ αὐτὸς ὥς σοι θυμός. ὡς ἐγὼ μόνη
οὐκ ἂν δυοῖν ἥμαρτον· ἢ γὰρ ἂν καλῶς
ἔσωσ᾽ ἐμαυτήν, ἢ καλῶς ἀπωλόμην.
ΟΡ. σιγᾶν ἐπῄνεσ᾽· ὡς ἐπ᾽ ἐξόδῳ κλύω
τῶν ἔνδοθεν χωροῦντος. ΗΛ. εἴσιτ᾽, ὦ ξένοι,
ἄλλως τε καὶ φέροντες οἷ᾽ ἂν οὔτε τις
δόμων ἀπώσαιτ᾽ οὔτ᾽ ἂν ἡσθείη λαβών.
ΠΑ. ὦ πλεῖστα μῶροι καὶ φρενῶν τητώμενοι,
πότερα παρ᾽ οὐδὲν τοῦ βίου κήδεσθ᾽ ἔτι,
ἢ νοῦς ἔνεστιν οὔτις ὑμὶν ἐγγενής,
ὅτ᾽ οὐ παρ᾽ αὐτοῖς, ἀλλ᾽ ἐν αὐτοῖσιν κακοῖς
τοῖσιν μεγίστοις ὄντες οὐ γιγνώσκετε;
ἀλλ᾽ εἰ σταθμοῖσι τοῖσδε μὴ ᾽κύρουν ἐγὼ
πάλαι φυλάσσων, ἦν ἂν ὑμὶν ἐν δόμοις
τὰ δρώμεν᾽ ὑμῶν πρόσθεν ἢ τὰ σώματα·
νῦν δ᾽ εὐλάβειαν τῶνδε προυθέμην ἐγώ.
καὶ νῦν ἀπαλλαχθέντε τῶν μακρῶν λόγων
καὶ τῆς ἀπλήστου τῆσδε σὺν χαρᾷ βοῆς
εἴσω παρέλθεθ᾽· ὡς τὸ μὲν μέλλειν κακὸν
ἐν τοῖς τοιούτοις ἔστ᾽, ἀπηλλάχθαι δ᾽ ἀκμή.
ΟΡ. πῶς οὖν ἔχει τἀντεῦθεν εἰσιόντι μοι;
ΠΑ. καλῶς· ὑπάρχει γάρ σε μὴ γνῶναί τινα.
ΟΡ. ἤγγειλας, ὡς ἔοικεν, ὡς τεθνηκότα.
ΠΑ. εἷς τῶν ἐν Ἅιδου μάνθαν᾽ ἐνθάδ᾽ ὢν ἀνήρ.
ΟΡ. χαίρουσιν οὖν τούτοισιν; ἢ τίνες λόγοι;
ΠΑ. τελουμένων εἴποιμ᾽ ἄν· ὡς δὲ νῦν ἔχει,
καλῶς τὰ κείνων πάντα, καὶ τὰ μὴ καλῶς.
ΗΛ. τίς οὗτός ἐστ᾽, ἀδελφέ; πρὸς θεῶν, φράσον.
ΟΡ. οὐχὶ ξυνίης; ΗΛ. οὐδέ γ᾽ ἐς θυμὸν φέρω.
ΟΡ. οὐκ οἶσθ᾽ ὅτῳ μ᾽ ἔδωκας ἐς χέρας ποτέ;
ΗΛ. ποίῳ; τί φωνεῖς; ΟΡ. οὗ τὸ Φωκέων πέδον
ὑπεξεπέμφθην σῇ προμηθίᾳ χεροῖν.

---

1260. ἂν ab alia m. ant. additum. ἂν ἀξίαν] ἀνταξίαν Arndtius. ἂν ἀξίων vel ἀντ᾽ ἀξίων G. Wolffius. 1261. γε particula loco alieno ab correctore posita videtur trimetrum iambicum restituente: nam verba τίς οὖν — πεφηνότος in codice in unum versum coniuncta sunt, pariterque in stropha 1239. ἀλλ᾽ οὐ τὰν Ἄρτεμιν τὰν αἰὲν ἀδμήταν. Sophocles fortasse scripserat σοῦ γ᾽ ἀμπεφηνότος. 1263. ἐπώτρυναν Brunckius] ὤτρυναν 1263. Post hunc versum unius versus defectum indicavit Brunckius. 1267. ἐπόρισεν D.] ἐπόρσεν pr., ἐπῶρσεν corr. ab eadem aliave manu. 1268. *ἁμέτερα] ἁμετρα vel ἁμτερα pr. 1271. εἰργαθεῖν Elmsleius] εἰργάθειν 1275. *πολύπονον ὧδ᾽ ἰδὼν] πολυστονῶιδ᾽ ἰδὼν cum γρ ὧδϊδὼν (litera ι ex ει facta) a m. recenti. 1277. ἁδονὰν D.] ἡδονὰν 1280. μὴν Seidlerus de vers. dochm. p. 136.] μὴ 1281—1287. Huius epodi versus in codice sic sunt divisi, ὦ φίλαι ἔκλυον ἂν | ἐγὼ — αὐδὰν | ἔσχον ὀργὰν ἄναυδον | οὐδὲ σὺν — τάλαινα. | νῦν δ᾽ — προυφάνης δὲ | etc. Ante verba ἔσχον ὀργάν, quae cum praecedentibus non cohaerent, lacunam indicavit Hermannus. 1281. ἂν] ἂν, sed ἂν in lemmate scholii. 1287. Post ἐγὼ duarum literarum spatium. 1292. χρόνου] ἔργου Reiskius. 1296. *οὕτω] οὕτωσ 1297. ἐπελθόντοιν] ἐπελθόν-
οι
των, οι fortasse ab S. ἐσελθόντοιν Nauckius. 1298.
λ λ
λελεγμένῃ] δεδεγμένηι, λ λ ab alia m. recentiore.

1304. *δεξαίμην] λεξαίμην, adscripto a m. recenti γρ. βουλοίμην βραχύ. 1306. ὑπηρετοίην Elmsleius] ὑπηρετοίμην 1311. τε om. pr. 1312. ἐκλήξω] Ante λ litera π erasa. χαρᾷ Schaeferus] χαρᾶς 1315. εἴργασαι] αι ex ω factum. 1318. ἡμὶν]
αι
ἦμιν pr. 1325. ἀπώσαιτ᾽] ἀπώσετ᾽, αι ab alia m. ant. 1328. *ἐγγενὴς (cum scholiasta)] ἐκγενὴσ 1330. *γιγνώσκετε] γινώσκετε 1336. *ἀπλή-
ν
στου] ἀπλείστου σὺν χαρᾷ] συγχαρᾶι, ν ab S. σὺν βοῇ χαρᾶς Purgoldus. 1337. *μέλλειν] μέλειν 1343. *οὖν] ἐν 1345. τὰ κείνων] τἀκείνων ab alia m. ant., ut Oed. Col. 392. 1347. *ξυνίης] ξυνίεισ
ει
1350. προμηθίᾳ] προμηθίαι, ει ab alia m. ant.

ΗΛ. ἦ κεῖνος οὗτος ὅν ποτ᾽ ἐκ πολλῶν ἐγὼ
μόνον προσηῦρον πιστὸν ἐν πατρὸς φόνῳ;
ΟΡ. ὅδ᾽ ἐστί· μή μ᾽ ἔλεγχε πλείοσιν λόγοις.
ΗΛ. ὦ φίλτατον φῶς, ὦ μόνος σωτὴρ δόμων
᾽Αγαμέμνονος, πῶς ἦλθες; ἦ σὺ κεῖνος εἶ,
ὃς τόνδε κἄμ᾽ ἔσωσας ἐκ πολλῶν πόνων;
ὦ φίλταται μὲν χεῖρες, ἥδιστον δ᾽ ἔχων
ποδῶν ὑπηρέτημα, πῶς οὕτω πάλαι
ξυνών μ᾽ ἔληθες οὐδ᾽ ἔφαινες, ἀλλά με
λόγοις ἀπώλλυς, ἔργ᾽ ἔχων ἥδιστ᾽ ἐμοί;
χαῖρ᾽, ὦ πάτερ· πατέρα γὰρ εἰσορᾶν δοκῶ·
χαῖρ᾽· ἴσθι δ᾽ ὡς μάλιστά σ᾽ ἀνθρώπων ἐγὼ
ἤχθηρα κἀφίλησ᾽ ἐν ἡμέρᾳ μιᾷ.
ΠΑ. ἀρκεῖν δοκεῖ μοι· τοὺς γὰρ ἐν μέσῳ λόγους
πολλαὶ κυκλοῦνται νύκτες ἡμέραι τ᾽ ἴσαι,
αἳ ταῦτά σοι δείξουσιν, ᾽Ηλέκτρα, σαφῆ.
σφῷν δ᾽ ἐννέπω ᾽γὼ τοῖν παρεστώτοιν ὅτι
νῦν καιρὸς ἔρδειν· νῦν Κλυταιμνήστρα μόνη·
νῦν οὔτις ἀνδρῶν ἔνδον· εἰ δ᾽ ἐφέξετον,
φροντίζεθ᾽ ὡς τούτοις τε καὶ σοφωτέροις
ἄλλοισι τούτων πλείοσιν μαχούμενοι.
ΟΡ. οὐκ ἂν μακρῶν ἔθ᾽ ἡμὶν οὐδὲν ἂν λόγων,
Πυλάδη, τόδ᾽ εἴη τοὔργον, ἀλλ᾽ ὅσον τάχος
χωρεῖν ἔσω, πατρῷα προσκύσανθ᾽ ἕδη
θεῶν, ὅσοιπερ πρόπυλα ναίουσιν τάδε.
ΗΛ. ἄναξ ῎Απολλον, ἵλεως αὐτοῖν κλύε,
ἐμοῦ τε πρὸς τούτοισιν, ἥ σε πολλὰ δὴ
ἀφ᾽ ὧν ἔχοιμι λιπαρεῖ προὔστην χερί.
νῦν δ᾽, ὦ Λύκει᾽ ῎Απολλον, ἐξ οἵων ἔχω
αἰτῶ, προπίτνω, λίσσομαι, γενοῦ πρόφρων
ἡμῖν ἀρωγὸς τῶνδε τῶν βουλευμάτων,
καὶ δεῖξον ἀνθρώποισι τἀπιτίμια
τῆς δυσσεβείας οἷα δωροῦνται θεοί.
ΧΟ. ἴδεθ᾽ ὅποι προνέμεται
τὸ δυσέριστον αἷμα φυσῶν ῎Αρης.
βεβᾶσιν ἄρτι δωμάτων ὑπόστεγοι
μετάδρομοι κακῶν πανουργημάτων ἄφυκτοι κύ-
ὥστ᾽ οὐ μακρὰν ἔτ᾽ ἀμμενεῖ [νες·
τοὐμὸν φρενῶν ὄνειρον αἰωρούμενον.
παράγεται γὰρ ἐνέρων
δολιόπους ἀρωγὸς εἴσω στέγας,
ἀρχαιόπλουτα πατρὸς εἰς ἑδώλια,
νεακόνητον αἷμα χειροῖν ἔχων· ὁ Μαίας δὲ παῖς

1384—1390. = 1391—1397.

῾Ερμῆς σφ᾽ ἄγει δόλον σκότῳ
κρύψας πρὸς αὐτὸ τέρμα, κοὐκέτ᾽ ἀμμένει.
ΗΛ. ὦ φίλταται γυναῖκες, ἄνδρες αὐτίκα
τελοῦσι τοὔργον· ἀλλὰ σῖγα πρόσμενε.
ΧΟ. πῶς δή; τί νῦν πράσσουσιν; ΗΛ. ἡ μὲν ἐς
τάφον
λέβητα κοσμεῖ, τὼ δ᾽ ἐφέστατον πέλας.
ΧΟ. σὺ δ᾽ ἐκτὸς ἦξας πρὸς τί; ΗΛ. φρουρήσουσ᾽
Αἴγισθος ἡμᾶς μὴ λάθῃ μολὼν ἔσω. [ὅπως
ΚΛ. ἰὼ στέγαι
φίλων ἔρημοι, τῶν δ᾽ ἀπολλύντων πλέαι.
ΗΛ. βοᾷ τις ἔνδον. οὐκ ἀκούετ᾽, ὦ φίλαι;
ΧΟ. ἤκουσ᾽ ἀνήκουστα δύστανος, ὥστε φρῖξαι.
ΚΛ. οἴμοι τάλαιν᾽· Αἴγισθε, ποῦ ποτ᾽ ὢν κυρεῖς;
ΗΛ. ἰδοὺ μάλ᾽ αὖ θροεῖ τις. ΚΛ. ὦ τέκνον τέκνον,
οἴκτειρε τὴν τεκοῦσαν. ΗΛ. ἀλλ᾽ οὐκ ἐκ σέθεν
ᾠκτείρεθ᾽ οὗτος οὐδ᾽ ὁ γεννήσας πατήρ.
ΧΟ. ὦ πόλις, ὦ γενεὰ τάλαινα, νῦν σε
μοῖρα καθαμερία φθίνειν ἔχει.
ΚΛ. ὤμοι πέπληγμαι. ΗΛ. παῖσον, εἰ σθένεις, δι-
πλῆν.
ΚΛ. ὤμοι μάλ᾽ αὖθις. ΗΛ. εἰ γὰρ Αἰγίσθῳ θ᾽ ὁμοῦ.
ΧΟ. τελοῦσ᾽ ἀραί· ζῶσιν οἱ γᾶς ὑπαὶ κείμενοι.
παλίρρυτον γὰρ αἷμ᾽ ὑπεξαιροῦσι τῶν
κτανόντων οἱ πάλαι θανόντες.
καὶ μὴν πάρεισιν οἵδε· φοινία δὲ χεὶρ
στάζει θυηλῆς ῎Αρεος, οὐδ᾽ ἔχω ψέγειν.
ΗΛ. ᾽Ορέστα, πῶς κυρεῖτε; ΟΡ. τἀν δόμοισι μὲν
καλῶς, ᾽Απόλλων εἰ καλῶς ἐθέσπισεν.
ΗΛ. τέθνηκεν ἡ τάλαινα; ΟΡ. μηκέτ᾽ ἐκφοβοῦ
μητρῷον ὥς σε λῆμ᾽ ἀτιμάσει ποτέ.
ΗΛ. ⏑ – ⏑ –
⏑ – ⏑ – ⏑ – ⏑ – ⏑ – ⏑ –.
ΟΡ. ⏑ – ⏑ – ⏑ – ⏑ – ⏑ – ⏑ –.
ΧΟ. παύσασθε· λεύσσω γὰρ Αἴγισθον ἐκ προδήλου.
ΟΡ. ⏑ – ⏑ – ⏑ – ⏑ – ⏑ – ⏑ –.

1398—1421. = 1422—1441.

---

1351. ὅν ποτ᾽] ὃν τότ᾽ Meinekius. 1352. προσηῦρον D.] προσεῦρον 1355. ἦ] ἢ pr. 1362. ἴσθι δ᾽] Literae ι δ ab S illatae. μάλιστά σ᾽ ἀνθρώπων ex μάλιστα τανθρώπων factum. 1365. κυκλοῦνται] κυκλου . . . . , erasis literis νται, superscriptoque ab alia m., sed rursus eraso σι. Hinc Lb.
οῦνται
κυκλουσι 1367. ᾽γὼ Hermannus] γε 1372. ἡμὶν
υ
Brunckius] ἦμιν 1378. προὔστην] προστην, υ a m. pr. 1380. προπίτνω] προ.πίτνω pr., in προπίτνω mutatum ab eadem manu. Accentus super ι deletus est et circumflexus super ω a m. recentiore positus. In Lb. est προσπιτνῶ 1384. ὅποι Schneidewinus] ὅπου. In apographo uno est ὅπῃ. ὅπως G. Wolffius. 1389. ἀμμενεῖ Wunderus] ἀμμένει 1390. αἰωρούμενον] αἰωρουμένων pr. 1394. ἑδώλια] γρ. ἑδράσματα ab S. quod est in apographis plerisque et quo Suidas utitur ad explicandum ἑδώλια. 1395. νεακόνητον] Scriptura vitiosa: nam syllaba secunda brevis requiritur. αἷμα per μάχαιραν ex hoc loco explicant Hesychius, Suidas, Etym. M p. 35, 4. Suidas s. h. v. et grammaticus Bekkeri Anecd. p. 356, 20. non animadversa antiqua huius loci corruptela. Sensui metroque satisfacit quod coniecit Heimsoethius χερὶ νεακονῆ μάχαιραν φέρων. χειροῖν] ει in ε mutatum ab alia m. ant. et χεροῖν est in apographis plerisque. ἔχων] ἄγων in apogr. Flor. Γ, et in margine χεροῖν ἄγων, ἤγουν διὰ χειρῶν ἄγων. Et χεροῖν ἄγων etiam apogr. Vossianum.

σ
1396. *ἄγει] ἐξάγει (σ ab S.) pr. ἐπάγει a m. rec. Verbo simplici utitur etiam scholiasta. 1399.
ἔσω
τελοῦσι] τελοῦσι, ἔσω a m. rec. 1401. * τὼ] τῶι 1403. ἡμᾶς addidit Reiskius. 1404. ἰὼ D.] αἶ αἶ ἰὼ 1407. ἀνήκουστα] ἀνήκοστα, υ ab S inserto. 1409. *ποῦ] ποῖ 1410. ὦ τέκνον τέκνον Triclinius] ὦ τέκνον ὦ τέκνον 1412. οὐδ᾽ D.] οὔθ᾽ 1414. καθαμερία Triclinius] καθημερία φθίνειν ἔχει D.] φθίνει φθίνει. Alterius φθίνει litera ι prior ex ο facta videtur. 1419. τελοῦσ᾽ Triclinius] τελοῦσιν ὑπαὶ κείμενοι Brunckius] ὑποκείμενοι 1420. παλίρρυτον Bothius] πολύρρυτον, quod πολλύρυτον scriptum in codice ex eoque in Lb. 1422. ΗΛ. praefixum, quod delevit Hermannus. 1423. θυηλῆς] υ in litura. ψέγειν Erfurdtius] λέγειν 1424. κυρεῖτε Elmsleius] κυρεῖ Post 1427. trium versuum defectum indicavit Erfurdtius, post 1429. unius versus Seidlerus. Primi versus verba ἰὼ Δίκα fuisse coniicere licet, de quo cogitavit Hermannus. 1428. λεύσσω] λεύσω pr., altero σ ab alia m. ant. addito.

ΗΛ. ὦ παῖδες, οὐκ ἄψορρον; ΟΡ. εἰσορᾶτε ποῦ
τὸν ἄνδρ'; ΗΛ. ἐφ' ἡμῖν οὗτος ἐκ προαστίου
χωρεῖ γεγηθὼς ± ᴗ — ᴗ ± ᴗ —.
ΧΟ. βᾶτε κατ' ἀντιθύρων ὅσον τάχιστα,
νῦν, τὰ πρὶν εὖ θέμενοι, τάδ' ὡς πάλιν.
ΟΡ. θάρσει· τελοῦμεν. ΗΛ. ἦ νοεῖς ἔπειγέ νυν.
ΟΡ. καὶ δὴ βέβηκα. ΗΛ. τἀνθάδ' ἂν μέλοιτ' ἐμοί.
ΧΟ. δι' ὠτὸς ἂν παῦρά γ' ὡς ἠπίως ἐννέπειν
πρὸς ἄνδρα τόνδε συμφέροι, λαθραῖον ὡς
ὀρούσῃ πρὸς δίκας ἀγῶνα.
ΑΙΓΙΣΘΟΣ.
τίς οἶδεν ὑμῶν ποῦ ποθ' οἱ Φωκῆς ξένοι,
οὕς φασ' Ὀρέστην ἡμὶν ἀγγεῖλαι βίον
λελοιπόθ' ἱππικοῖσιν ἐν ναυαγίοις;
σέ τοι, σὲ κρίνω, ναὶ σέ, τὴν ἐν τῷ πάρος
χρόνῳ θρασεῖαν· ὡς μάλιστά σοι μέλειν
οἶμαι, μάλιστα δ' ἂν κατειδυῖαν φράσαι.
ΗΛ. ἔξοιδα· πῶς γὰρ οὐχί; συμφορᾶς γὰρ ἂν
ἔξωθεν εἴην τῶν ἐμῶν τῆς φιλτάτης.
ΑΙ. ποῦ δῆτ' ἂν εἶεν οἱ ξένοι; δίδασκέ με.
ΗΛ. ἔνδον· φίλης γὰρ προξένου κατήνυσαν.
ΑΙ. ἦ καὶ θανόντ' ἤγγειλαν ὡς ἐτητύμως;
ΗΛ. οὔκ, ἀλλὰ κἀπέδειξαν, οὐ λόγῳ μόνον.
ΑΙ. πάρεστ' ἄρ' ἡμῖν ὥστε κἀμφανῆ μαθεῖν;
ΗΛ. πάρεστι δῆτα, καὶ μάλ' ἄζηλος θέα.
ΑΙ. ἦ πολλὰ χαίρειν μ' εἶπας οὐκ εἰωθότως.
ΗΛ. χαίροις ἄν, εἴ σοι χαρτὰ τυγχάνοι τάδε.
ΑΙ. σιγᾶν ἄνωγα κἀναδεικνύναι πύλας
πᾶσιν Μυκηναίοισιν Ἀργείοις θ' ὁρᾶν,
ὡς εἴ τις αὐτῶν ἐλπίσιν κεναῖς πάρος
ἐξῄρετ' ἀνδρὸς τοῦδε, νῦν ὁρῶν νεκρὸν
στόμια δέχηται τἀμά, μηδὲ πρὸς βίαν
ἐμοῦ κολαστοῦ προστυχὼν φύσῃ φρένας.
ΗΛ. καὶ δὴ τελεῖται τἀπ' ἐμοῦ· τῷ γὰρ χρόνῳ
νοῦν ἔσχον, ὥστε συμφέρειν τοῖς κρείσσοσιν.
ΑΙ. ὦ Ζεῦ, δέδορκα φάσμ' ἄνευ φθόνου μὲν οὐ
πεπτωκός· εἰ δ' ἔπεστι νέμεσις, οὐ λέγω.
χαλᾶτε πᾶν κάλυμμ' ἀπ' ὀφθαλμῶν, ὅπως
τὸ συγγενές τοι κἀπ' ἐμοῦ θρήνων τύχῃ.
ΟΡ. αὐτὸς σὺ βάσταζ'· οὐκ ἐμὸν τόδ', ἀλλὰ σόν,
τὸ ταῦθ' ὁρᾶν τε καὶ προσηγορεῖν φίλως.
ΑΙ. ἀλλ' εὖ παραινεῖς, κἀπιπείσομαι· σὺ δέ,
εἴ που κατ' οἶκόν μοι Κλυταιμνήστρα, κάλει.
ΟΡ. αὕτη πέλας σοῦ· μηκέτ' ἄλλοσε σκόπει.
ΑΙ. οἴμοι, τί λεύσσω; ΟΡ. τίνα φοβεῖ; τίν'
ἀγνοεῖς;
ΑΙ. τίνων ποτ' ἀνδρῶν ἐν μέσοις ἀρκυστάτοις
πέπτωχ' ὁ τλήμων; ΟΡ. οὐ γὰρ αἰσθάνει πάλαι
ζῶντας θανοῦσιν οὕνεκ' ἀνταυδᾷς ἴσα;
ΑΙ. οἴμοι, ξυνῆκα τοὔπος· οὐ γὰρ ἔσθ' ὅπως
ὅδ' οὐκ Ὀρέστης ἔσθ' ὁ προσφωνῶν ἐμέ.
ΟΡ. καὶ μάντις ὢν ἄριστος ἐσφάλλου πάλαι;
ΑΙ. ὄλωλα δὴ δείλαιος. ἀλλά μοι πάρες
κἂν σμικρὸν εἰπεῖν. ΗΛ. μὴ πέρα λέγειν ἔα,
πρὸς θεῶν, ἀδελφέ, μηδὲ μηκύνειν λόγους,
[τί γὰρ βροτῶν ἂν σὺν κακοῖς μεμιγμένων
θνῄσκειν ὁ μέλλων τοῦ χρόνου κέρδος φέροι;]
ἀλλ' ὡς τάχιστα κτεῖνε καὶ κτανὼν πρόθες
ταφεῦσιν ὧν τόνδ' εἰκός ἐστι τυγχάνειν,
ἄποπτον ἡμῶν. ὡς ἐμοὶ τόδ' ἂν κακῶν
μόνον γένοιτο τῶν πάλαι λυτήριον.
ΟΡ. χωροῖς ἂν εἴσω σὺν τάχει· λόγων γὰρ οὐ
νῦν ἐστιν ἁγών, ἀλλὰ σῆς ψυχῆς πέρι.
ΑΙ. τί δ' ἐς δόμους ἄγεις με; πῶς, τόδ' εἰ καλὸν
τοὔργον, σκότου δεῖ, κοὐ πρόχειρος εἶ κτανεῖν;
ΟΡ. μὴ τάσσε· χώρει δ' ἔνθαπερ κατέκτανες
πατέρα τὸν ἀμόν, ὡς ἂν ἐν ταὐτῷ θάνῃς.
ΑΙ. ἦ πᾶσ' ἀνάγκη τήνδε τὴν στέγην ἰδεῖν
τά τ' ὄντα καὶ μέλλοντα Πελοπιδῶν κακά;
ΟΡ. τὰ γοῦν σ'· ἐγώ σοι μάντις εἰμὶ τῶνδ' ἄκρος.
ΑΙ. ἀλλ' οὐ πατρῴαν τὴν τέχνην ἐκόμπασας.
ΟΡ. πόλλ' ἀντιφωνεῖς, ἡ δ' ὁδὸς βραδύνεται.
ἀλλ' ἕρφ'. ΑΙ. ὑφηγοῦ. ΟΡ. σοὶ βαδιστέον πάρος.
ΑΙ. ἦ μὴ φύγω σε; ΟΡ. μὴ μὲν οὖν καθ' ἡδονὴν
θάνῃς· φυλάξαι δεῖ με τοῦτό σοι πικρόν.
ΧΟ. ὦ σπέρμ' Ἀτρέως, ὡς πολλὰ παθὸν
δι' ἐλευθερίας μόλις ἐξῆλθες
τῇ νῦν ὁρμῇ τελεωθέν.

1505. χρῆν δ' εὐθὺς εἶναι τήνδε τοῖς πᾶσιν δίκην,
ὅστις πέρα πράσσειν γε τῶν νόμων θέλοι,
κτείνειν· τὸ γὰρ πανοῦργον οὐκ ἂν ἦν πολύ.

---

1430. εἰσορᾶτε ποῦ Hermannus] εἰσορᾶτέ που 1431. τὸν ἄνδρ'—] τὸν ἄνδρ' ἐφ' ἡμῖν — ᴗ; ΗΛ. — ᴗ ± ᴗ — | χωρεῖ γεγηθὼς οὗτος ἐκ προαστίου G. Wolffius. 1432. Lacunam indicavit Brunckius. 1434. ὡς] αὖ D. 1435. ἦ νοεῖς Orestis verbis additum Electrae tribuit Erfurdtius. 1437. ΧΟ. om. 1438. ἠπίως] γρ. νηπίωι (ον) ab S. 1440. λαθραῖον] ν in litura duarum literarum. 1441. Post ὀρούσηι duae vel tres literae erasae. 1432. Φωκῆς] φωκεισ (ῆ), ῆ a m. pr. 1443. *ἡμὶν] ἧμιν 1445. ναὶ Reiskius] καὶ 1449. τῆς φιλτάτης] τε φιλτάτων, utrumque ησ (ῆσ, ησ), ex quo manus recentior τῆσ et τησ fecit, a m. pr. 1450. δίδασκέ με] γράφεται (sic plene scriptum, non γρ. ut alibi constanter), μήνυέ μοι ab S. 1457. χαρτὰ] χαρὰ pr., τ ab alia m. inserto. 1466. φθόνου] φόνου, θ ab S inserto 1467. εἰ δ' ἔπεστι] εἰ δ' ἐστι pr., correctum a m. pr. aut ab S. Post ἔπεστι litera ν erasa. 1469. *τοι] τε. γε Nauckius. 1471. φίλως] In φίλος radendo mutatum ab alia m.

1478. ζῶντας Tyrwhittus] ζῶν τοῖς 1481. ἐσφάλλου] ἐσφάλου pr., altero λ a m. recentiore addito. 1483. κἂν σμικρὸν] κἂν ἐπιμικρὸν cum gl. κἂν σμικρὸν 1485. 1486. Seclusit D. Hi duo versus in margine scripti sunt ab alia manu paullo recentiore in litura duorum versuum, qui haud dubie iidem versus fuerunt sive a manu prima sive ab S scripti, sed fortasse literis exilioribus, ut alii versus plures in margine suppleti: nisi forte perverso ordine scripti fuerunt, quod ipsum quoque movere potuit librarium ut eos denuo scriberet. Conf. ad 1498. 1485. τί] τίσ, σ ab alia m. deleto. 1487. πρόθες] πρόσθεσ, sed eraso σ 1488. ὧν] ὦ, ν ab S addito. 1490. γένοιτο ab S illatum. 1492. ἁγὼν Brunckius (qui ὡγὼν)] ἀγὼν 1496. *ἂν] om. 1498. 1499. Hi quoque duo versus, ut 1485. et 1486. ab alia manu antiqua in ipso textu scripti sunt erasis duobus quos prima manus scripserat versibus, quos eosdem fuisse ex syllaba οσ (vocabuli ἄκρος), quae de primae manus scriptura superest, intelligitur. 1499. τὰ γοῦν] τά γ' οὖν σ' a m. rec. in litura duarum literarum. 1502. ἕρφ'] φ a m. recentiore habet in litura literarum πε 1505—1507. eiecit D. 1505. τήνδε ab S illatum. 1506. γε] τι Nicephorus Basil. in Walzii Rhet. vol. 1. p. 461, 16. θέλοι] In θέλει mutatum a m. recentiore.

# ΣΟΦΟΚΛΕΟΥΣ ΤΡΑΧΙΝΙΑΙ.

## ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ

| | |
|---|---|
| ΔΗΙΑΝΕΙΡΑ. | ΑΓΓΕΛΟΣ. |
| ΔΟΥΛΗ ΤΡΟΦΟΣ. | ΛΙΧΑΣ. |
| ΥΛΛΟΣ. | ΗΡΑΚΛΗΣ. |
| ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ ΤΡΑΧΙΝΙΩΝ. | ΠΡΕΣΒΥΣ. |

## ΕΚ ΤΗΣ ΑΠΟΛΛΟΔΩΡΟΥ ΒΙΒΛΙΟΘΗΚΗΣ.[a] (II. 7, 5.)

### ΥΠΟΘΕΣΙΣ.

Ἡρακλῆς παραγενόμενος εἰς Καλυδῶνα τὴν Οἰνέως θυγατέρα Δηιάνειραν ἐμνηστεύσατο, καὶ διαπαλαίσας ὑπὲρ τῶν γάμων αὐτῆς πρὸς Ἀχελῷον ἀπεικασθέντα ταύρῳ περιέκλασε τὸ ἕτερον τῶν κεράτων· καὶ τὴν μὲν Δηιάνειραν γαμεῖ, τὸ δὲ κέρας Ἀχελῷος λαμβάνει, δοὺς ἀντὶ τούτου τὸ τῆς Ἀμαλθείας. Ἀμάλθεια δὲ ἦν Αἱμονίου θυγάτηρ, ἣ κέρας εἶχε ταύρου· τοῦτο δὲ, ὡς Φερεκύδης φησὶ, δύναμιν εἶχε τοιαύτην ὥστε ποτὸν ἢ βρωτὸν, ὅπερ ἂν εὔξαιτό τις, παρέχειν ἄπονον. στρατεύει δὲ Ἡρακλῆς μετὰ Καλυδωνίων ἐπὶ Θεσπρωτοὺς, καὶ πόλιν ἑλὼν Ἐφύραν, ἧς ἐβασίλευε Φύλας, Ἀστυόχῃ τῇ τούτου θυγατρὶ συνελθὼν πατὴρ Τληπολέμου γίνεται. γενομένων δὲ τούτων εὐωχούμενος παρ᾽ Οἰνεῖ, κονδύλῳ παίσας ἀπέκτεινεν Εὔνομον τὸν Ἀρχιτέλους παῖδα κατὰ χειρῶν διδόντα· συγγενὴς δὲ οὗτος Οἰνέως. καὶ ὁ μὲν πατὴρ τοῦ παιδὸς ἀκουσίου γενομένου τοῦ συμβεβηκότος συνεγνωμόνει· Ἡρακλῆς δὲ κατὰ τὸν νόμον φυγὴν ὑπομένειν ἤθελε, καὶ δὴ ἔγνω πρὸς Κήϋκα εἰς Τραχῖνα ἀπιέναι. ἄγων δὲ Δηιάνειραν εἰς ποταμὸν Εὔηνον ἦλθεν, ἐν ᾧ καθεζόμενος Νέσσος ὁ Κένταυρος τοὺς παριόντας διεπόρθμευε μισθοῦ, λέγων παρὰ θεῶν ταύτην τὴν πορθμείαν εἰληφέναι διὰ τὸ δίκαιος εἶναι. αὐτὸς μὲν οὖν Ἡρακλῆς τὸν ποταμὸν διέβη, Δηιάνειραν δὲ μισθὸν αἰτηθεὶς ἐπέτρεψε Νέσσῳ διακομίζειν. ὁ δὲ πορθμεύων αὐτὴν ἐπεχείρει βιάζεσθαι. τῆς δὲ ἀνακραγούσης αἰσθόμενος ἐξελθόντα Νέσσον ἐτόξευσεν εἰς τὴν καρδίαν. ὁ δὲ μέλλων τελευτᾶν, προσκαλεσάμενας Δηιάνειραν, εἶπε τηρεῖν λαβοῦσαν ἐν κόχλῳ, εἰ θέλοι πρὸς Ἡρακλέα φίλτρον ἔχειν, τόν τε ἰὸν ἀφῆκε κατὰ τῆς κόχλου καὶ τὸ ῥυὲν ἐκ τοῦ τραύματος τῆς ἀκίδος αἷμα συμμίξας

[a] Quum periissent quae grammatici veteres de argumento Trachiniarum scripserant, ὑποθέσεως loco Apollodori narratio praemissa est. Legitur hoc excerptum in codice Laurentiano et Parisino 2712, ex quo apographo primus edidit Aldus. De utriusque exemplaris lectionibus, quae locis non paucis ab Apollodori codicum lectionibus discrepant, videnda quae in Annotationibus ad Scholia exposui vol. 2. p. 21—24. Post Aldum plura aliter scripta exhibuit Turnebus, Triclinianum secutus exemplar. In fine fabulae in codice Laurentiano leguntur versus hexametri tredecim poetae ignoti de duodecim Herculis laboribus: quod carmen pariter sine poetae nomine legitur in Anthologia Planudea 4, 92.

ἔδωκεν· ἡ δὲ λαβοῦσα ἐφύλαττε παρ' ἑαυτῇ. διεξιὼν δὲ Ἡρακλῆς τὴν Δρυόπων χώραν, καὶ τροφῆς ἀπορῶν, ὑπαντήσαντος αὐτῷ Θειοδάμαντος βοηλατοῦντος, τὸν ἕτερον τῶν ταύρων λύσας καὶ σφάξας εὐωχεῖτο. ὡς δὲ ἧκεν εἰς Τραχῖνα πρὸς Κήϋκα, ὑποδεχθεὶς ὑπ' αὐτοῦ Δρύοπας κατεπολέμησεν. αὖθις ἐκεῖθεν Αἰγιμίῳ βασιλεῖ συνεμάχησε Δωριέων. Λαπίθαι γὰρ περὶ γῆς ὅρων πρὸς αὐτὸν ἐπολέμουν, Κορώνου στρατηγοῦντος. ὁ δὲ πολιορκούμενος ἐπεκαλέσατο Ἡρακλέα βοηθὸν ἐπὶ μέρει τῆς γῆς. βοηθήσας δὲ Ἡρακλῆς ἀπέκτεινε Κόρωνον μετὰ ἄλλων, καὶ τὴν γῆν ἅπασαν ἐλευθέραν ἐποίησεν· ἀπέκτεινε δὲ καὶ Λαγόραν μετὰ τῶν παίδων, βασιλέα Δρυόπων, ἐν Ἀπόλλωνος τεμένει, Λαπιθῶν σύμμαχον. παριόντα δὲ Ἴτωνα εἰς μονομαχίαν προυκαλεῖτο αὐτὸν Κύκνος ὁ Ἄρεως καὶ Πελοπίας· συστὰς δὲ καὶ τοῦτον ἀπέκτεινεν. ὡς δὲ εἰς Ὀρμένιον ἧκεν, Ἀμύντωρ αὐτὸν ὁ βασιλεὺς οὐκ εἴασε μεθ' ὅπλων παριέναι, κωλυόμενος δὲ παρελθεῖν καὶ τοῦτον ἀπέκτεινεν. ἀφικόμενος δὲ εἰς Τραχῖνα στρατιὰν ἐπ' Οἰχαλίαν συνήθροισεν, Εὔρυτον τιμωρήσασθαι θέλων. συμμαχούντων δ' Ἀρκάδων αὐτῷ καὶ Μηλιέων τῶν ἐκ Τραχῖνος καὶ Λοκρῶν τῶν Ἐπικνημιδίων, κτείνας μετὰ τῶν παίδων Εὔρυτον, αἱρεῖ τὴν πόλιν, καὶ θάψας τῶν σὺν αὐτῷ στρατευσαμένων τοὺς ἀποθανόντας, Ἵππασον τὸν Κήϋκος, καὶ Ἀργεῖον καὶ Μέλανα, τοὺς Λικυμνίου παῖδας, καὶ λαφυραγωγήσας τὴν πόλιν, ἦγεν Ἰόλην αἰχμάλωτον. καὶ προσορμισθεὶς Κηναίῳ τῆς Εὐβοίας ἀκρωτηρίῳ Διὸς Κηναίου ἱερὸν ἱδρύσατο. μέλλων δὲ ἱερουργεῖν κήρυκα ἔπεμψε λαμπρὰν ἐσθῆτα οἴσοντα. παρὰ τούτου δὲ τὰ περὶ τὴν Ἰόλην Δηιάνειρα πυθομένη, καὶ δείσασα μὴ πάλιν ἐκείνην ἀγαπήσῃ, νομίσασα τῇ ἀληθείᾳ φίλτρον εἶναι τὸ ῥυὲν αἷμα Νέσσου, τούτῳ τὸν χιτῶνα ἔχρισεν. ὡς δὲ θερμανθέντος τοῦ χιτῶνος ὁ ἰὸς τῆς ὕδρας ᾐσθίετο, τὸν μὲν Λίχαν κατέβαλεν, εἰς Τραχῖνα δὲ ἐπὶ νεὼς κομίζεται. Δηιάνειρα δὲ ἀχθεσθεῖσα ἑαυτὴν ἀνήρτησεν. Ἡρακλῆς δὲ ἐντειλάμενος Ὕλλῳ, ὃς αὐτῷ ἐκ Δηιανείρας ἦν παῖς πρεσβύτερος, τὴν Ἰόλην ἀνδρωθέντα γῆμαι, παραγενόμενος εἰς Οἴτην, ὅ ἐστιν ὄρος Τραχῖνος, πυρὰν ποιήσας ἐκέλευσεν ἐπιβὰς ὑφάπτειν. τοῦ δὲ μὴ θέλοντος Ποίας παριὼν ἐπὶ ζήτησιν ποιμνίων ὑφάψας ἔλαβε τὰ τόξα παρ' αὐτοῦ δωρεάν. καιομένης δὲ τῆς πυρᾶς λέγεται νέφος ὑποστὰν μετὰ βροντῆς αὐτὸν εἰς οὐρανὸν ἀναπέμψαι· ἔνθα τυχὼν ἀθανασίας γήμας Ἥβην τὴν Ἥρας θυγατέρα ποιεῖ παῖδας Ἀλεξιάρην καὶ Ἀνίκητον.

---

ΔΗΙΑΝΕΙΡΑ.

Λόγος μέν ἐστ' ἀρχαῖος ἀνθρώπων φανεὶς
ὡς οὐκ ἂν αἰῶν' ἐκμάθοις βροτῶν, πρὶν ἂν
θάνῃ τις, οὔτ' εἰ χρηστὸς οὔτ' εἴ τῳ κακός·
ἐγὼ δὲ τὸν ἐμόν, καὶ πρὶν εἰς Ἅιδου μολεῖν,
ἔξοιδ' ἔχουσα δυστυχῆ τε καὶ βαρύν,
ἥτις πατρὸς μὲν ἐν δόμοισιν Οἰνέως
ναίουσ' ἔτ' ἐν Πλευρῶνι νυμφείων ὄτλον
ἄλγιστον ἔσχον, εἴ τις Αἰτωλὶς γυνή.
μνηστὴρ γὰρ ἦν μοι ποταμός, Ἀχελῷον λέγω,
ὅς μ' ἐν τρισὶν μορφαῖσιν ἐξῄτει πατρός,
φοιτῶν ἐναργὴς ταῦρος, ἄλλοτ' αἰόλος
δράκων ἑλικτός, ἄλλοτ' ἀνδρείῳ κύτει
βούπρῳρος· ἐκ δὲ δασκίου γενειάδος
κρουνοὶ διερραίνοντο κρηναίου ποτοῦ.
τοιόνδ' ἐγὼ μνηστῆρα προσδεδεγμένη
δύστηνος ἀεὶ κατθανεῖν ἐπηυχόμην
[πρὶν τῆσδε κοίτης ἐμπελασθῆναί ποτε].
χρόνῳ δ' ἐν ὑστέρῳ μέν, ἀσμένῃ δέ μοι,
ὁ κλεινὸς ἦλθε Ζηνὸς Ἀλκμήνης τε παῖς·
ὃς εἰς ἀγῶνα τῷδε συμπεσὼν μάχης
ἐκλύεταί με. καὶ τρόπον μὲν ἂν πόνων
οὐκ ἂν διείποιμ'· οὐ γὰρ οἶδ'· ἀλλ' ὅστις ἦν
θακῶν ἀταρβὴς τῆς θέας, ὅδ' ἂν λέγοι.
ἐγὼ γὰρ ἥμην ἐκπεπληγμένη φόβῳ
μή μοι τὸ κάλλος ἄλγος ἐξεύροι ποτέ.
τέλος δ' ἔθηκε Ζεὺς ἀγώνιος καλῶς,
εἰ δὴ καλῶς. λέχος γὰρ Ἡρακλεῖ κριτὸν
ξυστᾶσ' ἀεί τιν' ἐκ φόβου φόβον τρέφω,
κείνου προκηραίνουσα· νὺξ γὰρ εἰσάγει
καὶ νὺξ ἀπωθεῖ διαδεδεγμένη πόνον.
κἀφύσαμεν δὴ παῖδας. οὓς κεῖνός ποτε,
γήτης ὅπως ἄρουραν ἔκτοπον λαβών,
σπείρων μόνον προσεῖδε κἀξαμῶν ἅπαξ.
τοιοῦτος αἰὼν ἔς δόμους τε κἀκ δόμων

---

6. δόμοισιν] δόμοισ, ιν a m. pr. addito. 7. ἔτ' addidit Erfurdtius. *νυμφείων] νυμφίων ὄτλον] ὄκνον cum γρ. ὄτλον schol. 8. ἔσχον] ἔσχ in litura. 12. κύτει βούπρῳρος ex Strabone 10. p. 458.] τύπῳ βούκρανος 16. ἀεὶ] αἰεὶ ἐπηυχόμην D.] ἐπευχόμην 17. Seclusit Bergkius.

23. θακῶν] θώκῶν, circumflexo a m. antiquiore posito. 24. ἥμην] ἤμην, spiritus asper a m. rec. 24. 25. Secludit Dobraeus. 28. *ξυστᾶσ' ἀεί] ξυνστᾶσ' αἰεί 30. *διαδεδεγμένη] διαδεγμένη 32. γήτης] γήιτησ, non γηίτησ 34. ἐς] εἰς. ἐς vel simplex vel in compositis ante literas consonantes restitui, partim Brunckio praeeunte, hic et 376. 537. 704. 1179. ἐς ante consonantes non raro etiam in codice, velut 148. 263. 411. 417. 442. 610. 1067. εἰσελθὼν pro ἐσελθὼν cum metri vitio est in codice 1167.

ἀεὶ τὸν ἄνδρ' ἔπεμπε λατρεύοντά τῳ·
νῦν δ' ἡνίκ' ἄθλων τῶνδ' ὑπερτελὴς ἔφυ,
ἐνταῦθα δὴ μάλιστα ταρβήσασ' ἔχω.
ἐξ οὗ γὰρ ἔκτα κεῖνος Ἰφίτου βίαν,
ἡμεῖς μὲν ἐν Τραχῖνι τῇδ' ἀνάστατοι
ξένῳ παρ' ἀνδρὶ ναίομεν, κεῖνος δ' ὅπου
βέβηκεν οὐδεὶς οἶδε· πλὴν ἐμοὶ πικρὰς
ὠδῖνας αὐτοῦ προσβαλὼν ἀποίχεται.
σχεδὸν δ' ἐπίσταμαί τι πῆμ' ἔχοντά νιν·
χρόνον γὰρ οὐχὶ βαιόν, ἀλλ' ἤδη δέκα
μῆνας πρὸς ἄλλοις πέντ' ἀκήρυκτος μένει.
κἄστιν τι δεινὸν πῆμα· τοιαύτην ἐμοὶ
δέλτον λιπὼν ἔστειχε, τὴν ἐγὼ θαμὰ
θεοῖς ἀρῶμαι πημονῆς ἄτερ λαβεῖν.

ΤΡΟΦΟΣ.

δέσποινα Δηάνειρα, πολλὰ μέν σ' ἐγὼ
κατεῖδον ἤδη πανδάκρυτ' ὀδύρματα
τὴν Ἡράκλειον ἔξοδον γοωμένην·
νῦν δ', εἰ δίκαιον τοὺς ἐλευθέρους φρενοῦν
γνώμαισι δούλαις, κἀμὲ χρὴ φράσαι τόσον·
πῶς παισὶ μὲν τοσοῖσδε πληθύεις, ἀτὰρ
ἀνδρὸς κατὰ ζήτησιν οὐ πέμπεις τινά,
μάλιστα δ' ὅνπερ εἰκὸς Ὕλλον, εἰ πατρὸς
νέμοι τιν' ὤραν τοῦ καλῶς πράσσειν δοκεῖν;
ἐγγὺς δ' ὅδ' αὐτὸς ἀρτίπους θρώσκει δόμους,
ὥστ' εἴ τί σοι πρὸς καιρὸν ἐννέπειν δοκῶ,
πάρεστι χρῆσθαι τἀνδρὶ τοῖς τ' ἐμοῖς λόγοις.

ΔΗ. ὦ τέκνον, ὦ παῖ, κἀξ ἀγεννήτων ἄρα
μῦθοι καλῶς πίπτουσιν· ἥδε γὰρ γυνὴ
δούλη μέν, εἴρηκεν δ' ἐλεύθερον λόγον.

ΥΛΛΟΣ.

ποῖον; δίδαξον, μῆτερ, εἰ διδακτά μοι.
ΔΗ. σὲ πατρὸς οὕτω δαρὸν ἐξενωμένου
τὸ μὴ πυθέσθαι ποῦ 'στιν αἰσχύνην φέρειν.
ΥΛ. ἀλλ' οἶδα, μύθοις εἴ τι πιστεύειν χρεών.
ΔΗ. καὶ ποῦ κλύεις νιν, τέκνον, ἱδρῦσθαι χθονός;
ΥΛ. τὸν μὲν παρελθόντ' ἄροτον ἐν μήκει χρόνου
Λυδῇ γυναικί φασί νιν λάτριν πονεῖν.
ΔΗ. πᾶν τοίνυν, εἰ καὶ τοῦτ' ἔτλη, κλύοι τις ἄν.
ΥΛ. ἀλλ' ἐξαφεῖται τοῦδέ γ', ὡς ἐγὼ κλύω.
ΔΗ. ποῦ δῆτα νῦν ζῶν ἢ θανὼν ἀγγέλλεται;
ΥΛ. Εὐβοΐδα χώραν φασίν, Εὐρύτου πόλιν,
ἐπιστρατεύειν αὐτόν, ἢ μέλλειν ἔτι.
ΔΗ. ἆρ' οἶσθα δῆτ', ὦ τέκνον, ὡς ἔλειπέ μοι
μαντεῖα πιστὰ τῆσδε τῆς χώρας πέρι;
ΥΛ. τὰ ποῖα, μῆτερ; τὸν λόγον γὰρ ἀγνοῶ.
ΔΗ. ὡς ἢ τελευτὴν τοῦ βίου μέλλει τελεῖν,
ἢ τοῦτον ἄρας ἆθλον – ᴗ ⏗ ᴗ –
τὸν λοιπὸν ἤδη βίοτον εὐαίων' ἔχειν.
ἐν οὖν ῥοπῇ τοιᾷδε κειμένῳ, τέκνον,
οὐκ εἶ ξυνέρξων, ἡνίκ' ἢ σεσώσμεθα
κείνου βίον σώσαντος, ἢ οἰχόμεσθ' ἅμα;
ΥΛ. ἀλλ' εἶμι, μῆτερ· εἰ δὲ θεσφάτων ἐγὼ
βάξιν κατῄδη τῶνδε, κἂν πάλαι παρῆ.
ἀλλ' ὁ ξυνήθης πότμος οὐκ εἴα πατρὸς
ἡμᾶς προταρβεῖν οὐδὲ δειμαίνειν ἄγαν·
νῦν δ' ὡς ξυνίημ', οὐδὲν ἐλλείψω τὸ μὴ οὐ
πᾶσαν πυθέσθαι τῶνδ' ἀλήθειαν πέρι.
ΔΗ. χώρει νυν, ὦ παῖ· καὶ γὰρ ὑστέρῳ τό γ' εὖ
πράσσειν, ἐπεὶ πύθοιτο, κέρδος ἐμπολᾷ.

84. ἢ πίπτομεν σοῦ πατρὸς ἐξολωλότος

ΧΟΡΟΣ.

ὃν αἰόλα νὺξ ἐναριζομένα τίκτει κατευνάζει τε,
Ἅλιον, Ἅλιον αἰτῶ [φλογιζόμενον
τοῦτο καρῦξαι τὸν Ἀλκμήνας πόθι μοι πόθι
παῖς ναίει ποτ', ὦ λαμπρᾷ στεροπᾷ φλεγέ-
θων,
ἢ ποντίους αὐλῶνας, ἢ δισσαῖσιν ἀπείροις κλι-
θείς, εἴπ', ὦ κρατιστεύων κατ' ὄμμα.
ποθουμένᾳ γὰρ φρενὶ πυνθάνομαι τὰν ἀμφινεικῆ
οἷά τιν' ἄθλιον ὄρνιν, [Δηιάνειραν ἀεί,
οὔποτ' εὐνάζειν ἀδακρύτων βλεφάρων πόθον,
ἀλλ' εὔμναστον ἀνδρὸς δεῖμα τρέφουσαν ὁδοῦ
ἐνθυμίοις εὐναῖς ἀνανδρώτοισι τρύχεσθαι, κακὰν
δύστανον ἐλπίζουσαν αἶσαν.
πολλὰ γὰρ ὥστ' ἀκάμαντος ἢ νότου ἢ βορέα τις
κύματ' ἐν εὐρέϊ πόντῳ βάντ' ἐπιόντα τ' ἴδῃ,
οὕτω δὲ τὸν Καδμογενῆ τρέφει, τὸ δ' αὔξει
βιότου [θεῶν
πολύπονον, ὥσπερ πέλαγος Κρήσιον· ἀλλά τις
αἰὲν ἀναμπλάκητον Ἅιδα σφε δόμων ἐρύκει.
ὧν ἐπιμεμφομένα σ' ἁδεῖα μέν, ἀντία δ' οἴσω.
φαμὶ γὰρ οὐκ ἀποτρύειν ἐλπίδα τὰν ἀγαθὰν
χρῆναί σ'· ἀνάλγητα γὰρ οὐδ' ὁ πάντα κραίνων
βασιλεὺς [χαρὰν
ἐπέβαλε θνατοῖς Κρονίδας· ἀλλ' ἐπὶ πῆμα καὶ
πᾶσι κυκλοῦσιν οἷον ἄρκτου στροφάδες κέλευ-
θοι.
μένει γὰρ οὔτ' αἰόλα
νὺξ βροτοῖσιν οὔτε κῆρες οὔτε πλοῦτος,
ἀλλ' ἄφαρ βέβακε, τῷ δ' ἐπέρχεται χαίρειν τε
καὶ στέρεσθαι.
ἃ καὶ σὲ τὰν ἄνασσαν ἐλπίσιν λέγω
τάδ' αἰὲν ἴσχειν· ἐπεὶ τίς ὧδε

94—102. = 103—111.
112—121. = 122—131.

---

35. *ἀεὶ] αἰεὶ 42. αὐτοῦ Hermannus] αὐτοῦ 49. Δηάνειρα Brunckius] δηϊάνειρα, et sic constanter. 47. ἔστειχε, τὴν] Vel ἔστειχεν, ἣν 53. τόσον ex schol.] τὸ σόν 58. 1026. *θρώσκει] θρῴισκει 59. εἴ τί σοὶ Hermannus] εἴ τι σοὶ 66. φέρειν Valckenarius] φέρει 68. *ἱδρῦσθαι] ἱδρύσθαι 69. *ἄροτον] ἄροτρον 74. Εὐβοΐδα] δα in litura unius literae. 79. *ὡς ἢ] ὥσ οἱ 80. Post ἆθλον delevi εἰς τὸν ὕστερον, indicata lacuna. Sophocles fortasse εὐτόλμῳ φρενί vel simile quid scripserat. ὕστατον πόνων coniecit Herwerdenus. 84. ἢ — ἐξολωλότος] Eiecit Bentleius.

87. κατῄδη Brunckius] κατήιδην παρῆ D.] παρῆν 90. ἀλλ' Brunckius (versibus 87. 88. male post 96. collocatis)] νῦν δ' εἴα Erfurdtius] ἐᾷ οὐ addidit Brunckius. 92. νυν] νῦν. Encliticum νυν pro νῦν, partim Brunckio aliisque praeeuntibus, restitutum hoc loco et 441. 1193. 1259. 93. πύθοιτο ex πύθοιο factum. 97. *τοῦτο καρῦξαι] τούτωι καρύξαι 98. *πόθι παῖς] πόθι μοι παῖς 99. λαμπρᾷ στεροπᾷ] λαμπρὰ στεροπὰ pr. Utrumque ὰ in ᾶ mutatum, sed ι non additum, 100. ποντίους] ποντίασ, ου a m. pr. superscripto. ποντίουσ etiam in lemmate scholii. 101. *ἀπείροις] ἀπείροισιν 103. ποθουμένᾳ] πονουμένᾳ Musgravius. 108. τρέφουσαν Cassubonus] φέρουσαν 110. κακᾶ cum lineola, qua Doricae formae saepe notantur. 114. ἐν addidit Erfurdtius. 115. ἴδῃ Erfurdtius] ἴδοι 117. αὔξει] αυ in litura unius literae. Fuit ἄξει 118. *ὥσπερ] ὥστε 120. ἀναμπλάκητον ex schol.] ἀμπλάκητον Ἅιδα] ἀΐδα 122. *ἐπιμεμφομένα σ'] ἐπιμεμφομένασ ἁδεῖα] αἰδοῖα Musgravius. 128. *ἐπέβαλε] ἐπέβαλλε θνατοῖς] θνᾱτοῖσ cum lineola. θανάτοισ pr. 128. πῆμα καὶ χαρὰν Hermannus] πήματι καὶ χαρᾶι pr. (Sic etiam in lemmate scholii.) πῆμα καὶ χαρὰ corr. οἷον] αἰὲν Naukius. 135. *βέβακε] βέβηκε

τέκνοισι Ζῆν' ἄβουλον εἶδεν;
ΔΗ. πεπυσμένη μέν, ὡς ἀπεικάσαι, πάρει
πάθημα τοὐμόν· ὡς δ' ἐγὼ θυμοφθορῶ
μήτ' ἐκμάθοις παθοῦσα, νῦν δ' ἄπειρος εἶ.
τὸ γὰρ νεάζον ἐν τοιοῖσδε βόσκεται
χώροισιν αὑτοῦ, καί νιν οὐ θάλπος θεοῦ,
οὐδ' ὄμβρος, οὐδὲ πνευμάτων οὐδὲν κλονεῖ,
ἀλλ' ἡδοναῖς ἄμοχθον ἐξαίρει βίον
ἐς τοῦθ' ἕως τις ἀντὶ παρθένου γυνὴ
κληθῇ, λάβῃ τ' ἐν νυκτὶ φροντίδων μέρος.
πάθη μὲν οὖν δὴ πόλλ' ἔγωγ' ἐκλαυσάμην·
ἓν δ', οἷον οὔπω πρόσθεν, αὐτίκ' ἐξερῶ.
ὁδὸν γὰρ ἦμος τὴν τελευταίαν ἄναξ
ὡρμᾶτ' ἀπ' οἴκων Ἡρακλῆς, τότ' ἐν δόμοις
λείπει παλαιὰν δέλτον ἐγγεγραμμένην
ξυνθήμαθ', ἁμοὶ πρόσθεν οὐκ ἔτλη ποτέ,
πολλοὺς ἀγῶνας ἐξιών, οὕπω φράσαι,
ἀλλ' ὥς τι δράσων εἷρπε κοὐ θανούμενος.
νῦν δ' ὡς ἔτ' οὐκ ὢν εἶπε μὲν λέχους ὅ τι
χρείη μ' ἑλέσθαι κτῆσιν, εἶπε δ' ἣν τέκνοις
μοῖραν πατρῴας γῆς διαιρετὴν νέμοι,
χρόνον προτάξας ὡς τρίμηνον ἡνίκα
χώρας ἀπείη κἀνιαύσιον βεβώς.
τοιαῦτ' ἔφραζε πρὸς θεῶν εἱμαρμένα,
ὡς τὴν παλαιὰν φηγὸν αὐδῆσαί ποτε
Δωδῶνι δισσῶν ἐκ πελειάδων ἔφη.
καὶ τῶνδε ναμέρτεια συμβαίνει χρόνου
τοῦ νῦν παρόντος, ὡς τελεσθῆναι χρεών·
ὥσθ' ἡδέως εὕδουσαν ἐκπηδᾶν ἐμὲ
φόβῳ, φίλαι, ταρβοῦσαν, εἴ με χρὴ μένειν
πάντων ἀρίστου φωτὸς ἐστερημένην.
ΧΟ. εὐφημίαν νῦν ἴσχ'· ἐπεὶ καταστεφῆ
στείχονθ' ὁρῶ τιν' ἄνδρα πρὸς χαρὰν λόγων.

ΑΓΓΕΛΟΣ.

δέσποινα Δηάνειρα, πρῶτος ἀγγέλων
ὄκνου σε λύσω· τὸν γὰρ Ἀλκμήνης τόκον
καὶ ζῶντ' ἐπίστω καὶ κρατοῦντα κἀκ μάχης
ἄγοντ' ἀπαρχὰς θεοῖσι τοῖς ἐγχωρίοις.
ΔΗ. τίν' εἶπας, ὦ γεραιέ, τόνδε μοι λόγον;
ΑΓ. τάχ' ἐς δόμους σοὺς τὸν πολύζηλον πόσιν
ἥξειν, φανέντα σὺν κράτει νικηφόρῳ.

150. ἤτοι πρὸς ἀνδρὸς ἢ τέκνων φοβουμένη.
τότ' ἄν τις εἰσίδοιτο, τὴν αὑτοῦ σκοπῶν
πρᾶξιν, κακοῖσιν οἷς ἐγὼ βαρύνομαι

166. τότ' ἢ θανεῖν χρείη σφε τῷδε τῷ χρόνῳ,
ἢ τοῦθ' ὑπεκδραμόντα τοῦ χρόνου τέλος
τὸ λοιπὸν ἤδη ζῆν ἀλυπήτῳ βίῳ.

170. τῶν Ἡρακλείων ἐκτελευτᾶσθαι πόνων

ΔΗ. καὶ τοῦ τόδ' ἀστῶν ἢ ξένων μαθὼν λέγεις;
ΑΓ. ἐν βουθερεῖ λειμῶνι πρὸς πολλοὺς θροεῖ
Λίχας ὁ κῆρυξ ταῦτα· τοῦ δ' ἐγὼ κλύων
ἀπῇξ', ὅπως τοι πρῶτος ἀγγείλας τάδε
πρὸς σοῦ τι κερδάναιμι καὶ κτῴμην χάριν.
ΔΗ. αὐτὸς δὲ πῶς ἄπεστιν, εἴπερ εὐτυχεῖ;
ΑΓ. οὐκ εὐμαρείᾳ χρώμενος πολλῇ, γύναι.
κύκλῳ γὰρ αὐτὸν Μηλιεὺς ἅπας λεὼς
κρίνει παραστάς, οὐδ' ἔχει βῆναι πρόσω.
τὸ γὰρ ποθοῦν ἕκαστος ἐκμαθεῖν θέλων
οὐκ ἂν μεθεῖτο, πρὶν καθ' ἡδονὴν κλύειν.
οὕτως ἐκεῖνος οὐχ ἑκών, ἑκοῦσι δὲ
ξύνεστιν· ὄψει δ' αὐτὸν αὐτίκ' ἐμφανῆ.
ΔΗ. ὦ Ζεῦ, τὸν Οἴτης ἄτομον ὃς λειμῶν' ἔχεις,
ἔδωκας ἡμῖν ἀλλὰ σὺν χρόνῳ χαράν.
φωνήσατ', ὦ γυναῖκες, αἵ τ' εἴσω στέγης
αἵ τ' ἐκτὸς αὐλῆς, ὡς ἄελπτον ὄμμ' ἐμοὶ
φήμης ἀνασχὸν τῆσδε νῦν καρπούμεθα.
ΧΟ. ἀνολολυξάτω δόμος ἐφεστίοις ἀλαλαγαῖς
ὁ μελλόνυμφος, ἐν δὲ κοινὸς ἀρσένων
ἴτω κλαγγὰ τὸν εὐφαρέτραν
Ἀπόλλω προστάταν·
ὁμοῦ δὲ παιᾶνα παιάν'
ἀνάγετ', ὦ παρθένοι,
βοᾶτε τὰν ὁμόσπορον Ἄρτεμιν Ὀρτυγίαν,
θεὰν ἐλαφαβόλον, ἀμφίπυρον,
γείτονάς τε Νύμφας.
ἀείρομ' οὐδ' ἀπώσομαι
τὸν αὐλόν, ὦ τύραννε τᾶς ἐμᾶς φρενός.
ἰδού ἰδού μ' ἀναταράσσει,
εὐοῖ εὐοῖ,
ὁ κισσὸς ἄρτι βακχίαν ὑποστρέφων ἅμιλλαν.
ἰὼ ἰὼ Παιὰν Παιάν·
ἴδ', ὦ φίλα γυναικῶν,
τάδ' ἀντίπρῳρα δή σοι
βλέπειν πάρεστ' ἐναργῆ.
ΔΗ. ὁρῶ, φίλαι γυναῖκες, οὐδέ μ' ὄμματος
φρουρὰν παρῆλθε, τόνδε μὴ λεύσσειν στόλον·
χαίρειν δὲ τὸν κήρυκα προυννέπω, χρόνῳ
πολλῷ φανέντα, χαρτὸν εἴ τι καὶ φέρεις.

ΛΙΧΑΣ.

ἀλλ' εὖ μὲν ἵγμεθ', εὖ δὲ προσφωνούμεθα,
γύναι, κατ' ἔργου κτῆσιν· ἄνδρα γὰρ καλῶς
πράσσοντ' ἀνάγκη χρηστὰ κερδαίνειν ἔπη.
ΔΗ. ὦ φίλτατ' ἀνδρῶν, πρῶθ' ἃ πρῶτα βούλομαι
δίδαξον, εἰ ζῶνθ' Ἡρακλῆ προσδέξομαι.
ΛΙ. ἔγωγέ τοι σφ' ἔλειπον ἰσχύοντά τε
καὶ ζῶντα καὶ θάλλοντα κοὐ νόσῳ βαρύν.
ΔΗ. ποῦ γῆς; πατρῴας, εἴτε βαρβάρου; λέγε.

---

143. δ'] *τ' 145. αὑτοῦ] ἀὑτοῦ cum duplici spiritu. 146. Ante οὐδὲν tres literae erasae. κλονεῖ] κλονεῖν, eraso ν. 150—152. Versus spurios eiecit D. 151. *αὑτοῦ] αὐτοῦ 161. ὅ τι Musgravius] ὅτι 162. χρείη Brunckius] χρεῖ' ἦ, ει in litura ex η facto. 163. *διαιρετὴν] διαιρετὸν
ειη
164. ἡνίκα Dawesius] ἡνίκ' ἂν 165. ἀπείη] ἀπήει
ειη a m. pr. κἀνιαύσιον Brunckius] κἀνιαύσιος, post quod voc. quattuor literae erasae. 166—168. Versus spurios eiecit Dobraeus. 166. χρείη σφε Brunckius] χρεῖ' ἦσφε 170. Versum spurium eiecit Wunderus. 173. *ναμέρτεια] ναμερτεῖα
177. Est hic ultimus paginae versus primo omissus ab librario, sed postmodum ab eo suppletus.
186. Interpunctio non post ἥξειν, sed post φανέντα
ν
posita. σὺν κράτει] συγκράτει

187. τοῦ τόδ'] τοῦτο δ' pr. τούτοδ' (sic) sec. 188. πρὸς πολλοὺς Hermannus] πρόσπολος 189. *κῆρυξ] κήρυξ τοῦ δ' Hermannus] τὸν δ' pr. τοῦδ' corr. 200. ὃς] ὡς pr. 202. Lineola praefixa mu-
ὸ
tatae personae index. 204. ἀνασχὸν] ἀνασχὼν, ὸ a m. pr. superscripto. 205. ἀνολολυξάτω δόμος D.] ἀνολολύξετε δόμοις. ἀνολολύξεται δόμος Elmsleius. *ἀλαλαγαῖς] ἀλαλαῖσ 209. Ἀπόλλω D.] ἀπόλλωνα 210. *παιάν'] παιᾶνα 214. θεὰν addidit D. 216. ἀείρομ'] Hesychius, ἀείρομαι: ἄνω αἴρομαι. Σοφοκλῆς Τραχινίαις. 217. Alterum ἰδού addidit D. 219. εὐοῖ εὐοῖ D.] εὔόι μ' βακχίαν Brunckius] βακχείαν 221. Alterum Παιάν addidit D. 222. ἴδ', ὦ φίλα γυναικῶν D.] ἴδε ἴδ' ὦ φίλα γύναι 223. ἀντίπρῳρα] Sic cum iota adscripto ἀντίπρωιρα 226. φρουρὰν Musgravius] φρουρὰ λεύσσειν] λεύσειν pr. 233. Ἡρακλῆ D.] ἡρακλέα

ΛΙ. ἀκτή τις ἔστ' Εὐβοιὶς, ἔνθ' ὁρίζεται
βωμοὺς τέλη τ' ἔγκαρπα Κηναίῳ Διί.
ΔΗ. εὐκταῖα φαίνων, ἢ 'πὸ μαντείας τινός;
ΛΙ. εὐχαῖς, ὅθ' ᾕρει τῶνδ' ἀνάστατον δόρει
χώραν γυναικῶν ὧν ὁρᾷς ἐν ὄμμασιν.
ΔΗ. αὗται δὲ, πρὸς θεῶν, τοῦ ποτ' εἰσὶ καὶ τίνες;
οἰκτραὶ γάρ, εἰ μὴ ξυμφοραὶ κλέπτουσί με.
ΛΙ. ταύτας ἐκεῖνος Εὐρύτου πέρσας πόλιν
ἐξείλεθ' αὑτῷ κτῆμα καὶ θεοῖς κριτόν.
ΔΗ. ἦ κἀπὶ ταύτῃ τῇ πόλει τὸν ἄσκοπον
χρόνον βεβὼς ἦν ἡμερῶν ἀνήριθμον;
ΛΙ. οὐκ, ἀλλὰ τὸν μὲν πλεῖστον ἐν Λυδοῖς χρόνον
κατείχεθ', ὥς φησ' αὐτὸς, οὐκ ἐλεύθερος,
ἀλλ' ἐμποληθείς. τοῦ λόγου δ' οὐ χρὴ φθόνον,
γύναι, προσεῖναι, Ζεὺς ὅτου πράκτωρ φανῇ.
κεῖνος δὲ πραθεὶς Ὀμφάλῃ τῇ βαρβάρῳ
ἐνιαυτὸν ἐξέπλησεν, ὡς αὐτὸς λέγει,
χοὕτως ἐδήχθη τοῦτο τοὔνειδος λαβὼν
ὥσθ' ὅρκον αὑτῷ προσβαλὼν διώμοσεν,
ἦ μὴν τὸν ἀγχιστῆρα τοῦδε τοῦ πάθους
ξὺν παιδὶ καὶ γυναικὶ δουλώσειν ἔτι.
κοὐχ ἡλίωσε τοὔπος, ἀλλ' ὅθ' ἁγνὸς ἦν,
στρατὸν λαβὼν ἐπακτὸν ἔρχεται πόλιν
τὴν Εὐρυτείαν. τόνδε γὰρ μεταίτιον
μόνον βροτῶν ἔφασκε τοῦδ' εἶναι πάθους·
ὃς αὐτὸν ἐλθόντ' ἐς δόμους ἐφέστιον,
ξένον παλαιὸν ὄντα, πολλὰ μὲν λόγοις
ἐπερρόθησε, πολλὰ δ' ἀτηρᾷ φρενί,
λέγων χεροῖν μὲν ὡς ἄφυκτ' ἔχων βέλη
τῶν ὧν τέκνων λείποιτο πρὸς τόξου κρίσιν,
φανεὶς δὲ δοῦλος ἀνδρὸς ἀντ' ἐλευθέρου
ῥαίοιτο· δείπνοις δ' ἡνίκ' ἦν ᾠνωμένος,
ἔρριψεν ἐκτὸς αὐτόν. ὧν ἔχων χόλον,
ὡς ἵκετ' αὖθις Ἴφιτος Τιρυνθίαν
πρὸς κλιτὺν, ἵππους νομάδας ἐξιχνοσκοπῶν,
τότ' ἄλλοσ' αὐτὸν ὄμμα, θατέρᾳ δὲ νοῦν
ἔχοντ', ἀπ' ἄκρας ἧκε πυργώδους πλακός.
ἔργου δ' ἕκατι τοῦδε μηνίσας ἄναξ,
ὁ τῶν ἁπάντων Ζεὺς πατὴρ Ὀλύμπιος,
πρατόν νιν ἐξέπεμψεν, οὐδ' ἠνέσχετο,
ὁθούνεκ' αὐτὸν μοῦνον ἀνθρώπων δόλῳ
ἔκτεινεν· εἰ γὰρ ἐμφανῶς ἠμύνατο,
Ζεύς τἂν συνέγνω ξὺν δίκῃ χειρουμένῳ·
ὕβριν γὰρ οὐ στέργουσιν οὐδὲ δαίμονες.
κεῖνοι δ' ὑπερχλίοντες ἐκ γλώσσης κακῆς,
αὐτοὶ μὲν Ἅιδου πάντες εἴσ' οἰκήτορες,
πόλις δὲ δούλη· τάσδε δ' ἅσπερ εἰσορᾷς
ἐξ ὀλβίων ἄζηλον εὑροῦσαι βίον
χωροῦσι πρὸς σέ· ταῦτα γὰρ πόσις τε σὸς
ἐφεῖτ', ἐγὼ δὲ πιστὸς ὢν κείνῳ τελῶ.
αὐτὸν δ' ἐκεῖνον, εὖτ' ἂν ἁγνὰ θύματα
ῥέξῃ πατρῴῳ Ζηνὶ τῆς ἁλώσεως,
φρόνει νιν ὡς ἥξοντα· τοῦτο γὰρ λόγου
πολλοῦ καλῶς λεχθέντος ἥδιστον κλύειν.
ΧΟ. ἄνασσα, νῦν σοι τέρψις ἐμφανὴς κυρεῖ,
τῶν μὲν παρόντων, τὰ δὲ πεπυσμένῃ λόγῳ.
ΔΗ. πῶς δ' οὐκ ἐγὼ χαίροιμ' ἄν, ἀνδρὸς εὐτυχῆ
κλύουσα πρᾶξιν τήνδε, πανδίκῳ φρενί;
ὅμως δ' ἔνεστι τοῖσιν εὖ σκοπουμένοις
ταρβεῖν τὸν εὖ πράσσοντα, μὴ σφαλῇ ποτε.
ἐμοὶ γὰρ οἶκτος δεινὸς εἰσέβη, φίλαι,
ταύτας ὁρώσῃ δυσπότμους ἐπὶ ξένης
χώρας ἀοίκους ἀπάτοράς τ' ἀλωμένας,
αἳ πρὶν μὲν ἦσαν ἐξ ἐλευθέρων ἴσως
ἀνδρῶν, τανῦν δὲ δοῦλον ἴσχουσιν βίον.
ὦ Ζεῦ τροπαῖε, μή ποτ' εἰσίδοιμί σε
πρὸς τοὐμὸν οὕτω σπέρμα χωρήσαντά ποι,
μηδ', εἴ τι δράσεις, τῆσδέ γε ζώσης ἔτι.
οὕτως ἐγὼ δέδοικα τάσδ' ὁρωμένη.
ὦ δυστάλαινα, τίς ποτ' εἶ νεανίδων;
ἄνανδρος, ἢ τεκνοῦσσα; πρὸς μὲν γὰρ φύσιν
πάντων ἄπειρος τῶνδε, γενναία δέ τις.
Λίχα, τίνος ποτ' ἐστὶν ἡ ξένη βροτῶν;
τίς ἡ τεκοῦσα, τίς δ' ὁ φιτύσας πατήρ;
ἔξειπ'· ἐπεί νιν τῶνδε πλεῖστον ᾤκτισα
βλέπουσ', ὅσῳπερ καὶ φρονεῖν οἶδεν μόνη.
ΛΙ. τί δ' οἶδ' ἐγώ; τί δ' ἄν με καὶ κρίνοις; ἴσως
γέννημα τῶν ἐκεῖθεν οὐκ ἐν ὑστάτοις.
ΔΗ. μὴ τῶν τυράννων; Εὐρύτου σπορά τις ἦν;
ΛΙ. οὐκ οἶδα· καὶ γὰρ οὐδ' ἀνιστόρουν μακράν.
ΔΗ. οὐδ' ὄνομα πρός του τῶν ξυνεμπόρων ἔχεις;
ΛΙ. ἥκιστα· σιγῇ τοὐμὸν ἔργον ἤνυτον.
ΔΗ. εἴπ', ὦ τάλαιν', ἀλλ' ἡμὶν ἐκ σαυτῆς· ἐπεὶ
καὶ ξυμφορά τοι μὴ εἰδέναι σέ γ' ἥτις εἶ.
ΛΙ. οὔ τἄρα τῷ γε πρόσθεν οὐδὲν ἐξ ἴσου
χρόνῳ διήσει γλῶσσαν, ἥτις οὐδαμὰ
προὔφηνεν οὔτε μείζον' οὔτ' ἐλάσσονα,
ἀλλ' αἰὲν ὠδίνουσα συμφορᾶς βάρος
δακρυρροεῖ δύστηνος, ἐξ ὅτου πάτραν
διήνεμον λέλοιπεν· ἡ δέ τοι τύχη
κακὴ μὲν αὐτῇ γ', ἀλλὰ συγγνώμην ἔχει.
ΔΗ. ἡ δ' οὖν ἐάσθω, καὶ πορευέσθω στέγας
οὕτως ὅπως ἥδιστα, μηδὲ πρὸς κακοῖς
τοῖς οὖσι λύπην πρός γ' ἐμοῦ νέαν λάβοι·
ἅλις γὰρ ἡ παροῦσα. πρὸς δὲ δώματα
χωρῶμεν ἤδη πάντες, ὡς σύ θ' οἷ θέλεις
σπεύδῃς, ἐγὼ δὲ τἄνδον ἐξαρκῆ τιθῶ.
ΑΓ. αὐτοῦ γε πρῶτον βαιὸν ἀμμείνασ', ὅπως
μάθῃς, ἄνευ τῶνδ', οὕστινάς τ' ἄγεις ἔσω
ὧν τ' οὐδὲν εἰσήκουσας ἐκμάθῃς ἃ δεῖ·
τούτων ἔχω γὰρ πάντ' ἐπιστήμην ἐγώ.

295. πολλή 'στ' ἀνάγκη τῇδε τοῦτο συντρέχειν.

---

237. *Εὐβοιὶς] εὐβοῖσ 240. δόρει D.] δορὶ 245. ἐξείλεθ'] ἐξῆλεθ', ῆ in ή mutato. *αὑτῷ] αὐτῶι 247. *ἀνήριθμον] ἀρίθμειον, ει in ι mutato. 253. *ἐξέπλησεν] ἐξέπλησσεν 254. ἐδήχθη] ἐδείχθη pr. *τοὔνειδος] τ' ὄνειδοσ 255. *αὑτῷ] αὐτῶι

χ
258. κοὐχ] κοὐκ, χ a m. pr. 265. βέλη serius additum literis tenuioribus, sed ab eadem manu, ut videtur. 266. *λείποιτο] λίποιτο 267. φανεὶς Hermannus] φώνεῖ (ut 347.) ἀντ' Wunderus] ὡς 268. ᾠνωμένος D.] οἰνωμένος 272. *θατέρᾳ] θὴτέραι 273. ἧκε] ἔδικε Meinekius ad Oed. Col. p. 292. 277. *μοῦνον] μόνον 281. ὑπερχλίοντεσ pr. et lemma scholii. In ὑπερχλιδῶντεσ mutavit manus antiqua.

289. φρόνει] φρόνεῖν, accentu super ο a m. rec. 292. τὰ δὲ Scaliger apud Musgr. Exercit. Eurip. p. 1.] τῶν δὲ 295. πολλή 'στ' ἀνάγκη] πολλῆστ' ἀνάγκηι. Versum spurium eiecit Wunderus. 306.

ν
*τάσδ'] τᾶσδ' 308. τεκνοῦσσα Brunckius] τεκοῦσα, ν a m. pr. 312. *πλεῖστον] πλείστων 314. *καὶ κρίνοις] κεκρίνοισ 316. Non post τυράννων, sed post εὐρύτου interpunctum. *σπορά τις] σπορὰ τίσ 319. ἤνυτον primo omissum, sed postea literis exilioribus suppletum. 320. ἡμὶν Brunckius] ἧμιν 321. ξυμφορά τοι] ξυμφορά 'στι D. ξυμφορὰ τὸ Meinekius. *μὴ εἰδέναι] μὴδέναι 323. διήσει Wakefieldus] διοίσει οὐδαμὰ Hermannus] οὐδαμᾶι 326. δακρυρρόεῖ, eraso circumflexo. 328. γ'] 'στ' Heimsoethius.

ΔΗ. τί δ' ἐστὶ τοῦ με τὴνδ' ἐφίστασαι βάσιν;
ΑΓ. σταθεῖσ' ἄκουσον· καὶ γὰρ οὐδὲ τὸν πάρος
μῦθον μάτην ἤκουσας, οὐδὲ νῦν δοκῶ.
ΔΗ. πότερον ἐκείνους δῆτα δεῦρ' αὖθις πάλιν
καλῶμεν, ἢ 'μοὶ ταῖσδέ τ' ἐξειπεῖν θέλεις;
ΑΓ. σοὶ ταῖσδέ τ' οὐδὲν εἴργεται, τούτους δ' ἔα.
ΔΗ. καὶ δὴ βεβᾶσι, χὼ λόγος σημαινέτω.
ΑΓ. ἁνὴρ ὅδ' οὐδὲν ὧν ἔλεξεν ἀρτίως
φωνεῖ δίκης ἐς ὀρθὸν, ἀλλ' ἢ νῦν κακὸς,
ἢ πρόσθεν οὐ δίκαιος ἄγγελος παρῆν.
ΔΗ. τί φῄς; σαφῶς μοι φράζε πᾶν ὅσον νοεῖς·
ἃ μὲν γὰρ ἐξείρηκας ἀγνοίᾳ μ' ἔχει.
ΑΓ. τούτου λέγοντος τἀνδρὸς εἰσήκουσ' ἐγὼ,
πολλῶν παρόντων μαρτύρων, ὡς τῆς κόρης
ταύτης ἕκατι κεῖνος Εὔρυτόν θ' ἕλοι
τήν θ' ὑψίπυργον Οἰχαλίαν, Ἔρως δέ νιν
μόνος θεῶν θέλξειεν αἰχμάσαι τάδε,
οὐ τἀπὶ Λυδοῖς οὐδ' ἐπ' Ὀμφάλῃ πόνων
λατρεύματ', οὐδ' ὁ ῥιπτὸς Ἰφίτου μόρος·
ὃν νῦν παρώσας οὗτος ἔμπαλιν λέγει.
ἀλλ' ἡνίκ' οὐκ ἔπειθε τὸν φυτοσπόρον
τὴν παῖδα δοῦναι, κρύφιον ὡς ἔχοι λέχος,
ἔγκλημα μικρὸν αἰτίαν θ' ἑτοιμάσας
ἐπιστρατεύει πατρίδα [τὴν ταύτης, ἐν ᾗ
τὸν Εὔρυτον τῶνδ' εἶπε δεσπόζειν θρόνων,
κτείνει τ' ἄνακτα πατέρα] τῆσδε καὶ πόλιν
ἔπερσε. καὶ νῦν, ὡς ὁρᾷς, ἥκει δόμους
ὡς τούσδε πέμπων οὐκ ἀφροντίστως, γύναι,
οὐδ' ὥστε δούλην· μηδὲ προσδόκα τόδε·
οὐδ' εἰκὸς, εἴπερ ἐντεθέρμανται πόθῳ.
ἔδοξεν οὖν μοι πρὸς σὲ δηλῶσαι τὸ πᾶν,
δέσποιν', ὃ τοῦδε τυγχάνω μαθὼν πάρα.
καὶ ταῦτα πολλοὶ πρὸς μέσῃ Τραχινίων
ἀγορᾷ συνεξήκουον ὡσαύτως ἐμοὶ,
ὥστ' ἐξελέγχειν· εἰ δὲ μὴ λέγω φίλα,
οὐχ ἥδομαι, τὸ δ' ὀρθὸν ἐξείρηχ' ὅμως.
ΔΗ. οἴμοι τάλαινα, ποῦ ποτ' εἰμὶ πράγματος;
τίν' ἐσδέδεγμαι πημονὴν ὑπόστεγον
λαθραῖον; ὢ δύστηνος, ἆρ' ἀνώνυμος
πέφυκεν, ὥσπερ οὑπάγων διώμνυτο;
ΑΓ. ἢ κάρτα λαμπρὰ καὶ κατ' ὄμμα καὶ φύσιν
πατρὸς μὲν οὖσα γένεσιν Εὐρύτου ποτὲ
Ἰόλη 'καλεῖτο, τῆς ἐκεῖνος οὐδαμὰ
βλάστας ἐφώνει, δῆθεν οὐδὲν ἱστορῶν.
ΧΟ. ὄλοιντο μή τι πάντες οἱ κακοὶ, τὰ δὲ
λαθραῖ' ὃς ἀσκεῖ μὴ πρέποντ' αὐτῷ κακά.
ΔΗ. τί χρὴ ποιεῖν, γυναῖκες; ὡς ἐγὼ λόγοις
τοῖς νῦν παροῦσιν ἐκπεπληγμένη κυρῶ.
ΧΟ. πεύθου μολοῦσα τἀνδρὸς, ὡς τάχ' ἂν σαφῆ
λέξειεν, εἴ νιν πρὸς βίαν κρίνειν θέλοις.
ΔΗ. ἀλλ' εἶμι· καὶ γὰρ οὐκ ἄπο γνώμης λέγεις.
ΑΓ. ἡμεῖς δὲ προσμένωμεν; ἢ τί χρὴ ποιεῖν;
ΔΗ. μίμν', ὡς ὅδ' ἁνὴρ οὐκ ἐμῶν ὑπ' ἀγγέλων,
ἀλλ' αὐτόκλητος ἐκ δόμων πορεύεται.
ΛΙ. τί χρὴ, γύναι, μολόντα μ' Ἡρακλεῖ λέγειν;
δίδαξον, ὡς ἕρποντος, εἰσορᾷς, ἐμοῦ.
ΔΗ. ὡς ἐκ ταχείας σὺν χρόνῳ βραδεῖ μολὼν
ᾄσσεις, πρὶν ἡμᾶς κἀννεώσασθαι λόγους.
ΛΙ. ἀλλ' εἴ τι χρῄζεις ἱστορεῖν, πάρειμ' ἐγώ.
ΔΗ. ἦ καὶ τὸ πιστὸν τῆς ἀληθείας νέμεις;
ΛΙ. ἴστω μέγας Ζεὺς, ὧν γ' ἂν ἐξειδὼς κυρῶ.
ΔΗ. τίς ἡ γυνὴ δῆτ' ἐστὶν ἣν ἥκεις ἄγων;
ΛΙ. σὺ δ' ἐς τί δή με τοῦτ' ἐρωτήσασ' ἔχεις;
ΔΗ. τόλμησον εἰπεῖν, εἰ φρονεῖς, ὅ σ' ἱστορῶ.
ΛΙ. Εὐβοΐς· ὧν δ' ἔβλαστεν οὐκ ἔχω λέγειν.
ΑΓ. οὗτος, βλέφ' ὧδε· πρὸς τίν' ἐννέπειν δοκεῖς;
ΛΙ. πρὸς τὴν κρατοῦσαν Δηάνειραν, Οἰνέως
κόρην, δάμαρτά θ' Ἡρακλέους, εἰ μὴ κυρῶ
λεύσσων μάταια, δεσπότιν τε τὴν ἐμήν.
ΑΓ. τοῦτ' αὔτ' ἔχρῃζον, τοῦτό σου μαθεῖν. λέγεις
δέσποιναν εἶναι τήνδε σήν. ΛΙ. δίκαια γάρ.
ΑΓ. τί δῆτα; ποίαν ἀξιοῖς δοῦναι δίκην,
ἢν εὑρεθῇς ἐς τήνδε μὴ δίκαιος ὤν;
ΛΙ. πῶς μὴ δίκαιος; τί ποτε ποικίλας ἔχεις;
ΑΓ. οὐδέν· σὺ μέντοι κάρτα τοῦτο δρῶν κυρεῖς.
ΛΙ. ἄπειμι. μῶρος δ' ἦ πάλαι κλύων σέθεν.
ΑΓ. οὔ, πρίν γ' ἂν εἴπῃς ἱστορούμενος βραχύ.
ΛΙ. λέγ' εἴ τι χρῄζεις· καὶ γὰρ οὐ σιγηλὸς εἶ.
ΑΓ. τὴν αἰχμάλωτον, ἣν ἔπεμψας ἐς δόμους,
κάτοισθα δῆτ'; ΛΙ. οὔ φημι· πρὸς τί δ' ἱστορεῖς;
ΑΓ. οὔκουν σὺ ταύτην, ἣν ὑπ' ἀγνοίας ὁρᾷς,
Ἰόλην ἔφασκες Εὐρύτου σπορὰν ἄγειν;
ΛΙ. ποίοις ἐν ἀνθρώποισι; τίς πόθεν μολὼν

329. ἡ δ' οὖν D.] ἥδ' οὖν 331. πρός γ' ἐμοῦ] ἐξ ἐμοῦ Wunderus. νέαν λάβοι D.] λύπην λάβοι 333. *θέλεις] θέλησ 336. τ' addidit Erfurdtius. 337. ἐκμάθῃς Turnebus] ἐκμάθῃς θ' 339. ἐφίστασαι] φ ex π factum. 343. ἢ 'μοὶ Groddeckius] ἤ μοι 347. φωνεῖ] φώνεῖ, prior accentus a m. rec. *δίκης] δίκησ 350. ἀγνοίᾳ Hermannus] ἄγνοια 353. Εὔρυτον] εὔροιτον (υ superscripto) 356. *οὐδ'] οὔτ' ἐπ'] ε ex υ factum. 358. ὃν] ὃ Erfurdtius. ἃ Schneidewinus. 360. *ἔχοι] ἔχη, sed η ex ει facto. 362—364. τὴν ταύτης — πατέρα] Seclusit Hartungius. 364. πατέρα] Post πα litera erasa. πόλιν] πάλιν (ο superscripto) 366. ὡς] ἐς Brunckius. πρὸς Schneidewinus. τούσδε] τοῦσδε, qui in hoc pronomine frequens accentus est. 367. τόδε] τωδε vel τόνδε pr., non τάδε. 368. ἐντεθέρμανται] ἐκτεθέρμανται D. 372. ὡσαύτως] ὡσ αὔτωσ hic et alibi. 379. κάρτα Canterus] καὶ τὰ 380. οὖσα γένεσιν] οὖσα ενεσιν (γ σ superscriptis), literis γ et σ a m. recentissima. 381. 'καλεῖτο Brunckius] καλεῖτο οὐδαμὰ Hermannus] οὐδαμᾶι

383. *ΧΟ.] om. 385. 390. *ποιεῖν] ποεῖν 387. πεύθου] πυθοῦ Nauckius. 388. νιν Brunckius] μιν 389. ἄπο] Sic, non ἀπὸ 390. ΑΓΓ. addidit Hermannus. 391. ΔΗ. Turnebus] ΧΟ. 393. ΛΙ.] ——, lineola personae index. Ἡρακλεῖ] ει in litura pro ηι ut videtur. 396. κἀννεώσασθαι Hermannus] καὶ νεώσασθαι. ἀνανεώσασθαι apud Eustathium p. 811, 20. *397. 399. ΛΙ.] ἀγγ 400. 401. 404. 405. 410. 412. 415. 416. 419. 421. 427.] Nullae personarum notae, sed solae lineolae. Versus 401. 402. post 404 transponendos esse vidit Nauckius. Veteris librarii errore deceptus Tyrwhittus v. 403. ἐρωτήσασ' in ἐρωτήσας mutari volebat, quia ad nuncium referendum videbatur quod nunc, recto restituto versuum ordine, de Deianira dictum esse patet.
402—431. In his versibus nuncio tribuit Brunckius quae in codice vel Deianirae tribuuntur vel sola lineola, ut modo indicavi, notata sunt. 403. ΛΙ.] ἀγγ 402. ΑΓ.] ΔΗΙ. 407. λεύσσων] λεύσων, altero σ superscripto. 408. ΑΓ.] ΔΗΙ. *αὔτ'] αὖτ' 409. ΛΙ.] ἀγγ 412. ποικίλας Tyrwhittus] ποικίλασ' 413. ΑΓ.] ΔΗΙ. 414. ΛΙ.] ἀγγ ἦ D.] ἦν 417. ΑΓ.] ΔΗΙ 418. δῆτ'; ΛΙ. οὔ φημι Brunckius] κάτοισθα δήπου. ἀγγ φημί 419. Post ἀγνοίασ litera erasa.

σοὶ μαρτυρήσει ταῦτ᾽ ἐμοῦ κλύειν πάρα;
ΑΓ. πολλοῖσιν ἀστῶν· ἐν μέσῃ Τραχινίων
ἀγορᾷ πολύς σου ταῦτά γ᾽ εἰσήκουσ᾽ ὄχλος.
ΛΙ. κλύειν γ᾽ ἔφασκον· ταὐτὸ δ᾽ οὐχὶ γίγνεται
δόκησιν εἰπεῖν κἀξακριβῶσαι λόγον.
ΑΓ. ποίαν δόκησιν; οὐκ ἐπώμοτος λέγων
δάμαρτ᾽ ἔφασκες Ἡρακλεῖ ταύτην ἄγειν;
ΛΙ. ἐγὼ δάμαρτα; πρὸς θεῶν, φράσον, φίλη
δέσποινα, τόνδε τίς ποτ᾽ ἐστὶν ὁ ξένος.
ΑΓ. ὃς σοῦ παρὼν ἤκουσεν ὡς ταύτης πόθῳ
πόλις δαμείη πᾶσα, κοὐχ ἡ Λυδία
πέρσειεν αὐτήν, ἀλλ᾽ ὁ τῆσδ᾽ ἔρως φανείς.
ΛΙ. ἄνθρωπος, ὦ δέσποιν᾽, ἀποστήτω· τὸ γὰρ
νοσοῦντι ληρεῖν ἀνδρὸς οὐχὶ σώφρονος.
ΔΗ. μή, πρός σε τοῦ κατ᾽ ἄκρον Οἰταῖον νάπος
Διὸς καταστράπτοντος, ἐκκλέψῃς λόγον.
οὐ γὰρ γυναικὶ τοὺς λόγους ἐρεῖς κακῇ,
οὐδ᾽ ἥτις οὐ κάτοιδε τἀνθρώπων, ὅτι
χαίρειν πέφυκεν οὐχὶ τοῖς αὐτοῖς ἀεί.
Ἔρωτι μέν νυν ὅστις ἀντανίσταται
πύκτης ὅπως ἐς χεῖρας, οὐ καλῶς φρονεῖ·
οὗτος γὰρ ἄρχει καὶ θεῶν ὅπως θέλει,
κἀμοῦ γε· πῶς δ᾽ οὐ χἀτέρας οἵας γ᾽ ἐμοῦ;
ὥστ᾽ εἴ τι τὠμῷ τ᾽ ἀνδρὶ τῇδε τῇ νόσῳ
ληφθέντι μεμπτός εἰμι, κάρτα μαίνομαι,
ἢ τῇδε τῇ γυναικί, τῇ μεταιτίᾳ
τοῦ μηδὲν αἰσχροῦ μηδ᾽ ἐμοὶ κακοῦ τινος.
οὐκ ἔστι ταῦτ᾽. ἀλλ᾽ εἰ μὲν ἐκ κείνου μαθὼν
ψεύδει, μάθησιν οὐ καλὴν ἐκμανθάνεις·
εἰ δ᾽ αὐτὸς αὑτὸν ὧδε παιδεύεις, ὅταν
θέλῃς γενέσθαι χρηστός, ὀφθήσει κακός.
ἀλλ᾽ εἰπὲ πᾶν τἀληθές· ὡς ἐλευθέρῳ
ψευδεῖ καλεῖσθαι κὴρ πρόσεστιν οὐ καλή.
ὅπως δὲ λήσεις; οὐδὲ τοῦτο γίγνεται·
πολλοὶ γὰρ οἷς εἴρηκας, οἳ φράσουσ᾽ ἐμοί.
κεἰ μὲν δέδοικας, οὐ καλῶς ταρβεῖς, ἐπεὶ
τὸ μὴ πυθέσθαι, τοῦτό μ᾽ ἀλγύνειεν ἄν·
τὸ δ᾽ εἰδέναι τί δεινόν; οὐχὶ χἀτέρας
πλείστας ἀνὴρ εἷς Ἡρακλῆς ἔγημε δή;
κοὔπω τις αὐτῶν ἔκ γ᾽ ἐμοῦ λόγον κακὸν
ἠνέγκατ᾽ οὐδ᾽ ὄνειδος· ἥδε τ᾽ οὐδ᾽ ἂν εἰ
κάρτ᾽ ἐντακείη τῷ φιλεῖν, ἐπεί σφ᾽ ἐγὼ
ᾤκτειρα δὴ μάλιστα προσβλέψασ᾽, ὅτι
τὸ κάλλος αὐτῆς τὸν βίον διώλεσεν,
καὶ γῆν πατρῴαν οὐχ ἑκοῦσα δύσμορος
ἔπερσε κἀδούλωσεν. ἀλλὰ ταῦτα μὲν
ῥείτω κατ᾽ οὖρον, σοὶ δ᾽ ἐγὼ φράζω κακὸν
πρὸς ἄλλον εἶναι, πρὸς δ᾽ ἔμ᾽ ἀψευδεῖν ἀεί.
ΧΟ. πιθοῦ λεγούσῃ χρηστά, κοὐ μέμψει χρόνῳ
γυναικὶ τῇδε, κἀπ᾽ ἐμοῦ κτήσει χάριν.
ΛΙ. ἀλλ᾽, ὦ φίλη δέσποιν᾽, ἐπεί σε μανθάνω
θνητὴν φρονοῦσαν θνητὰ κοὐκ ἀγνώμονα,
πᾶν σοι φράσω τἀληθὲς οὐδὲ κρύψομαι.
ἔστιν γὰρ οὕτως ὥσπερ οὗτος ἐννέπει.
ταύτης ὁ δεινὸς ἵμερός ποθ᾽ Ἡρακλῆ
διῆλθε, καὶ τῆσδ᾽ οὕνεχ᾽ ἡ πολύφθορος
καθῃρέθη πατρῴος Οἰχαλία δόρει.
καὶ ταῦτα, δεῖ γὰρ καὶ τὸ πρὸς κείνου λέγειν,
οὔτ᾽ εἶπε κρύπτειν οὔτ᾽ ἀπηρνήθη ποτέ,
ἀλλ᾽ αὐτός, ὦ δέσποινα, δειμαίνων τὸ σὸν
μὴ στέρνον ἀλγύνοιμι τοῖσδε τοῖς λόγοις,
ἥμαρτον, εἴ τι τήνδ᾽ ἁμαρτίαν νέμεις.
ἐπεί γε μὲν δὴ πάντ᾽ ἐπίστασαι λόγον,
κείνου τε καὶ σὴν ἐξ ἴσου κοινὴν χάριν
καὶ στέργε τὴν γυναῖκα καὶ βούλου λόγους,
οὓς εἶπας ἐς τήνδ᾽, ἐμπέδους εἰρηκέναι.
ὡς τἄλλ᾽ ἐκεῖνος πάντ᾽ ἀριστεύων χεροῖν
τοῦ τῆσδ᾽ ἔρωτος εἰς ἅπανθ᾽ ἥσσων ἔφυ.
ΔΗ. ἀλλ᾽ ὧδε καὶ φρονοῦμεν ὥστε ταῦτα δρᾶν,
κοὔτοι νόσον γ᾽ ἐπακτὸν ἐξαρούμεθα,
θεοῖσι δυσμαχοῦντες. ἀλλ᾽ εἴσω στέγης
χωρῶμεν, ὡς λόγων τ᾽ ἐπιστολὰς φέρῃς,
ἅ τ᾽ ἀντὶ δώρων δῶρα χρὴ προσαρμόσαι,
καὶ ταῦτ᾽ ἄγῃς. κενὸν γὰρ οὐ δίκαιά σε
χωρεῖν, προσελθόνθ᾽ ὧδε σὺν πολλῷ στόλῳ.
ΧΟ. μέγα τι σθένος ἁ Κύπρις ἐκφέρεται νίκας ἀεί.
καὶ τὰ μὲν θεῶν
παρέβαν, καὶ ὅπως Κρονίδαν ἀπάτασεν οὐ λέγω,
οὐδὲ τὸν ἔννυχον Ἅιδαν,
ἢ Ποσειδάωνα τινάκτορα γαίας·
ἀλλ᾽ ἐπὶ τάνδ᾽ ἄρ᾽ ἄκοιτιν
τίνες ἀμφίγυοι κατέβαν πρὸ γάμων,
τίνες πάμπληκτα παγκόνιτά τ᾽ ἐξῆλθον ἄεθλ᾽
ἀγώνων.
ὁ μὲν ἦν ποταμοῦ σθένος, ὑψίκερω τετραόρου
φάσμα ταύρου,
Ἀχελῷος ἀπ᾽ Οἰνιαδᾶν, ὁ δὲ Βακχίας ἄπο
ἦλθε παλίντονα Θήβας
τόξα καὶ λόγχας ῥόπαλόν τε τινάσσων,
παῖς Διός· οἳ τότ᾽ ἀολλεῖς
ἴσαν ἐς μέσον ἱέμενοι λεχέων· [ξυνοῦσα.
μόνα δ᾽ εὔλεκτρος ἐν μέσῳ Κύπρις ῥαβδονόμει
τότ᾽ ἦν χερός, ἦν δὲ τόξων πάταγος,
ταυρείων τ᾽ ἀνάμιγδα κεράτων·
ἦν δ᾽ ἀμφίπλεκτοι
κλίμακες, ἦν δὲ μετώπων ὀλόεντα
πλήγματα καὶ στόνος ἀμφοῖν.
ἁ δ᾽ εὐῶπις ἁβρὰ

497—506. = 507—516.

---

422. πάρα Bothius] παρών 423. ΑΓ.] ΔΗΙ.

424. *ταῦτά γ᾽] ταῦτ᾽ 425. ΛΙ.] ἀγγ κλύειν D.] ναὶ κλύειν *γίγνεται] γίνεται 428. Ἡρακλεῖ] ει in litura. 430. τόνδε] ο ex ω factum. 431. ΑΓ.] ΔΗΙ. *ἤκουσεν] ἤκοσεν 432. *κοὐχ ἡ] κοὐχὶ 434. ἄνθρωπος (ὤ᾽νθρωπος Brunckius)] ἄνθρωπος 436. πρός σε Hermannus] πρὸς σὲ 440. τοῖς] τοι pr. πέφυκεν] πεφύκασ᾽ Nauckius. 441. μέν νυν] μεν νῦν corr. μεν . . ῦν pr. duabus literis erasis, quarum prior τ, non γ, fuisse potest, altera ο. 444. Post οὐ punctum. 445. Versum omissum in margine addidit S. τ᾽ ἀνδρὶ Seidlerus] τἀνδρὶ ω 447. μεταιτίᾳ] μετ᾽ αἰτίαι, ω a m. recentissima. 450. ψεύδει] ψεύδηι. Et sic ηι pro ει 452. 470. 471. 570. 597. 671. 899. 1117. 1119. 1158. 1206. 1211. 1215. 451. αὑτὸν Brunckius] αὐτὸν 453. *πᾶν τἀληθὲς] πάντ᾽ ἀληθὲσ 455. *λήσεις] λήσησ (non λήσηισ) *γίγνεται] γίνεται 463. Post ἐντακείη literae duae elutae, τὸ ut videtur. 464. *ᾤκτειρα] ὤικτειραι

468. ῥείτω] ἴτω Nauckius. 470. πιθοῦ D.] πείθου λεγούσῃ] λέγουσι, sed correctum a m. pr. 471. τῇδε] ε in litura, pro αι ut videtur. 476. *Ἡρακλῆ] ἡρακλεῖ 478. δόρει D. δορί 487. ἐμπέδους Nauckius] ἐμπέδως 488. 489. Seclusit Bergkius. 491. *νόσον γ᾽] γ᾽ om. *ἐξαρούμεθα] ἐξαιρούμεθα 495. κενὸν] κεῖνὸν, ε super ει scripto a m. recentissima. 497. μέγα τι σθένος] γρ. μέγα τι σθένουσα margo a m. antiqua. 502. *Ποσειδάωνα] ποσειδῶνα 504. τίνες ἀμφίγυοι Hermannus. Aberat τίνες. γάμων, τίνες Hermannus] γάμων τινές 510. Βακχίας Brunckius] βακχείας 514. *ἱέμενοι] ἰέμενοι

τηλαυγεῖ παρ᾽ ὄχθῳ
ἧστο, τὸν ὃν προσμένουσ᾽ ἀκοίταν.
ἐγὼ δὲ μάτηρ μὲν οἷα φράζω·
* * * * * * *
τὸ δ᾽ ἀμφινείκητον ὄμμα νύμφας
ἐλεινὸν ἀμμένει,
κἀπὸ ματρὸς ἄφαρ βέβακεν
ὥστε πόρτις ἐρήμα.
ΔΗ. ἦμος, φίλαι, κατ᾽ οἶκον ὁ ξένος θροεῖ
ταῖς αἰχμαλώτοις παισὶν ὡς ἐπ᾽ ἐξόδῳ,
τῆμος θυραῖος ἦλθον ὡς ὑμᾶς λάθρα,
τὰ μὲν φράσουσα χερσὶν ἁτεχνησάμην,
τὰ δ᾽ οἷα πάσχω συγκατοικτιουμένη.
κόρην γάρ, οἶμαι δ᾽ οὐκέτ᾽, ἀλλ᾽ ἐζευγμένην,
παρεσδέδεγμαι, φόρτον ὥστε ναυτίλος,
λωβητὸν ἐμπόλημα τῆς ἐμῆς φρενός.
καὶ νῦν δύ᾽ οὖσαι μίμνομεν μιᾶς ὑπὸ
χλαίνης ὑπαγκάλισμα. τοιάδ᾽ Ἡρακλῆς,
ὁ πιστὸς ἡμῖν κἀγαθὸς καλούμενος,
οἰκούρι᾽ ἀντέπεμψε τοῦ μακροῦ χρόνου.
ἐγὼ δὲ θυμοῦσθαι μὲν οὐκ ἐπίσταμαι
νοσοῦντι κείνῳ πολλὰ τῇδε τῇ νόσῳ,
τὸ δ᾽ αὖ ξυνοικεῖν τῇδ᾽ ὁμοῦ τίς ἂν γυνὴ
δύναιτο, κοινωνοῦσα τῶν αὐτῶν γάμων;
ὁρῶ γὰρ ἥβην τὴν μὲν ἕρπουσαν πρόσω,
τὴν δὲ φθίνουσαν· ὧν ἀφαρπάζειν φιλεῖ
ὀφθαλμὸς ἄνθος, τῶν δ᾽ ὑπεκτρέπει πόδα.
ταῦτ᾽ οὖν φοβοῦμαι μὴ πόσις μὲν Ἡρακλῆς
ἐμὸς καλῆται, τῆς νεωτέρας δ᾽ ἀνήρ.
ἀλλ᾽ οὐ γάρ, ὥσπερ εἶπον, ὀργαίνειν καλὸν
γυναῖκα νοῦν ἔχουσαν· ᾗ δ᾽ ἔχω, φίλαι,
λυτήριον λύπημα, τῇδ᾽ ὑμῖν φράσω.
ἦν μοι παλαιὸν δῶρον ἀρχαίου ποτὲ
θηρός, λέβητι χαλκέῳ κεκρυμμένον,
ὃ παῖς ἔτ᾽ οὖσα τοῦ δασυστέρνου παρὰ
Νέσσου φθίνοντος ἐκ φονῶν ἀνειλόμην,
ὃς τὸν βαθύρρουν ποταμὸν Εὔηνον βροτοὺς
μισθοῦ ᾽πόρευε χερσίν, οὔτε πομπίμοις
κώπαις ἐρέσσων οὔτε λαίφεσιν νεώς.
ὃς κἀμέ, τὸν πατρῷον ἡνίκα στόλον
ξὺν Ἡρακλεῖ τὸ πρῶτον εὖνις ἑσπόμην,
φέρων ἐπ᾽ ὤμοις, ἡνίκ᾽ ἦ μέσῳ πόρῳ,
ψαύει ματαίαις χερσίν· ἐκ δ᾽ ἤυσ᾽ ἐγώ,
χὠ Ζηνὸς εὐθὺς παῖς ἐπιστρέψας χεροῖν
ἧκεν κομήτην ἰόν· ἐς δὲ πλεύμονας
στέρνων διερροίζησεν. ἐκθνήσκων δ᾽ ὁ θὴρ
τοσοῦτον εἶπε, παῖ γέροντος Οἰνέως,
τοσόνδ᾽ ὀνήσει τῶν ἐμῶν, ἐὰν πίθῃ,
πορθμῶν, ὁθούνεχ᾽ ὑστάτην σ᾽ ἔπεμψ᾽ ἐγώ·
ἐὰν γὰρ ἀμφίθρεπτον αἷμα τῶν ἐμῶν
σφαγῶν ἐνέγκῃ χερσίν, ᾗ μελαγχόλους
ἔβαψεν ἰοὺς θρέμμα Λερναίας ὕδρας,
ἔσται φρενός σοι τοῦτο κηλητήριον
τῆς Ἡρακλείας, ὥστε μήτιν᾽ εἰσιδὼν
στέρξει γυναῖκα κεῖνος ἀντὶ σοῦ πλέον.
τοῦτ᾽ ἐννοήσασ᾽, ὦ φίλαι, δόμοις γὰρ ἦν
κείνου θανόντος ἐγκεκλῃμένον καλῶς,
χιτῶνα τόνδ᾽ ἔβαψα, προσβαλοῦσ᾽ ὅσα
ζῶν κεῖνος εἶπε· καὶ πεπείρανται τάδε.
κακὰς δὲ τόλμας μήτ᾽ ἐπισταίμην ἐγὼ
μήτ᾽ ἐκμάθοιμι, τάς τε τολμώσας στυγῶ.
[φίλτροις δ᾽ ἐάν πως τήνδ᾽ ὑπερβαλώμεθα
τὴν παῖδα καὶ θέλκτροισι τοῖς ἐφ᾽ Ἡρακλεῖ,
μεμηχάνηται τοὔργον, εἴ τι μὴ δοκῶ
πράσσειν μάταιον· εἰ δὲ μή, πεπαύσομαι.]
ΧΟ. ἀλλ᾽ εἴ τις ἐστὶ πίστις ἐν τοῖς δρωμένοις,
δοκεῖς παρ᾽ ἡμῖν οὐ βεβουλεῦσθαι κακῶς.
ΔΗ. οὕτως ἔχει γ᾽ ἡ πίστις, ὡς τὸ μὲν δοκεῖν
ἔνεστι, πείρᾳ δ᾽ οὐ προσωμίλησά πω.
ΧΟ. ἀλλ᾽ εἰδέναι χρὴ δρῶσαν, ὡς οὐδ᾽ εἰ δοκεῖς
ἔχειν, ἔχοις ἂν γνῶμα, μὴ πειρωμένη.
ΔΗ. ἀλλ᾽ αὐτίκ᾽ εἰσόμεσθα· τόνδε γὰρ βλέπω
θυραῖον ἤδη· διὰ τάχους δ᾽ ἐλεύσεται.
μόνον παρ᾽ ὑμῶν εὖ στεγοίμεθ᾽· ὡς σκότῳ
κἂν αἰσχρὰ πράσσῃς, οὔποτ᾽ αἰσχύνῃ πεσεῖ.
ΛΙ. τί χρὴ ποιεῖν; σήμαινε, τέκνον Οἰνέως,
ὡς ἐσμὲν ἤδη τῷ μακρῷ χρόνῳ βραδεῖς.
ΔΗ. ἀλλ᾽ αὐτὰ δή σοι ταῦτα καὶ πράσσω, Λίχα,
ἕως σὺ ταῖς ἔσωθεν ἠγορῶ ξέναις,
ὅπως φέρῃς μοι τόνδε ταναϋφῆ πέπλον,
δώρημ᾽ ἐκείνῳ τἀνδρὶ τῆς ἐμῆς χερός.
διδοὺς δὲ τόνδε φράζ᾽ ὅπως μηδεὶς βροτῶν
κείνου πάροιθεν ἀμφιδύσεται χροΐ,
μηδ᾽ ὄψεταί νιν μήτε φέγγος ἡλίου
μήθ᾽ ἕρκος ἱρὸν μήτ᾽ ἐφέστιον σέλας,
πρὶν κεῖνος αὐτὸν φανερὸν ἐμφανὴς σταθεὶς
δείξῃ θεοῖσιν ἡμέρᾳ ταυροσφάγῳ.
οὕτω γὰρ ηὔγμην, εἴ ποτ᾽ αὐτὸν ἐς δόμους
ἴδοιμι σωθέντ᾽ ἢ κλύοιμι πανδίκως,
στελεῖν χιτῶνι τῷδε καὶ φανεῖν θεοῖς
θυτῆρα καινῷ καινὸν ἐν πεπλώματι.
καὶ τῶνδ᾽ ἀποίσεις σῆμ᾽, ὃ κεῖνος εὐθέως
σφραγῖδος ἕρκει τῷδ᾽ ἐπὸν μαθήσεται.
ἀλλ᾽ ἕρπε, καὶ φύλασσε πρῶτα μὲν νόμον,
τὸ μὴ ᾽πιθυμεῖν πομπὸς ὢν περισσὰ δρᾶν·
ἔπειθ᾽ ὅπως ἂν ἡ χάρις κείνου τέ σοι
κἀμοῦ ξυνελθοῦσ᾽ ἐξ ἁπλῆς διπλῆ φανῇ.
ΛΙ. ἀλλ᾽ εἴπερ Ἑρμοῦ τήνδε πομπεύω τέχνην
βέβαιον, οὔ τι μὴ σφαλῶ γ᾽ ἐν σοί ποτε,
τὸ μὴ οὐ τόδ᾽ ἄγγος ὡς ἔχει δεῖξαι φέρων,
λόγων τε πίστιν ὧν ἔχεις ἐφαρμόσαι.

---

526. Lacunam post hunc versum indicavit Bergkius. 527. *τὸ δ᾽ ἀμφινείκητον] τόδ᾽ ἀμφινίκητον 528. ἐλεινὸν Porsonus] ἐλεεινόν. Sed sensus aliud postulat vocabulum, velut τελευτάν. 530. *ὥστε] ὥσπερ 531. θροεῖ] θρόει pr. 534. *φράσουσα] φράζουσα 536. Versum in textu omissum in margine addidit S. 539. ὑπὸ Brunckius] ὕπο 541. Post πιστὸσ quinque literae erasae. 551. *καλῆται] καλεῖται ἀνήρ] ἄρ᾽ ἦ Mehlerus in annot. ad Heraclitum p. 38. 554. λύπημα] Corruptum. κήλημα Hermannus. 557. παρὰ Brunckius] πάρα 558. *Νέσσου] νέσου φονῶν Bergkius] φόνων 559. Εὔηνον] εὔηνὸν, accentus super ον a m. rec. 560. πόρευε sine coronide. 561. *λαίφεσιν] λαίφαισιν (ν superscripto) 564. ἦ D.] ἦν 567. πλεύμονας] πλεύμονασ, ν a m. pr. 570. ἐὰν πίθῃ] ἐὰν πυθηῖ et in marg. γρ. ἐὰν πι, literis reliquis (θηι) macula obscuratis. 571. *σ᾽] om.

579. ἐγκεκλῃμένον D.] ἐγκεκλειμένον 584—587. Seclusit D. Versum 585. notaverat Wunderus. 588. *εἴ τις] ἥτισ 592. *οὐδ᾽ εἰ δοκεῖς] οὐδοκεῖσ, literis omissis a m. recentissima seculi 15. vel 16. suppletis. 593. ἂν γνῶμα] γρ. ἄγνωμα in margine, addito a m. recentissima τὸ γνῶμα. 598. *ποιεῖν] ποεῖν 602. τόνδε ταναϋφῆ Wunderus] τόνδε γ᾽ εὐυφῆ, ἁ ab S superscripto. 607. ἱρὸν D.] ἱερὸν 608. φανερὸν ἐμφανὴς Triclinius] φανερὸς (φανερῶσ pr.) ἐμφανῶς 613. *ἐν] ἐμ 614. εὐθέως D.] εὐμαθὲς 615. ἐπὸν μαθήσεται Billerbeckius] ἐπ᾽ ὄμμα θήσεται 621. *τι] τοι 622. μὴ οὐ pr. μὴν corr. 623. ἔχεις] λέγεις Wunderus. θέλεις Schneidewinus.

ΔΗ. στείχοις ἂν ἤδη· καὶ γὰρ ἐξεπίστασαι
τά γ' ἐν δόμοισιν ὡς ἔχοντα τυγχάνει.
ΛΙ. ἐπίσταμαί τε καὶ φράσω σεσωσμένα.
ΔΗ. ἀλλ' οἶσθα μὲν δὴ καὶ τὰ τῆς ξένης ὁρῶν
προσδέγματ', αὐτήν θ' ὡς ἐδεξάμην φίλως.
ΛΙ. ὥστ' ἐκπλαγῆναι τοὐμὸν ἡδονῇ κέαρ.
ΔΗ. τί δῆτ' ἂν ἄλλο γ' ἐννέποις; δέδοικα γὰρ
μὴ πρῴ λέγοις ἂν τὸν πόθον τὸν ἐξ ἐμοῦ,
πρὶν εἰδέναι τἀκεῖθεν εἰ ποθούμεθα.
ΧΟ. ὦ ναύλοχα καὶ πετραῖα
θερμὰ λουτρὰ καὶ πάγους
Οἴτας παραναιετάοντες, οἵ τε μέσσαν
Μηλίδα πὰρ λίμναν
χρυσαλακάτου τ' ἀκτὰν κόρας,
ἔνθ' Ἑλλάνων ἀγοραὶ
Πυλάτιδες κλέονται,
ὁ καλλιβόας τάχ' ὑμῖν
αὐλὸς οὐκ ἀναρσίαν
ἀχῶν καναχὰν ἐπάνεισιν, ἀλλὰ θείας
ἀντίλυρον μούσας.
ὁ γὰρ Διὸς Ἀλκμήνας κόρος
σεῦται πάσας ἀρετᾶς
λάφυρ' ἔχων ἐπ' οἴκους·
ὃν ἀπόπτολιν εἴχομεν
παντᾷ, δυοκαιδεκάμηνον ἀμμένουσαι
χρόνον, πελάγιον, ἴδριες οὐδέν· ἁ δέ οἱ φίλα δά-
τάλαιναν δυστάλαινα καρδίαν [μαρ
πάγκλαυτος αἰὲν ὤλλυτο·
νῦν δ' Ἄρης αὖ στρωθεὶς
ἐξέλυσ' ἐπιπόνων ἁμερᾶν.
ἀφίκοιτ' ἀφίκοιτο· μὴ
σταίη πολύκωπον ὄχημα ναὸς αὐτῷ,
πρὶν τάνδε πρὸς πόλιν ἀνύσειε, νασιῶτιν ἑστίαν
ἀμείψας, ἔνθα κλῄζεται θυτήρ·
ὅθεν μόλοι πανίμερος,
τᾶς πειθοῦς [παγχρίστῳ] συγκραθεὶς
⏓ ⏑ – ἐπὶ προφάνσει θηρός.
ΔΗ. γυναῖκες, ὡς δέδοικα μὴ περαιτέρω
πεπραγμέν' ᾖ μοι πάνθ' ὅσ' ἀρτίως ἔδρων.
ΧΟ. τί δ' ἔστι, Δηάνειρα, τέκνον Οἰνέως;
ΔΗ. οὐκ οἶδ'· ἀθυμῶ δ' εἰ φανήσομαι τάχα
κακὸν μέγ' ἐκπράξασ' ἀπ' ἐλπίδος καλῆς.
ΧΟ. οὐ δή τι τῶν σῶν Ἡρακλεῖ δωρημάτων;

633—639. = 640—646.
647—654. = 655—662.

ΔΗ. μάλιστά γ'· ὥστε μήποτ' ἂν προθυμίαν
ἄδηλον ἔργου τῳ παραινέσαι λαβεῖν.
ΧΟ. δίδαξον, εἰ διδακτόν, ἐξ ὅτου φοβεῖ.
ΔΗ. τοιοῦτον ἐκβέβηκεν, οἷον, ἢν φράσω,
γυναῖκες, ὑμῖν θαῦμ' ἀνέλπιστον μαθεῖν.
ᾧ γὰρ τὸν ἐνδυτῆρα πέπλον ἀρτίως
ἔχριον, ἀργῆς οἰὸς εὐέρου πόκος,
τοῦτ' ἠφάνισται διάβορον πρὸς οὐδενὸς
τῶν ἔνδον, ἀλλ' ἐδεστὸν ἐξ αὑτοῦ φθίνει,
καὶ ψῇ κατ' ἄκρας σπιλάδος. ὡς δ' εἰδῇς ἅπαν,
ᾗ τοῦτ' ἐπράχθη, μείζον' ἐκτενῶ λόγον.
ἐγὼ γὰρ ὧν ὁ θήρ με Κένταυρος, πονῶν
πλευρὰν πικρᾷ γλωχῖνι, προυδιδάξατο
παρῆκα θεσμῶν οὐδέν, ἀλλ' ἐσῳζόμην,
χαλκῆς ὅπως δύσνιπτον ἐκ δέλτου γραφήν,
τὸ φάρμακον τοῦτ' ἄπυρον ἀκτῖνός τ' ἀεὶ
θερμῆς ἄθικτον ἐν μυχοῖς σῴζειν ἐμέ,
ἕως νιν ἀρτίχριστον ἁρμόσαιμί που.
κἄδρων τοιαῦτα. νῦν δ', ὅτ' ἦν ἐργαστέον,
ἔχρισα μὲν κατ' οἶκον ἐν δόμοις κρυφῇ
μαλλῷ, σπάσασα κτησίου βοτοῦ λάχνην,
κἄθηκα συμπτύξασ' ἀλαμπὲς ἡλίου
κοίλῳ ζυγάστρῳ δῶρον, ὥσπερ εἴδετε.
εἴσω δ' ἀποστείχουσα δέρκομαι φάτιν
ἄφραστον, ἀξύμβλητον ἀνθρώπῳ μαθεῖν.
τὸ γὰρ κάταγμα τυγχάνω ῥίψασά πως
[τῆς οἰός, ᾧ προύχριον, ἐς μέσην φλόγα,]
ἀκτῖν' ἐς ἡλιῶτιν· ὡς δ' ἐθάλπετο,
ῥεῖ πᾶν ἄδηλον καὶ κατέψηκται χθονί,
μορφῇ μάλιστ' εἰκαστὸν ὥστε πρίονος
ἐκβρώματ' ἂν βλέψειας ἐν τομῇ ξύλου.
τοιόνδε κεῖται προπετές. ἐκ δὲ γῆς, ὅθεν
προὔκειτ', ἀναζέουσι θρομβώδεις ἀφροί,
γλαυκῆς ὀπώρας ὥστε πίονος ποτοῦ
χυθέντος ἐς γῆν Βακχίας ἀπ' ἀμπέλου.
ὥστ' οὐκ ἔχω τάλαινα ποῖ γνώμης πέσω·
ὁρῶ δέ μ' ἔργον δεινὸν ἐξειργασμένην.
πόθεν γὰρ ἄν ποτ' ἀντὶ τοῦ θνῄσκων ὁ θὴρ
ἐμοὶ παρέσχ' εὔνοιαν, ἧς ἔθνῃσχ' ὕπερ;
οὐκ ἔστιν, ἀλλὰ τὸν βαλόντ' ἀποφθίσαι
χρῄζων ἔθελγέ μ'· ὧν ἐγὼ μεθύστερον,
ὅτ' οὐκέτ' ἀρκεῖ, τὴν μάθησιν ἄρνυμαι.
μόνη γὰρ αὐτόν, εἴ τι μὴ ψευσθήσομαι
γνώμης, ἐγὼ δύστηνος ἐξαποφθερῶ.
τὸν γὰρ βαλόντ' ἄτρακτον οἶδα καὶ θεὸν
Χείρωνα πημήναντα, χὤνπερ ἂν θίγῃ,
φθείρει τὰ πάντα κνώδαλ'· ἐκ δὲ τοῦδ' ὅδε

684. καί μοι τάδ' ἦν πρόρρητα καὶ τοιαῦτ' ἔδρων

628. προσδέγματ'] *προσδέργματ'. Totum versum seclusit Nauckius. 631. πρῴ] πρῶι, litera ω duobis punctis subnotata et superscripto ὶν, quo manus recentissima (seculi 15. vel 16.) πρὶν significavit. 632. *τἀκεῖθεν] τὰ κεῖθεν 637. πὰρ (sic Triclinius) λίμναν] παραλίμναν 639. κλέονται Musgravius] καλέονται 642. ἀχῶν Elmsleius] ἰάχων 644. κόρος Triclinius] τε κόρος. τε παις Hartungius. 648. Ante ἐπ' erasa litera o 649. πάντᾳ Bothius (debebat παντᾶ)] πάντα 650. ἁ] ἃ Post δάμαρ tres literae erasae. 651. τάλαιναν D.] τάλαινα 652. πάγκλαυτος] γ ex ν factum. 653. αὖ στρωθεὶς Musgravius] οἰστρηθεὶς 654. ἐπιπόνων ἁμερᾶν Erfurdtius] ἐπίπονον ἁμέραν 658.
ε
πρὸς] ποτὶ Wakefieldus. ἀνύσειε] ἀνύσεισ, ε a m. recentissima. 659. Ante θυτήρ tres quattuorve literae erasae. 660. πανίμερος Mudgius] πανάμερος 661. παγχρίστῳ] γ ex ν factum. Seclusi hoc vocabulum indicato trium syllabarum defectu in initio versus proximi. Excidit dativus substantivi alicuius. 662. προφάνσει D.] προφάσει

670. τῳ] τῶι 672. ἢν Erfurdtius] ἂν 673.
μ θ
μαθεῖν] λαβεῖν, μ et θ a m. pr. 675. ἀργῆς—πόκος Lobeckius ad Aiacem v. 801.] ἀργῆτ' — πόκωι εὐέρου] εὐείρω (non εὐείρωι). Correxit Valckenarius, nisi quod εὐείρου scripsit. 677. *αὑτοῦ] αυτοῦ sine spiritu. 684. Versum spurium eiecit Wunderus. 685. *τ'] om. 686. *θερμῆς] θέρμησ 687. νιν Elmsleius] ἂν 689. κατ' οἶκον] τὸν πέπλον Heimsoethius. ἐν δόμοις] ἐνδυτὸν D. 691. *κἄθηκα] καθῆκα
ε
692. εἴδετε] εἴδεται, ε a m. pr. 696. Versum spurium notavit Dobraeus. *προύχριον] προὔχρειον 698. *κατέψηκται] κατέψικται 700. *ἂν βλέψειας] ἐκβλέψειασ 704. *Βακχίας] βακχείασ 707. ἄν] ν ex μ factum. 708. ἧς] ἧισ 710. μεθύστερον] μεθ' ὕστερον 715. χὤνπερ Wakefieldus] χ' ὥσπερ

σφαγῶν διελθὼν ἰὸς αἵματος μέλας
πῶς οὐκ ὀλεῖ καὶ τόνδε; δόξῃ γοῦν ἐμῇ.
καίτοι δέδοκται, κεῖνος εἰ σφαλήσεται,
ταύτῃ σὺν ὁρμῇ κἀμὲ συνθανεῖν ἅμα.
ζῆν γὰρ κακῶς κλύουσαν οὐκ ἀνασχετόν,
ἥτις προτιμᾷ μὴ κακὴ πεφυκέναι.
ΧΟ. ταρβεῖν μὲν ἔργα δείν' ἀναγκαίως ἔχει,
τὴν δ' ἐλπίδ' οὐ χρὴ τῆς τύχης κρίνειν πάρος.
ΔΗ. οὐκ ἔστιν ἐν τοῖς μὴ καλοῖς βουλεύμασιν
οὐδ' ἐλπίς, ἥτις καὶ θράσος τι προξενεῖ.
ΧΟ. ἀλλ' ἀμφὶ τοῖς σφαλεῖσι μὴ 'ξ ἑκουσίας
ὀργὴ πέπειρα, τῆς σε τυγχάνειν πρέπει.
ΔΗ. τοιαῦτα δ' ἂν λέξειεν οὐχ ὁ τοῦ κακοῦ
κοινωνός, ἀλλ' ᾧ μηδέν ἐστ' οἴκοι βαρύ.
ΧΟ. σιγᾶν ἂν ἁρμόζοι σε τὸν πλείω λόγον,
εἰ μή τι λέξεις παιδὶ τῷ σαυτῆς· ἐπεὶ
πάρεστι, μαστὴρ πατρὸς ὃς πρὶν ᾤχετο.
ΥΛ. ὦ μῆτερ, ὡς ἂν ἐκ τριῶν σ' ἓν εἱλόμην,
ἢ μηκέτ' εἶναι ζῶσαν, ἢ σεσωσμένην
ἄλλου κεκλῆσθαι μητέρ', ἢ λῴους φρένας
τῶν νῦν παρουσῶν τῶνδ' ἀμείψασθαί ποθεν.
ΔΗ. τί δ' ἐστὶν, ὦ παῖ, πρός γ' ἐμοῦ στυγούμενον;
ΥΛ. τὸν ἄνδρα τὸν σὸν ἴσθι, τὸν δ' ἐμὸν λέγω
πατέρα, κατακτείνασα τῇδ' ἐν ἡμέρᾳ.
ΔΗ. οἴμοι, τίν' ἐξήνεγκας, ὦ τέκνον, λόγον;
ΥΛ. ὃν οὐχ οἷόν τε μὴ τελεσθῆναι· τὸ γὰρ
φανθὲν τίς ἂν δύναιτ' ἂν ἀγένητον ποιεῖν;
ΔΗ. πῶς εἶπας, ὦ παῖ; τοῦ πάρ' ἀνθρώπων μαθὼν
ἄζηλον οὕτως ἔργον εἰργάσθαι με φῄς;
ΥΛ. πατρὸς βαρεῖαν ξυμφορὰν ἐν ὄμμασιν
αὐτὸς δεδορκὼς κοὐ κατὰ γλῶσσαν κλύων.
ΔΗ. ποῦ δ' ἐμπελάζεις τἀνδρὶ καὶ παρίστασαι;
ΥΛ. εἰ χρὴ μαθεῖν σε, πάντα δὴ φωνεῖν χρεών.
ὅθ' εἷρπε κλεινὴν Εὐρύτου πέρσας πόλιν,
νίκης ἄγων τροπαῖα κἀκροθίνια,
ἀκτή τις ἀμφίκλυστος Εὐβοίας ἄκρον
Κηναιόν ἐστιν, ἔνθα πατρῴῳ Διὶ
βωμοὺς ὁρίζει τεμενίαν τε φυλλάδα·
οὗ νιν τὰ πρῶτ' εἰσεῖδον ἄσμενος πόθῳ.
μέλλοντι δ' αὐτῷ πολυθύτους τεύχειν σφαγὰς
κῆρυξ ἀπ' οἴκων ἵκετ' οἰκεῖος Λίχας,
τὸ σὸν φέρων δώρημα, θανάσιμον πέπλον·
ὃν κεῖνος ἐνδὺς, ὡς σὺ προυξεφίεσο,
ταυροκτονεῖ μὲν δώδεκ' ἐντελεῖς ἔχων
λείας ἀπαρχὴν βοῦς· ἀτὰρ τὰ πάνθ' ὁμοῦ
ἑκατὸν προσῆγε συμμιγῆ βοσκήματα.
καὶ πρῶτα μὲν δείλαιος ἵλεῳ φρενὶ
κόσμῳ τε χαίρων καὶ στολῇ κατηύχετο·
ὅπως δὲ σεμνῶν ὀργίων ἐδαίετο
φλὸξ αἱματηρὰ κἀπὸ πιείρας δρυὸς,
ἱδρὼς ἀνῄει χρωτὶ καὶ προσπτύσσεται
πλευραῖσιν ἀρτίκολλος, ὥστε τέκτονος,
χιτὼν ἅπαν κατ' ἄρθρον· ἦλθε δ' ὀστέων
ἀδαγμὸς ἀντίσπαστος· εἶτα φοινίας
ἐχθρᾶς ἐχίδνης ἰὸς ὣς ἐδαίνυτο.
ἐνταῦθα δὴ 'βόησε τὸν δυσδαίμονα
Λίχαν, τὸν οὐδὲν αἴτιον τοῦ σοῦ κακοῦ,
ποίαις ἐνέγκοι τόνδε μηχαναῖς πέπλον·
ὁ δ' οὐδὲν εἰδὼς δύσμορος τὸ σὸν μόνης
δώρημ' ἔλεξεν, ὥσπερ ἦν ἐσταλμένον.
κἀκεῖνος ὡς ἤκουσε καὶ διώδυνος
σπαραγμὸς αὐτοῦ πλευμόνων ἀνθήψατο,
μάρψας ποδός νιν, ἄρθρον ᾗ λυγίζεται,
ῥιπτεῖ πρὸς ἀμφίκλυστον ἐκ πόντου πέτραν·
κόμης δὲ λευκὸν μυελὸν ἐκραίνει, μέσου
κρατὸς διασπαρέντος αἵματός θ' ὁμοῦ.
ἅπας δ' ἀνηυφήμησεν οἰμωγῇ λεὼς,
τοῦ μὲν νοσοῦντος, τοῦ δὲ διαπεπραγμένου·
κοὐδεὶς ἐτόλμα τἀνδρὸς ἀντίον μολεῖν.
ἐσπᾶτο γὰρ πέδονδε καὶ μετάρσιος,
βοῶν, ἰύζων· ἀμφὶ δ' ἐκτύπουν πέτραι,
Λοκρῶν ὄρειοι πρῶνες Εὐβοίας τ' ἄκραι.
ἐπεὶ δ' ἀπεῖπε, πολλὰ μὲν τάλας χθονὶ
ῥίπτων ἑαυτὸν, πολλὰ δ' οἰμωγῇ βοῶν,
τὸ δυσπάρευνον λέκτρον ἐνδατούμενος
σοῦ τῆς ταλαίνης, καὶ τὸν Οἰνέως γάμον
οἷον κατακτήσαιτο λυμαντὴν βίου,
τότ' ἐκ προσέδρου λιγνύος διάστροφον
ὀφθαλμὸν ἄρας εἶδέ μ' ἐν πολλῷ στρατῷ
δακρυρροοῦντα, καί με προσβλέψας καλεῖ,
ὦ παῖ, πρόσελθε, μὴ φύγῃς τοὐμὸν κακὸν,
μηδ' εἴ σε χρὴ θανόντι συνθανεῖν ἐμοί·
ἀλλ' ἆρον ἔξω, καὶ μάλιστα μέν με θὲς
ἐνταῦθ' ὅπου με μή τις ὄψεται βροτῶν·
εἰ δ' οἶκτον ἴσχεις, ἀλλά μ' ἔκ γε τῆσδε γῆς
πόρθμευσον ὡς τάχιστα, μηδ' αὐτοῦ θάνω.
τοσαῦτ' ἐπισκήψαντος, ἐν μέσῳ σκάφει
θέντες σφε πρὸς γῆν τήνδ' ἐκέλσαμεν μόλις
βρυχώμενον σπασμοῖσι· καί νιν αὐτίκα
ἢ ζῶντ' ἐσόψεσθ', ἢ τεθνηκότ' ἀρτίως.
τοιαῦτα, μῆτερ, πατρὶ βουλεύσασ' ἐμῷ
καὶ δρῶσ' ἐλήφθης, ὧν σε ποίνιμος Δίκη
τίσαιτ' Ἐρινύς τ'. εἰ θέμις δ', ἐπεύχομαι·
θέμις δ', ἐπεί μοι τὴν θέμιν σὺ προύβαλες,
πάντων ἄριστον ἄνδρα τῶν ἐπὶ χθονὶ
κτείνασ', ὁποῖον ἄλλον οὐκ ὄψει ποτέ.
ΧΟ. τί σῖγ' ἀφέρπεις; οὐ κάτοισθ' ὁθούνεκα
ξυνηγορεῖς σιγῶσα τῷ κατηγόρῳ;
ΥΛ. ἐᾶτ' ἀφέρπειν· οὖρος ὀφθαλμῶν ἐμῶν
αὐτῇ γένοιτ' ἄπωθεν ἑρπούσῃ καλός.

---

720. ὁρμῇ] ὁρμῆι, γ a m. pr. 730. *ἐστ'] ἐστιν οἴκοι Wakefieldus] οἴκοις 731. λόγον] χρόνον, superscripto literis exilioribus a m. ant. γρ. λόγον 733. μαστὴρ supra versum a m. pr. 736. *μητέρ'] μητέρα σ' 742. μὴ] μὴ οὐ Nauckius. 743. Alterum ἂν additum ex Suida s. v. οἴμοι. *ποιεῖν] ποεῖν 746. πατρὸς — αὐτὸς Nauckius] αὐτὸς — πατρὸς 747. κοὐ] καὶ, κοὐ in marg. a m. recentissima seculi 15. vel 16. 748. ἐμπελάζεις] ει ex ηι factum a m. pr. 751. *τροπαῖα] τρόπαια 753. *Κηναιόν] κηναῖόν 755. εἰσεῖδον D.] ἐσεῖδον 757. κῆρυξ] Sic hoc loco, non κήρυξ *ἵκετ'] ἥκετ' 759. *προυξεφίεσο] προὐξεφείεσο 761. ἀπαρχήν] Post χ litera erasa, θ ut videtur. 764. κατηύχετο] κατήρχετο Meinekius.

767. *ἱδρὼς ἀνῄει] ἱδρῶσ ἂν ἤει προσπτύσσεται Musgravius] προσπτύσσετο 770. ἀδαγμὸς ex Photio p. 7, 21.] ὀδαγμὸς 771. ὣς Wakefieldus] ὡς 772. βόησε sine coronide, quam addidit Brunckius. 777. ἤκουσε] ἤκουσεν, εν ex α facto ut videtur. 778. *πλευμόνων] πνευμόνων 783. ἀνευφήμησεν (quod ἀνηυφήμησεν scripsi) ex schol. Eurip. Troad. 573. et Hesychio s. v. ἀνευφημήσει] ἄνευ φωνῆσ ἐν, i. e. ἀνευφώνησεν, ut scriptum in apographis. 795. ἄρας] ἄρασ 796. καλεῖ H. Stephanus] κάλει 799. *ἆρον] ἆιρον μέν με θὲς Wakefieldus] μὲν μέθες. Similiter erratum ab librario v. 1254. 806. ἐσόψεσθ'] ἔτ' ὄψεσθ' Meinekius. 808. *Δίκη] δίκηι 810. *προύβαλες] προὔλαβεσ. Utramque scripturam explicat scholiasta. 816. καλός ex schol.] καλῶς

ὄγκον γὰρ ἄλλως ὀνόματος τί δεῖ τρέφειν
μητρῷον, ἥτις μηδὲν ὡς τεκοῦσα δρᾷ;
ἀλλ' ἑρπέτω χαίρουσα· τὴν δὲ τέρψιν ἣν
τὠμῷ δίδωσι πατρί, τήνδ' αὐτὴ λάβοι.
ΧΟ. ἴδ' οἷον, ὦ παῖδες, προσέμιξεν ἄφαρ
τοὔπος τὸ θεοπρόπον ἡμῖν
τᾶς παλαιφάτου προνοίας,
ὅ τ' ἔλακεν, ὁπότε τελεόμηνος ἐκφέροι
δωδέκατος ἄροτος, ἀναδοχὰν τελεῖν πόνων
τῷ Διὸς αὐτόπαιδι·
καὶ τάδ' ὀρθῶς ἔμπεδα κατουρίζει.
πῶς γὰρ ἂν ὁ μὴ λεύσσων
φῶς ἔτ' ἐπίπονον ἔχοι θανὼν λατρείαν;
εἰ γάρ σφε Κενταύρου φονίᾳ νεφέλᾳ
χρίει δολοποιὸς ἀνάγκα
πλευρά, προστακέντος ἰοῦ,
ὃν τέκετο θάνατος, ἔτρεφε δ' αἰόλος δράκων,
πῶς ὅδ' ἂν ἀέλιον ἕτερον ἢ τανῦν ἴδοι,
δεινοτάτῳ μὲν ὕδρας
προστετακὼς φάσματι; μελαγχαίτα τ'
ἄμμιγά νιν αἰκίζει
θηρὸς ὀλόεντα κέντρ' ἐπιζέσαντα.
ὧν ἅδ' ἁ τλάμων ἄοκνος
μεγάλαν προσορῶσα δόμοισι βλάβαν νέων
ἀϊσσόντων γάμων τὰ μὲν οὔτι
προσέβαλεν, τὰ δ' ἀπ' ἀλλόθρου
γνώμας μολόντ' οὐλίαισι συναλλαγαῖς
ἦ που ὀλοὰ στένει,
ἦ που ἀδινῶν χλωρὰν
τέγγει δακρύων ἄχναν.
ἁ δ' ἐρχομένα μοῖρα προφαίνει δολίαν καὶ μεγάλαν ἄταν.
ἔρρωγεν παγὰ δακρύων·
κέχυται νόσος, ὦ πόποι, οἷον ἀναρσίων
οὔπω Ζηνὸς κέλωρ' ἀγακλειτὸν
ἐπέμολεν πάθος οἰκτίσαι.
ἰὼ κελαινὰ λόγχα προμάχου δορός,
ἃ τότε θοὰν νύμφαν
ἄγαγες ἀπ' αἰπεινᾶς
τάνδ' Οἰχαλίας αἰχμᾷ·
ἁ δ' ἀμφίπολος Κύπρις ἄναυδος φανερὰ τῶνδ'
ἐφάνη πράκτωρ.

821—830. = 831—840.
841—851. = 852—862.

ΗΜΙΧΟΡΙΟΝ.
πότερον ἐγὼ μάταιος, ἢ κλύω τινὸς
οἴκτου δι' οἴκων ἀρτίως ὁρμωμένου;
τί φημι;
ΗΜ. ἠχεῖ τις οὐκ ἄσημον, ἀλλὰ δυστυχῆ
κωκυτὸν εἴσω, καί τι καινίζει στέγη.
ΗΜ. ξύνες δὲ
τήνδ' ὡς ἀηδὴς καὶ συνωφρυωμένη
χωρεῖ πρὸς ἡμᾶς γραῖα σημανοῦσά τι.
ΤΡΟΦΟΣ.
ὦ παῖδες, ὡς ἄρ' ἡμὶν οὐ σμικρῶν κακῶν
ἦρξεν τὸ δῶρον Ἡρακλεῖ τὸ πόμπιμον.
ΧΟ. τί δ', ὦ γεραιά, καινοποιηθὲν λέγεις;
ΤΡ. βέβηκε Δῃάνειρα τὴν πανυστάτην
ὁδῶν ἁπασῶν ἐξ ἀκινήτου ποδός.
ΧΟ. οὐ δή ποθ' ὡς θανοῦσα; ΤΡ. πάντ' ἀκήκοας.
ΧΟ. τέθνηκεν ἡ τάλαινα; ΤΡ. δεύτερον κλύεις.
ΧΟ. τάλαιν' ὀλεθρία, τίνι τρόπῳ θανεῖν σφε φῄς;
ΤΡ. σχετλιώτατα πρός γε πρᾶξιν. ΧΟ. εἰπὲ τῷ μόρῳ,
γύναι, ξυντρέχει.
ΤΡ. αὐτὴν διηίστωσε. ΧΟ. τίς θυμός, ἢ τίνες
νόσοι τάνδ' αἰχμὰν
βέλεος κακοῦ ξυνεῖλε; πῶς ἐμήσατο
πρὸς θανάτῳ θάνατον
ἀνύσασα μόνα; ΤΡ. στονόεντος ἐν τομᾷ σιδάρου.
ΧΟ. ἐπεῖδες, ὦ ματαία, τάνδ' ὕβριν;
ΤΡ. ἐπεῖδον, ὡς δὴ πλησία παραστάτις.
ΧΟ. τίς ἦν; πῶς; φέρ' εἰπέ.
ΤΡ. αὐτὴ πρὸς αὑτῆς χειροποιεῖται τάδε.
ΧΟ. τί φωνεῖς; ΤΡ. σαφηνῆ.
ΧΟ. ἔτεκεν ἔτεκεν μεγάλαν
ἁ νέορτος ἅδε νύμφα
δόμοισι τοῖσδ' Ἐρινύν.
ΤΡ. ἄγαν γε· μᾶλλον δ' εἰ παροῦσα πλησία
ἔλευσσες οἷ' ἔδρασε, κάρτ' ἂν ᾤκτισας.
[ΧΟ. καὶ ταῦτ' ἔτλη τις χεὶρ γυναικεία κτίσαι;
ΤΡ. δεινῶς γε· πεύσει δ', ὥστε μαρτυρεῖν ἐμοί.]
ἐπεὶ γὰρ ἦλθε δωμάτων εἴσω μόνη,
καὶ παῖδ' ἐν αὐλαῖς εἶδε κοῖλα δέμνια

825. *ἄροτος] ἄροτροσ (non ἄροτρον). Idem vitium v. 69. ἀναδοχὰν] ο in litura. Sensus postulat ἀνάλυσιν vel, quod Meinekius coniecit, ἀναπνοάν. 829. λεύσσων] Alterum σ supra versum. 830. φῶς (hoc cum Wundero) ἔτ' ἐπίπονον D.] ἔτι ποτέ ἔτ' ἐπίπονον, relicto post ποτέ septem fere literarum spatio. 831. φονίᾳ] φοινίᾱι 832. ἀνάγκα] Quattuor inter α et ν literae erasae. 833. πλευρὰ Erfurdtius] πλευρᾶι 834. ἔτρεφε Lobeckius] ἔτεκε 835. *ἀέλιον] ἅλιον 837. φάσματι] ξάσματι D. ξάσμα ex Sophocle annotavit Pollux 7, 30. 838. τ'] δ' D. 840. θηρὸς ὀλόεντα κέντρ' D.] νέσου θ' ὕπο φοίνια δολόμυθα κέντρ', verbis νέσου θ' ὕπο separato versu positis. 841. ἄοκνος Musgravius] ἄοκνον 842. δόμοισι Turnebus] δόμοις 844. προσέβαλεν] προσέβαλε corr. (ἀ supra) προσέβαλλε pr. ἀπ'] ἐπ', cum gl. ἀπὸ τοῦ νέσου ἀλλόθρου Erfurdtius] ἀλλοθρόου 845. οὐλίαισι συναλλαγαῖς Wunderus] ὀλεθρίαις ξυναλλαγαῖς 854. Ζηνὸς κέλωρ addidit D., deleto Ἡρακλέους, quod post ἀγακλειτὸν legebatur. 855. *ἐπέμολεν] ἀπέμολε (ἐπέμολε Triclinius)

863. ΗΜΙΧΟΡΙΟΝ Brunckius hic et in sequentibus] Χ. (ο supra) Ante haec hemichorii verba excidit nutricis eiulatio ex aedibus erumpens, ἰώ μοί μοι, ut in Electra 77. et Aiac. 974., vel similis aliqua. Monuit Meinekius. 866. 868. ΗΜ. om. 869. ἀηδὴς Wunderus] ἀήθης 870. σημανοῦσα Brunckius] σημαίνουσα 871. ἡμὶν Brunckius] ἡμῖν 879—895. In his versibus, ut metrorum deformitas, qua nonnulli laborant, ostendit, plura sunt corrupta vel interpolata, quae nunc in integrum restitui nequeunt: de quibus dixi in annotationibus Oxoniensibus. 879. σχετλιώτατα] Non apparet cur versum ab anapaesto incipere maluerit quam ab dactylo, quem Heimsoethii praebet coniectura δεινότατα. 881. *διηίστωσε] διηίστωσεν 883. αἰχμὰν] αἰχμᾷ Hermannus. 886. τομᾷ] στομᾶι, τ a m. seculi 15. vel 16. superscripto. σιδάρου Erfurdtius] σιδήρου 888. *ματαία] ματαῖα. Trimetrum qui requiritur restituit Wunderus, ἐπεῖδες, ὦ μάταιε, τήνδε τὴν ὕβριν. 891. *αὐτὴ] αὐτῆ 893. μεγάλαν] μεγάλᾱν, syllaba λᾱν proxima versui adiecta. 894. ἁ νέορτος scholiasta] ἀν ἕορτοσ (sic) *ἅδε] ᾆδε, ut solet. 895. *Ἐρινύν] ἐρινῦν 896. δ' a m. pr. insertum. εἰ in litura pro η 897. *ἔλευσσες] ἔλευσεσ ἔδρασε] ἔδρασεν, eraso ν 898. Post κτίσαι litera erasa 898. 899. Versus spurios notavit Hermannus. 900. γὰρ ἦλθε Schaeferus] παρῆλθε

στορνύνθ᾽, ὅπως ἄψορρον ἀντῴη πατρί,
κρύψασ᾽ ἑαυτὴν ἔνθα μή τις εἰσίδοι,
βρυχᾶτο μὲν βωμοῖσι προσπίπτουσ᾽ ὅτι
γένοιντ᾽ ἔρημοι, κλᾶε δ᾽ ὀργάνων ὅτου
ψαύσειεν οἷς ἐχρῆτο δειλαία πάρος·
ἄλλῃ δὲ κἄλλῃ δωμάτων στρωφωμένη,
εἴ του φίλων βλέψειεν οἰκετῶν δέμας,
ἔκλαεν ἡ δύστηνος εἰσορωμένη,
αὐτὴ τὸν αὐτῆς δαίμον᾽ ἀνακαλουμένη
καὶ τὰς ἄπαιδας ἐς τὸ λοιπὸν οὐσίας.
ἐπεὶ δὲ τῶνδ᾽ ἔληξεν, ἐξαίφνης σφ᾽ ὁρῶ
τὸν Ἡράκλειον θάλαμον εἰσορμωμένην.
κἀγὼ λαθραῖον ὄμμ᾽ ἐπεσκιασμένη
φρούρουν· ὁρῶ δὲ τὴν γυναῖκα δεμνίοις
τοῖς Ἡρακλείοις στρωτὰ βάλλουσαν φάρη.
ὅπως δ᾽ ἐτέλεσε τοῦτ᾽, ἐπενθοροῦσ᾽ ἄνω
καθέζετ᾽ ἐν μέσοισιν εὐνατηρίοις,
καὶ δακρύων ῥήξασα θερμὰ νάματα
ἔλεξεν, ὦ λέχη τε καὶ νυμφεῖ᾽ ἐμά,
τὸ λοιπὸν ἤδη χαίρεθ᾽, ὡς ἔμ᾽ οὔποτε
δέξεσθ᾽ ἔτ᾽ ἐν κοίταισι ταῖσδ᾽ εὐνήτριαν.
τοσαῦτα φωνήσασα συντόνῳ χερὶ
λύει τὸν αὑτῆς πέπλον, ᾗ χρυσήλατος
προύκειτο μαστῶν περονίς, ἐκ δ᾽ ἐλώπισεν
πλευρὰν ἅπασαν ὠλένην τ᾽ εὐώνυμον.
κἀγὼ δρομαία βᾶσ᾽, ὅσονπερ ἔσθενον,
τῷ παιδὶ φράζω τῆς τεχνωμένης τάδε.
κἀν ᾧ τὸ κεῖσε δεῦρό τ᾽ ἐξορμώμεθα,
ὁρῶμεν αὐτὴν ἀμφιπλῆγι φασγάνῳ
πλευρὰν ὑφ᾽ ἧπαρ καὶ φρένας πεπληγμένην.
ἰδὼν δ᾽ ὁ παῖς ᾤμωξεν· ἔγνω γὰρ τάλας
τοὔργον κατ᾽ ὀργὴν ὡς ἐφάψειεν τόδε,
ὄψ᾽ ἐκδιδαχθεὶς τῶν κατ᾽ οἶκον οὕνεκα
ἄκουσα πρὸς τοῦ θηρὸς ἔρξειεν τάδε.
κἀνταῦθ᾽ ὁ παῖς δύστηνος οὔτ᾽ ὀδυρμάτων
ἐλείπετ᾽ οὐδέν, ἀμφί νιν γοώμενος,
οὔτ᾽ ἀμφιπίπτων στόμασιν, ἀλλὰ πλευρόθεν
πλευρὰν παρεὶς ἔκειτο πόλλ᾽ ἀναστένων,
ὥς νιν ματαίως αἰτίᾳ βάλοι κακῇ,
κλάων ὁθούνεκ᾽ ἐκ δυοῖν ἔσοιθ᾽ ἅμα,
πατρός τ᾽ ἐκείνης τ᾽, ὠρφανισμένος βίον.
τοιαῦτα τἀνθάδ᾽ ἐστίν· ὥστ᾽ εἴ τις δύο
ἢ καί τι πλείους ἡμέρας λογίζεται,
μάταιός ἐστιν· οὐ γὰρ ἔσθ᾽ ἥ γ᾽ αὔριον,
πρὶν εὖ πάθῃ τις τὴν παροῦσαν ἡμέραν.
ΧΟ. πότερα πρότερον ἐπιστένω,

947—949. = 950—952.

πότερα μέλεα περαιτέρω,
δύσκριτ᾽ ἔμοιγε δυστάνῳ.
τάδε μὲν ἔχομεν ὁρᾶν δόμοις,
τάδε δὲ μένομεν ἐπ᾽ ἐλπίσιν·
κοινὰ δ᾽ ἔχειν τε καὶ μέλλειν.
εἴθ᾽ ἀνεμόεσσά τις
γένοιτ᾽ ἔπουρος ἑστιῶτις αὔρα,
ἥτις μ᾽ ἀποικίσειεν ἐκ τόπων, ὅπως
τὸν Ζηνὸς ἄλκιμον γόνον
μὴ ταρβαλέα θάνοιμι
μοῦνον εἰσιδοῦσ᾽ ἄφαρ·
ἐπεὶ ἐν δυσαπαλλάκτοις ὀδύναις
χωρεῖν πρὸ δόμων λέγουσιν ἄσπετόν τι θαῦμα.
ἀγχοῦ δ᾽ ἄρα κοὐ μακρὰν
προὔκλαον, ὀξύφωνος ὡς ἀηδών.
ξένων γὰρ ἐξόμιλος ἥδε τις βάσις.
πᾷ δ᾽ αὖ φορεῖ νιν; ὡς φίλου
προκηδομένα βαρεῖαν
ἄψοφον φέρει βάσιν.
αἰαῖ, ὅδ᾽ ἀναύδατος φέρεται.
τί χρή, φθίμενόν νιν, ἢ καθ᾽ ὕπνον ὄντα κρῖναι;
ΥΛ. οἴμοι ἐγὼ σοῦ,
πάτερ, οἴμοι ἐγὼ σοῦ μέλεος.
τί πάθω; τί δὲ μήσομαι; οἴμοι.

ΠΡΕΣΒΥΣ.

σίγα, τέκνον, μὴ κινήσῃς
ἀγρίαν ὀδύνην πατρὸς ὠμόφρονος.
ζῇ γὰρ προπετής· ἀλλ᾽ ἴσχε δακὼν
στόμα σόν. ΥΛ. πῶς φῄς, γέρον; ἦ ζῇ;
ΠΡ. οὐ μὴ ᾽ξεγερεῖς τὸν ὕπνῳ κάτοχον
κἀκκινήσεις κἀναστήσεις
φοιτάδα δεινὴν
νόσον, ὦ τέκνον. ΥΛ. ἀλλ᾽ ἐπί μοι μελέῳ
βάρος ἄπλετον ἐμμέμονεν φρήν.

ΗΡΑΚΛΗΣ.

ὦ Ζεῦ,
ποῖ γᾶς ἥκω; παρὰ τοῖσι βροτῶν
κεῖμαι πεπονημένος ἀλλήκτοις
ὀδύναις; οἴμοι ἐγὼ τλάμων·
ἡ δ᾽ αὖ μιαρὰ βρύκει. φεῦ.
ΠΡ. ἆρ᾽ ἐξῄδησθ᾽ ὅσον ἦν κέρδος
σιγῇ κεύθειν καὶ μὴ σκεδάσαι
τῷδ᾽ ἀπὸ κρατὸς
βλεφάρων θ᾽ ὕπνον; ΥΛ. οὐ γὰρ ἔχω πῶς ἂν
στέρξαιμι κακὸν τόδε λεύσσων.
ΗΡ. ὦ Κηναία κρηπὶς βωμῶν,

953—961. = 962—970.

902. ἀντῴη Triclinius] ἀντοίη 905. γένοιντ᾽ ἔρημοι Nauckius] γένοιτ᾽ ἐρήμη κλᾶε D.] κλαῖε 909. ἔκλαεν D.] ἔκλαιεν 910. ἀνακαλουμένη] ἀγκαλουμένη Hermannus. Vid. ad El. 693. 911. Versus absurdum in modum interpolatus aut totus ab interpolatore confictus, quum versus excidisset quo verba τὸν αὑτῆς δαίμονα accuratius definirentur. 918. εὐνατηρίοις D.] εὐναστηρίοις 924. *αὑτῆς] αὐτῆσ ᾗ Wakefieldus] ὧι 928. τῆς τεχνωμένης τάδε] τῆσδε μωμένης τάδε Meinekius. 932. *ὁ παῖς] om. Post ἔγνω duae literae erasae. 941. κλάων D.] κλαίων 942. ὠρφανισμένος] ω ex ο factum. βίον Wakefieldus] βίου 944. ἢ καί τι πλείους D.] ἢ καὶ πλείους τις: quod in apographis metro accommodatam est illata forma vitiosa πλέους. Ad sententiam quod attinet, rectius fecisset poeta si scripsisset ἢ καὶ μίαν τις ἡμέραν λογίζεται. Meinekio (in Append. ad Oedip. Col. p. 302.) tota haec peroratio 943—946. ab falsario composita esse videtur, quum genuini versus Sophoclis excidissent. 947. πότερα πρότερον D.] πότερ᾽ ἂν πρότερα

948. μέλεα Musgravius] τέλεα 951. μένομεν Erfurdtius] μέλλομεν 954. *αὔρα] αὖρα 956. Ζηνὸς Triclinius] διὸς 960. δυσαπαλλάκτοις] αλλ in litura duarum literarum. Videtur αλ (simplici λ) fuisse. 963. προύκλαον D.] προὔκλαιον ξένοι post ἀηδὼν lectum delevit Triclinius. 964. βάσις] στάσις Meinekius. 966. *προκηδομένα] προκηδομέναν 969. αἰαῖ, ὅδ᾽ ἀναύδατος Erfurdtius (nisi quod αἶ αἶ αἶ scripsit)] αἶ αἶ αἶ αἶ, ὅδ᾽ ἄναυδος 970. φθίμενον Hermannus] θανόντα καθ᾽ ὕπνον] κάθυπνον Reiskius. 971. 972. ἐγὼ σοῦ Brunckius] ἐγώ σου 977. γέρον Brunckius] γέρων 978. μὴ ᾽ξεγερεῖς Dawesius] μὴξεγείρεισ (ηι superscr.: ηι a m. pr.) 982. ἐμμέμονεν Erfurdtius] ἐμμέμονε 986. Versus syllaba una longa aut duabus brevibus defectus. ὤμοι μοι ἐγὼ Meinekius. 987. *ἡ δ᾽] ἦδ᾽ 988. ἐξῄδησθ᾽ Cobetus Nov. Lect. p. 215.] ἐξήιδησ

ἱερῶν οἵαν οἵων ἐπί μοι
μελέῳ χάριν ἠνύσω, ὦ Ζεῦ.
οἵαν μ' ἄρ' ἔθου λώβαν, οἵαν·
ἣν μή ποτ' ἐγὼ προσιδεῖν ὁ τάλας
ὤφελον ὄσσοις, τόδ' ἀκήλητον
μανίας ἄνθος καταδερχθῆναι.
τίς γὰρ ἀοιδός, τίς ὁ χειροτέχνης
ἰατορίας, ὃς τήνδ' ἄτην
χωρὶς Ζηνὸς κατακηλήσει;
θαῦμ' ἂν πόρρωθεν ἰδοίμην.
ἐή,
ἐᾶτέ μ', ἐᾶτέ με δύσμορον εὐνάσαι,
ἐᾶθ' ὕστατον εὐνάσαι.
πᾷ μου ψαύεις; ποῖ κλίνεις;
ἀπολεῖς μ', ἀπολεῖς.
ἀνατέτροφας ὅ τι καὶ μύσῃ. [ὦ
ἦπταί μου, τοτοτοῖ, ἥδ' αὖθ' ἕρπει. πόθεν ἔστ',
πάντων Ἑλλάνων ἀδικώτατοι ἀνέρες, οὓς δὴ
πολλὰ μὲν ἐν πόντῳ, κατά τε δρία πάντα καθαίρων,
ὠλεκόμαν ὁ τάλας, καὶ νῦν ἐπὶ τῷδε νοσοῦντι
οὐ πῦρ, οὐκ ἔγχος τις ὀνήσιμον οὐκ ἐπιτρέψει;
ἐή,
οὐδ' ἀπαράξαι κρᾶτα βίου θέλει
μολὼν τοῦ στυγεροῦ; φεῦ φεῦ. [κει
ΠΡ. ὦ παῖ τοῦδ' ἀνδρός, τοὔργον τόδε μεῖζον ἀνή-
ἢ κατ' ἐμὰν ῥώμαν· σὺ δὲ σύλλαβε. σοί τε γὰρ
ὄμμα [ἔγωγε,
ἔμπλεον ἢ δι' ἐμοῦ σῴζειν. ΥΛ. ψαύω μὲν
λαθίπονον δ' ὀδυνᾶν οὔτ' ἔνδοθεν οὔτε θύραθεν
ἔστι μοι ἐξανύσαι βίοτον· τοιαῦτα νέμει Ζεύς.
ΗΡ. ὦ παῖ, ποῦ ποτ' εἶ;

1005 a. b. = 1015—1017.
1006—1014. = 1027—1040.
1023—1026. = 1041—1042.

τᾷδέ με τᾷδέ με πρόσλαβε κουφίσας.
αἰαῖ, ἰὼ δαῖμον.
θρῴσκει δ' αὖ, θρῴσκει δειλαία
διολοῦσ' ἡμᾶς
ἀποτίβατος ἀγρία νόσος.
ὦ Παλλὰς Παλλάς, τόδε μ' αὖ λωβᾶται. ἰὼ παῖ,
τὸν φύτορ' οἰκτείρας ἀνεπίφθονον εἴρυσον ἔγχος,
παῖσον ἐμᾶς ὑπὸ κλῇδος· ἀκοῦ δ' ἄχος, ᾧ μ'
ἐχόλωσεν
σὰ μάτηρ ἄθεος, τὰν ὧδ' ἐπίδοιμι πεσοῦσαν
αὔτως, ὧδ' αὔτως ὥς μ' ὤλεσεν. ὦ γλυκὺς
ὦ Διὸς αὐθαίμων, [῞Αιδας,
εὔνασον εὔνασον ὠκυπέτᾳ μόρῳ
τὸν μέλεον φθίσας.
ΧΟ. κλύουσ' ἔφριξα τάσδε συμφοράς, φίλαι,
ἄνακτος, οἵαις οἷος ὢν ἐλαύνεται.
ΗΡ. ὦ πολλὰ δὴ καὶ θερμὰ καὶ λόγων πέρα
καὶ χερσὶ καὶ νώτοισι μοχθήσας ἐγώ·
κοὔπω τοιοῦτον οὔτ' ἄκοιτις ἡ Διὸς
προύθηκεν οὔθ' ὁ στυγνὸς Εὐρυσθεὺς ἐμοὶ
οἷον τόδ' ἡ δολῶπις Οἰνέως κόρη
καθῆψεν ὤμοις τοῖς ἐμοῖς Ἐρινύων
ὑφαντὸν ἀμφίβληστρον, ᾧ διόλλυμαι.
πλευραῖσι γὰρ προσμαχθὲν ἐκ μὲν ἐσχάτας
βέβρωκε σάρκας, πλεύμονός τ' ἀρτηρίας
ῥοφεῖ ξυνοικοῦν· ἐκ δὲ χλωρὸν αἷμά μου
πέπωκεν ἤδη, καὶ διέφθαρμαι δέμας
τὸ πᾶν, ἀφράστῳ τῇδε χειρωθεὶς πέδῃ.
κοὐ ταῦτα λόγχη πεδιάς, οὔθ' ὁ γηγενὴς
στρατὸς Γιγάντων, οὔτε θήρειος βία,
οὔθ' Ἑλλάς, οὔτ' ἄγλωσσος, οὔθ' ὅσην ἐγὼ
γαῖαν καθαίρων ἱκόμην, ἔδρασέ πω·
γυνὴ δέ, θῆλυς οὖσα κοὐκ ἀνδρὸς φύσιν,
μόνη με δὴ καθεῖλε φασγάνου δίχα.
ὦ παῖ, γενοῦ μοι παῖς ἐτήτυμος γεγώς,
καὶ μὴ τὸ μητρὸς ὄνομα πρεσβεύσῃς πλέον.
δός μοι χεροῖν σαῖν αὐτὸς ἐξ οἴκου λαβὼν
ἐς χεῖρα τὴν τεκοῦσαν, ὡς εἰδῶ σάφα
εἰ τοὐμὸν ἀλγεῖς μᾶλλον ἢ κείνης ὁρῶν
λωβητὸν εἶδος ἐν δίκῃ κακούμενον.
ἴθ', ὦ τέκνον, τόλμησον· οἴκτειρόν τέ με
πολλοῖσιν οἰκτρόν, ὅστις ὥστε παρθένος
βέβρυχα κλάων, καὶ τόδ' οὐδ' ἂν εἷς ποτε
τόνδ' ἄνδρα φαίη πρόσθ' ἰδεῖν δεδρακότα,

---

995. οἵαν οἵων ἐπί μοι Martinus] οἵαν ἀνθ' οἵων (ω ex ο factum) θυμάτων ἐπί μοι 996. ἠνύσω, ὦ Ζεῦ] ἠνύσωζεῦ, ὦ a m. pr. 1004. ἰδοίμαν (debebat ἰδοίμην) Triclinius] ἰδοίμ' ἄν, η a m. ant. 1005 a. δύσμορον εὐνᾶσαι (sic) separato versu. δύσμορον] γρ. ὕστατον (nescio a qua manu) 1005 b. ἐᾶθ' ὕστατον εὐνάσαι Hermannus] ἐᾶτέ με δύστανον εὐνᾶσαι 1006. * πᾷ] πᾶι πᾶ πᾶ Seidlerus. 1007. Post alterum ἀπολεῖσ duae literae erasae vel una. 1008. ἀνατέτροφας Erfurdtius] ἀντέτροφας

1009—1042. Versus in codice sic divisi, ἦπται-| ἥδ'-| πάντων-| ἀδικώτατοι-| πολλὰ-| κατά-| ὠλεκόμαν-| καὶ νῦν-| οὐ πῦρ-| τισ-| ἐέ | οὐδ'-| βίου-| τοῦ-| ὦ-| τοὔργον-| ἢ κατ'-| σὺ δὲ-| ἔμπλεον-| σώιζειν-| λαθίπονον-| οὔτ'-| θύραζ' ἐν- | ἐστί-| βιότου-| ὦ παῖ-| τᾶιδε-| πρόσλαβε-| ἐέ | ἰὼ-| θρώισκει-| δειλαία-| ἀποτίβατοσ-| νόσοσ.-| τόδε μ' αὖ-| τὸν φύσαντ'-| ἀνεπίφθονον-| παῖσον — κληΐ- | δοσ.-| σὰ-| ἂν-| αὔτωσ ὧδ'-| ὦ διόσ-| ὦ γλυκὺσ-| εὔνασόν μ'-| ὠκυπέτα μόρωι-| τὸν μέλεον φθίσασ. 1009. *τοτοτοῖ] τὸ τὸ τοῖ 1010. Ἑλλάνων] ἀνθρώπων Wunderus. 1012. *ἐν πόντῳ] ἐνιπόντωι 1013. *ἐπιτρέψει] ἀποτρέψει, η 1014. ἐή D.] ἐέ 1018. ἀνήκει] ἀνείκει, η a m. seculi 15. 1020. *σοί τε γὰρ ὄμμα | ἔμπλεον ἢ δι' ἐμοῦ] Locus corruptus et, ut videtur, defectus, quem utcunque explicuit scholiasta. 1021. ὀδυνᾶν ex scholiastae annotatione] ὀδύναν θύραθεν] θύραζ' ἐν, θ a m. pr. 1022. βίοτον Musgravius] βιότου 1023. παῖ Seidlerus] παῖ παῖ

1025. αἰαῖ, ἰὼ δαίμων D.] ἐέ ἰὼ ἰὼ δαῖμον 1026. θρώσκει] θρώισκει utrobique. 1031. ὦ Seidlerus] ἰώ. Alterum Παλλὰς addidit D. 1034. φύτορ' D.] φύσαντ' 1035. *ἐμᾶς] ἡμᾶσ ἀκοῦ — ᾧ] ἄκου — ὅ, erasa post ὅ litera, ε ut videtur. ἐχόλωσεν] γρ. ἐχόλησεν ab S, quasi ἐλόχησεν voluerit. ἐδόλωσεν A. Spengelius. 1038. τὰν Erfurdtius] ἂν

1042. Verba ὦ διὸσ αὐθαίμων in marg. a m. pr. ante ὦ γλυκὺσ ἀΐδασ inserenda. Post haec verba posuit Seidlerus. 1042. εὔνασον εὔνασον Turnebus] εὔνασόν μ' εὔνασον 1044. *τάσδε συμφοράς] τᾶσδε συμφορᾶσ 1045. *οἵαις] οἵασ 1046. λόγων πέρα Wunderus] λόγῳ κακά 1051. ἐμοῖς] ἐμοῖ, σ a m. sec. 15. addito. 1052. διόλλυμαι] διώλλυμαι pr., ν 1054. πλεύμονος] πλεύμονοσ, ν a m. pr., ut v. 567. 1059. *θήρειος βία] θήριοσ βίαι 1062. θῆλυς οὖσα] θῆλυ φῦσα Steinhartus. 1067. εἰδῶ] εἴδω pr. ἴδω Nauckius. 1069. λωβητὸν — κακούμενον] Hunc versum aut non legit aut consulto omisit Cicero, quum Herculis orationem (v. 1046—1101.) in sermonem Latinum liberius transferret Quaest. Tuscul. 2, 8. 1071. *ὥστε] ὥστισ in textu et in lemmate scholii. 1072. κλάων D.] κλαίων

ἀλλ᾽ ἀστένακτος αἰὲν εἱπόμην κακοῖς,
νῦν δ᾽ ἐκ τοιούτου θῆλυς ηὕρημαι τάλας.
καὶ νῦν προσελθὼν στῆθι πλησίον πατρός,
σκέψαι θ᾽ ὁποίας ταῦτα συμφορᾶς ὕπο
πέπονθα· δείξω γὰρ τάδ᾽ ἐκ καλυμμάτων.
ἰδού, θεᾶσθε πάντες ἄθλιον δέμας,
ὁρᾶτε τὸν δύστηνον, ὡς οἰκτρῶς ἔχω.
αἰαῖ τάλας,
ἔθαλψεν ἄτης σπασμὸς ἀρτίως, ὁ δ᾽ αὖ
διῆξε πλευρῶν, οὐδ᾽ ἀγύμναστόν μ᾽ ἐᾶν
ἔοικεν ἡ τάλαινα διάβορος νόσος.
ὦναξ Ἀΐδη, δέξαι μ᾽,
ὦ Διὸς ἀκτίς, παῖσον.
ἔνσεισον, ὦναξ, ἐγκατάσκηψον βέλος,
πάτερ, κεραυνοῦ. δαίνυται γὰρ αὖ πάλιν,
ἤνθηκεν, ἐξώρμηκεν. ὦ χέρες χέρες,
ὦ νῶτα καὶ στέρν᾽, ὦ φίλοι βραχίονες,
ὑμεῖς ἐκεῖνοι δὴ καθέσταθ᾽, οἵ ποτε
Νεμέας ἔνοικον, βουκόλων ἀλάστορα,
λέοντ᾽, ἄπλατον θρέμμα κἀπροσήγορον,
βίᾳ κατειργάσασθε, Λερναίαν θ᾽ ὕδραν,
διφυᾶ τ᾽ ἄμικτον ἱπποβάμονα στρατὸν
θηρῶν, ὑβριστήν, ἄνομον, ὑπέροχον βίαν,
Ἐρυμάνθιόν τε θῆρα, τόν θ᾽ ὑπὸ χθονὸς
Ἅιδου τρίκρανον σκύλακ᾽, ἀπρόσμαχον τέρας,
δεινῆς Ἐχίδνης θρέμμα, τόν τε χρυσέων
δράκοντα μήλων φύλακ᾽ ἐπ᾽ ἐσχάτοις τόποις.
ἄλλων τε μόχθων μυρίων ἐγευσάμην,
κοὐδεὶς τροπαῖ᾽ ἔστησε τῶν ἐμῶν χερῶν.
νῦν δ᾽ ὧδ᾽ ἄναρθρος καὶ κατερρακωμένος
τυφλῆς ὑπ᾽ ἄτης ἐκπεπόρθημαι τάλας,
ὁ τῆς ἀρίστης μητρὸς ὠνομασμένος,
ὁ τοῦ κατ᾽ ἄστρα Ζηνὸς αὐδηθεὶς γόνος.
ἀλλ᾽ εὖ γέ τοι τόδ᾽ ἴστε, κἂν τὸ μηδὲν ὦ
κἂν μηδὲν ἕρπω, τήν γε δράσασαν τάδε
χειρώσομαι κἀκ τῶνδε. προσμόλοι μόνον,
ἵν᾽ ἐκδιδαχθῇ πᾶσιν ἀγγέλλειν ὅτι
καὶ ζῶν κακούς γε καὶ θανὼν ἐτισάμην.
ΧΟ. ὦ τλῆμον Ἑλλάς, πένθος οἷον εἰσορῶ
ἕξουσαν, ἀνδρὸς τοῦδέ γ᾽ εἰ σφαλήσεται.
ΥΛ. ἐπεὶ παρέσχες ἀντιφωνῆσαι, πάτερ,
σιγὴν παρασχών, κλῦθί μου νοσῶν ὅμως·
αἰτήσομαι γάρ σ᾽ ὧν δίκαια τυγχάνειν.
δός μοι σεαυτόν, μὴ τοσοῦτον ὡς δάκνει
θυμῷ δύσοργος. οὐ γὰρ ἂν γνοίης ἐν οἷς
χαίρειν προθυμεῖ κἀν ὅτοις ἀλγεῖς μάτην.
ΗΡ. εἰπὼν ὃ χρῄζεις λῆξον· ὡς ἐγὼ νοσῶν
οὐδὲν ξυνίημ᾽ ὧν σὺ ποικίλλεις πάλαι.
ΥΛ. τῆς μητρὸς ἥκω τῆς ἐμῆς φράσων ἐν οἷς
νῦν ἐστιν οἷς θ᾽ ἥμαρτεν οὐχ ἑκουσία.
ΗΡ. ὦ παγκάκιστε, καὶ παρεμνήσω γὰρ αὖ
τῆς πατροφόντου μητρός, ὡς κλύειν ἐμέ;
ΥΛ. ἔχει γὰρ οὕτως ὥστε μὴ σιγᾶν πρέπειν.
ΗΡ. οὐ δῆτα τοῖς γε πρόσθεν ἡμαρτημένοις.
ΥΛ. ἀλλ᾽ οὐδὲ μὲν δὴ τοῖς γ᾽ ἐφ᾽ ἡμέραν ἐρεῖς.
ΗΡ. λέγ᾽, εὐλαβοῦ δὲ μὴ φανῇς κακὸς γεγώς.
ΥΛ. λέγω. τέθνηκεν ἀρτίως νεοσφαγής.
ΗΡ. πρὸς τοῦ; τέρας τοι διὰ κακῶν ἐθέσπισας.
ΥΛ. αὐτὴ πρὸς αὑτῆς, οὐδενὸς πρὸς ἐκτόπου.
ΗΡ. οἴμοι· πρὶν ὡς χρῆν σφ᾽ ἐξ ἐμῆς θανεῖν χερός;
ΥΛ. κἂν σοῦ στραφείη θυμός, εἰ τὸ πᾶν μάθοις.
ΗΡ. δεινοῦ λόγου κατῆρξας· εἰπὲ δ᾽ ᾗ νοεῖς.
ΥΛ. ἅπαν τὸ χρῆμ᾽, ἥμαρτε χρηστὰ μωμένη.
ΗΡ. χρήστ᾽, ὦ κάκιστε, πατέρα σὸν κτείνασα δρᾷ;
ΥΛ. στέργημα γὰρ δοκοῦσα προσβαλεῖν σέθεν
ἀπήμπλαχ᾽, ὡς προσεῖδε τοὺς ἔνδον γάμους.
ΗΡ. καὶ τίς τοσοῦτος φαρμακεὺς Τραχινίων;
ΥΛ. Νέσσος πάλαι Κένταυρος ἐξέπεισέ νιν
τοιῷδε φίλτρῳ τὸν σὸν ἐκμῆναι πόθον.
ΗΡ. ἰοὺ ἰοὺ δύστηνος, οἴχομαι τάλας.
ὄλωλ᾽ ὄλωλα, φέγγος οὐκέτ᾽ ἔστι μοι.
οἴμοι, φρονῶ δὴ ξυμφορᾶς ἵν᾽ ἕσταμεν.
ἴθ᾽, ὦ τέκνον· πατὴρ γὰρ οὐκέτ᾽ ἔστι σοι·
κάλει τὸ πᾶν μοι σπέρμα σῶν ὁμαιμόνων,
κάλει δὲ τὴν τάλαιναν Ἀλκμήνην, Διὸς
μάτην ἄκοιτιν, ὡς τελευταίαν ἐμοῦ
φήμην πύθησθε θεσφάτων ὅσ᾽ οἶδ᾽ ἐγώ.
ΥΛ. ἀλλ᾽ οὔτε μήτηρ ἐνθάδ᾽, ἀλλ᾽ ἐπακτίᾳ
Τίρυνθι συμβέβηκεν ὥστ᾽ ἔχειν ἕδραν,
παίδων δὲ τοὺς μὲν ξυλλαβοῦσ᾽ αὐτὴ τρέφει,
τοὺς δ᾽ ἂν τὸ Θήβης ἄστυ ναίοντας μάθοις·
ἡμεῖς δ᾽ ὅσοι πάρεσμεν, εἴ τι χρή, πάτερ,
πράσσειν, κλύοντες ἐξυπηρετήσομεν.
ΗΡ. σὺ δ᾽ οὖν ἄκουε τοὔργον· ἐξήκεις δ᾽ ἵνα
φανεῖς ὁποῖος ὢν ἀνὴρ ἐμὸς καλεῖ.
ἐμοὶ γὰρ ἦν πρόφαντον ἐκ πατρὸς πάλαι,
τῶν ἐμπνεόντων μηδενὸς θανεῖν ὕπο,
ἀλλ᾽ ὅστις Ἅιδου φθίμενος οἰκήτωρ πέλοι.
ὅδ᾽ οὖν ὁ θὴρ Κένταυρος, ὡς τὸ θεῖον ἦν
πρόφαντον, οὕτω ζῶντά μ᾽ ἔκτεινεν θανών.
φανῶ δ᾽ ἐγὼ τούτοισι συμβαίνοντά σοι

1074. εἱπόμην ex schol. Ai. 317.] ἑσπόμην 1075. ηὕρημαι D.] εὕρημαι 1077. θ᾽ Nauckius] δ᾽ 1080. δύστηνον] δύστανον, η a m. ant. superscr.
ϵ ϵ
1081. αἰαῖ τάλας D.] αἶ αἶ ὦ τάλασ αἰ αἰ (utrumque ϵ a m. rec.) 1082. ὁ δ᾽ Turnebus] ὅδ᾽ 1085. μ᾽] με 1091. *ὑμεῖς ἐκεῖνοι] ὑμεῖσ δὲ κεῖνοι 1095. διφυᾶ D.] διφυῆ, ut ἀφυῆ Philoct 1014. Intactum vero relictum τἀνδεᾶ Oed. Col. 1430. 1096. ὑπέροχον Bentleius] ὑπείροχον 1098. ἀπρόσμαχον] Similiter Cerberum ἀνίκατον dixit Sophocles Oed. Col. 1568. σῶμά τ᾽ ἀνικάτου θηρός, ubi quum vocabuli ἀνικάτου syllabae penultimae longae in stropha 1556. brevis respondeat, Meinekius p. 200. σῶμά τε μαιμάκου coniecit collata Photii glossa p. 241, 14. μαίμακον: τὸ χαλεπὸν καὶ δύσμαχον. τραγικὴ ἡ λέξις, cui addendus Arcadius, qui μαίμακος inter adiectiva in ακος terminata memorat p. 51, 12. Idem adiectivum Trachiniarum versui restitui voluit Nauckius, σκύλακα, μαίμακον τέρας. 1100. ἐσχάτοις τόποις] ἐσχάτοισι γῆς vel ἐσχάτοις χθονός Nauckius. 1106. αὐδηθεὶς] Post αὐ duae literae erasae. 1111. κακούς γε] κακούργους Cobetus Nov. Lect. p. 211. 1114. παρέσχες] παρίης Heimsoethius.

ϊ
1121. ξυνίημ᾽] ξυνείημ᾽, ϊ a m. rec. 1123. οἷς θ᾽] ὥς θ᾽ Nauckius. 1132. *αὑτῆς] αὐτῆσ ἐκτόπου] ἐντόπου Meinekius. 1136. μωμένη Heathius] μνωμένη 1137. *χρήστ᾽] χρῆστ᾽ 1138.
χ
στέργημα] στέργηθρα Nauckius. 1139. ἀπήμπλακ᾽, χ a m. pr. ἀπήπλαχ᾽ Elmsleius. 1141. *Νέσσος] νέσοσ 1144. ἔστι μοι] εἰσορῶ Nauckius. 1150. *ὅσ᾽] ὅσσ᾽ 1155. δ᾽ ὅσοι] δέ σοι Nauckius, deleto versu proximo. 1156. πράσσειν Brunckius] πράττειν 1158. *φανεῖς] φανῆισ ὢν ἀνὴρ ἐμὸς καλεῖ] ὢν ἐμὸς καλεῖ γόνος Meinekius. 1159. *πρόφαντον] πρόσφατον 1160. τῶν ἐμπνεόντων Erfurdtius] πρὸς τῶν πνεόντων 1161. Ἅιδου inter versus habet a m. pr.
οι
πέλοι] πέλει, οι a m. pr. 1163. ἔκτεινεν] ἔκτανεν Triclinius. 1164. συμβαίνοντά σοι Wunderus] συμβαίνοντ᾽ ἴσα

μαντεῖα καινὰ, τοῖς πάλαι ξυνήγορα,
ἃ τῶν ὀρείων καὶ χαμαικοιτῶν ἐγὼ
Σελλῶν ἐσελθὼν ἄλσος εἰσεγραψάμην
πρὸς τῆς πατρῴας καὶ πολυγλώσσου δρυὸς,
ἥ μοι χρόνῳ τῷ ζῶντι καὶ παρόντι νῦν
ἔφασκε μόχθων τῶν ἐφεστώτων ἐμοὶ
λύσιν τελεῖσθαι· κἀδόκουν πράξειν καλῶς.
τὸ δ' ἦν ἄρ' οὐδὲν ἄλλο πλὴν θανεῖν ἐμέ.
τοῖς γὰρ θανοῦσι μόχθος οὐ προσγίγνεται.
ταῦτ' οὖν ἐπειδὴ λαμπρὰ συμβαίνει, τέκνον,
δεῖ σ' αὖ γενέσθαι τῷδε τἀνδρὶ σύμμαχον,
καὶ μὴ 'πιμεῖναι τοὐμὸν ὀξῦναι στόμα,
ἀλλ' αὐτὸν εἰκαθόντα συμπράσσειν, νόμον
κάλλιστον ἐξευρόντα, πειθαρχεῖν πατρί.
ΥΛ. ἀλλ', ὦ πάτερ, ταρβῶ μὲν ἐς λόγου στάσιν
τοιάνδ' ἐπελθὼν, πείσομαι δ' ἅ σοι δοκεῖ.
ΗΡ. ἔμβαλλε χεῖρα δεξιὰν πρώτιστά μοι.
ΥΛ. ὡς πρὸς τί πίστιν τήνδ' ἄγαν ἐπιστρέφεις;
ΗΡ. οὐ θᾶσσον οἴσεις μηδ' ἀπιστήσεις ἐμοί;
ΥΛ. ἰδοὺ προτείνω, κοὐδὲν ἀντειρήσεται.
ΗΡ. ὄμνυ Διός νυν τοῦ με φύσαντος κάρα.
ΥΛ. ἦ μὴν τί δράσειν; καὶ τόδ' ἐξειρήσεται;
ΗΡ. ἦ μὴν ἐμοὶ τὸ λεχθὲν ἔργον ἐκτελεῖν.
ΥΛ. ὄμνυμ' ἔγωγε, Ζῆν' ἔχων ἐπώμοτον.
ΗΡ. εἰ δ' ἐκτὸς ἔλθοις, πημονὰς εὔχου λαβεῖν.
ΥΛ. οὐ μὴ λάβω· δράσω γάρ· εὔχομαι δ' ὅμως.
ΗΡ. οἶσθ' οὖν τὸν Οἴτης Ζηνὸς ὕψιστον πάγον;
ΥΛ. οἶδ', ὡς θυτήρ γε πολλὰ δὴ σταθεὶς ἄνω.
ΗΡ. ἐνταῦθά νυν χρὴ τοὐμὸν ἐξάραντά σε
σῶμ' αὐτόχειρα, καὶ ξὺν οἷς χρῄζεις φίλων,
πολλὴν μὲν ὕλην τῆς βαθυρρίζου δρυὸς
κείραντα, πολλὸν δ' ἄρσεν' ἐκτεμόνθ' ὁμοῦ
ἄγριον ἔλαιον, σῶμα τοὐμὸν ἐμβαλεῖν,
καὶ πευκίνης λαβόντα λαμπάδος σέλας
πρῆσαι. γόου δὲ μηδὲν εἰσίτω δάκρυ,
ἀλλ' ἀστένακτος κἀδάκρυτος, εἴπερ εἶ
τοῦδ' ἀνδρὸς, ἔρξον· εἰ δὲ μὴ, μενῶ σ' ἐγὼ
καὶ νέρθεν ὢν ἀραῖος εἰσαεὶ βαρύς.
ΥΛ. οἴμοι, πάτερ, τί εἶπας; οἷά μ' εἴργασαι.
ΗΡ. ὁποῖα δραστέ' ἐστίν· εἰ δὲ μὴ, πατρὸς
ἄλλου γενοῦ του μηδ' ἐμὸς κληθῇς ἔτι.
ΥΛ. οἴμοι μάλ' αὖθις, οἷά μ' ἐκκαλεῖ, πάτερ,
φονέα γενέσθαι καὶ παλαμναῖον σέθεν.
ΗΡ. οὐ δῆτ' ἔγωγ', ἀλλ' ὧν ἔχω παιώνιον
καὶ μοῦνον ἰατῆρα τῶν ἐμῶν κακῶν.
ΥΛ. καὶ πῶς ὑπαίθων σῶμ' ἂν ἰῴμην τὸ σόν;
ΗΡ. ἀλλ' εἰ φοβεῖ πρὸς τοῦτο, τἄλλα γ' ἔργασαι.
ΥΛ. φορᾶς γέ τοι φθόνησις οὐ γενήσεται.
ΗΡ. ἦ καὶ πυρᾶς πλήρωμα τῆς εἰρημένης;
ΥΛ. ὅσον γ' ἂν αὐτὸς μὴ ποτιψαύων χεροῖν·
τὰ δ' ἄλλα πράξω κοὐ καμεῖ τοὐμὸν μέρος.
ΗΡ. ἀλλ' ἀρκέσει καὶ ταῦτα· πρόσνειμαι δέ μοι
χάριν βραχεῖαν πρὸς μακροῖς ἄλλοις διδούς.
ΥΛ. εἰ καὶ μακρὰ κάρτ' ἐστὶν, ἐργασθήσεται.
ΗΡ. τὴν Εὐρυτείαν οἶσθα δῆτα παρθένον;
ΥΛ. Ἰόλην ἔλεξας, ὥς γ' ἐπεικάζειν ἐμέ.
ΗΡ. ἔγνως. τοσοῦτον δή σ' ἐπισκήπτω, τέκνον·
ταύτην, ἐμοῦ θανόντος, εἴπερ εὐσεβεῖν
βούλει, πατρῴων ὁρκίων μεμνημένος,
προσθοῦ δάμαρτα, μηδ' ἀπιστήσῃς πατρί·
μηδ' ἄλλος ἀνδρῶν τοῖς ἐμοῖς πλευροῖς ὁμοῦ
κλιθεῖσαν αὐτὴν ἀντὶ σοῦ λάβῃ ποτέ,
ἀλλ' αὐτὸς, ὦ παῖ, τοῦτο κήδευσον λέχος.
πιθοῦ· τὸ γάρ τοι μεγάλα πιστεύσαντ' ἐμοὶ
σμικροῖς ἀπιστεῖν τὴν πάρος συγχεῖ χάριν.
ΥΛ. οἴμοι. τὸ μὲν νοσοῦντι θυμοῦσθαι κακὸν,
τὸ δ' ὧδ' ὁρᾶν φρονοῦντα τίς ποτ' ἂν φέροι;
ΗΡ. ὡς ἐργασείων οὐδὲν ὧν λέγω θροεῖς.
ΥΛ. τίς γάρ ποθ', ἥ μοι μητρὶ μὲν θανεῖν μόνη
μεταίτιος, σοὶ δ' αὖθις ὡς ἔχεις ἔχειν,
τίς ταῦτ' ἂν, ὅστις μὴ 'ξ ἀλαστόρων νοσοῖ,
ἕλοιτο; κρεῖσσον κἀμέ γ', ὦ πάτερ, θανεῖν
ἢ τοῖσιν ἐχθίστοισι συνναίειν ὁμοῦ.
ΗΡ. ἁνὴρ ὅδ', ὡς ἔοικεν, οὐ νέμει πατρὶ
φθίνοντι μοῖραν· ἀλλά τοι θεῶν ἀρὰ
μενεῖ σ' ἀπιστήσαντα τοῖς ἐμοῖς λόγοις.
ΥΛ. οἴμοι, τάχ', ὡς ἔοικας, ὡς νοσεῖς φράσεις.
ΗΡ. σὺ γάρ μ' ἀπ' εὐνασθέντος ἐκκινεῖς κακοῦ.
ΥΛ. δείλαιος, ὡς ἐς πολλὰ τἀπορεῖν ἔχω.
ΗΡ. οὐ γὰρ δικαιοῖς τοῦ φυτεύσαντος κλύειν.
ΥΛ. ἀλλ' ἐκδιδαχθῶ δῆτα δυσσεβεῖν, πάτερ;
ΗΡ. οὐ δυσσέβεια, τοὐμὸν εἰ τέρψεις κέαρ.
ΥΛ. πράσσειν ἄνωγας οὖν με πανδίκως τάδε;
ΗΡ. ἔγωγε· τούτων μάρτυρας καλῶ θεούς.
ΥΛ. τοιγὰρ ποιήσω, κοὐκ ἀπώσομαι, τὸ σὸν
θεοῖσι δεικνὺς ἔργον. οὐ γὰρ ἄν ποτε
κακὸς φανείην σοί γε πιστεύσας, πάτερ.
ΗΡ. καλῶς τελευτᾷς, κἀπὶ τοῖσδε τὴν χάριν
ταχεῖαν, ὦ παῖ, πρόσθες· ὡς πρὶν ἐμπεσεῖν
σπαραγμὸν ἤ τιν' οἶστρον ἐς πυράν με θῇς.
ἄγ' ἐγκονεῖτ', αἴρεσθε. παῦλά τοι κακῶν
αὕτη, τελευτὴ τοῦδε τἀνδρὸς ὑστάτη.
ΥΛ. ἀλλ' οὐδὲν εἴργει σοὶ τελειοῦσθαι τάδε,
ἐπεὶ κελεύεις κἀξαναγκάζεις, πάτερ.
ΗΡ. ἄγε νυν, πρὶν τήνδ' ἀνακινῆσαι

---

1167. *ἐσελθὼν] εἰσελθὼν 1172. τὸ δ' Wyttenbachius] τόδ' 1173. προσγίγνεται Brunckius] προσγίνεται 1175. *τῷδε τἀνδρὶ] τῶιδέ τ' ἀνδρὶ. τῷ δέ γ' ἀνδρὶ apud schol. Homeri Il. 18, 100. 1176.
αν
μὴ 'πιμεῖναι] μὴ παμῆναι pr., quod, deleto αν, in μὴ 'πιμεῖναι mutatum est. *ὀξῦναι] ὀξύναι 1177. εἰκαθόντα D.] εἰκάθοντα 1181. *ἔμβαλλε] ἔμβαλε
ει
1183. ἀπιστήσεις] ἀπιστήσησ, ει a m. pr. γρ. προστήσηισ ἐμοί ab S. 1193. *ἐξάραντά σε] ἐξᾱιρέντά σε 1197. *ἔλαιον] ἐλαιὸν 1200. *εἴπερ]
ο
εἶπερ 1205. *του] τοῦ 1210. ὑπαίθων] ὑπαῖθων, circumflexo et ο a m. antiqua addito. 1211. *γ'] μ'

σ
1216. πρόσνειμαι] πρόνεῖμαι, accentu supra o et litera σ a m. ant. additis. 1218. κάρτ' ex κρατ'
θ
factum. 1219. παρθένον] παρνον 1220. ὥς γ' Schaeferus] ὥστ' 1224. προσθοῦ D.] πρόσθου 1225. ἐμοῖς πλευροῖς] ἐμοῖ πλευροῖσ, σ post οῖ a m. seculi 15. addito. Saepe sic σ omissum, quod uno ductu cum proximo π expressum erat. 1226. λάβῃ Elmsleius] λάβοι 1228. πιθοῦ Brunckius] πείθου 1230. *τὸ] τῶι 1234. σοὶ δ' Schaeferus] σοί τ' 1237. *ἐχθίστοισι] ἐχθίστοισιν 1238. ἁνὴρ] ἀνὴρ νέμει (vel νεμεῖ)πατρὶ D.] νέμειν (νεμεῖν Brunckius) ἐμοὶ 1240. ἀπιστήσαντα] ἀπι-
α
στήσαντι, α a m. pr. 1241. *οἴμοι] ὤμοι φράσεις] φανεῖς Axtius in Schneidewini Philologo vol. 4. p. 575. 1242. ἀπ' εὐνασθέντος] *ἀπευνασθέντος 1250. δεικνὺς] υσ in litura trium literarum, quarum haec supersunt vestigia ȏ.σ 1254. με θῇς] μεθεὶσ (hoc accentu), sed in μεθῇς mutatum a m. pr. Eodem errore v. 800. μέθες scriptum pro με θές. 1256. *τελευτὴ τοῦδε τἀνδρὸς] τελευτῆι τοῦδέ τ' ἀνδρὸσ

νόσον, ὦ ψυχὴ σκληρά, χάλυβος
λιθοκόλλητον στόμιον παρέχουσ',
ἀνάπαυε βοήν, ὡς ἐπίχαρτον
τελέουσ' ἀεκούσιον ἔργον.
[ΥΛ. αἴρετ', ὀπαδοί, μεγάλην μὲν ἐμοὶ

---

1263. τελέουσ' Billerbeckius] τελέως. Hoc versu haec tragoedia finita fuit ab Sophocle, ut videtur, addito, ut in sex reliquis huius poetae et plerisque duorum ceterorum tragicorum fabulis, brevi systemate anapaestico coryphaei, cui vetus interpolator verbosam substituit Hylli orationem v. 1264—1278. ita compositam ut originem suam indiciis prodat satis manifestis: de quibus dixi in Annotationibus ad editionem Oxoniensem tertiam. Eadem fere Bergkii sententia esse videtur, qui ad v. 1264. annotavit *extremam partem fabulae non ab ipsius Sophoclis manu profectam neque ad artis consummatae leges revocandam esse.* 1264. αἴρετ', ὀπαδοί] Scholiasta, οὐκ οἰκέταις, ἀλλὰ τοῖς ἀκολουθοῦσιν αὐτῷ (i. e. Herculi) ἐξ Εὐβοίας φησί. Hylli nomen his versibus praefixum in editione Turnebi, quae Triclinianum exemplum sequitur, omissum in ed. Aldina, apographis et, ut opinor, in codice. Scholiastae quid placuerit ex verbis modo appositis non perspicitur: sed Hyllo hos versus ab eo tributos esse clarissime patet ex annotatione ad v. 1268. οἱ φύσαντες: εἰς τὸν Δία ἡ ἀπότασις τοῦ λόγου. ἐκείνους, φησὶν, ἀγνώμονας ἡγεῖσθε, οἵτινες γεννήσαντες αὐτὸν περιορῶσι τοιαῦτα πάσχοντα. in qua non αὐτόν, sed ἐμέ dicendum fuisset, si Herculis hi versus essent.

τούτων θέμενοι συγγνωμοσύνην,
μεγάλην δὲ θεοῖς ἀγνωμοσύνην
εἰδότες ἔργων τῶν πρασσομένων,
οἳ φύσαντες καὶ κληζόμενοι
πατέρες τοιαῦτ' ἐφορῶσι πάθη.
τὰ μὲν οὖν μέλλοντ' οὐδεὶς ἐφορᾷ,
τὰ δὲ νῦν ἑστῶτ' οἰκτρὰ μὲν ἡμῖν,
αἰσχρὰ δ' ἐκείνοις,
χαλεπώτατα δ' οὖν ἀνδρῶν πάντων
τῷ τήνδ' ἄτην ὑπέχοντι.
λείπου μηδὲ σύ, παρθέν', ἐπ' οἴκων,
μεγάλους μὲν ἰδοῦσα νέους θανάτους,
πολλὰ δὲ πήματα καὶ καινοπαθῆ,
κοὐδὲν τούτων ὅ τι μὴ Ζεύς.]

---

ν
1265. συγγνωμοσύνην] συγγνωμοσύνην, ν a m. pr. 1266. *δὲ θεοῖς] τε θεῶν 1273. *πάντων] ἁπάντων 1275—1278. Hyllo hi versus continuantur in codice: in apographis choro tribuuntur, nisi quod in Parisino 2712. χορὸς ἢ ὕλλος, unde in editionem Aldinam transiit. Hyllo etiam scholiasta tribuit, ἔοικεν Ὕλλος ἀποστραφεὶς ταῖς ἀπὸ τοῦ χοροῦ λέγειν τοῦ μὴ ἀπολιμπάνεσθαι τῶν οἴκων, ἕως ἂν ἐπανέλθωσιν ἀπὸ τῆς πυρᾶς. Cuius scholii initium in ed. Romana sic legitur interpolatum, τοῦτο λέγει ὁ χορὸς ἢ ὁ Ὕλλος· ἔοικε γὰρ ὁ Ὕλλος etc. 1275. ἐπ' ex scholiasta] ἀπ' 1276. ἰδοῦσα ἰ ex ει factum. 1277. καὶ addidit Bentleius.

# ΣΟΦΟΚΛΕΟΥΣ ΦΙΛΟΚΤΗΤΗΣ.

## ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ

| | |
|---|---|
| ΟΔΥΣΣΕΥΣ. | ΝΕΟΠΤΟΛΕΜΟΣ. |
| ΧΟΡΟΣ. | ΦΙΛΟΚΤΗΤΗΣ. |
| ΣΚΟΠΟΣ ὡς ΕΜΠΟΡΟΣ. | ΗΡΑΚΛΗΣ. |

## ΥΠΟΘΕΣΙΣ.

Ἀπαγωγὴ Φιλοκτήτου ἐκ Λήμνου εἰς Τροίαν ὑπὸ Νεοπτολέμου καὶ Ὀδυσσέως καθ' Ἑλένου μαντείαν, ὃς κατὰ μαντείαν Κάλχαντος, ὡς εἰδὼς χρησμοὺς συντελοῦντας πρὸς τὴν Τροίας ἅλωσιν, ὑπὸ Ὀδυσσέως νύκτωρ ἐνεδρευθεὶς, δέσμιος ἤχθη τοῖς Ἕλλησιν. ἡ δὲ σκηνὴ ἐν Λήμνῳ. ὁ δὲ χορὸς ἐκ γερόντων τῷ Νεοπτολέμῳ συμπλεόντων. κεῖται καὶ παρ' Αἰσχύλῳ[a] ἡ μυθοποιία. ἐδιδάχθη ἐπὶ Γλαυκίππου[b]. πρῶτος ἦν Σοφοκλῆς.

## ΥΠΟΘΕΣΙΣ ΕΜΜΕΤΡΟΣ[c].

Χρύσης Ἀθηνᾶς βωμὸν ἐπικεχωσμένον,
ἐφ' οὗπερ Ἀχαιοῖς χρησθὲν ἦν θῦσαι, μόνος
Ποίαντος ᾔδει παῖς ποθ' Ἡρακλεῖ συνών.
ζητῶν δὲ τοῦτον ναυβάτῃ δεῖξαι στόλῳ,
πληγεὶς ὑπ' ἔχεως, ἐλίπετ' ἐν Λήμνῳ νοσῶν.
Ἕλενος δ' Ἀχαιοῖς εἶφ' ἁλώσεσθ' Ἴλιον
τοῖς Ἡρακλέους τόξοισι παιδί τ' Ἀχιλλέως.
τὰ τόξ' ὑπῆρχε παρὰ Φιλοκτήτῃ μόνῳ·
πεμφθεὶς δ' Ὀδυσσεὺς ἀμφοτέρους συνήγαγεν.

[a] Αἰσχύλῳ] Adde καὶ Εὐριπίδῃ.
[b] ἐπὶ Γλαυκίππου] Olymp. 92, 3.
[c] ΥΠΟΘΕΣΙΣ ΕΜΜΕΤΡΟΣ] Est grammatici non Alexandrini, sed multo inferioris. Non melioris poetae versus sunt quos in fine fabulae exhibet Flor. Γ.: Βουλαῖς ἔπεισεν Ἡρακλῆς Φιλοκτήτην | εἰς Τροίαν ἐλθεῖν, καὶ τὰ τόξα δὴ μόνα | πορθεῖν τὸ Τροίας πέργαμον, καὶ τὴν νόσον | Ἀσκληπιοῦ φανέντος ἰᾶσθαι τότε. | ἡ πρὶν δὲ βουλὴ τῆς Ὀδυσσέως βίας | ἔμεινεν ἂν πράξασα μηδὲν ὧν πάρος | ἐμυθοπλάστει κλεπτικοῖς ἄγειν λόγοις, | εἰ μὴ φανεὶς ἤγειρεν Ἡρακλῆς λέγων.

ΟΔΥΣΣΕΥΣ.

Ἀκτὴ μὲν ἥδε τῆς περιρρύτου χθονὸς
Λήμνου, βροτοῖς ἄστιπτος οὐδ᾽ οἰκουμένη,
ἔνθ᾽, ὦ κρατίστου πατρὸς Ἑλλήνων τραφεὶς
Ἀχιλλέως παῖ Νεοπτόλεμε, τὸν Μηλιᾶ
Ποίαντος υἱὸν ἐξέθηκ᾽ ἐγώ ποτε,
ταχθεὶς τόδ᾽ ἔρδειν τῶν ἀνασσόντων ὕπο,
νόσῳ καταστάζοντα διαβόρῳ πόδα·
ὅτ᾽ οὔτε λοιβῆς ἡμὶν οὔτε θυμάτων
παρῆν ἑκήλοις προσθιγεῖν, ἀλλ᾽ ἀγρίαις
κατεῖχ᾽ ἀεὶ πᾶν στρατόπεδον δυσφημίαις,
βοῶν, στενάζων. ἀλλὰ ταῦτα μὲν τί δεῖ
λέγειν; ἀκμὴ γὰρ οὐ μακρῶν ἡμῖν λόγων,
μὴ καὶ μάθῃ μ᾽ ἥκοντα κἀκχέω τὸ πᾶν
σόφισμα, τῷ νιν αὐτίχ᾽ αἱρήσειν δοκῶ.
ἀλλ᾽ ἔργον ἤδη σὸν τὰ λοίφ᾽ ὑπηρετεῖν,
σκοπεῖν θ᾽ ὅπου ᾽στ᾽ ἐνταῦθα δίστομος πέτρα
τοιάδ᾽, ἵν᾽ ἐν ψύχει μὲν ἡλίου διπλῆ
πάρεστιν ἐνθάκησις, ἐν θέρει δ᾽ ὕπνον
δι᾽ ἀμφιτρῆτος αὐλίου πέμπει πνοή.
βαιὸν δ᾽ ἔνερθεν ἐξ ἀριστερᾶς τάχ᾽ ἂν
ἴδοις ποτὸν κρηναῖον, εἴπερ ἐστὶ σῶν.
ἅ μοι προσελθὼν σῖγα σήμαιν᾽ εἴτ᾽ ἔχει
χῶρον πρὸς αὐτὸν τόνδ᾽ ἔτ᾽ εἴτ᾽ ἄλλῃ κυρεῖ,
ὡς τἀπίλοιπα τῶν λόγων σὺ μὲν κλύῃς,
ἐγὼ δὲ φράζω, κοινὰ δ᾽ ἐξ ἀμφοῖν ἴῃ.

ΝΕΟΠΤΟΛΕΜΟΣ.

ἄναξ Ὀδυσσεῦ, τοὔργον οὐ μακρὰν λέγεις,
δοκῶ γὰρ οἷον εἶπας ἄντρον εἰσορᾶν.
ΟΔ. ἄνωθεν, ἢ κάτωθεν; οὐ γὰρ ἐννοῶ.
ΝΕ. τόδ᾽ ἐξύπερθε, καὶ στίβου γ᾽ οὐδεὶς κτύπος.
ΟΔ. ὅρα καθ᾽ ὕπνον μὴ καταυλισθεὶς κυρῇ.
ΝΕ. ὁρῶ κενὴν οἴκησιν ἀνθρώπων δίχα.
ΟΔ. οὐδ᾽ ἔνδον οἰκοποιός ἐστί τις τροφή;
ΝΕ. στιπτή γε φυλλὰς ὡς ἐναυλίζοντί τῳ.
ΟΔ. τὰ δ᾽ ἄλλ᾽ ἔρημα, κοὐδέν ἐσθ᾽ ὑπόστεγον;
ΝΕ. αὐτόξυλόν γ᾽ ἔκπωμα, φλαυρουργοῦ τινος
τεχνήματ᾽ ἀνδρός, καὶ πυρεῖ᾽ ὁμοῦ τάδε.
ΟΔ. κείνου τὸ θησαύρισμα σημαίνεις τόδε.
ΝΕ. ἰοὺ ἰού· καὶ ταῦτά γ᾽ ἄλλα θάλπεται
ῥάκη, βαρείας του νοσηλείας πλέα.
ΟΔ. ἀνὴρ κατοικεῖ τούσδε τοὺς τόπους σαφῶς,
κἄστ᾽ οὐχ ἑκάς που. πῶς γὰρ ἂν νοσῶν ἀνὴρ
κῶλον παλαιᾷ κηρὶ προσβαίη μακράν;
ἀλλ᾽ ἢ ᾽πὶ φορβῆς νόστον ἐξελήλυθεν,
ἢ φύλλον εἴ τι νώδυνον κάτοιδέ που.
τὸν οὖν παρόντα πέμψον ἐς κατασκοπήν,
μὴ καὶ λάθῃ με προσπεσών· ὡς μᾶλλον ἂν
ἕλοιτό μ᾽ ἢ τοὺς πάντας Ἀργείους λαβεῖν.
ΝΕ. ἀλλ᾽ ἔρχεταί τε καὶ φυλάξεται στίβος.
σὺ δ᾽ εἴ τι χρῄζεις, φράζε δευτέρῳ λόγῳ.
ΟΔ. Ἀχιλλέως παῖ, δεῖ σ᾽ ἐφ᾽ οἷς ἐλήλυθας
γενναῖον εἶναι, μὴ μόνον τῷ σώματι,
ἀλλ᾽ ἤν τι καινόν, ὧν πρὶν οὐκ ἀκήκοας,
κλύῃς, ὑπουργεῖν, ὡς ὑπηρέτης πάρει.
ΝΕ. τί δῆτ᾽ ἄνωγας; ΟΔ. τὴν Φιλοκτήτου σε δεῖ
ψυχὴν ὅπως λόγοισιν ἐκκλέψεις λέγων.
ὅταν σ᾽ ἐρωτᾷ τίς τε καὶ πόθεν πάρει,
λέγειν, Ἀχιλλέως παῖς· τόδ᾽ οὐχὶ κλεπτέον·
πλεῖς δ᾽ ὡς πρὸς οἶκον, ἐκλιπὼν τὸ ναυτικὸν
στράτευμ᾽ Ἀχαιῶν, ἔχθος ἐχθήρας μέγα,
οἵ σ᾽ ἐν λιταῖς στείλαντες ἐξ οἴκων μολεῖν,
μόνην ἔχοντες τήνδ᾽ ἅλωσιν Ἰλίου,
οὐκ ἠξίωσαν τῶν Ἀχιλλείων ὅπλων
ἐλθόντι δοῦναι κυρίως αἰτουμένῳ,
ἀλλ᾽ αὔτ᾽ Ὀδυσσεῖ παρέδοσαν· λέγων ὅσ᾽ ἂν
θέλῃς καθ᾽ ἡμῶν ἔσχατ᾽ ἐσχάτων κακά.
τούτων γὰρ οὐδὲν ἀλγυνεῖ μ᾽· εἰ δ᾽ ἐργάσει
μὴ ταῦτα, λύπην πᾶσιν Ἀργείοις βαλεῖς.
εἰ γὰρ τὰ τοῦδε τόξα μὴ ληφθήσεται,
οὐκ ἔστι πέρσαι σοι τὸ Δαρδάνου πέδον.
ὡς δ᾽ ἔστ᾽ ἐμοὶ μὲν οὐχί, σοὶ δ᾽ ὁμιλία
πρὸς τόνδε πιστὴ καὶ βέβαιος, ἔκμαθε.
σὺ μὲν πέπλευκας οὔτ᾽ ἔνορκος οὐδενὶ
οὔτ᾽ ἐξ ἀνάγκης οὔτε τοῦ πρώτου στόλου,
ἐμοὶ δὲ τούτων οὐδέν ἐστ᾽ ἀρνήσιμον.
ὥστ᾽ εἴ με τόξων ἐγκρατὴς αἰσθήσεται,
ὄλωλα καὶ σὲ προσδιαφθερῶ ξυνών.
ἀλλ᾽ αὐτὸ τοῦτο δεῖ σοφισθῆναι, κλοπεὺς
ὅπως γενήσει τῶν ἀνικήτων ὅπλων.
ἔξοιδα, παῖ, φύσει σε μὴ πεφυκότα
τοιαῦτα φωνεῖν μηδὲ τεχνᾶσθαι κακά·
ἀλλ᾽ ἡδὺ γάρ τοι κτῆμα τῆς νίκης λαβεῖν,
τόλμα· δίκαιοι δ᾽ αὖθις ἐκφανούμεθα.
νῦν δ᾽ εἰς ἀναιδὲς ἡμέρας μέρος βραχὺ
δός μοι σεαυτόν, κᾆτα τὸν λοιπὸν χρόνον
κέκλησο πάντων εὐσεβέστατος βροτῶν.
ΝΕ. ἐγὼ μὲν οὓς ἂν τῶν λόγων ἀλγῶ κλύων,
Λαερτίου παῖ, τούσδε καὶ πράσσειν στυγῶ·
ἔφυν γὰρ οὐδὲν ἐκ τέχνης πράσσειν κακῆς,
οὔτ᾽ αὐτὸς οὔθ᾽, ὥς φασιν, οὑκφύσας ἐμέ.
ἀλλ᾽ εἴμ᾽ ἕτοιμος πρὸς βίαν τὸν ἄνδρ᾽ ἄγειν
καὶ μὴ δόλοισιν· οὐ γὰρ ἐξ ἑνὸς ποδὸς
ἡμᾶς τοσούσδε πρὸς βίαν χειρώσεται.
πεμφθείς γε μέντοι σοὶ ξυνεργάτης ὀκνῶ
προδότης καλεῖσθαι· βούλομαι δ᾽, ἄναξ, καλῶς
δρῶν ἐξαμαρτεῖν μᾶλλον ἢ νικᾶν κακῶς.

---

8. ἡμὶν Brunckius] ἧμιν 10. *κατεῖχ᾽] κατείχετ᾽ 14. αὐτίχ᾽] χ in litura pro κ 15. λοίφ᾽]
φ
λοίπ᾽, φ a m. pr. 16. θ᾽ insertum ab S, ut videtur. 22. Post ἔχει duae literae erasae. ἐκεῖ Hermannus. 23. τόνδ᾽ ἔτ᾽ Elmsleius] τόνδ᾽. τοῦτον Nauckius. *εἴτ᾽] ἤτ᾽ 24. *κλύῃς] κλύοισ 25. ἴῃ Camerarius] εἴη 29. γ᾽ Triclinius] τ᾽ κτύπος] *τύπος 30. καταυλισθεὶς] *κατακλιθεὶς 33. στιπτή] *στειπτή cum Eustathio p. 778, 54. Alia apographa στιπτή, quod etiam apud Suidam legitur s. v. στιπτοί. Similiter v. 2. ἄστιπτος codex, sed apographa, excepto Florentino Γ, ἄστειπτος. ἐναυλίζοντι] Post ἐν litera erasa. 34. 35. Nullae personarum notae: sed habent apographa. 34. ἀλλ᾽] Ex ἀεὶ, ut videtur, factum a m. pr. 35. φλαυ-
χ
ρουργοῦ] φλαυρουργοῦ, accentu priore deleto ab eadem manu quae circumflexum scripsit. 40. ἀνὴρ] ἀνὴρ hic et alibi codex constanter, Articulum addidit Brunckius, qui ὡ᾽νὴρ scribere solebat.

45. ἐς] εἰς. ἐς ante literas consonantes partim ex apographis partim Brunckio praeeunte restitutum hic et v. 111. 482. 500. 1053. 1353. 1428. εἰς ante vocalem, ubi metrum ἐς postulat, est in codice 1211. et alibi interdum, velut εἰσελθών Trachin. 1167. 47. ἕλοιτο] Alterum ο ex ε factum. Fuit igitur ἕλοιτ᾽ ἔμ᾽. 53. ὡς] ὧν Wunderus. 55. *ἐκκλέψεις] ἐκκλέψῃισ λέγων] Fort. ὁρᾶν. 61. μόνην] μόνην δ᾽
ν
66. οὐδὲν ἀλγυνεῖ μ᾽ D.] οὐδέμ᾽ (ν ab S) ἀλγυνεῖσ ἐργάσει] ἐργάσηι. Et sic ηι pro ει v. 78. 108. 117. 621. 731. 740. 741. 786. 833. 834. 929. 1064. 1085. 1135. 1163. 1229. 1250. 1281. 1321. 1370. 1382. 1416. 1424. 67. Ἀργείοις] ἀργείοισι, sed ι eraso. 79. παῖ Erfurdtius] καὶ. Idem vitium Electr. 1251. 81. *τοι] τι

ΟΔ. ἐσθλοῦ πατρὸς παῖ, καὐτὸς ὢν νέος ποτὲ
γλῶσσαν μὲν ἀργόν, χεῖρα δ' εἶχον ἐργάτιν·
νῦν δ' εἰς ἔλεγχον ἐξιὼν ὁρῶ βροτοῖς
τὴν γλῶσσαν, οὐχὶ τἄργα, πάνθ' ἡγουμένην.
ΝΕ. τί οὖν μ' ἄνωγας ἄλλο πλὴν ψευδῆ λέγειν;
ΟΔ. λέγω σ' ἐγὼ δόλῳ Φιλοκτήτην λαβεῖν.
ΝΕ. τί δ' ἐν δόλῳ δεῖ μᾶλλον ἢ πείσαντ' ἄγειν;
ΟΔ. οὐ μὴ πίθηται· πρὸς βίαν δ' οὐκ ἂν λάβοις.
ΝΕ. οὕτως ἔχει τι δεινὸν ἰσχύος θράσος;
ΟΔ. ἰοὺς ἀφύκτους καὶ προπέμποντας φόνον.
ΝΕ. οὐκ ἆρ' ἐκείνῳ γ' οὐδὲ προσμῖξαι θρασύ;
ΟΔ. οὔ, μὴ δόλῳ λαβόντα γ', ὡς ἐγὼ λέγω.
ΝΕ. οὐκ αἰσχρὸν ἡγεῖ δῆτα τὰ ψευδῆ λέγειν;
ΟΔ. οὔκ, εἰ τὸ σωθῆναί γε τὸ ψεῦδος φέρει.
ΝΕ. πῶς οὖν βλέπων τις ταῦτα τολμήσει λακεῖν;
ΟΔ. ὅταν τι δρᾷς ἐς κέρδος, οὐκ ὀκνεῖν πρέπει.
ΝΕ. κέρδος δ' ἐμοὶ τί τοῦτον ἐς Τροίαν μολεῖν;
ΟΔ. αἱρεῖ τὰ τόξα ταῦτα τὴν Τροίαν μόνα.
ΝΕ. οὐκ ἆρ' ὁ πέρσων, ὡς ἐφάσκετ', εἴμ' ἐγώ;
ΟΔ. οὔτ' ἂν σὺ κείνων χωρὶς οὔτ' ἐκεῖνα σοῦ.
ΝΕ. θηρατέ' οὖν γίγνοιτ' ἄν, εἴπερ ὧδ' ἔχει.
ΟΔ. ὡς τοῦτό γ' ἔρξας δύο φέρει δωρήματα.
ΝΕ. ποίω; μαθὼν γὰρ οὐκ ἂν ἀρνοίμην τὸ δρᾶν.
ΟΔ. σοφός τ' ἂν αὐτὸς κἀγαθὸς κεκλῇ' ἅμα.
ΝΕ. ἴτω· ποιήσω, πᾶσαν αἰσχύνην ἀφείς.
ΟΔ. ἦ μνημονεύσεις οὖν ἅ σοι παρήνεσα;
ΝΕ. σάφ' ἴσθ', ἐπείπερ εἰσάπαξ συνήνεσα.
ΟΔ. σὺ μὲν μένων νυν κεῖνον ἐνθάδ' ἐκδέχου,
ἐγὼ δ' ἄπειμι, μὴ κατοπτευθῶ παρών,
καὶ τὸν σκοπὸν πρὸς ναῦν ἀποστελῶ πάλιν.
καὶ δεῦρ', ἐάν μοι τοῦ χρόνου δοκῆτέ τι
κατασχολάζειν, αὖθις ἐκπέμψω πάλιν
τοῦτον τὸν αὐτὸν ἄνδρα, ναυκλήρου τρόποις
μορφὴν δολώσας, ὡς ἂν ἀγνοίᾳ προσῇ·
οὗ δῆτα, τέκνον, ποικίλως αὐδωμένου
δέχου τὰ συμφέροντα τῶν ἀεὶ λόγων.
ἐγὼ δὲ πρὸς ναῦν εἶμι, σοὶ παρεὶς τάδε·
Ἑρμῆς δ' ὁ πέμπων δόλιος ἡγήσαιτο νῷν
Νίκη τ' Ἀθάνα Πολιάς, ἣ σώζει μ' ἀεί.

ΧΟΡΟΣ.

τί χρὴ τί χρή με, δέσποτ', ἐν ξένᾳ ξένον
στέγειν, ἢ τί λέγειν πρὸς ἄνδρ' ὑπόπταν;
φράζε μοι.
τέχνα γὰρ τέχνας ἑτέρας προὔχει
καὶ γνώμα παρ' ὅτῳ τὸ θεῖον
Διὸς σκῆπτρον ἀνάσσεται.
σὲ δ', ὦ τέκνον, τόδ' ἐλήλυθεν
πᾶν κράτος ὠγύγιον· τό μοι ἔννεπε
τί σοι χρεὼν ὑπουργεῖν.

135—143. = 150—158.

ΝΕ. νῦν μὲν ἴσως γὰρ τόπον ἐσχατιαῖς
προσιδεῖν ἐθέλεις ὄντινα κεῖται,
δέρκου θαρσῶν· ὁπόταν δὲ μόλη
δεινὸς ὁδίτης, τῶνδ' ἐκ μελάθρων
πρὸς ἐμὴν ἀεὶ χεῖρα προχωρῶν
πειρῶ τὸ παρὸν θεραπεύειν.
ΧΟ. μέλον πάλαι μέλημά μοι λέγεις, ἄναξ,
φρουρεῖν ὄμμ' ἐπὶ σῷ μάλιστα καιρῷ·
νῦν δέ μοι
λέγ' αὐλὰς ποίας ἔνεδρος ναίει
καὶ χῶρον τίν' ἔχει. τὸ γάρ μοι
μαθεῖν οὐκ ἀποκαίριον,
μὴ προσπεσών με λάθῃ ποθέν,
τίς τόπος, ἢ τίς ἕδρα, τίν' ἔχει στίβον,
ἔναυλον, ἢ θυραῖον.
ΝΕ. οἶκον μὲν ὁρᾷς τόνδ' ἀμφίθυρον
πετρίνης κοίτης.
ΧΟ. ποῦ γὰρ ὁ τλήμων αὐτὸς ἄπεστιν;
ΝΕ. δῆλον ἔμοιγ' ὡς φορβῆς χρείᾳ
στίβον ὀγμεύει τόνδε πέλας που.
ταύτην γὰρ ἔχειν βιοτῆς αὐτὸν
λόγος ἐστὶ φύσιν, θηροβολοῦντα
πτηνοῖς ἰοῖς σμυγερὸν σμυγερῶς,
οὐδέ τιν' αὐτῷ
παιῶνα κακῶν ἐπινωμᾶν.
ΧΟ. οἰκτείρω νιν ἔγωγ', ὅπως,
μή του κηδομένου βροτῶν
μηδὲ σύντροφον ὄμμ' ἔχων,
δύστανος, μόνος ἀεί,
νοσεῖ μὲν νόσον ἀγρίαν,
ἀλύει δ' ἐπὶ παντί τῳ
χρείας ἱσταμένῳ. πῶς ποτε πῶς δύσμορος ἀν-
ῶ παλάμαι θεῶν, [τέχει;
ὦ δύστανα γένη βροτῶν,
οἷς μὴ μέτριος αἰών.
οὗτος πρωτογόνων ἴσως
οἴκων οὐδενὸς ὕστερος,
πάντων ἄμμορος ἐν βίῳ
κεῖται μοῦνος ἀπ' ἄλλων
στικτῶν ἢ λασίων μετὰ
θηρῶν, ἔν τ' ὀδύναις ὁμοῦ
λιμῷ τ' οἰκτρὸς ἀνήκεστα μεριμνήματ' ἔχων
ἁ δ' ἀθυρόστομος [βαρεῖ.

169—179. = 180—190.

---

96. καὐτὸς] καὐτὸ, σ ab S addito. 100. οὖν] οὐ pr. 103. πίθηται] πείθηται pr. 104. θράσος] κράτος Nauckius, ut ἰσχύος κράτος est v. 594. 105. ἰοὺς] ἰούς γ' Meinekius. 106. *οὐδὲ] οὔτε προσμῖξαι] Sic, non προσμίξαι. 108. *δῆτα δὴ τὰ] τάδε. δῆτα τὸ Vauvillersius. 110. λακεῖν] κ in λ mutatum. λαλεῖν apographa. 112. δ' ἐμοὶ] *δέ μοι 116. θηρατέ' οὖν Triclinius] θηρατέα 118. ποίω] ποίωι, eraso ι. ποία δυϊκῶσ in marg. ab S. 119. αὐτὸς Vauvillersius (qui ὡὐτὸς)] αὐτὸς κεκλῇ'] κεκλησ', sine accentu et cum litura literae super σ. κεκλῆι' a m. sec. 120. *ποιήσω] ποήσω 121. μνημονεύσεις Herwerdenus] μνημονεύεις 123. νυν Turnebus] νῦν. Encliticum νυν, partim aliis editoribus praeeuntibus, restitui hic et v. 468. 576. 1177. 1196. 1449. 1452. 126. χρόνου] Post ου litera erasa, σ ut videtur. *δοκῆτέ τι] δοκῆτ' ἔτι, η ex ει facto. 127. κατασχολάζειν] πέρα σχολάζειν Nauckius. *αὖθις] αὖτις ἐκπέμψω] ἐκπέμπω, superscripto a m. pr. ψω 130. αὐδωμένου] αὐδὴν μένον pr. Eraso ὴν et, ut videtur, ον (nam quae ante ν posita fuit litera prorsus obscurata est) αὐδωμένου restitutum. 134. Ἀθάνα ex Eustathio p. 758, 44.] ἀθηνᾶ 135. με δέσποτ' Triclinius] δέσποτα μ' (accentu caret codex).

139. *γνώμα] γνώμασ 140. ἀνάσσεται] ἀναναν. σσεται (litera inter ν et σ erasa, quae non fuit α) pr. 141. σὲ] σοὶ Triclinius. 142. ἔννεπε] Litera post πε erasa, fortasse ν. 144. ἐσχατιαῖς] *ἐσχατιᾶς 148. ἀεὶ D.] αἰεὶ 150. ἄναξ Triclinius] ἄναξ τὸ σὸν 151. φρουρεῖν] υ ab S insertum. 156. μὴ προσπεσών με λάθῃ Hermannus] μή με λάθῃ προσπεσὼν 161. *ἄπεστιν] ἄπεστι 166. σμυγερὸν σμυγερῶς Brunckius] στυγερὸν στυγερῶς 167. *αὐτῷ] αὐτῶι 171. *μηδὲ] μὴ 172. ἀεὶ] Sic, non αἰεί. 174. παντί τῳ] παντὶ τῷ apud Aristidem vol. 1. p. 34, 12. 176. θεῶν Lachmannus] θνητῶν 180. ἴσως] γεγὼς Nauckius. 184. *μετὰ] μέτα 187. βαρεῖ. ἁ δ' Boeckhius de metris Pindari p. 323.] βαρεῖα δ'

ἀχὼ τηλεφανὴς πικρᾶς
οἰμωγᾶς ὕπ᾽ ὀχεῖται.
ΝΕ. οὐδὲν τούτων θαυμαστὸν ἐμοί·
θεῖα γάρ, εἴπερ κἀγώ τι φρονῶ,
καὶ τὰ παθήματα κεῖνα πρὸς αὐτὸν
τῆς ὠμόφρονος Χρύσης ἐπέβη,
καὶ νῦν ἃ πονεῖ δίχα κηδεμόνων,
οὐκ ἔσθ᾽ ὡς οὐ θεῶν του μελέτῃ
τοῦ μὴ πρότερον τόνδ᾽ ἐπὶ Τροίᾳ
τεῖναι τὰ θεῶν ἀμάχητα βέλη,
πρὶν ὅδ᾽ ἐξήκοι χρόνος, ᾧ λέγεται
χρῆναί σφ᾽ ὑπὸ τῶνδε δαμῆναι.
ΧΟ. εὔστομ᾽ ἔχε, παῖ. ΝΕ. τί τόδε; ΧΟ. προυφάνη κτύπος,
φωτὸς σύντροφος ὡς τειρομένου του,
ἤ που τῇδ᾽ ἢ τῇδε τόπων.
βάλλει βάλλει μ᾽ ἐτύμα
φθογγά του στίβου κατ᾽ ἀνάγκαν
ἕρποντος, οὐδέ με λάθει
βαρεῖα τηλόθεν αὐδὰ
τρυσάνωρ· διάσημα γὰρ θρηνεῖ.
ΧΟ. ἀλλ᾽ ἔχε, τέκνον. ΝΕ. λέγ᾽ ὅ τι. ΧΟ. φροντίδας νέας·
ὡς οὐκ ἔξεδρος, ἀλλ᾽ ἔντοπος ἀνὴρ,
οὐ μολπὰν σύριγγος ἔχων,
ὡς ποιμὴν ἀγροβότας,
ἀλλ᾽ ἤ που πταίων ὑπ᾽ ἀνάγκας
βοᾷ τηλωπὸν ἰωὰν,
ἢ ναὸς ἄξενον αὐγάζων ὅρμον· προβοᾷ τι γὰρ δεινόν.

ΦΙΛΟΚΤΗΤΗΣ.

ἰὼ ξένοι,
τίνες ποτ᾽ ἐς γῆν τήνδε κἀκ ποίας τύχης
κατέσχετ᾽ οὔτ᾽ εὔορμον οὔτ᾽ οἰκουμένην;
ποίας ἂν ὑμᾶς πατρίδος ἢ γένους ποτὲ
τύχοιμ᾽ ἂν εἰπών; σχῆμα μὲν γὰρ Ἑλλάδος
στολῆς ὑπάρχει προσφιλεστάτης ἐμοί·
φωνῆς δ᾽ ἀκοῦσαι βούλομαι· καὶ μή μ᾽ ὄκνῳ
δείσαντες ἐκπλαγῆτ᾽ ἀπηγριωμένον,
ἀλλ᾽ οἰκτίσαντες ἄνδρα δύστηνον, μόνον,
ἔρημον ὧδε κἄφιλον καλούμενον,
φωνήσατ᾽, εἴπερ ὡς φίλοι προσήκετε.
ἀλλ᾽ ἀνταμείψασθ᾽· οὐ γὰρ εἰκὸς οὔτ᾽ ἐμὲ
ὑμῶν ἁμαρτεῖν τοῦτό γ᾽ οὔθ᾽ ὑμᾶς ἐμοῦ.
ΝΕ. ἀλλ᾽, ὦ ξέν᾽, ἴσθι τοῦτο πρῶτον, οὕνεκα
Ἕλληνές ἐσμεν· τοῦτο γὰρ βούλει μαθεῖν.

201—209. = 210—218.

ΦΙ. ὦ φίλτατον φώνημα· φεῦ τὸ καὶ λαβεῖν
πρόσφθεγμα τοιοῦδ᾽ ἀνδρὸς ἐν χρόνῳ μακρῷ.
τίς σ᾽, ὦ τέκνον, προσέσχε, τίς προσήγαγεν
χρεία; τίς ὁρμή; τίς ἀνέμων ὁ φίλτατος;
γέγωνέ μοι πᾶν τοῦθ᾽, ὅπως εἰδῶ τίς εἶ.
ΝΕ. ἐγὼ γένος μέν εἰμι τῆς περιρρύτου
Σκύρου· πλέω δ᾽ εἰς οἶκον· αὐδῶμαι δὲ παῖς
Ἀχιλλέως, Νεοπτόλεμος. οἶσθα δὴ τὸ πᾶν.
ΦΙ. ὦ φιλτάτου παῖ πατρὸς, ὦ φίλης χθονὸς,
ὦ τοῦ γέροντος θρέμμα Λυκομήδους, τίνι
στόλῳ προσέσχες τήνδε γῆν; πόθεν πλέων;
ΝΕ. ἐξ Ἰλίου τοι δὴ τανῦν γε ναυστολῶ.
ΦΙ. πῶς εἶπας; οὐ γάρ δὴ σύ γ᾽ ἦσθα ναυβάτης
ἡμῖν κατ᾽ ἀρχὴν τοῦ πρὸς Ἴλιον στόλου.
ΝΕ. ἦ γὰρ μετέσχες καὶ σὺ τοῦδε τοῦ πόνου;
ΦΙ. ὦ τέκνον, οὐ γὰρ οἶσθά μ᾽ ὅντιν᾽ εἰσορᾷς;
ΝΕ. πῶς γὰρ κάτοιδ᾽ ὅν γ᾽ εἶδον οὐδεπώποτε;
ΦΙ. οὐδ᾽ ὄνομ᾽ ἄρ᾽ οὐδὲ τῶν ἐμῶν κακῶν κλέος
ἤσθου ποτ᾽ οὐδὲν, οἷς ἐγὼ διωλλύμην;
ΝΕ. ὡς μηδὲν εἰδότ᾽ ἴσθι μ᾽ ὧν ἀνιστορεῖς.
ΦΙ. ὦ πόλλ᾽ ἐγὼ μοχθηρὸς, ὦ πικρὸς θεοῖς,
οὗ μηδὲ κληδὼν ὧδ᾽ ἔχοντος οἴκαδε
μηδ᾽ Ἑλλάδος γῆς μηδαμοῦ διῆλθέ που.
ἀλλ᾽ οἱ μὲν ἐκβαλόντες ἀνοσίως ἐμὲ
γελῶσι σῖγ᾽ ἔχοντες, ἡ δ᾽ ἐμὴ νόσος
ἀεὶ τέθηλε κἀπὶ μεῖζον ἔρχεται.
ὦ τέκνον, ὦ παῖ πατρὸς ἐξ Ἀχιλλέως,
ὅδ᾽ εἴμ᾽ ἐγώ σοι κεῖνος, ὃν κλύεις ἴσως
τῶν Ἡρακλείων ὄντα δεσπότην ὅπλων,
ὁ τοῦ Ποίαντος παῖς Φιλοκτήτης, ὃν οἱ
δισσοὶ στρατηγοὶ χὠ Κεφαλλήνων ἄναξ
ἔρριψαν αἰσχρῶς ὧδ᾽ ἔρημον, ἀγρίᾳ
νόσῳ καταφθίνοντα, τῆς ἀνδροφθόρου
πληγέντ᾽ ἐχίδνης ἀγρίῳ χαράγματι·
ξὺν ᾗ μ᾽ ἐκεῖνοι, παῖ, προθέντες ἐνθάδε
ᾤχοντ᾽ ἔρημον, ἡνίκ᾽ ἐκ τῆς ποντίας
Χρύσης κατέσχον δεῦρο ναυβάτῃ στόλῳ.
τότ᾽ ἄσμενόν μ᾽ ὡς εἶδον ἐκ πολλοῦ σάλου
εὕδοντ᾽ ἐπ᾽ ἀκτῆς ἐν κατηρεφεῖ πέτρῳ,
λιπόντες ᾤχονθ᾽, οἷα φωτὶ δυσμόρῳ
ῥάκη προθέντες βαιὰ καί τι καὶ βορᾶς
ἐπωφέλημα σμικρὸν, οἷ᾽ αὐτοῖς τύχοι.
σὺ δὴ, τέκνον, ποίαν μ᾽ ἀνάστασιν δοκεῖς
αὐτῶν βεβώτων ἐξ ὕπνου στῆναι τότε;
ποῖ᾽ ἐκδακρῦσαι, ποῖ᾽ ἀποιμῶξαι κακά;
ὁρῶντα μὲν ναῦς, ἃς ἔχων ἐναυστόλουν,
πάσας βεβώσας, ἄνδρα δ᾽ οὐδέν᾽ ἔντοπον,
οὐχ ὅστις ἀρκέσειεν, οὐδ᾽ ὅστις νόσου

---

190. ὕπ᾽ ὀχεῖται Hermannus] ὑπόκειται (ὑπὸ κειται, sine accentu, pr.) 193. παθήματα κεῖνα Brunckius] παθήματ᾽ ἐκεῖνα 194. Χρύσης] χρυσῆς, eraso circumflexo, sed nullo addito accentu super υ. 196. ὡς Porsonus] ὅπως 200. *χρῆναί] χρήν pr. χρῆν corr. 201. εὔστομ᾽] Scholiasta dubitat utrum εὔστομ᾽ an εὖ στόμ᾽ scribendum sit. 203. του addidit Porsonus. 204. Hunc versum Neoptolemo, sequentes choro tribuit. Correxit Hermannus. ἤ που Hermannus] ἦ που 205. *ἐτύμα] ἑτοίμα 209. θρηνεῖ D.] θροεῖ 214. *ἀγροβότας] ἀγροβάτας 217. αὐγάζων] Sic pr.: αὐγάζον corr. 218. τι γὰρ Wunderus] γάρ τι 220. κἀκ ποίας τύχης Nauckius] κἀκ ποίασ πάτρασ. Sic etiam apogr. Lb., sed superscripto ναυτίλω, κώπη τῆι πλάτηι προσ-ῶ-ορμίσατε. In apographis plerisque est ναυτίλῳ πλάτῃ. 222. ἂν ὑμᾶς πατρίδος D.] πάτρας ἂν ὑμᾶς 228. καλούμενον] κακούμενον Brunckius. καλούμενοι Meinekius.

234. καὶ] καὶ cum duobus punctis, ad quae refertur annotatio ab alia m. antiqua in margine posita καὶ τὸ λαβεῖν 237. *τίς ἀνέμων] τίσ δ᾽ ἀνέμων 241. *οἶσθα δὴ] οἶσθ᾽ ἤδη 245. τοι] ᾽γὼ Burgesius. δὴ τανῦν Buttmannus] δῆτα νῦν .δὴ. 246. οὐ γὰρ δὴ σύ γ᾽] οὐ . . γὰρ σύγ᾽, eraso δὴ post οὐ, et δὴ super γὰρ posito ab S. 251. ἄρ᾽ addidit Erfurdtius. 253. *ἀνιστορεῖς] ἂν ἱστορεῖς 254. *ὦ — ὦ] ὢ — ὢ (sic) 262. Ἡρακλείων ὄντα] Literae ν ον ab S insertae. 264. χὠ] χὼ hoc loco et similia per totam hanc fabulam cum spiritu aspero, licet eadem alibi non raro cum spiritu leni scripta sint. 266. τῆς Auratus] τῆσδ᾽ 267. ἀγρίῳ] τὸ τῆς ἐχίδνης φόνιον χάραγμα ex hoc loco Eustathius Opusc. p. 324, 60. quasi φοινίῳ legerit. 271. ἄσμενον D.] ἄσμενοι

κάμνοντι συλλάβοιτο, πάντα δὲ σκοπῶν
ηὕρισκον οὐδὲν πλὴν ἀνιᾶσθαι παρόν,
τούτου δὲ πολλὴν εὐμάρειαν, ὦ τέκνον.
ὁ μὲν χρόνος δὴ διὰ χρόνου προύβαινέ μοι,
κἄδει τι βαιᾷ τῇδ' ὑπὸ στέγῃ μόνον
διακονεῖσθαι. γαστρὶ μὲν τὰ σύμφορα
τόξον τόδ' ἐξηύρισκε, τὰς ὑποπτέρους
βάλλον πελείας· πρὸς δὲ τοῦθ', ὅ μοι βάλοι
νευροσπαδὴς ἄτρακτος, αὐτὸς ἂν τάλας
εἰλυόμην δύστηνον ἐξέλκων πόδα
πρὸς τοῦτ' ἄν· εἴ τ' ἔδει τι καὶ ποτὸν λαβεῖν,
καί που πάγου χυθέντος, οἷα χείματι,
ξύλον τι θραῦσαι, ταῦτ' ἂν ἐξέρπων τάλας
ἐμηχανώμην· εἶτα πῦρ ἂν οὐ παρῆν,
ἀλλ' ἐν πέτροισι πέτρον ἐκτρίβων μόλις
ἔφην' ἄφαντον φῶς, ὃ καὶ σώζει μ' ἀεί.
οἰκουμένη γὰρ οὖν στέγη πυρὸς μέτα
πάντ' ἐκπορίζει πλὴν τὸ μὴ νοσεῖν ἐμέ.
φέρ', ὦ τέκνον, νῦν καὶ τὸ τῆς νόσου μάθῃς.
ταύτῃ πελάζει ναυβάτης οὐδεὶς ἑκών·
οὐ γάρ τις ὅρμος ἔστιν, οὐδ' ὅποι πλέων
ἐξεμπολήσει κέρδος ἢ ξενώσεται.
οὐκ ἐνθάδ' οἱ πλοῖ τοῖσι σώφροσιν βροτῶν.
τάχ' οὖν τις ἄκων ἔσχε· πολλὰ γὰρ τάδε
ἐν τῷ μακρῷ γένοιτ' ἂν ἀνθρώπων χρόνῳ·
οὗτοί μ', ὅταν μόλωσιν, ὦ τέκνον, λόγοις
ἐλεοῦσι μέν, καί πού τι καὶ βορᾶς μέρος
προσέδοσαν οἰκτείραντες, ἤ τινα στολήν·
ἐκεῖνο δ' οὐδείς, ἡνίκ' ἂν μνησθῶ, θέλει,
σῶσαί μ' ἐς οἴκους, ἀλλ' ἀπόλλυμαι τάλας
ἔτος τόδ' ἤδη δέκατον ἐν λιμῷ τε καὶ
κακοῖσι βόσκων τὴν ἀδηφάγον νόσον.
τοιαῦτ' Ἀτρεῖδαί μ' ἥ τ' Ὀδυσσέως βία,
ὦ παῖ, δεδράκασ', οἷ' Ὀλύμπιοι θεοὶ
δοῖέν ποτ' αὐτοῖς ἀντίποιν' ἐμοῦ παθεῖν.
ΧΟ. ἔοικα κἀγὼ τοῖς ἀφιγμένοις ἴσα
ξένοις ἐποικτείρειν σε, Ποίαντος τέκνον.
ΝΕ. ἐγὼ δὲ καὐτὸς τοῖσδε μάρτυς ἐν λόγοις,
ὡς εἴσ' ἀληθεῖς οἶδα, συντυχὼν κακῶν
ἀνδρῶν Ἀτρειδῶν τῆς τ' Ὀδυσσέως βίας.
ΦΙ. ἦ γάρ τι καὶ σὺ τοῖς πανωλέθροις ἔχεις
ἔγκλημ' Ἀτρείδαις, ὥστε θυμοῦσθαι παθών;
ΝΕ. θυμὸν γένοιτο χειρὶ πληρῶσαί ποτε,
ἵν' αἱ Μυκῆναι γνοῖεν ἡ Σπάρτη θ' ὅτι
χἠ Σκῦρος ἀνδρῶν ἀλκίμων μήτηρ ἔφυ.
ΦΙ. εὖ γ', ὦ τέκνον· τίνος γὰρ ὧδε τὸν μέγαν
χόλον κατ' αὐτῶν ἐγκαλῶν ἐλήλυθας;
ΝΕ. ὦ παῖ Ποίαντος, ἐξερῶ, μόλις δ' ἐρῶ,
ἅγωγ' ὑπ' αὐτῶν ἐξελωβήθην μολών.
ἐπεὶ γὰρ ἔσχε μοῖρ' Ἀχιλλέα θανεῖν,
ΦΙ. οἴμοι· φράσῃς μοι μὴ πέρα, πρὶν ἂν μάθω
πρῶτον τόδ', ἦ τέθνηχ' ὁ Πηλέως γόνος;
ΝΕ. τέθνηκεν, ἀνδρὸς οὐδενός, θεοῦ δ' ὕπο
τοξευτός, ὡς λέγουσιν, ἐκ Φοίβου δαμείς.
ΦΙ. ἀλλ' εὐγενὴς μὲν ὁ κτανών τε χὠ θανών.
ἀμηχανῶ δὲ πότερον, ὦ τέκνον, τὸ σὸν
πάθημ' ἐλέγχω πρῶτον, ἢ κεῖνον στένω.
ΝΕ. οἶμαι μὲν ἀρκεῖν σοί γε καὶ τὰ σ', ὦ τάλας,
ἀλγήμαθ', ὥστε μὴ τὰ τῶν πέλας στένειν.
ΦΙ. ὀρθῶς ἔλεξας· τοιγαροῦν τὸ σὸν φράσον
αὖθις πάλιν μοι πρᾶγμ', ὅτῳ σ' ἐνύβρισαν.
ΝΕ. ἦλθόν με νηὶ ποικιλοστόλῳ μέτα
δῖός τ' Ὀδυσσεὺς χὠ τροφεὺς τοὐμοῦ πατρός,
λέγοντες, εἴτ' ἀληθὲς εἴτ' ἄρ' οὖν μάτην,
ὡς οὐ θέμις γίγνοιτ', ἐπεὶ κατέφθιτο
πατὴρ ἐμός, τὰ πέργαμ' ἄλλον ἢ 'μ' ἑλεῖν.
ταῦτ', ὦ ξέν', οὕτως ἐννέποντες οὐ πολὺν
χρόνον μ' ἐπέσχον μή με ναυστολεῖν ταχύ,
μάλιστα μὲν δὴ τοῦ θανόντος ἱμέρῳ,
ὅπως ἴδοιμ' ἄθαπτον· οὐ γὰρ εἰδόμην·
ἔπειτα μέντοι χὠ λόγος καλὸς προσῆν,
εἰ τἀπὶ Τροίᾳ πέργαμ' αἱρήσοιμ' ἰών.
ἦν δ' ἦμαρ ἤδη δεύτερον πλέοντί μοι,
κἀγὼ πικρὸν Σίγειον οὐρίῳ πλάτῃ
κατηγόμην· καί μ' εὐθὺς ἐν κύκλῳ στρατὸς
ἐκβάντα πᾶς ἠσπάζετ', ὀμνύντες βλέπειν
τὸν οὐκέτ' ὄντα ζῶντ' Ἀχιλλέα πάλιν.
κεῖνος μὲν οὖν ἔκειτ'· ἐγὼ δ' ὁ δύσμορος,
ἐπεὶ 'δάκρυσα κεῖνον, οὐ μακρῷ χρόνῳ
ἐλθὼν Ἀτρείδας πρὸς φίλους, ὡς εἰκὸς ἦν,
τά θ' ὅπλ' ἀπῄτουν τοῦ πατρὸς τά τ' ἄλλ' ὅσ' ἦν.
οἱ δ' εἶπον, οἴμοι, τλημονέστατον λόγον,
ὦ σπέρμ' Ἀχιλλέως, τἄλλα μὲν πάρεστί σοι
πατρῷ' ἑλέσθαι, τῶν δ' ὅπλων κείνων ἀνὴρ
ἄλλος κρατύνει νῦν, ὁ Λαέρτου γόνος.
κἀγὼ δακρύσας εὐθὺς ἐξανίσταμαι
ὀργῇ βαρείᾳ, καὶ καταλγήσας λέγω,
ὦ σχέτλι', ἦ 'τολμήσατ' ἀντ' ἐμοῦ τινι
δοῦναι τὰ τεύχη τἀμά, πρὶν μαθεῖν ἐμοῦ;
ὁ δ' εἶπ' Ὀδυσσεύς, πλησίον γὰρ ἦν κυρῶν,
ναί, παῖ, δεδώκασ' ἐνδίκως οὗτοι τάδε·
ἐγὼ γὰρ αὔτ' ἔσωσα κἀκεῖνον παρών.
κἀγὼ χολωθεὶς εὐθὺς ἤρασσον κακοῖς
τοῖς πᾶσιν, οὐδὲν ἐνδεὲς ποιούμενος,
εἰ τἀμὰ κεῖνος ὅπλ' ἀφαιρήσοιτό με.
ὁ δ' ἐνθάδ' ἥκων, καίπερ οὐ δύσοργος ὤν,
δηχθεὶς πρὸς ἁξήκουσεν ὧδ' ἠμείψατο,
οὐκ ἦσθ' ἵν' ἡμεῖς, ἀλλ' ἀπῆσθ' ἵν' οὔ σ' ἔδει·
καὶ ταῦτ' ἐπειδὴ καὶ λέγεις θρασυστομῶν,
οὐ μή ποτ' ἐς τὴν Σκῦρον ἐκπλεύσῃς ἔχων.
τοιαῦτ' ἀκούσας κἀξονειδισθεὶς κακὰ
πλέω πρὸς οἴκους, τῶν ἐμῶν τητώμενος
πρὸς τοῦ κακίστου κἀκ κακῶν Ὀδυσσέως.

---

.λλάβοιτο.
282. συλλάβοιτο] συμβάλλοιτο, priore in συμβάλλοιτο λ eraso, et superscripto ab S λλάβοιτο. 283. ηὕρισκον D.] εὕρισκον 285. *δὴ] οὖν χρό-
υ
νου] πόνου Nauckius. προύβαινε] πρόβαινε, υ ab S inserto. 286. βαιᾷ Turnebus] βαιῆι 288. *ἐξηύρισκε] εὕρισκε 290. ἄτρακτοσ in textu omissum inter versus addidit manus prima. 291. δύστηνον
τρι
Canterus] δύστηνος 296. ἐκτρίβων] ἐκθλίβων, τρι ab S. 304. *σώφροσιν] σώφροσι 306. ἂν insertum ab S. 308. *καί που] κἄπου 315. οἷ' Porsonus] οἷς 316. *ἀντίποιν'] ἀντάποιν' 319. ἐν]
ωι
ὧν Gernhardus λόγοις] λόγοισ, ωι a m. pr. 320. ἀληθεῖς] εῖ ex ἡ factum a m. pr. συντυχὼν] προστυχὼν Meinekius ad Oed. Col. p. 314. 323. Ἀτρείδαις] αισ in litura duarum literarum. 324. θυμὸν — χειρὶ Brunckius] θυμῶι — χεῖρα

328. κατ' αὐτῶν] κατ' in litura literis minoribus
ατ
cum litura super versum. Fuit igitur καυτῶν. 329. ἐξερῶ] Alterum ε ex αι factum. 343. ποικιλοστόλῳ] Alterum λ ex μ factum. 347. ἢ 'μ'] ἢ μ' pr. ἢ 'μ' sec. 360. 'δάκρυσα Brunckius] δάκρυσα 369. 'τολμήσατ' Vauvillersius] τολμήσαι' 371. *ὁ δ'] ὅδ' ἦν κυρῶν Brunckius] ὢν κύρει

κοὐκ αἰτιῶμαι κεῖνον ὡς τοὺς ἐν τέλει.
πόλις γάρ ἐστι πᾶσα τῶν ἡγουμένων
στρατός τε σύμπας· οἱ δ' ἀκοσμοῦντες βροτῶν
διδασκάλων λόγοισι γίγνονται κακοί.
λόγος λέλεκται πᾶς· ὁ δ' Ἀτρείδας στυγῶν
ἐμοί θ' ὁμοίως καὶ θεοῖς εἴη φίλος.
ΧΟ. ὀρεστέρα παμβῶτι Γᾶ, μᾶτερ αὐτοῦ Διός,
ἃ τὸν μέγαν Πακτωλὸν εὔχρυσον νέμεις,
σὲ κἀκεῖ, μᾶτερ πότνι', ἐπηυδώμαν,
ὅτ' ἐς τόνδ' Ἀτρειδᾶν ὕβρις πᾶσ' ἐχώρει,
ὅτε τὰ πάτρια τεύχεα παρεδίδοσαν,
ἰὼ μάκαιρα ταυροκτόνων
λεόντων ἔφεδρε, τῷ Λαρτίου σέβας ὑπέρτατον.
ΦΙ. ἔχοντες, ὡς ἔοικε, σύμβολον σαφὲς
λύπης πρὸς ἡμᾶς, ὦ ξένοι, πεπλεύκατε,
καί μοι προσᾴδεθ' ὥστε γιγνώσκειν ὅτι
ταῦτ' ἐξ Ἀτρειδῶν ἔργα κἀξ Ὀδυσσέως.
ἔξοιδα γάρ νιν παντὸς ἂν λόγου κακοῦ
γλώσσῃ θιγόντα καὶ πανουργίας, ἀφ' ἧς
μηδὲν δίκαιον ἐς τέλος μέλλοι ποιεῖν.
ἀλλ' οὔ τι τοῦτο θαῦμ' ἔμοιγ', ἀλλ' εἰ παρὼν
Αἴας ὁ μείζων ταῦθ' ὁρῶν ἠνείχετο.
ΝΕ. οὐκ ἦν ἔτι ζῶν, ὦ ξέν'· οὐ γὰρ ἄν ποτε
ζῶντός γ' ἐκείνου ταῦτ' ἐσυλήθην ἐγώ.
ΦΙ. πῶς εἶπας; ἀλλ' ἦ χοὖτος οἴχεται θανών;
ΝΕ. ὡς μηκέτ' ὄντα κεῖνον ἐν φάει νόει.
ΦΙ. οἴμοι τάλας. ἀλλ' οὐχ ὁ Τυδέως γόνος,
οὐδ' οὑμπολητὸς Σισύφου Λαερτίῳ,
οὐ μὴ θάνωσι· τούσδε γὰρ μὴ ζῆν ἔδει.
ΝΕ. οὐ δῆτ'· ἐπίστω τοῦτό γ'· ἀλλὰ καὶ μέγα
θάλλοντές εἰσι νῦν ἐν Ἀργείων στρατῷ.
ΦΙ. τί δ' ὁ παλαιὸς κἀγαθὸς φίλος τ' ἐμός,
Νέστωρ ὁ Πύλιος ἔστιν; οὗτος γὰρ τά γε
κείνων κάκ' ἐξήρυκε, βουλεύων σοφά.
ΝΕ. κεῖνός γε πράσσει νῦν κακῶς, ἐπεὶ θανὼν
Ἀντίλοχος αὐτῷ φροῦδος, ὅς παρῆν, γόνος.
ΦΙ. οἴμοι, δύ' αὖ τώδ' ἐξέδειξας, οἷν ἐγὼ
ἥκιστ' ἂν ἠθέλησ' ὀλωλότοιν κλύειν.
φεῦ φεῦ· τί δῆτα δεῖ σκοπεῖν, ὅθ' οἵδε μὲν
τεθνᾶσ', Ὀδυσσεὺς δ' ἔστιν αὖ κἀνταῦθ' ἵνα
χρῆν ἀντὶ τούτων αὐτὸν αὐδᾶσθαι νεκρόν;
ΝΕ. σοφὸς παλαιστὴς κεῖνος, ἀλλὰ χαὶ σοφαὶ
γνῶμαι, Φιλοκτῆτ', ἐμποδίζονται θαμά.

391—402. = 507—518.

385. *αἰτιῶμαι κεῖνον] αἰτιῶμ' ἐκεῖνον 399. *παρεδίδοσαν] παραδίδοσαν 402. *Λαρτίου] λαερτίου 405. *γιγνώσκειν] γινώσκειν 409. δίκαιον] δὲ βαιον pr. 414. *ἀλλ'] om. 417. Huic versui praescriptum τὸ χ Λαερτίῳ] In codice λαερτίωι esse ait Eugenius Ferrai, non Λαερτίου, quod est in apographis plerisque. 420. *Ἀργείων] ἀργείωι
.ό.
421. ὁ] ὠ, ό a m. pr., spiritu leni super ω in asperum mutato. In apographis pluribus τί δ' ὃς positum est. Peritius Badhamus in annot. ad Eurip. Iph. T. 517. τί γὰρ ὁ coniecit, quod verum haberi posset, nisi verba reliqua παλαιὸς κἀγαθὸς φίλος τ' ἐμός, *vetus et bonus amicusque meus*, infantiam scriptoris proderent. Quamobrem mihi non dubitandum videtur quin verba post τί δέ illata aut omnia aut partim grammatico debeantur versum defectum utcunque explenti. 423. κάκ' ἐξήρυκε] γρ. κἀξεκήρυξε ab S inter scholia. 425. ὃς παρῆν Musgravius] ὅσπερ ἦν 426. δύ' αὖ τώδ' ἐξέδειξας Porsonus] δύ' αὔτωσ (αὔτωσ corr., αὕ'τωσ cum duplici spiritu Lb.) δεὶν' (δεὶν . . cum duarum literarum litura, quasi δειναν fuerit) ἔλεξας. γρ. δύ' αὐτὼ δ' ἐξέδειξασ ab S inter scholia.

ΦΙ. φέρ', εἰπὲ πρὸς θεῶν, ποῦ γὰρ ἦν ἐνταῦθά σοι
Πάτροκλος, ὃς σοῦ πατρὸς ἦν τὰ φίλτατα;
ΝΕ. χοὖτος τεθνηκὼς ἦν· λόγῳ δέ σ' ἐν βραχεῖ
τοῦτ' ἐκδιδάξω. πόλεμος οὐδέν' ἄνδρ' ἑκὼν
αἱρεῖ πονηρόν, ἀλλὰ τοὺς χρηστοὺς ἀεί.
ΦΙ. ξυμμαρτυρῶ σοι· καὶ κατ' αὐτὸ τοῦτό γε
ἀναξίου μὲν φωτὸς ἐξερήσομαι,
γλώσσῃ δὲ δεινοῦ καὶ σοφοῦ, τί νῦν κυρεῖ.
ΝΕ. ποίου δὲ τούτου πλήν γ' Ὀδυσσέως ἐρεῖς;
ΦΙ. οὐ τοῦτον εἶπον, ἀλλὰ Θερσίτης τις ἦν,
ὃς οὐκ ἂν εἵλετ' εἰσάπαξ εἰπεῖν, ὅπου
μηδεὶς ἐῴη· τοῦτον οἶσθ' εἰ ζῶν κυρεῖ;
ΝΕ. οὐκ εἶδον αὐτός, ᾐσθόμην δ' ἔτ' ὄντα νιν.
ΦΙ. ἔμελλ'· ἐπεὶ οὐδέν πω κακόν γ' ἀπώλετο,
ἀλλ' εὖ περιστέλλουσιν αὐτὰ δαίμονες,
καί πως τὰ μὲν πανοῦργα καὶ παλιντριβῆ
χαίρουσ' ἀναστρέφοντες ἐξ Ἅιδου, τὰ δὲ
δίκαια καὶ τὰ χρήστ' ἀποστέλλουσ' ἀεί.
ποῦ χρὴ τίθεσθαι ταῦτα, ποῦ δ' αἰνεῖν, ὅταν
τὰ θεῖ' ἐπαινῶν τοὺς θεοὺς εὕρω κακούς;
ΝΕ. ἐγὼ μέν, ὦ γένεθλον Οἰταίου πατρός,
τὸ λοιπὸν ἤδη τηλόθεν τό τ' Ἴλιον
καὶ τοὺς Ἀτρείδας εἰσορῶν φυλάξομαι,
ὅπου θ' ὁ χείρων τἀγαθοῦ μεῖζον σθένει
κἀποφθίνει τὰ χρηστὰ χὠ δειλὸς κρατεῖ,
τούτους ἐγὼ τοὺς ἄνδρας οὐ στέρξω ποτέ·
ἀλλ' ἡ πετραία Σκῦρος ἐξαρκοῦσά μοι
ἔσται τὸ λοιπόν, ὥστε τέρπεσθαι δόμῳ.
νῦν δ' εἶμι πρὸς ναῦν. καὶ σύ, Ποίαντος τέκνον,
χαῖρ' ὡς μέγιστα, χαῖρε, καί σε δαίμονες
νόσου μεταστήσειαν, ὡς αὐτὸς θέλεις.
ἡμεῖς δ' ἴωμεν· ὡς ὁπηνίκ' ἂν θεὸς
πλοῦν ἡμὶν εἴκῃ, τηνικαῦθ' ὁρμώμεθα.
ΦΙ. ἤδη, τέκνον, στέλλεσθε; ΝΕ. καιρὸς γὰρ καλεῖ
πλοῦν μὴ 'ξ ἀπόπτου μᾶλλον ἢ 'γγύθεν σκοπεῖν.
ΦΙ. πρός νύν σε πατρός, πρός τε μητρός, ὦ τέκνον,
πρός τ' εἴ τί σοι κατ' οἶκόν ἐστι προσφιλές,
ἱκέτης ἱκνοῦμαι, μὴ λίπῃς μ' οὕτω μόνον,
ἔρημον ἐν κακοῖσι τοῖσδ' οἵοις ὁρᾷς
ὅσοισί τ' ἐξήκουσας ἐνναίοντά με·
ἀλλ' ἐν παρέργῳ θοῦ με. δυσχέρεια μέν,
ἔξοιδα, πολλὴ τοῦδε τοῦ φορήματος·
ὅμως δὲ τλῆθι. τοῖσι γενναίοισί τοι
τό τ' αἰσχρὸν ἐχθρὸν καὶ τὸ χρηστὸν εὐκλεές.
σοὶ δ', ἐκλιπόντι τοῦτ', ὄνειδος οὐ καλόν,
δράσαντι δ', ὦ παῖ, πλεῖστον εὐκλείας γέρας,
ἐὰν μόλω 'γὼ ζῶν πρὸς Οἰταίαν χθόνα.
ἴθ'· ἡμέρας τοι μόχθος οὐχ ὅλης μιᾶς.
τόλμησον, ἐμβαλοῦ μ' ὅπῃ θέλεις ἄγων,

434. ὃς σοῦ Hemsterhusius ad Lucian. vol. 1. p. 147.] ὅς σοι 435. σ' ἐν βραχεῖ Erfurdtius] σε βραχεῖ 437. *αἱρεῖ] αἴρει 438. κατ' αὐτὸ] Literae κατ' αὐ in litura spatii angustioris. 441. δὲ Florens Christianus] τε 444. ἐῴη] ἐὼν cum γρ. ἐώη a m. sec. 13. vel 14. 445. αὐτὸς Schneidewinus] αὐτὸν *δ' ἔτ'] δέ τ' 446. *οὐδέν πω] οὐδέπω 448. καί
γ'
πως] καὶ πῶσ pr. 456. θ'] θ', γ' a m. pr. 457. δειλὸς Brunckius] δεινὸς 465. εἴκῃ] ἥκῃ, scripto super ἥ signo ϟ (male pro ϊ accepto ab Elmsleio), ad quod refertur scholion in margine positum ϟ διδῷ
ι
συγχωρήσῃ. 470. λίπῃς] λέιπῃισ, ι a m. pr.
αι
472. ἐνναίοντα] ἐννέοντα, αι ab S. 481. *ἐμβαλοῦ] ἐκβαλοῦ

εἰς ἀντλίαν, ἐς πρῷραν, ἐς πρύμνην, ὅπου
ἥκιστα μέλλω τοὺς ξυνόντας ἀλγυνεῖν.
νεῦσον, πρὸς αὐτοῦ Ζηνὸς ἱκεσίου, τέκνον,
πείσθητι· προσπίτνω σε γόνασι, καίπερ ὢν
ἀκράτωρ ὁ τλήμων, χωλός. ἀλλὰ μή μ᾽ ἀφῇς
ἔρημον οὕτω χωρὶς ἀνθρώπων στίβου,
ἀλλ᾽ ἢ πρὸς οἶκον τὸν σὸν ἔκσωσόν μ᾽ ἄγων,
ἢ πρὸς τὰ Χαλκώδοντος Εὐβοίας σταθμά·
κἀκεῖθεν οὔ μοι μακρὸς εἰς Οἴτην στόλος
Τραχινίαν τε δεράδα καὶ τὸν εὔροον
Σπερχειὸν ἔσται, πατρί μ᾽ ὡς δείξῃς φίλῳ,
ὃν δὴ παλαιὸν ἐξ ὅτου δέδοικ᾽ ἐγὼ
μή μοι βεβήκῃ. πολλὰ γὰρ τοῖς ἱγμένοις
ἔστελλον αὐτὸν ἱκεσίους πέμπων λιτάς,
αὐτόστολον πέμψαντά μ᾽ ἐκσῶσαι δόμοις.
ἀλλ᾽ ἢ τέθνηκεν, ἢ τὰ τῶν διακόνων,
ὡς εἰκός, οἶμαι, τοὐμὸν ἐν σμικρῷ μέρος
ποιούμενοι τὸν οἴκαδ᾽ ἤπειγον στόλον.
νῦν δ᾽, ἐς σὲ γὰρ πομπόν τε καὐτὸν ἄγγελον
ἥκω, σὺ σῶσον, σύ μ᾽ ἐλέησον, εἰσορῶν
ὡς πάντα δεινὰ κἀπικινδύνως βροτοῖς
κεῖται, παθεῖν μὲν εὖ, παθεῖν δὲ θἄτερα.
χρὴ δ᾽ ἐκτὸς ὄντα πημάτων τὰ δείν᾽ ὁρᾶν,
χὤταν τις εὖ ζῇ, τηνικαῦτα τὸν βίον
σκοπεῖν μάλιστα μὴ διαφθαρεὶς λάθῃ.

ΧΟ. οἴκτειρ᾽, ἄναξ· πολλῶν ἔλεξεν δυσοίστων πόνων
ἆθλ᾽, οἷα μηδεὶς τῶν ἐμῶν τύχοι φίλων.
εἰ δὲ πικροὺς, ἄναξ, ἔχθεις Ἀτρείδας,
ἐγὼ μὲν τὸ κείνων κακὸν τῷδε κέρδος
μετατιθέμενος, ἔνθαπερ ἐπιμέμονεν,
ἐπ᾽ εὐστόλου ταχείας νεὼς [φυγών.
πορεύσαιμ᾽ ἂν ἐς δόμους, τὰν θεῶν νέμεσιν ἐκ-

ΝΕ. ὅρα σὺ μὴ νῦν μέν τις εὐχερὴς παρῇς,
ὅταν δὲ πλησθῇς τῆς νόσου ξυνουσίᾳ,
τότ᾽ οὐκέθ᾽ αὑτὸς τοῖς λόγοις τούτοις φανῇς.

ΧΟ. ἥκιστα· τοῦτ᾽ οὐκ ἔσθ᾽ ὅπως ποτ᾽ εἰς ἐμὲ
τοὔνειδος ἕξεις ἐνδίκως ὀνειδίσαι.

ΝΕ. ἀλλ᾽ αἰσχρὰ μέντοι σοῦ γέ μ᾽ ἐνδεέστερον
ξένῳ φανῆναι πρὸς τὸ καίριον πονεῖν.
ἀλλ᾽ εἰ δοκεῖ, πλέωμεν, ὁρμάσθω ταχύς·
χἠ ναῦς γὰρ ἄξει κοὐκ ἀπαρνηθήσεται.
μόνον θεοὶ σῴζοιεν ἔκ τε τῆσδε γῆς
ἡμᾶς ὅποι τ᾽ ἐνθένδε βουλοίμεσθα πλεῖν.

ΦΙ. ὦ φίλτατον μὲν ἦμαρ, ἥδιστος δ᾽ ἀνήρ,
φίλοι δὲ ναῦται, πῶς ἂν ὑμὶν ἐμφανὴς
ἔργῳ γενοίμην, ὥς μ᾽ ἔθεσθε προσφιλῆ.
ἴωμεν, ὦ παῖ, προσκύσαντε τὴν ἔσω
ἄοικον εἰσοίκησιν, ὥς με καὶ μάθῃς
ἀφ᾽ ὧν διέζων ὥς τ᾽ ἔφυν εὐκάρδιος.
οἶμαι γὰρ οὐδ᾽ ἂν ὄμμασιν μόνην θέαν
ἄλλον λαβόντα πλὴν ἐμοῦ τλῆναι τάδε·
ἐγὼ δ᾽ ἀνάγκῃ προὔμαθον στέργειν κακά.

ΧΟ. ἐπίσχετον, μάθωμεν· ἄνδρε γὰρ δύο,
ὁ μὲν νεὼς σῆς ναυβάτης, ὁ δ᾽ ἀλλόθρους,
χωρεῖτον, ὧν μαθόντες αὖθις εἴσιτον.

ΕΜΠΟΡΟΣ.

Ἀχιλλέως παῖ, τόνδε τὸν ξυνέμπορον,
ὃς ἦν νεὼς σῆς σὺν δυοῖν ἄλλοιν φύλαξ,
ἐκέλευσ᾽ ἐμοί σε ποῦ κυρῶν εἴης φράσαι,
ἐπείπερ ἀντέκυρσα, δοξάζων μὲν οὔ,
τύχῃ δέ πως πρὸς ταυτὸν ὁρμισθεὶς πέδον.
πλέων γὰρ ὡς ναύκληρος οὐ πολλῷ στόλῳ
ἀπ᾽ Ἰλίου πρὸς οἶκον ἐς τὴν εὔβοτρυν
Πεπάρηθον, ὡς ἤκουσα τοὺς ναύτας ὅτι
σοὶ πάντες εἶεν συννεναυστοληκότες,
ἔδοξέ μοι μὴ σῖγα, πρὶν φράσαιμί σοι,
τὸν πλοῦν ποιεῖσθαι, προστυχόντι τῶν ἴσων.
οὐδὲν σύ που κάτοισθα τῶν σαυτοῦ πέρι,
ἃ τοῖσιν Ἀργείοισιν ἀμφὶ σοῦ νέα
βουλεύματ᾽ ἐστὶ, κοὐ μόνον βουλεύματα,
ἀλλ᾽ ἔργα δρώμεν᾽, οὐκέτ᾽ ἐξαργούμενα.

ΝΕ. ἀλλ᾽ ἡ χάρις μὲν τῆς προμηθίας, ξένε,
εἰ μὴ κακὸς πέφυκα, προσφιλὴς μενεῖ·
φράσον δ᾽ ἅπερ γ᾽ ἔλεξας, ὡς μάθω τί μοι
νεώτερον βούλευμ᾽ ἀπ᾽ Ἀργείων ἔχεις.

ΕΜ. φροῦδοι διώκοντές σε ναυτικῷ στόλῳ
Φοῖνιξ ὁ πρέσβυς οἵ τε Θησέως κόροι.

ΝΕ. ὡς ἐκ βίας μ᾽ ἄξοντες ἢ λόγοις πάλιν;

ΕΜ. οὐκ οἶδ᾽· ἀκούσας δ᾽ ἄγγελος πάρειμί σοι.

ΝΕ. ἦ ταῦτα δὴ Φοῖνιξ τε χοἰ ξυνναυβάται
οὕτω καθ᾽ ὁρμὴν δρῶσιν Ἀτρειδῶν χάριν;

ΕΜ. ὡς ταῦτ᾽ ἐπίστω δρώμεν᾽, οὐ μέλλοντ᾽ ἔτι.

ΝΕ. πῶς οὖν Ὀδυσσεὺς πρὸς τάδ᾽ οὐκ αὐτάγγελος
πλεῖν ἦν ἕτοιμος; ἢ φόβος τις εἶργέ νιν;

ΕΜ. κεῖνός γ᾽ ἐπ᾽ ἄλλον ἄνδρ᾽ ὁ Τυδέως τε παῖς
ἔστελλον, ἡνίκ᾽ ἐξανηγόμην ἐγώ.

ΝΕ. πρὸς ποῖον αὖ τόνδ᾽ αὐτὸς οὑδυσσεὺς ἔπλει;

ΕΜ. ἦν δή τις. ἀλλὰ τόνδε μοι πρῶτον φράσον
τίς ἐστιν· ἂν λέγῃς δὲ μὴ φώνει μέγα.

ΝΕ. ὅδ᾽ ἔσθ᾽ ὁ κλεινός σοι Φιλοκτήτης, ξένε.

ΕΜ. μή νύν μ᾽ ἔρῃ τὰ πλείον᾽, ἀλλ᾽ ὅσον τάχος
ἔκπλει σεαυτὸν ξυλλαβὼν ἐκ τῆσδε γῆς.

ΦΙ. τί φησιν, ὦ παῖ; τί με κατὰ σκότον ποτὲ
διεμπολᾷ λόγοισι πρός σ᾽ ὁ ναυβάτης;

ΝΕ. οὐκ οἶδά πω τί φησί· δεῖ δ᾽ αὐτὸν λέγειν
ἐς φῶς ὃ λέξει, πρὸς σὲ κἀμὲ τούσδε τε.

ΕΜ. ὦ σπέρμ᾽ Ἀχιλλέως, μή με διαβάλῃς στρατῷ
λέγονθ᾽ ἃ μὴ δεῖ· πόλλ᾽ ἐγὼ κείνων ὕπο
δρῶν ἀντιπάσχω χρηστά θ᾽, οἷ᾽ ἀνὴρ πένης.

ΝΕ. ἐγώ εἰμ᾽ Ἀτρείδαις δυσμενής· οὗτος δέ μοι

---

482. πρύμνην Elmsleius ad Eurip. Heracl. 19.] πρύμναν 485. προσπίτνω] προσπίτνῶ 491. τε δεράδα Toupius] τε δειράδα. δειράδα τε Heathius. 493. παλαιὸν Triclinius] παλαιὰν, cui in marg. adscriptum non ab S, sed ab alia m. antiqua, sine γρ., πάλαι ἂν· unde πάλαι᾽ ἂν Lb. 494. *βεβήκῃ] βεβήκοι *ἱγμένοις] ἱκμένοισ 507. *ἔλεξεν] ἔλεξε 509. οἷα Porsonus] ὅσσα 510. πικροὺς] πικρῶς Nauckius. 515. μετατιθέμενος ex schol.] μέγα τιθέμενος ἐπιμέμονεν Turnebus] ἐπεὶ μέμονεν 517. τὰν θεῶν Hermannus] τὰν ἐκ θεῶν 521. *οὐκέθ᾽ αὑτὸς] οὐκέθ᾽ αὐτὸσ 522. Post

. ηι
τοῦτ᾽ interpunctum. 523. ἕξεις] ἕξεισ, ηι a m. pr.
γ
528. ἔκ τε Gernhardus] ἐκ δὲ, γ a m. pr.
..
533. προσκύσαντε] προσκύσαντεσ

538. κακά] τάδε, cum γρ. κακά ab S. 539. *δύο] δύω 540. νεὼς] σ ab S insertum. 541. *αὖθις] αὖτισ 546. πρὸς ταυτὸν] πρὸσ αὐτὸν, σ a m. ant. in στ uno ductu mutatum. 550. συννεναυστοληκότες Dobraeus] οἱ νεναυστοληκότες 552. *ποιεῖσθαι] ποεῖσθαι τῶν ἴσων] τὸν ἴσον pr. 553. σύ] υ ex οι factum. 554. σοῦ νέα Auratus] σ᾽ οὕνεκα 559. *γ᾽] om. 562. φοῖνιξ] φοίνιξ pr., sed 565. φοῖνιξ 569. *εἶργε] εἶργε 571. *ἐγώ]

υ
ἔσω 572. αὖ Dobraeus] ἂν οὑδυσσεὺς] ὀδυσσεὺσ, υ a m. pr. vel S superscripto. 574. ἂν Brunckius] ἀν (sic). In apographis ἄν. 579. πρός] πρό, σ ab S addito. 582. διαβάλῃς ex scholiasta] διαβάλλῃσ 584. θ᾽ Dobraeus] γ᾽ 585. ἐγώ εἰμ᾽] In ἐγὼ᾽μ᾽ radendo mutatum.

φίλος μέγιστος, οὕνεκ' Ἀτρείδας στυγεῖ.
δεῖ δή σ' ἔμοιγ' ἐλθόντα προσφιλῆ λόγων
κρύψαι πρὸς ἡμᾶς μηδέν' ὧν ἀκήκοας.
ΕΜ. ὅρα τί ποιεῖς, παῖ. ΝΕ. σκοπῶ κἀγὼ πάλαι.
ΕΜ. σὲ θήσομαι τῶνδ' αἴτιον. ΝΕ. ποιοῦ λέγων.
ΕΜ. λέγω. 'πὶ τοῦτον ἄνδρε τώδ' ὥπερ κλύεις,
ὁ Τυδέως παῖς ἥ τ' Ὀδυσσέως βία,
διώμοτοι πλέουσιν ἦ μὴν ἢ λόγῳ
πείσαντες ἄξειν, ἢ πρὸς ἰσχύος κράτος.
καὶ ταῦτ' Ἀχαιοὶ πάντες ἤκουον σαφῶς
Ὀδυσσέως λέγοντος· οὗτος γὰρ πλέον
τὸ θάρσος εἶχε θἀτέρου, δράσειν τάδε.
ΝΕ. τίνος δ' Ἀτρεῖδαι τοῦδ' ἄγαν οὕτω χρόνῳ
τοσῷδ' ἐπεστρέφοντο πράγματος χάριν,
ὅν γ' εἶχον ἤδη χρόνιον ἐκβεβληκότες;
τίς ὁ πόθος αὐτοὺς ἵκετ', ἢ θεῶν βία
καὶ νέμεσις, οἵπερ ἔργ' ἀμύνουσιν κακά;
ΕΜ. ἐγώ σε τοῦτ', ἴσως γὰρ οὐκ ἀκήκοας,
πᾶν ἐκδιδάξω. μάντις ἦν τις εὐγενής,
Πριάμου μὲν υἱός, ὄνομα δ' ὠνομάζετο
Ἕλενος, ὃν οὗτος νυκτὸς ἐξελθὼν μόνος,
ὁ πάντ' ἀκούων αἰσχρὰ καὶ λωβήτ' ἔπη
δόλιος Ὀδυσσεὺς εἷλε δέσμιόν τ' ἄγων
ἔδειξ' Ἀχαιοῖς ἐς μέσον, θήραν καλήν·
ὃς δὴ τά τ' ἄλλ' αὐτοῖσι πάντ' ἐθέσπισεν
καὶ τἀπὶ Τροίᾳ πέργαμ' ὡς οὐ μή ποτε
πέρσοιεν, εἰ μὴ τόνδε πείσαντες λόγῳ
ἄγοιντο νήσου τῆσδ' ἐφ' ἧς ναίει τανῦν.
καὶ ταῦθ' ὅπως ἤκουσ' ὁ Λαέρτου τόκος
τὸν μάντιν εἰπόντ', εὐθέως ὑπέσχετο
τὸν ἄνδρ' Ἀχαιοῖς τόνδε δηλώσειν ἄγων·
οἴοιτο μὲν μάλισθ' ἑκούσιον λαβών,
εἰ μὴ θέλοι δ', ἄκοντα· καὶ τούτων κάρα
τέμνειν ἐφεῖτο τῷ θέλοντι μὴ τυχών.
ἤκουσας, ὦ παῖ, πάντα· τὸ σπεύδειν δέ σοι
καὐτῷ παραινῶ κεἴ τινος κήδει πέρι.
ΦΙ. οἴμοι τάλας. ἦ κεῖνος, ἡ πᾶσα βλάβη,
ἔμ' εἰς Ἀχαιοὺς ὤμοσεν πείσας στελεῖν;
πεισθήσομαι γὰρ ὧδε κἀξ Ἅιδου θανὼν
πρὸς φῶς ἀνελθεῖν, ὥσπερ οὑκείνου πατήρ.
ΕΜ. οὐκ οἶδ' ἐγὼ ταῦτ'· ἀλλ' ἐγὼ μὲν εἶμ' ἐπὶ
ναῦν, σφῷν δ' ὅπως ἄριστα συμφέροι θεός.
ΦΙ. οὔκουν τάδ', ὦ παῖ, δεινά, τὸν Λαερτίου
ἔμ' ἐλπίσαι ποτ' ἂν λόγοισι μαλθακοῖς
δεῖξαι νεὼς ἄγοντ' ἐν Ἀργείοις μέσοις;
οὔ θᾶσσον ἂν τῆς πλεῖστον ἐχθίστης ἐμοὶ
κλύοιμ' ἐχίδνης, ἥ μ' ἔθηκεν ὧδ' ἄπουν.
ἀλλ' ἔστ' ἐκείνῳ πάντα λεκτὰ, πάντα δὲ
τολμητά· καὶ νῦν οἶδ' ὁθούνεχ' ἵξεται.
ἀλλ', ὦ τέκνον, χωρῶμεν, ὡς ἡμᾶς πολὺ
πέλαγος ὁρίζῃ τῆς Ὀδυσσέως νεώς.
ἴωμεν. ἥ τοι καίριος σπουδὴ πόνου
λήξαντος ὕπνον κἀνάπαυλαν ἤγαγεν.
ΝΕ. οὐκοῦν ἐπειδὰν πνεῦμα τοὐκ πρῴρας ἀνῇ,
τότε στελοῦμεν· νῦν γὰρ ἀντιοστατεῖ.
ΦΙ. ἀεὶ καλὸς πλοῦς ἔσθ', ὅταν φεύγῃς κακά.
ΝΕ. οἶδ'· ἀλλὰ κἀκείνοισι ταῦτ' ἐναντία.
ΦΙ. οὐκ ἔστι λῃσταῖς πνεῦμ' ἐναντιούμενον,
ὅταν παρῇ κλέψαι τι χἀρπάσαι βίᾳ.
ΝΕ. ἀλλ' εἰ δοκεῖ, χωρῶμεν, ἔνδοθεν λαβὼν
ὅτου σε χρεία καὶ πόθος μάλιστ' ἔχει.
ΦΙ. ἀλλ' ἔστιν ὧν δεῖ, καίπερ οὐ πολλῶν ἄπο.
ΝΕ. τί τοῦθ' ὃ μὴ νεώς γε τῆς ἐμῆς ἔνι;
ΦΙ. φύλλον τί μοι πάρεστιν, ᾧ μάλιστ' ἀεὶ
κοιμῶ τόδ' ἕλκος, ὥστε πραΰνειν πάνυ.
ΝΕ. ἀλλ' ἔκφερ' αὐτό. τί γὰρ ἔτ' ἄλλ' ἐρᾷς λαβεῖν;
ΦΙ. εἴ μοί τι τόξων τῶνδ' ἀπημελημένον
παρερρύηκεν, ὡς λίπω μή τῳ λαβεῖν.
ΝΕ. ἦ ταῦτα γὰρ τὰ κλεινὰ τόξ' ἃ νῦν ἔχεις;
ΦΙ. ταῦτ', οὐ γὰρ ἄλλα γ' ἔσθ', ἃ βαστάζω χεροῖν.
ΝΕ. ἆρ' ἔστιν ὥστε κἀγγύθεν θέαν λαβεῖν,
καὶ βαστάσαι με προσκύσαι θ' ὥσπερ θεόν;
ΦΙ. σοί γ', ὦ τέκνον, καὶ τοῦτο κἄλλο τῶν ἐμῶν
ὁποῖον ἄν σοι ξυμφέρῃ γενήσεται.
ΝΕ. καὶ μὴν ἐρῶ γε, τὸν δ' ἔρωθ' οὕτως ἔχω·
εἴ μοι θέμις, θέλοιμ' ἄν· εἰ δὲ μή, πάρες.
ΦΙ. ὅσιά τε φωνεῖς ἔστι τ', ὦ τέκνον, θέμις,
ὅς γ' ἡλίου τόδ' εἰσορᾶν ἐμοὶ φάος
μόνος δέδωκας, ὃς χθόν' Οἰταίαν ἰδεῖν,
ὃς πατέρα πρέσβυν, ὃς φίλους, ὃς τῶν ἐμῶν
ἐχθρῶν μ' ἔνερθεν ὄντ' ἀνέστησας πέρα.
θάρσει, παρέσται ταῦτά σοι καὶ θιγγάνειν
καὶ δόντι δοῦναι κἀξεπεύξασθαι βροτῶν
ἀρετῆς ἕκατι τῶνδ' ἐπιψαῦσαι μόνον.
εὐεργετῶν γὰρ καὐτὸς αὔτ' ἐκτησάμην.
ΝΕ. χωροῖς ἂν εἴσω. ΦΙ. καὶ σέ γ' εἰσάξω· τὸ γὰρ
νοσοῦν ποθεῖ σε ξυμπαραστάτην λαβεῖν.
ΧΟ. λόγῳ μὲν ἐξήκουσ', ὄπωπα δ' οὐ μάλα,
τὸν πελάταν λέκτρων ποτὲ τῶν Διὸς
Ἰξίον' ἀν' ἄμπυκα δὴ δρομάδ' ὡς ἔβαλ' ὁ παγ-
κρατὴς Κρόνου παῖς· [μοίρᾳ
ἄλλον δ' οὔτιν' ἔγωγ' οἶδα κλύων οὐδ' ἐσιδὼν
τοῦδ' ἐχθίονι συντυχόντα θνατῶν,
ὃς οὔτ' ἔρξας τιν' οὔτε νοσφίσας,
ἀλλ' ἴσος ὢν ἴσοις ἀνὴρ
ὠλέκεθ' ὧδ' ἀτίμως. τόδε τοι θαῦμά μ' ἔχει,
πῶς ποτε πῶς ποτ' ἀμφιπλήκτων ῥοθίων μόνος
κλύων,

676—690. = 691—705.

671. ΝΕ. οὐκ ἄχθομαί σ' ἰδών τε καὶ λαβὼν φίλον.
ὅστις γὰρ εὖ δρᾶν εὖ παθὼν ἐπίσταται,
παντὸς γένοιτ' ἂν κτήματος κρείσσων φίλος.

---

586. *Ἀτρείδας] ἀτρείδαισ 587. λόγων D.] λόγον 588. Post ἡμᾶσ duae literae erasae, δὲ ut videtur. 593. *ἤ] ἡ 600. γ' Erfurdtius] τ' 601. βία] φθόνοσ superscr., sed literis capitalibus, ex quo apparet non diversam lectioem esse, sed annotationem scholiastae. 607. λωβήτ'] λωβητ̀', quomodo accentus etiam alibi in huiusmodi adiectivis supra consonantem positus est. Sic 670. αὐτ̀' 610. *ἐθέσπισεν] ἐθέσπισε 614. *ἤκουσ'] ἤκουσεν τ 622. *ἤ] ἦ 630. ἄγοντ'] ἄγονθ', τ a m. pr. 631. οὔ θᾶσσον Welckerus in Museo Rhenano vol. 1. p. 448.] οὐ.θᾶσσον 636. *ὁρίζῃ Brunckius] ὁρίζει

639. *τοὐκ] τοῦ ἀνῇ Piersonus] ἄηι (cum gl. παρῆι). 642. οἶδ' Doederlinus] οὐκ 644. κλέψαι τι Bergkius] κλέψαι τε, literis αι τε in litura positis 648. ἔνι] ἔπι Wakefieldus. 650. πάνυ] ταχύ Meinekius ad Oedip. Col. p. 317. 655. *ἄλλα γ' ἔσθ'] ἀλλ' (sic) ἔσθ'. ἔστιν ἄλλ' ἃ Nauckius. 656. *ἆρ'] ἄρ' 663. *τόδ'] τότ' 671—673. Versus spurios tres eiecit D. 677. τῶν addidit Porsonus. 678. Ἰξίον' ἀν' ἄμπυκα D.] ἰξίονα κατ' ἄμπυκα 679. δρομάδ' ὡς D.] δρομάδα δέσμιον ὡς ἔβαλ' Wakefieldus] ἔλαβ' 685. ὢν Schultzius] ἐν 686. ὠλέκεθ' D.] ὤλλυθ' ἀτίμως Erfurdtius] ἀναξίως 687. τόδε τοι θαῦμά μ' ἔχει D.] τόδε θαῦμ' ἔχει με 688. ἀμφιπλήκτων] Probabilius ἀμφιπλάκτων, ut ἁλίπλακτος est Aiac. 598. *κλύων] κλύζων

πῶς ἄρα πανδάκρυτον οὕτω βιοτὰν κατέσχεν·
ἵν' αὐτὸς ἦν πρόσουρος, οὐκ ἔχων βάσιν,
οὐδέ τιν' ἔγχωρον κακογείτονα,
παρ' ᾧ στόνον ἀντίτυπον βαρυβρῶτ' ἀποκλαύ-
σειεν αἱματηρόν·
ὃς τὰν θερμοτάταν αἱμάδα κηκιομέναν ἑλκέων
ἐνθήρου ποδὸς ἠπίοισι φύλλοις
κατευνάσειεν, εἴ τι ἐμπέσοι
φορβάδος ἐκ γαίας ἑλεῖν·
εἷρπε γὰρ ἄλλοτ' ἄλλᾳ τότ' ἂν εἰλυόμενος,
παῖς ἄτερ ὡς φίλας τιθήνας, ὅθεν εὐμάρει' ὑπάρ-
χοι πόρου, ἁνίκ' ἐξανείη δακέθυμος ἄτα·
οὐ φορβὰν ἱερᾶς γᾶς σπόρον, οὐκ ἄλλων
αἴρων τῶν νεμόμεσθ' ἀνέρες ἀλφησταί,
πλὴν ἐξ ὠκυβόλων εἴ ποτε τόξων
πτανοῖς ἰοῖς ἀνύσειε γαστρὶ φορβάν.
ὦ μελέα ψυχά,
ὃς μηδ' οἰνοχύτου πώματος ἥσθη δεκέτει χρό- [νῳ,
λεύσσων δ' εἴ που γνοίη στατὸν εἰς ὕδωρ
ἀεὶ προσενώμα.
νῦν δ' ἀνδρῶν ἀγαθῶν παιδὸς ὑπαντήσας
εὐδαίμων ἀνύσει καὶ μέγας ἐκ κείνων·
ὅς νιν ποντοπόρῳ δούρατι, πλήθει
πολλῶν μηνῶν, πατρίαν ἄγει πρὸς αὐλὰν
Μηλιάδων νυμφᾶν,
Σπερχειοῦ τε παρ' ὄχθας, ἵν' ὁ χάλκασπις ἀνὴρ
πλάθει πᾶσιν, θείῳ πυρὶ παμφαής,
Οἴτας ὑπὲρ ὄχθων.
ΝΕ. ἕρπ', εἰ θέλεις. τί δή ποθ' ὧδ' ἐξ οὐδενὸς
λόγου σιωπᾷς κἀπόπληκτος ὧδ' ἔχει;
ΦΙ. ἆ ἆ, ἆ ἆ.
ΝΕ. τί ἔστιν; ΦΙ. οὐδὲν δεινόν. ἀλλ' ἴθ', ὦ τέκνον.
ΝΕ. μῶν ἄλγος ἴσχεις τῆς παρεστώσης νόσου;
ΦΙ. οὐ δῆτ' ἔγωγ', ἀλλ' ἄρτι κουφίζειν δοκῶ.
ὦ θεοί. ΝΕ. τί τοὺς θεοὺς ἀναστένων καλεῖς;
ΦΙ. σωτῆρας αὐτοὺς ἠπίους θ' ἡμῖν μολεῖν.
ἆ ἆ, ἆ ἆ.
ΝΕ. τί ποτε πέπονθας; οὐκ ἐρεῖς, ἀλλ' ὧδ' ἔσει
σιγηλός; ἐν κακῷ δέ τῳ φαίνει κυρῶν.
ΦΙ. ἀπόλωλα, τέκνον, κοὐ δυνήσομαι κακὸν
κρύψαι παρ' ὑμῖν, ἀτταταῖ· διέρχεται
διέρχεται. δύστηνος, ὦ τάλας ἐγώ.
ἀπόλωλα, τέκνον· βρύκομαι, τέκνον· παπαῖ,
ἀπαππαπαῖ, παπαππαπαππαπαππαπαῖ.
πρὸς θεῶν, πρόχειρον εἴ τί σοι, τέκνον, πάρα
ξίφος χεροῖν, πάταξον εἰς ἄκρον πόδα·
ἀπάμησον ὡς τάχιστα· μὴ φείσῃ βίου.
ἴθ', ὦ παῖ.
ΝΕ. τί δ' ἔστιν οὕτω νεοχμὸν ἐξαίφνης, ὅτου
τοσήνδ' ἰυγὴν καὶ στόνον σαυτοῦ ποιεῖς;
ΦΙ. οἶσθ', ὦ τέκνον; ΝΕ. τί ἔστιν; ΦΙ. οἶσθ', ὦ
παῖ; ΝΕ. τί σοί;
οὐκ οἶδα. ΦΙ. πῶς οὐκ οἶσθα; παππαπαππαπαῖ.
ΝΕ. δεινόν γε τοὐπίσαγμα τοῦ νοσήματος.
ΦΙ. δεινὸν γὰρ οὐδὲ ῥητόν· ἀλλ' οἴκτειρέ με.
ΝΕ. τί δῆτα δράσω; ΦΙ. μή με ταρβήσας προδῷς·
ἥκει γὰρ αὕτη διὰ χρόνου πλάνοις ἴσοις
ὡς ἐξεπλήσθη. ΝΕ. ἰὼ ἰὼ δύστηνε σύ,
δύστηνε δῆτα διὰ πόνων πάντων φανείς.
βούλει λάβωμαι δῆτα καὶ θίγω τί σου;
ΦΙ. μὴ δῆτα τοῦτό γ'· ἀλλά μοι τὰ τόξ' ἑλὼν
τάδ', ὥσπερ ᾔτου μ' ἀρτίως, ἕως ἀνῇ
τὸ πῆμα τοῦτο τῆς νόσου τὸ νῦν παρόν,
σῷζ' αὐτὰ καὶ φύλασσε. λαμβάνει γὰρ οὖν
ὕπνος μ', ὅταν περ τὸ κακὸν ἐξίῃ τόδε·
κοὐκ ἔστι λῆξαι πρότερον, ἀλλ' ἐᾶν χρεὼν
ἕκηλον εὕδειν. ἢν δὲ τῷδε τῷ χρόνῳ
μόλωσ' ἐκεῖνοι, πρὸς θεῶν, ἐφίεμαι
ἑκόντα μηδ' ἄκοντα, μηδέ τῳ τέχνῃ
κείνοις μεθεῖναι ταῦτα, μὴ σαυτόν θ' ἅμα
κἀμ', ὄντα σαυτοῦ πρόστροπον, κτείνας γένῃ.
ΝΕ. θάρσει προνοίας οὕνεκ'· οὐ δοθήσεται
πλὴν σοί τε κἀμοί· ξὺν τύχῃ δὲ πρόσφερε.
ΦΙ. ἰδοὺ δέχου, παῖ· τὸν φθόνον δὲ πρόσκυσον,
μή σοι γενέσθαι πολύπον' αὐτά, μηδ' ὅπως
ἐμοί τε καὶ τῷ πρόσθ' ἐμοῦ κεκτημένῳ.
ΝΕ. ὦ θεοί, γένοιτο ταῦτα νῷν· γένοιτο δὲ
πλοῦς οὔριός τε κεὐσταλὴς ὅποι ποτὲ
θεὸς δικαιοῖ χὠ στόλος πορσύνεται.
ΦΙ. ἀλλὰ δέδοικ', ὦ παῖ, μή μ' ἀτελὴς εὐχή·
στάζει γὰρ αὖ μοι φοίνιον τόδ' ἐκ βυθοῦ
κηκῖον αἷμα, καί τι προσδοκῶ νέον.

706—717. = 718—729.

---

691. αὐτὸς ἦν] αὐτός οἱ Meinekius. 694. ἔγχωρον Dobraeus] ἐγχώρων 696. ὃς τὰν Hermannus] οὐδ' ὃς τὰν 698. *φύλλοις] φύλλοισι 699. τι D.] τις 700. ἐκ γαίας (vel γέας) D.] ἔκ τε γᾶς 701. εἷρπε Bothius] ἕρπει *ἄλλοτ' ἄλλᾳ] ἄλλου τ' ἄλλᾶι 702. *ὡς] ὦσ 705. πόρου Wakefieldus] πόρον ἐξανείη Hermannus] ἐξανίησι (ἐξανει.ησι pr., litera ante η erasa, quae λ fuisse potest. 711. πτανοῖς ἰοῖς ἀνύσειε Erfurdtius] πτανῶν (ω superscr.) ἀνύσειε πτανοῖς 715. πώματος] πόματοσ, ω a m. pr. δεκέτει] δεκέτεῖ cum duplici accentu, quorum alter antiquior. 716. *λεύσσων] λεύσσειν εἴ που Brunckius] ὅπου 719. παιδὸς ὑπαντήσας] παιδὶ συναντήσας Meinekius. 723. πατρίαν Porsonus] πατρώιαν 726. ὄχθας D.] ὄχθαις 728. *πᾶσιν in lemmate scholii] πᾶσι 732. ἆ ἆ, ἆ ἆ D.] ἀὰ ἀα pr. ἆἆἆἆ corr. 733. τί ἔστιν] τί δ' ἔστιν Erfurdtius hic et v. 753. 736. ὦ θεοὶ anonymus in diario classico Londinensi vol. 1. p. 337.] ἰὼ θεοί extra versum. 739. ἆ ἆ, ἆ ἆ D.] ἀὰ, ἀά pr. ἆἆἆἆ corr. 741. *δέ τῳ] δὲ τῶι 745. *βρύκομαι] βρύχομαι τέκνον· παπαῖ] παπαῖ παπαῖ Nauckius.

746. Interiectiones sic scriptae et interpunctae ἀπα. παπᾶ. παπᾶ. παπᾶ. παπᾶπαπαῖ. Correxit Hermannus. 751. ὅπου] τοῦ in litura paullo ampliore. 751. ἐξαίφνης,ὅτου — στόνον σαυτοῦ ποιεῖς] ἐξαίφνηςκ ακὸν, — στόνους ὅτου ποιεῖς Nauckius. 752. *ποιεῖς] ποεῖσ 754. οὐκ οἶδα Philoctetae, πῶς οὐκ οἶσθα Neoptolemo, reliqua Philoctetae tribuuntur. Correxit Bothius. παππαπαππαπαῖ Brunckius (nisi quod ὀξυτόνως scripsit) pro πάπ(π)απάπ(π)ᾶπαῖ, quod est in codice, duobus π, quae inclusi, serius additis a m. pr. 755. *τοὐπίσαγμα] τοὐπείσαγμα, sed ex τοὐπίσαγμα factum, quod librarius scribere coeperat. 758. ἴσοις Bothius] ἴσως 759. ὡς] ὡ, σ ab S inserto. ἰὼ ἰὼ habet codex, non omittit ut Elmsleius ait. Suspectus hiatus ἐξεπλήσθη. ἰώ, qui tollitur Elmsleii coniectura ἐξέπλησ'. 762. λάβωμαι δῆτα] Hoc δῆτα, non illud quod v. 761. legitur, addidit S. 766. λαμβάνει] Post ει litera erasa, ν ut videtur. 767. ἐξίῃ] *ἐξήκῃ 771. μηδ' D.] μήτ' *μηδέ τῳ] μὴ (μή corr.) τέτωι 772. *μεθεῖναι] μεθεῖνε *ταῦτα] om. 777. ὅπως] Gl. ὁμοίωσ superscr. a m. ant. 780. *κεὐσταλὴς] καὶ εὐσταλὴς 782. ἀλλὰ δέδοικ', ὦ παῖ, μή μ' ἀτελὴς εὐχή] Duodecim hae syllabae ab interpolatore positae sunt, sententiam, quae ex verbis proximis componi poterat, supplente, quum trimeter ab Sophocle scriptus excidisset. 783. *φοίνιον] φόνιον 784. προσδοκῶ] προσδοκεῖ, ω (superscr.) a m. pr.

παπαῖ, φεῦ.
παπαῖ μάλ', ὦ πούς, οἷά μ' ἐργάσει κακά.
προσέρπει,
προσέρχεται τόδ' ἐγγύς. οἴμοι μοι τάλας.
ἔχετε τὸ πρᾶγμα· μὴ φύγητε μηδαμῆ.
ἀτταταῖ.
ὦ ξένε Κεφαλλὴν, εἴθε σου διαμπερὲς
στέρνων ἔχοιτ' ἄλγησις ἥδε. φεῦ, παπαῖ,
παπαῖ μάλ' αὖθις. ὦ διπλοῖ στρατηλάται,
'Αγάμεμνον, ὦ Μενέλαε, πῶς ἂν ἀντ' ἐμοῦ
τὸν ἴσον χρόνον τρέφοιτε τήνδε τὴν νόσον;
ὤμοι μοι.
ὦ θάνατε θάνατε, πῶς ἀεὶ καλούμενος
οὕτω κατ' ἦμαρ οὐ δύνᾳ μολεῖν ποτε;
ὦ τέκνον, ὦ γενναῖον, ἀλλὰ συλλαβὼν
τῷ Λημνίῳ τῷδ' ἀνακαλουμένῳ πυρὶ
ἔμπρησον, ὦ γενναῖε· κἀγώ τοί ποτε
τὸν τοῦ Διὸς παῖδ' ἀντὶ τῶνδε τῶν ὅπλων,
ἃ νῦν σὺ σώζεις, τοῦτ' ἐπηξίωσα δρᾶν.
τί φῄς, παῖ; [ρεῖς;
τί φῄς; τί σιγᾷς; ποῦ ποτ' ὤν, τέκνον, κυ-
ΝΕ. ἀλγῶ πάλαι δὴ τἀπὶ σοὶ στένων κακά.
ΦΙ. ἀλλ', ὦ τέκνον, καὶ θάρσος ἴσχ'· ὡς ἥδε μοι
ὀξεῖα φοιτᾷ καὶ ταχεῖ' ἀπέρχεται.
ἀλλ' ἀντιάζω, μή με καταλίπῃς μόνον.
ΝΕ. θάρσει, μενοῦμεν. ΦΙ. ἦ μενεῖς; ΝΕ. σαφῶς φρόνει.
ΦΙ. οὐ μήν σ' ἔνορκόν γ' ἀξιῶ θέσθαι, τέκνον.
ΝΕ. ὡς οὐ θέμις γ' ἐμοὔστι σοῦ μολεῖν ἄτερ.
ΦΙ. ἔμβαλλε χειρὸς πίστιν. ΝΕ. ἐμβάλλω μενεῖν.
ΦΙ. ἐκεῖσε νῦν μ', ἐκεῖσε ΝΕ. ποῖ λέγεις; ΦΙ. ἄνω
ΝΕ. τί παραφρονεῖς αὖ; τί τὸν ἄνω λεύσσεις κύ-
κλον;
ΦΙ. μέθες μέθες με. ΝΕ. ποῖ μεθῶ; ΦΙ. μέθες ποτέ.
ΝΕ. οὔ φημ' ἐάσειν. ΦΙ. ἀπό μ' ὀλεῖς, ἢν προσθίγῃς.
ΝΕ. καὶ δὴ μεθίημ', εἴ τι δὴ πλέον φρονεῖς.
ΦΙ. ὦ γαῖα, δέξαι θανάσιμόν μ' ὅπως ἔχω·
τὸ γὰρ κακὸν τόδ' οὐκέτ' ὀρθοῦσθαί μ' ἐᾷ.
ΝΕ. τὸν ἄνδρ' ἔοικεν ὕπνος οὐ μακροῦ χρόνου
ἕξειν· κάρα γὰρ ὑπτιάζεται τόδε,
ἱδρώς γέ τοί νιν πᾶν καταστάζει δέμας,
μέλαινά τ' ἄκρου τις παρέρρωγεν ποδὸς
αἱμορραγὴς φλέψ. ἀλλ' ἐάσωμεν, φίλοι,
ἕκηλον αὐτὸν, ὡς ἂν εἰς ὕπνον πέσῃ.
ΧΟ. Ὕπν' ὀδύνας ἀδαὴς, Ὕπνε δ' ἀλγέων,
εὐαὲς ἡμῖν ἔλθοις,
εὐαίων εὐαίων, ὦναξ·
ὄμμασι δ' ἀντίσχοις
τάνδ' αἴγλαν, ἃ τέταται τανῦν.
ἴθ' ἴθι μοι παιήων.

827—838. = 843—854.

ὦ τέκνον, ὅρα ποῦ στάσει,
ποῖ δὲ βάσει, πῶς δέ μοι τἀντεῦθεν
φροντίδος. ὁρᾷς ἤδη.
πρὸς τί μενοῦμεν πράσσειν;
καιρός τοι πάντων γνώμαν ἴσχων
πολύ τι πολὺ παρὰ πόδα κράτος ἄρνυται.
ΝΕ. ἀλλ' ὅδε μὲν κλύει οὐδὲν, ἐγὼ δ' ὁρῶ οὕνεκα
θήραν [τες.
τήνδ' ἁλίως ἔχομεν τόξων, δίχα τοῦδε πλέον-
τοῦδε γὰρ ὁ στέφανος, τοῦτον θεὸς εἶπε κο-
μίζειν. [ὄνειδος.
κομπεῖν δ' ἔστ' ἀτελῆ σὺν ψεύδεσιν αἰσχρὸν
ΧΟ. ἀλλὰ, τέκνον, τάδε μὲν θεὸς ὄψεται·
ὧν δ' ἂν ἀμείβῃ μ' αὖθις,
βαιάν μοι, βαιὰν, ὦ τέκνον,
πέμπε λόγων φάμαν·
ὡς πάντων ἐν νόσῳ εὐδρακὴς
ὕπνος ἄϋπνος λεύσσειν.
ἀλλ' ὅ τι δύνᾳ μάκιστον,
κεῖνό μοι, κεῖνο λάθρα
ἐξιδοῦ ὅπως πράξεις.
οἶσθα γὰρ ὧν αὐδῶμαι,
εἰ ταύταν τούτων γνώμαν ἴσχεις,
μάλα τοι ἄπορα πυκινοῖς ἐνιδεῖν πάθη.
οὖρός τοι, τέκνον, οὖρος· ἀνὴρ δ'
ἀνόμματος, οὐδ' ἔχων ἀρωγὰν,
ἐκτέται νύχιος, ἀλεὴς ὕπνος ἐσθλὸς,
οὐ χερὸς, οὐ ποδὸς, οὔ τινος ἄρχων,
ἀλλ' ὥς τίς τ' Ἀΐδᾳ παρακείμενος
ὁρᾷ. βλέπει καίρια φθέγγει·

---

789. *φύγητε] φύγοιτε 790. ἀτταταῖ] παπαῖ, φεῦ D. 796. ὤμοι μοι] ἰώ μοι Nauckius. 798. δύνᾳ Porsonus] δύνῃ 800. ἀνακαλουμένῳ] ἀνακυκλουμένῳ Toupius. 807. Versus inter lineas a m. pr. insertus. τέκνον, καὶ] τέκνον μοι Nauckius.
ϊ
809. καταλίπῃς] καταλείπηισ, ϊ ab S. 812. ἐμοὔστὶ Hermannus] ἐμοί'στι 813. *μενεῖν] μένειν 814. μ' in litura. 815. τί παραφρονεῖς] ἦ παραφρονεῖς Meinekius. 818. μεθίημ', εἴ τι δὴ Hermannus] μεθίημι (μεθείημι pr.) τί δὴ 823. ἱδρώς γέ (τέ Buttmannus) τοί νιν] ἱδρῷ ῥέον τε D. 827. ἀλγέων] ἄλγεος Hermannus. 828. εὐαὲς Hermannus] εὐαὴς 829. Alterum εὐαίων addidit Turnebus. 830. ὄμμασι Turnebus] ὄμμασιν ἀντίσχοις Brunckius] ἀντέχοις

832. ἴθ' ἴθι μοι παιήων D.] ἴθι ἴθι μοι παιών 834. ποῖ δὲ βάσει (βάσηι codex), πῶς δέ μοι τἀντεῦθεν] Nulla in his probabilis metri forma, sed incerta emendatio est, quum antistrophici quoque versus 850. κεῖνό μοι, κεῖνο λάθρα lectio interpolata sit. 838. πολύ τι addidit Hermannus. 842. σὺν ex σὺμ factum. 846. φάμαν Turnebus] φήμαν 850. λάθρα, non convenit versui strophico 834., ab correctore additum videtur lacunae explendae caussa. 851. *ἐξιδοῦ] ἐξίδου ὅπως] ὅτι (quod etiam in
ον
apographis est), cum gl. ὅπως. 852. ὧν] ὧν, ον ab S. 853. *ταύταν] ταὐτὰν *τούτων] τούτωι ἴσχεις] ἔχεισ cum signo ad quod refertur annotatum in marg. ab S. (sine γρ.) ἴσχεισ 854. Post τοι tres quattuorve literae erasae, punctis, quae supersunt, notatae. *πυκινοῖς] πυκινοῖσιν 855. Versus sic divisi, οὖρόσ τοι⊣ δ' ἀνόμματοσ⊣ ἐκτέταται⊣ ἀλεὴσ⊣ οὐ χερὸσ⊣ ἀλλ' ὤσ⊣ ὁρᾶισ⊣ τὸ δ' ἀλώσιμον⊣ πόνοσ—. 855—859. Magna est metrorum perversitas in his versibus, qui non dubito quin ex quattuor vel quinque tetrametris dactylicis coaluerint, quorum penultimi superest initium ἐκτέταται νύχιος, ultimi autem finis ἀλεὴς ὕπνος ἐσθλός. Sensum verborum hunc esse patet, opportunum nunc esse cum arcu discedere, dum Philoctetes dormiat. ἀλεὴς, quod etiam scholiasta legit, ex ἀδεὴς corruptum videtur, quod coniecit Reiskius. 859. ἀλεὴς
β΄ α΄
ὕπνος ἐσθλός] ἀλέὴσ ἐσθλὸσ ὕπνοσ, literae β΄ α΄ ab
ω
S vel alia m. antiquiore. 861. ὥς τις] ὅστις τ' addidit D. 862—864. Haec quoque corrupta esse et lacunosa quum sensus tum metra ostendunt. Et illa quidem verba ὁρᾷ — ἐμᾷ duorum tetrametrorum dactylicorum reliquiae esse videntur, in quibus φθέγγει Wunderus, reliqua tamen non expediens, in φεύγει olim mutabat, quod commendatur opposito τὸ ἀλώσιμον. 862. ὁρᾷ βλέπει] ὅρα, βλέπε Hermannus.

τὸ δ' ἀλώσιμον ἀμᾷ
φροντίδι, παῖ, πόνος
ὁ μὴ φοβῶν κράτιστος.
ΝΕ. σιγᾶν κελεύω, μηδ' ἀφεστάναι φρενῶν·
κινεῖ γὰρ ἀνὴρ ὄμμα κἀνάγει κάρα.
ΦΙ. ὦ φέγγος ὕπνου διάδοχον, τό τ' ἐλπίδων
ἄπιστον οἰκούρημα τῶνδε τῶν ξένων.
οὐ γάρ ποτ', ὦ παῖ, τοῦτ' ἂν ἐξηύχησ' ἐγώ,
τλῆναί σ' ἐλεινῶς ὧδε τἀμὰ πήματα
μεῖναι παρόντα καὶ ξυνωφελοῦντά μοι.
οὔκουν Ἀτρεῖδαι τοῦτ' ἔτλησαν εὐφόρως
οὕτως ἐνεγκεῖν, ἁγαθοὶ στρατηλάται.
ἀλλ' εὐγενὴς γὰρ ἡ φύσις κἀξ εὐγενῶν,
ὦ τέκνον, ἡ σή, πάντα ταῦτ' ἐν εὐχερεῖ
ἔθου, βοῆς τε καὶ δυσοσμίας γέμων.
καὶ νῦν ἐπειδὴ τοῦδε τοῦ κακοῦ δοκεῖ
λήθη τις εἶναι κἀνάπαυλα δή, τέκνον,
σύ μ' αὐτὸς ἆρον, σύ με κατάστησον, τέκνον,
ἵν', ἡνίκ' ἂν κόπος μ' ἀπαλλάξῃ ποτέ,
ὁρμώμεθ' ἐς ναῦν μηδ' ἐπίσχωμεν τὸ πλεῖν.
ΝΕ. ἀλλ' ἥδομαι μέν σ' εἰσιδὼν παρ' ἐλπίδα
ἀνώδυνον βλέποντα κἀμπνέοντ' ἔτι·
ὡς οὐκέτ' ὄντος γὰρ τὰ συμβόλαιά σου
πρὸς τὰς παρούσας ξυμφορὰς ἐφαίνετο.
νῦν δ' αἶρε σαυτόν· εἰ δέ σοι μᾶλλον φίλον,
οἴσουσί σ' οἵδε· τοῦ πόνου γὰρ οὐκ ὄκνος,
ἐπείπερ οὕτω σοί τ' ἔδοξ' ἐμοί τε δρᾶν.
ΦΙ. αἰνῶ τάδ', ὦ παῖ, καί μ' ἔπαιρ', ὥσπερ νοεῖς·
τούτους δ' ἔασον, μὴ βαρυνθῶσιν κακῇ
ὀσμῇ πρὸ τοῦ δέοντος· οὑπὶ νηὶ γὰρ
ἅλις πόνος τούτοισι συνναίειν ἐμοί.
ΝΕ. ἔσται τάδ'· ἀλλ' ἵστω τε καὐτὸς ἀντέχου.
ΦΙ. θάρσει· τό τοι σύνηθες ὀρθώσει μ' ἔθος.
ΝΕ. παπαῖ· τί δῆτ' ἂν δρῷμ' ἐγὼ τοὐνθένδε γε;
ΦΙ. τί δ' ἔστιν, ὦ παῖ; ποῖ ποτ' ἐξέβης λόγῳ;
ΝΕ. οὐκ οἶδ' ὅποι χρὴ τἄπορον τρέπειν ἔπος.
ΦΙ. ἀπορεῖς δὲ τοῦ σύ; μὴ λέγ', ὦ τέκνον, τάδε.
ΝΕ. ἀλλ' ἐνθάδ' ἤδη τοῦδε τοῦ πάθους κυρῶ.
ΦΙ. οὐ δή σε δυσχέρεια τοῦ νοσήματος
ἔπεισεν ὥστε μή μ' ἄγειν ναύτην ἔτι;
ΝΕ. ἅπαντα δυσχέρεια, τὴν αὑτοῦ φύσιν
ὅταν λιπών τις δρᾷ τὰ μὴ προσεικότα.
ΦΙ. ἀλλ' οὐδὲν ἔξω τοῦ φυτεύσαντος σύ γε
δρᾷς οὐδὲ φωνεῖς, ἐσθλὸν ἄνδρ' ἐπωφελῶν.
ΝΕ. αἰσχρὸς φανοῦμαι· τοῦτ' ἀνιῶμαι πάλαι.
ΦΙ. οὔκουν ἐν οἷς γε δρᾷς· ἐν οἷς δ' αὐδᾷς ὀκνῶ.
ΝΕ. ὦ Ζεῦ, τί δράσω; δεύτερον ληφθῶ κακός,
κρύπτων θ' ἃ μὴ δεῖ καὶ λέγων αἴσχιστ' ἐπῶν;
ΦΙ. ἀνὴρ ὅδ', εἰ μὴ 'γὼ κακὸς γνώμην ἔφυν,
προδούς μ' ἔοικε κἀκλιπὼν τὸν πλοῦν στελεῖν.
ΝΕ. λιπὼν μὲν οὐκ ἔγωγε, λυπηρῶς δὲ μὴ
πέμπω σε μᾶλλον, τοῦτ' ἀνιῶμαι πάλαι.
ΦΙ. τί ποτε λέγεις, ὦ τέκνον; ὡς οὐ μανθάνω.
ΝΕ. οὐδέν σε κρύψω· δεῖ γὰρ ἐς Τροίαν σε πλεῖν
πρὸς τοὺς Ἀχαιοὺς καὶ τὸν Ἀτρειδῶν στόλον.
ΦΙ. οἴμοι, τί εἶπας; ΝΕ. μὴ στέναζε, πρὶν μάθῃς.
ΦΙ. ποῖον μάθημα; τί με νοεῖς δρᾶσαί ποτε;
ΝΕ. σῶσαι κακοῦ μὲν πρῶτα τοῦδ', ἔπειτα δὲ
ξὺν σοὶ τὰ Τροίας πεδία πορθῆσαι μολών.
ΦΙ. καὶ ταῦτ' ἀληθῆ δρᾶν νοεῖς; ΝΕ. πολλὴ κρατεῖ
τούτων ἀνάγκη· καὶ σὺ μὴ θυμοῦ κλύων.
ΦΙ. ἀπόλωλα τλήμων, προδέδομαι. τί μ', ὦ ξένε,
δέδρακας; ἀπόδος ὡς τάχος τὰ τόξα μοι.
ΝΕ. ἀλλ' οὐχ οἷόν τε· τῶν γὰρ ἐν τέλει κλύειν
τό τ' ἔνδικόν με καὶ τὸ συμφέρον ποιεῖ.
ΦΙ. ὦ πῦρ σὺ καὶ πᾶν δεῖμα καὶ πανουργίας
δεινῆς τέχνημ' ἔχθιστον, οἷά μ' εἰργάσω,
οἷ' ἠπάτηκας· οὐδ' ἐπαισχύνει μ' ὁρῶν
τὸν προστρόπαιον, τὸν ἱκέτην, ὦ σχέτλιε;
ἀπεστέρηκας τὸν βίον τὰ τόξ' ἑλών.
ἀπόδος, ἱκνοῦμαί σ', ἀπόδος, ἱκετεύω, τέκνον.
πρὸς θεῶν πατρῴων, τὸν βίον με μἀφέλῃς.
ὤμοι τάλας. ἀλλ' οὐδὲ προσφωνεῖ μ' ἔτι,
ἀλλ' ὡς μεθήσων μήποθ', ὧδ' ὁρᾷ πάλιν.
ὦ λιμένες, ὦ προβλῆτες, ὦ ξυνουσίαι
θηρῶν ὀρείων, ὦ καταρρῶγες πέτραι,
ὑμῖν τάδ', οὐ γὰρ ἄλλον οἶδ' ὅτῳ λέγω,
ἀνακλάομαι παροῦσι τοῖς εἰωθόσιν,
οἷ' ἔργ' ὁ παῖς μ' ἔδρασεν οὑξ Ἀχιλλέως·
ὀμόσας ἀπάξειν οἴκαδ' ἐς Τροίαν μ' ἄγει·
προσθείς τε χεῖρα δεξιάν, τὰ τόξα μου
ἱερὰ λαβὼν τοῦ Ζηνὸς Ἡρακλέους ἔχει,
καὶ τοῖσιν Ἀργείοισι φήνασθαι θέλει.
ὡς ἄνδρ' ἑλὼν δ' ἰσχυρὸν ἐκ βίας μ' ἄγει,
κοὐκ οἶδ' ἐναίρων νεκρὸν ἢ καπνοῦ σκιάν,
εἴδωλον ἄλλως· οὐ γὰρ ἂν σθένοντά γε
εἷλέν μ'· ἐπεὶ οὐδ' ἂν ὧδ' ἔχοντ', εἰ μὴ δόλῳ.
νῦν δ' ἠπάτημαι δύσμορος. τί χρή με δρᾶν;
ἀλλ' ἀπόδος, ἀλλὰ νῦν ἔτ' ἐν σαυτῷ γενοῦ.
τί φῄς; σιωπᾷς· οὐδέν εἰμ' ὁ δύσμορος.
ὦ σχῆμα πέτρας δίπυλον, αὖθις αὖ πάλιν
εἴσειμι πρὸς σὲ ψιλός, οὐκ ἔχων τροφήν·
ἀλλ' αὐανοῦμαι τῷδ' ἐν αὐλίῳ μόνος,
οὐ πτηνὸν ὄρνιν, οὐδὲ θῆρ' ὀρειβάτην
τόξοις ἐναίρων τοισίδ', ἀλλ' αὐτὸς τάλας
θανὼν παρέξω δαῖθ' ἀφ' ὧν ἐφερβόμην,
καί μ' οὓς ἐθήρων πρόσθε θηράσουσι νῦν·
φόνον φόνου δὲ ῥύσιον τίσω τάλας
πρὸς τοῦ δοκοῦντος οὐδὲν εἰδέναι κακόν.
ὄλοιο μή πω, πρὶν μάθοιμ' εἰ καὶ πάλιν
γνώμην μετοίσεις· εἰ δὲ μή, θάνοις κακῶς.
ΧΟ. τί δρῶμεν; ἐν σοὶ καὶ τὸ πλεῖν ἡμᾶς, ἄναξ,
ἤδη 'στὶ καὶ τοῖς τοῦδε προσχωρεῖν λόγοις.
ΝΕ. ἐμοὶ μὲν οἶκτος δεινὸς ἐμπέπτωκέ τις
τοῦδ' ἀνδρὸς οὐ νῦν πρῶτον, ἀλλὰ καὶ πάλαι.

---

863. τὸ δ'] τόδ' pr. ἀμᾷ D.] ἐμᾶι 872. εὐφόρως Brunckius] εὐπόρως, quod etsi manifesto ex εὐφόρως est corruptum, Sophoclem tamen multo probabilius est εὐπετῶς scripsisse, ab Meinekio propositum in Appendice ad Oed. Col. p. 319. de quo dixi in Praefat. ad editionem Lipsiensem quartam p. LXVI. 873. οἱ 'γαθοὶ (debebat ἁγαθοὶ) Brunckius] ἀγαθοὶ 884. *σου] σοι 895. δῆτ' ἂν Schaeferus] δῆτα *γε] λέγε 896. λόγῳ] *λόγων 901. ἔπεισεν] ἔπαισεν 902. αὑτοῦ Brunckius] αὐτοῦ
αι
906. πάλαι] πάλιν, αι a m. pr., ut 913. 966. 907. *οἷς δ'] οἳ δ' (sic) pr. οἷστ' sec. 910. *'γὼ]
αι
κἀγὼ 911. *ἔοικε] ἔοικεν 913. πάλαι] πάλιν, αι a m. pr. vel alia ant.

916. *τὸν] τῶν στόλον] στόλων pr. 924. *τὰ] om. 926. *ποιεῖ] ποεῖν 927. δεῖμα]
.ει.
δημα, ει a m. pr. 933. με μἀφέλῃς Elmsleius] μή μ' ἀφέλῃς 939 ἀνακλάομαι D.] ἀνακλαίομαι 942. προσθείς] προθείσ pr. 945. δ' D.] μ'. Omisit apographum unum et Suidas s. v. κακοπινεστατον. 950. ἀλλ' addidit Turnebus. 952. σχῆμα] χρῆμα pr., sed corr. ab eadem m. 954. αὐανοῦμαι] αὖ θανοῦμαι, cum γρ. αὐανοῦμαι, ἀντὶ τοῦ ξηρανθήσομαι, ab S inter scholia. 956. τοισίδ'] τοῖσιν, sed corr. a m. pr. 957. ἀφ' Wunderus] ὑφ' 958. *πρόσθε]
αι
πρόσθεν 966. πάλαι] πάλιν, αι a m. pr. ut 906. 913.

ΦΙ. ἐλέησον, ὦ παῖ, πρὸς θεῶν, καὶ μὴ παρῇς
σαυτοῦ βροτοῖς ὄνειδος, ἐκκλέψας ἐμέ.
ΝΕ. οἴμοι, τί δράσω; μή ποτ' ὤφελον λιπεῖν
τὴν Σκῦρον· οὕτω τοῖς παροῦσιν ἄχθομαι.
ΦΙ. οὐκ εἶ κακὸς σύ· πρὸς κακῶν δ' ἀνδρῶν μαθὼν
ἔοικας ἥκειν αἰσχρά· νῦν δ' ἄλλοισι δοὺς
οἷ' εἰκὸς ἔκπλει, τἀμά μοι μεθεὶς ὅπλα.
ΝΕ. τί δρῶμεν, ἄνδρες; ΟΔ. ὦ κάκιστ' ἀνδρῶν, τί δρᾷς;
οὐκ εἶ μεθεὶς τὰ τόξα ταῦτ' ἐμοὶ πάλιν;
ΦΙ. οἴμοι, τίς ἀνήρ; ἆρ' Ὀδυσσέως κλύω;
ΟΔ. Ὀδυσσέως, σάφ' ἴσθ', ἐμοῦ γ', ὃν εἰσορᾷς.
ΦΙ. οἴμοι· πέπραμαι κἀπόλωλ'. ὅδ' ἦν ἄρα
ὁ ξυλλαβών με κἀπονοσφίσας ὅπλων.
ΟΔ. ἐγώ, σάφ' ἴσθ', οὐκ ἄλλος· ὁμολογῶ τάδε.
ΦΙ. ἀπόδος, ἄφες μοι, παῖ, τὰ τόξα. ΟΔ. τοῦτο μέν,
οὐδ' ἢν θέλῃ, δράσει ποτ'· ἀλλὰ καὶ σὲ δεῖ
στείχειν ἅμ' αὐτοῖς, ἢ βίᾳ στελοῦσί σε.
ΦΙ. ἔμ', ὦ κακῶν κάκιστε καὶ τολμίστατε,
οἵδ' ἐκ βίας ἄξουσιν; ΟΔ. ἢν μὴ ἕρπῃς ἑκών.
ΦΙ. ὦ Λημνία χθὼν καὶ τὸ παγκρατὲς σέλας
Ἡφαιστότευκτον, ταῦτα δῆτ' ἀνασχετά,
εἴ μ' οὗτος ἐκ τῶν σῶν ἀπάξεται βίᾳ;
ΟΔ. Ζεύς ἐσθ', ἵν' εἰδῇς, Ζεύς, ὁ τῆσδε γῆς κρατῶν,
Ζεύς, ᾧ δέδοκται ταῦθ'· ὑπηρετῶ δ' ἐγώ.
ΦΙ. ὦ μῖσος, οἷα κἀξανευρίσκεις λέγειν·
θεοὺς προτείνων τοὺς θεοὺς ψευδεῖς τίθῃς.
ΟΔ. οὔκ, ἀλλ' ἀληθεῖς. ἡ δ' ὁδὸς πορευτέα.
ΦΙ. οὔ φημ'. ΟΔ. ἐγὼ δέ φημι. πειστέον τάδε.
ΦΙ. οἴμοι τάλας. ἡμᾶς μὲν ὡς δούλους σαφῶς
πατὴρ ἄρ' ἐξέφυσεν οὐδ' ἐλευθέρους.
ΟΔ. οὔκ, ἀλλ' ὁμοίους τοῖς ἀρίστοισιν, μεθ' ὧν
Τροίαν σ' ἑλεῖν δεῖ καὶ κατασκάψαι βίᾳ.
ΦΙ. οὐδέποτέ γ'· οὐδ' ἢν χρῇ με πᾶν παθεῖν κακόν,
ἕως ἂν ᾖ μοι γῆς τόδ' αἰπεινὸν βάθρον.
ΟΔ. τί δ' ἐργασείεις; ΦΙ. κρᾶτ' ἐμὸν τόδ' αὐτίκα
πέτρᾳ πέτρας ἄνωθεν αἱμάξω πεσών.
ΟΔ. ξυλλάβετον αὐτόν· μὴ 'πὶ τῷδ' ἔστω τάδε.
ΦΙ. ὦ χεῖρες, οἷα πάσχετ' ἐν χρείᾳ φίλης
νευρᾶς, ὑπ' ἀνδρὸς τοῦδε συνθηρώμεναι.
ὦ μηδὲν ὑγιὲς μηδ' ἐλεύθερον φρονῶν,
οἷ' αὖ μ' ὑπῆλθες, ὥς μ' ἐθηράσω, λαβὼν
πρόβλημα σαυτοῦ παῖδα τόνδ' ἀγνῶτ' ἐμοί,
ἀνάξιον μὲν σοῦ, κατάξιον δ' ἐμοῦ,
ὃς οὐδὲν ᾔδει πλὴν τὸ προσταχθὲν ποιεῖν,
δῆλος δὲ καὶ νῦν ἐστιν ἀλγεινῶς φέρων
οἷς τ' αὐτὸς ἐξήμαρτεν οἷς τ' ἐγὼ 'παθον.
ἀλλ' ἡ κακὴ σὴ διὰ μυχῶν βλέπουσ' ἀεὶ
ψυχή νιν ἀφυᾶ τ' ὄντα κοὐ θέλονθ' ὅμως
εὖ προυδίδαξεν ἐν κακοῖς εἶναι σοφόν.
καὶ νῦν ἔμ', ὦ δύστηνε, συνδήσας νοεῖς
ἄγειν ἀπ' ἀκτῆς τῆσδ', ἐν ᾗ με προυβάλου
ἄφιλον ἔρημον ἄπολιν ἐν ζῶσιν νεκρόν.
φεῦ.
ὄλοιο· καί σοι πολλάκις τόδ' ηὐξάμην.
ἀλλ' οὐ γὰρ οὐδὲν θεοὶ νέμουσιν ἡδύ μοι,
σὺ μὲν γέγηθας ζῶν, ἐγὼ δ' ἀλγύνομαι
τοῦτ' αὔθ', ὅτι ζῶ σὺν κακοῖς πολλοῖς τάλας,
γελώμενος πρὸς σοῦ τε καὶ τῶν Ἀτρέως
διπλῶν στρατηγῶν, οἷς σὺ ταῦθ' ὑπηρετεῖς.
καίτοι σὺ μὲν κλοπῇ τε κἀνάγκῃ ζυγεὶς
ἔπλεις ἅμ' αὐτοῖς, ἐμὲ δὲ τὸν πανάθλιον
ἑκόντα πλεύσανθ' ἑπτὰ ναυσὶ ναυβάτην
ἄτιμον ἔβαλον, ὡς σὺ φῄς, κεῖνοι δὲ σέ.
καὶ νῦν τί μ' ἄγετε; τί μ' ἀπάγεσθε; τοῦ χάριν;
ὃς οὐδέν εἰμι καὶ τέθνηχ' ὑμῖν πάλαι.
πῶς, ὦ θεοῖς ἔχθιστε, νῦν οὐκ εἰμί σοι
χωλός, δυσώδης; πῶς θεοῖς εὔξεσθ', ἐμοῦ
πλεύσαντος, αἴθειν ἱρά; πῶς σπένδειν ἔτι;
αὕτη γὰρ ἦν σοι πρόφασις ἐκβαλεῖν ἐμέ.
κακῶς ὄλοισθ'· ὀλεῖσθε δ' ἠδικηκότες
τὸν ἄνδρα τόνδε, θεοῖσιν εἰ δίκης μέλει.
ἔξοιδα δ' ὡς μέλει γ'· ἐπεὶ οὔποτ' ἂν στόλον
ἐπλεύσατ' ἂν τόνδ' οὕνεκ' ἀνδρὸς ἀθλίου,
εἰ μή τι κέντρον θεῖον ἦγ' ὑμᾶς ἐμοῦ.
ἀλλ', ὦ πατρῴα γῆ θεοί τ' ἐπόψιοι,
τίσασθε τίσασθ' ἀλλὰ τῷ χρόνῳ ποτὲ
ξύμπαντας αὐτούς, εἴ τι κἄμ' οἰκτείρετε.
ὡς ζῶ μὲν οἰκτρῶς, εἰ δ' ἴδοιμ' ὀλωλότας
τούτους, δοκοῖμ' ἂν τῆς νόσου πεφευγέναι.
ΧΟ. βαρύς τε καὶ βαρεῖαν ὁ ξένος φάτιν
τήνδ' εἶπ', Ὀδυσσεῦ, κοὐχ ὑπείκουσαν κακοῖς.
ΟΔ. πόλλ' ἂν λέγειν ἔχοιμι πρὸς τὰ τοῦδ' ἔπη,
εἴ μοι παρείκοι· νῦν δ' ἑνὸς κρατῶ λόγου.
οὗ γὰρ τοιούτων δεῖ, τοιοῦτός εἰμ' ἐγώ·
χὤπου δικαίων κἀγαθῶν ἀνδρῶν κρίσις,
οὐκ ἂν λάβοις μου μᾶλλον οὐδέν' εὐσεβῆ.
νικᾶν γε μέντοι πανταχοῦ χρῄζων ἔφυν,
πλὴν ἐς σέ· νῦν δὲ σοί γ' ἑκὼν ἐκστήσομαι.
ἄφετε γὰρ αὐτόν, μηδὲ προσψαύσητ' ἔτι.
ἐᾶτε μίμνειν. οὐδὲ σοῦ προσχρῄζομεν,
τά γ' ὅπλ' ἔχοντες ταῦτ', ἐπεὶ πάρεστι μὲν
Τεῦκρος παρ' ἡμῖν, τήνδ' ἐπιστήμην ἔχων,
ἐγώ θ', ὃς οἶμαι σοῦ κάκιον οὐδὲν ἂν
τούτων κρατύνειν, μηδ' ἐπιθύνειν χερί.
τί δῆτα σοῦ δεῖ; χαῖρε τὴν Λῆμνον πατῶν.
ἡμεῖς δ' ἴωμεν. καὶ τάχ' ἂν τὸ σὸν γέρας
τιμὴν ἐμοὶ νείμειεν, ἣν σὲ χρῆν ἔχειν.
ΦΙ. οἴμοι· τί δράσω δύσμορος, σὺ τοῖς ἐμοῖς
ὅπλοισι κοσμηθεὶς ἐν Ἀργείοις φανεῖ;
ΟΔ. μή μ' ἀντιφώνει μηδέν, ὡς στείχοντα δή.
ΦΙ. ὦ σπέρμ' Ἀχιλλέως, οὐδὲ σοῦ φωνῆς ἔτι
γενήσομαι προσφθεγκτός, ἀλλ' οὕτως ἄπει;
ΟΔ. χώρει σύ· μὴ πρόσλευσσε, γενναῖός περ ὤν,

---

973. οἷ' D.] οἷς 978. ὅδ'] Ex ὧδ' factum. 982. καὶ σὲ δεῖ] καί σε δή, sed correctum a m. pr. 983. ἦ] ἢ pr. 984. *τολμίστατε] τολμήστατε cum gl. τολμηέστατε. τολμίστατε in apographo uno Paris. 2787. et apud Triclinium. 985. μὴ ἕρπῃς] μήρπηισ 990. Ζεὺς] ζεὺς δ' in codice esse ait Eug. Ferrai. 992. τίθῃς Porsonus] τιθείσ 994. ΦΙ. οὔ φημ'. ΟΔ. ἐγὼ δέ φημι Gernhardus] ΦΙ. οὔ φημ' ἔγωγε. ΟΔ. φημὶ *πειστέον] πιστέον 999. παθεῖν] παθεῖν, μ a m. pr. (μ superscript) 1000. ἕως] ἕωσ γ', sed γ' eraso. αἰπεινὸν ex ἐπεινὸν factum. 1003. ξυλλάβετον Bernhardyus] ξυλλάβετ' 1007. οἷ' αὖ Hermannus] οἷά ὥς Wakefieldus] ὥς 1010. *ποιεῖν] ποεῖν 1014. ἀφυᾶ L. Dindorfius in Thesauro s. v. Αὐτοφυής vol. 1. part. 2. p. 2576.] ἀφυῆ, ut διφυῆ in Trach. 1195.

1019. ηὐξάμην] ηὐξάμην, ευ a m. pr. (ευ superscript) 1023. *τε] γε 1028. *ἔβαλον] ἔκβαλον *δὲ σέ] δέ σε 1032. εὔξεσθ'] ἔξεστ' Piersonus Verisim. p. 163. quod legisse scholiastam non potest colligi ex verbis eius, τοῦτο γὰρ προφασισαμένου Ὀδυσσέως, ὅτι θῦσαι οὐκ ἔστι τούτου ἐπιστενάζοντος, ἐξέθηκαν αὐτόν. Nam in hac sententia praesenti opus erat οὐκ ἔστι, in Philoctetae autem verbis futuro potius opus erat. 1033. ἱρὰ D.] ἱερὰ 1034. *αὕτη] αὐτὴ 1035. ὀλεῖσθε Brunckius] ὄλοισθε 1037. *ἐπεὶ] ἐπ' 1051. *μου] om. 1062. *σὲ χρῆν] σ' ἐχρῆν 1068. *πρόσλευσσε] πρόσλευσε

ἡμῶν ὅπως μὴ τὴν τύχην διαφθερεῖς.
ΦΙ. ἦ καὶ πρὸς ὑμῶν ὧδ᾽ ἔρημος, ὦ ξένοι,
λειφθήσομαι δὴ κοὐκ ἐποικτερεῖτέ με;
ΧΟ. ὅδ᾽ ἐστὶν ἡμῶν ναυκράτωρ ὁ παῖς. ὅσ᾽ ἂν
οὗτος λέγῃ σοι, ταῦτά σοι χἠμεῖς φαμέν.
ΝΕ. ἀκούσομαι μὲν ὡς ἔφυν οἴκτου πλέως
πρὸς τοῦδ᾽· ὅμως δὲ μείνατ᾽, εἰ τούτῳ δοκεῖ,
χρόνον τοσοῦτον, εἰς ὅσον τά τ᾽ ἐκ νεὼς
στείλωσι ναῦται καὶ θεοῖς εὐξώμεθα.
χοὖτος τάχ᾽ ἂν φρόνησιν ἐν τούτῳ λάβοι
λῴω τιν᾽ ἡμῖν. νὼ μὲν οὖν ὁρμώμεθον,
ὑμεῖς δ᾽, ὅταν καλῶμεν, ὁρμᾶσθαι ταχεῖς.
ΦΙ. ὦ κοίλας πέτρας γύαλον [ὦ τάλας,
θερμὸν καὶ παγετῶδες, ὥς σ᾽ οὐκ ἔμελλον ἄρ᾽,
λείψειν οὐδέποτ᾽, ἀλλά μοι καὶ θνήσκοντι συνοί-
ὤμοι μοί μοι. [σει.
ὦ πληρέστατον αὔλιον [ἆμαρ
λύπας τᾶς ἀπ᾽ ἐμοῦ τάλαν, τίπτ᾽ αὖ μοι τὸ κατ᾽
ἔσται; τοῦ ποτε τεύξομαι
σιτονόμου μέλεος πόθεν ἐλπίδος;
εἴθ᾽ αἰθέρος ἄνω
πτωκάδες ὀξυτόνου διὰ πνεύματος
ἕλωσί μ᾽. οὐ γὰρ ἴσχω.
ΧΟ. σύ τοι σύ τοι κατηξίωσας, ὦ βαρύποτμ᾽, οὐκ
ἄλλοθεν ἁ τύχα ἅδ᾽ ἀπὸ μείζονος,
εὖτέ γε παρὸν φρονῆσαι
τοῦ πλέονος δαίμονος εἵλου τὸ κάκιον ἀντί.
ΦΙ. ὦ τλάμων τλάμων ἄρ᾽ ἐγὼ
καὶ μόχθῳ λωβατὸς, ὃς ἤδη μετ᾽ οὐδενὸς ὕστερον
ἀνδρῶν εἰσοπίσω τάλας ναίων ἐνθάδ᾽ ὀλοῦμαι,
αἰαῖ αἰαῖ,
οὐ φορβὰν ἔτι προσφέρων, [χερσὶν
οὐ πτανῶν ἀπ᾽ ἐμῶν ὅπλων κραταιαῖς μετὰ
ἴσχων· ἀλλά μοι ἄσκοπα
κρυπτά τ᾽ ἔπη δολερᾶς ὑπέδυ φρενός·
ἰδοίμαν δέ νιν,
τὸν τάδε μησάμενον, τὸν ἴσον χρόνον
ἐμὰς λαχόντ᾽ ἀνίας.
ΧΟ. πότμος πότμος σε δαιμόνων τάδ᾽, οὐδὲ σέ γε
ἔσχ᾽ ὑπὸ χειρὸς ἐμᾶς. στυγερὰν ἔχε [δόλος
δύσποτμον ἀρὰν ἐπ᾽ ἄλλοις.
καὶ γὰρ ἐμοὶ τοῦτο μέλει, μὴ φιλότητ᾽ ἀπώσῃ.
ΦΙ. οἴμοι μοι, καί που πολιᾶς
πόντου θινὸς ἐφήμενος,
γελᾷ μου, χερὶ πάλλων
τὰν ἐμὰν μελέου τροφὰν,
τὰν οὐδείς ποτ᾽ ἐβάστασεν.
ὦ τόξον φίλον, ὦ φίλων
χειρῶν ἐκβεβιασμένον,
ἦ που ἐλεινὸν ὁρᾷς, φρένας εἴ τινας
ἔχεις, τὸν Ἡράκλειον
σύννομον ὧδέ σοι
οὐκέτι χρησόμενον τὸ μεθύστερον
ἔτ᾽, ἀλλ᾽ ἐν μεταλλαγᾷ
πολυμηχάνου ἀνδρὸς ἐρέσσει,
ὁρῶν μὲν αἰσχρὰς ἀπάτας, στυγνὸν δὲ φῶτ᾽
ἐχθοδοπὸν, [ἐμήσατ᾽, ὦ Ζεῦ.
μυρί᾽ ἀπ᾽ αἰσχρῶν ἀνατέλλονθ᾽ ὅς ἐφ᾽ ἡμῖν κάκ᾽
ΧΟ. ἀνδρός τοι τὸ μὲν ἓν δίκαιον εἰπεῖν,
εἰπόντος δὲ μὴ φθονερὰν
ἐξῶσαι γλώσσας ὀδύναν.
κεῖνος δ᾽ εἷς ἀπὸ πολλῶν
ταχθεὶς τῶνδ᾽ ἐφημοσύνᾳ
κοινὰν ἤνυσεν ἐς φίλους ἀρωγάν.
ΦΙ. ὦ πταναὶ θῆραι χαροπῶν τ᾽
ἔθνη θηρῶν, οὓς ὅδ᾽ ἔχει
χῶρος οὐρεσιβώτας,
φυγᾷ μ᾽ οὐκέτ᾽ ἀπ᾽ αὐλίων
πελᾶτ᾽· οὐ γὰρ ἔχω χεροῖν
τὰν πρόσθεν βελέων ἀλκὰν,
ὦ δύστανος ἐγὼ τανῦν,
ἀλλ᾽ ἀνέδην ὅδε χῶρος ἐρύκεται,
οὐκέτι φοβητὸς ὑμῖν.
ἕρπετε, νῦν καλὸν
ἀντίφονον κορέσαι στόμα πρὸς χάριν
ἐμᾶς σαρκὸς αἰόλας.
ἀπὸ γὰρ βίον αὐτίκα λείψω.

1081—1101. = 1102—1122.

1123—1145. = 1146—1168.

---

1071. λειφθήσομαι δὴ Wakefieldus] λειφθήσομ᾽ ἤδη 1073. χἠμεῖς] χήμεῖσ, χ ex γ facto. 1082. θερμὸν καὶ var. lect. ap. Turnebum] θερμόν τε καὶ 1083. ὦ τάλας] ῾ω᾽ ταλασ (sic, sine accentu), quod est ὦ τάλας. 1087. *αὔλιον] αὐλίον 1089. τίπτ᾽ Bothius] τί ποτ᾽ ἆμαρ D.] ἦμαρ 1092. εἴθ᾽ αἰθέρος ἄνω] Quum non credibile sit dochmii unius inter alios numeros positi aliam quam in antistropha v. 1113. formam, ἰδοίμαν δέ νιν, admisisse poetam, verba εἴθ᾽ αἰθέρος, etiam propter soloecam particulae εἴθε cum coniunctivo constructionem vitiosa, lacunae explendae caussa illata esse suspicor, ut paulo post ἑλεῖν v. 1101. et Ὀδυσσεύς v. 1139. Sumpta autem fortasse sunt ex glossemate ad διὰ πνεύματος referendo δι᾽ αἰθέρος. Lectionem vitiosam, ut alia plurima codicis vitia, agnoscit scholiasta, cuius ex annotatione etiam grammaticorum librariorumve commenta de vocabulo πτωκάδες cognosci possunt, γρ. πτωμάδες, πτωκάδες πτωχάδες, πρωτάδες (πλωάδες Brunckius, πλωτάδες Gedikius) δρομάδες. πτωμάδες, corruptum ex πτωκάδες, recte delevisse videtur editor Romanus. Verba ἕλωσί μ᾽ fortasse ex ἐλῶσιν corrupta, quod coniecit Nauckius, praeeunte Hermanno, qui ἐλῶσ᾽· ἔτ᾽ οὐ γὰρ ἴσχω scripserat. 1094. οὐ γὰρ D.] οὐ γὰρ ἔτ᾽ ἴσχω Heathius] ἰσχύω 1095—1097. Versus sic divisi, σύ-| σασ, ὦ βαρύποτμε, | οὐκ-| τᾶιδ᾽ 1096. βαρύποτμ᾽ D.] βαρύποτμε (ηι superscr.) 1097. ἁ τύχα ἅδ᾽ D.] ἔχει (ηι a m. pr.) τύχαι τᾶιδ᾽ 1100. πλέονος] λώιονος. Correctum ex scholiastae annotatione, ὅτε γε παρόντος σοι σωφρονῆσαι τὸ λυσιτελὲς ἀπὸ πλείονος δαίμονος, τὸ κάκιον εἵλου, τὸ μὴ ἐλθεῖν. πλείονος δὲ δαίμονος λέγει τοῦ λυσιτελεστέρου καὶ συμφόρου. ἀντί D.] ἑλεῖν, fictum fortasse ex glossemate τὸ μὴ ἐλθεῖν, quo utitur scholiasta. 1105. ἀνδρῶν] φωτῶν Meinekius. 1106. αἰαῖ αἰαῖ] αἶ αἶ αἶ αἶ

1116—1121. Versus sic divisi, πότμοσ-| δὲ σέ γε-| χειρὸσ-| ἔχε-| ἀρὰν ἀρὰν-| καὶ γὰρ-| μὴ φιλότητ᾽ — 1116. Alterum πότμος addidit Erfurdtius. 1120. *ἀρὰν] ἀρὰν ἀρὰν 1122. οἴμοι μοι] οἴ μοι μοί που insertum, ab S ut videtur. 1125. χερὶ Turnebus] χειρὶ 1130. ἦ] εἴ, sed in η mutatum a m. pr., inter scribendum ut videtur. ἐλεινὸν Brunckius] ἐλεεινὸν 1132. σύννομον D.] ἄθλιον, cui S in margine apposuit γρ. ἆθλον 1133. *μεθύστερον] μεθ᾽ ὕστερον 1134. ἔτ᾽ addidit D. 1137. στυγνὸν δὲ Turnebus] στυγνόν τε 1138. *ἀνατέλλονθ᾽] ἀνατέλλοντα 1139. ὦ Ζεῦ D.] ὀδυσσεύς 1140. ἓν D.] εὖ 1144. τῶνδ᾽ Thudichum] τοῦδ᾽ 1146. πταναὶ] πτηναὶ 1148. *οὐρεσιβώτας] οὐρεσσιβώτασ 1149. φυγᾷ μ᾽ οὐκέτ᾽ — πελᾶτ᾽] φυγαῖς οὐκέτ᾽ — ἐλᾶτ᾽ Heimsoethius, praeeunte Cantero, qui φυγᾷ μηκέτ᾽ — ἐλᾶτ᾽ coniecerat. 1150. πελᾶτ᾽] πελᾶιτ᾽, ι eraso. 1153. *ἀνέδην] ἀναιδην, έ a m. pr.

πόθεν γὰρ ἔσται βιοτά; τίς ὧδ᾽ ἐν αὔραις τρέ-
  φεται,
μηκέτι μηδενὸς κρατύνων ὅσα πέμπει βιόδωρος
ΧΟ. πρὸς θεῶν, εἴ τι σέβει ξένον, πέλασσον, [αἶα;
εὐνοίᾳ πάσᾳ πελάταν·
ἀλλὰ γνῶθ᾽, εὖ γνῶθ᾽ ὅτι σὸν
κῆρα τάνδ᾽ ἀποφεύγειν.
οἰκτρὰ γὰρ βόσκειν, ἀδαὴς δ᾽
ἔχειν μυρίον ἄχθος, ᾧ ξυνοικεῖ.
ΦΙ. πάλιν πάλιν παλαιὸν ἄλγημ᾽ ὑπέμνασας, ὦ
λῷστε τῶν πρὶν ἐντόπων.
τί μ᾽ ὤλεσας; τί μ᾽ εἴργασαι;
ΧΟ. τί τοῦτ᾽ ἔλεξας;
ΦΙ. εἰ σὺ τὰν ἐμοὶ στυγερὰν
Τρῳάδα γᾶν μ᾽ ἤλπισας ἄξειν.
ΧΟ. τόδε γὰρ νοῶ κράτιστον.
ΦΙ. ἀπό νύν με λείπετ᾽ ἤδη. [πράσσειν.
ΧΟ. φίλα μοι, φίλα ταῦτα παρήγγειλας ἑκόντι τε
ἴωμεν ἴωμεν
ναὸς ἵν᾽ ἡμῖν τέτακται.
ΦΙ. μὴ πρὸς ἀραίου Διὸς, ἔλθῃς, ἱκετεύω. ΧΟ. με-
ΦΙ. ὦ ξένοι, [τρίαζε.
μείνατε, πρὸς θεῶν. ΧΟ. τί θροεῖς;
ΦΙ. αἰαῖ αἰαῖ, δαίμων δαίμων·
ἀπόλωλ᾽ ὁ τάλας·
ὦ πoὺς πούς, τί σ᾽ ἔτ᾽ ἐν βίῳ
τεύξω τῷ μετόπιν τάλας;
ὦ ξένοι, ἔλθετ᾽ ἐπήλυδες αὖθις.
ΧΟ. τί ῥέξοντες ἀλλοκότῳ
γνώμᾳ τῶν πάρος, ὧν προύφαινες;
ΦΙ. οὔτοι νεμεσητὸν
ἀλύοντα χειμερίῳ
λύπᾳ καὶ παρὰ νοῦν θροεῖν.
ΧΟ. βᾶθί νυν, ὦ τάλαν, ὥς σε κελεύομεν.
ΦΙ. οὐδέποτ᾽ οὐδέποτ᾽, ἴσθι τόδ᾽ ἔμπεδον,
οὐδ᾽ εἰ πυρφόρος ἀστεροπητὴς
βροντᾶς αὐγαῖς μ᾽ εἶσι φλογίζων.
ἐρρέτω Ἴλιον, οἵ θ᾽ ὑπ᾽ ἐκείνῳ
πάντες ὅσοι τόδ᾽ ἔτλασαν ἐμοῦ ποδὸς ἄρθρον
  ἀπῶσαι.
ἀλλ᾽, ὦ ξένοι, ἕν γέ μοι εὖχος ὀρέξατε.
ΧΟ. ποῖον ἐρεῖς τόδ᾽ ἔπος; ΦΙ. ξίφος, εἴ ποθεν,
ἢ γένυν, ἢ βελέων τι, προπέμψατε.
ΧΟ. ὡς τίνα δὴ ῥέξῃς παλάμαν ποτέ;
ΦΙ. κρᾶτ᾽ ἀπὸ πάντα καὶ ἄρθρα τέμω χερί·
φονᾷ φονᾷ νόος ἤδη.
ΧΟ. τί ποτε; ΦΙ. πατέρα ματεύων.
ΧΟ. ποῖ γᾶς; ΦΙ. ἐς Ἅιδου·
οὐ γάρ ἐστ᾽ ἐν φάει γ᾽ ἔτι.
ὦ πόλις ὦ πατρία,
πῶς ἂν εἰσίδοιμ᾽ ἄθλιός σ᾽ ἀνὴρ,
ὅς γε σὰν λιπὼν ἱερὰν λιβάδ᾽,
ἐχθροῖς ἔβαν Δαναοῖς
ἀρωγός· ἔτ᾽ οὐδέν εἰμι.

ΧΟ. ἐγὼ μὲν ἤδη καὶ πάλαι νεὼς ὁμοῦ
στείχων ἂν ἦ σοι τῆς ἐμῆς, εἰ μὴ πέλας
Ὀδυσσέα στείχοντα τόν τ᾽ Ἀχιλλέως
γόνον πρὸς ἡμᾶς δεῦρ᾽ ἰόντ᾽ ἐλεύσσομεν.
ΟΔ. οὐκ ἂν φράσειας ἥντιν᾽ αὖ παλίντροπος
κέλευθον ἕρπεις ὧδε σὺν σπουδῇ ταχύς;
ΝΕ. λύσων ὅσ᾽ ἐξήμαρτον ἐν τῷ πρὶν χρόνῳ.
ΟΔ. δεινόν γε φωνεῖς· ἡ δ᾽ ἁμαρτία τίς ἦν;
ΝΕ. ἣν σοὶ πιθόμενος τῷ τε σύμπαντι στρατῷ
ΟΔ. ἔπραξας ἔργον ποῖον ὧν οὔ σοι πρέπον;
ΝΕ. ἀπάταισιν αἰσχραῖς ἄνδρα καὶ δόλοις ἑλών.
ΟΔ. τὸν ποῖον; ὤμοι· μῶν τι βουλεύει νέον;
ΝΕ. νέον μὲν οὐδὲν, τῷ δὲ Ποίαντος τόκῳ
ΟΔ. τί χρῆμα δράσεις; ὥς μ᾽ ὑπῆλθέ τις φόβος.
ΝΕ. παρ᾽ οὗπερ ἔλαβον τάδε τὰ τόξ᾽, αὖθις πάλιν
ΟΔ. ὦ Ζεῦ, τί λέξεις; οὔ τί που δοῦναι νοεῖς;
ΝΕ. αἰσχρῶς γὰρ αὐτὰ κοὐ δίκῃ λαβὼν ἔχω.
ΟΔ. πρὸς θεῶν, πότερα δὴ κερτομῶν λέγεις τάδε;
ΝΕ. εἰ κερτόμησίς ἐστι τἀληθῆ λέγειν.
ΟΔ. τί φῄς, Ἀχιλλέως παῖ; τίν᾽ εἴρηκας λόγον;
ΝΕ. δὶς ταὐτὰ βούλει καὶ τρὶς ἀναπολεῖν μ᾽ ἔπη;
ΟΔ. ἀρχὴν κλύειν ἂν οὐδ᾽ ἅπαξ ἐβουλόμην.
ΝΕ. εὖ νῦν ἐπίστω· πάντ᾽ ἀκήκοας λόγον.
ΟΔ. ἔστιν τις ἔστιν ὅς σε κωλύσει τὸ δρᾶν.
ΝΕ. τί φῄς; τίς ἔσται μ᾽ οὑπικωλύσων τάδε;
ΟΔ. ξύμπας Ἀχαιῶν λαὸς, ἐν δὲ τοῖσδ᾽ ἐγώ.
ΝΕ. σοφὸς πεφυκὼς οὐδὲν ἐξαυδᾷς σοφόν.
ΟΔ. σὺ δ᾽ οὔτε φωνεῖς οὔτε δρασείεις σοφά.
ΝΕ. ἀλλ᾽ εἰ δίκαια, τῶν σοφῶν κρείσσω τάδε.
ΟΔ. καὶ πῶς δίκαιον, ἅ γ᾽ ἔλαβες βουλαῖς ἐμαῖς,
πάλιν μεθεῖναι ταῦτα; ΝΕ. τὴν ἁμαρτίαν
αἰσχρὰν ἁμαρτὼν ἀναλαβεῖν πειράσομαι.
ΟΔ. στρατὸν δ᾽ Ἀχαιῶν οὐ φοβεῖ, πράσσων τάδε;
ΝΕ. ξὺν τῷ δικαίῳ τὸν σὸν οὐ ταρβῶ φόβον.
ΟΔ. ⏑⏑́⏑–⏑⏑́⏑–⏑⏑́⏑–
ΝΕ. ἀλλ᾽ οὐδέ τοι σῇ χειρὶ πείθομαι τὸ δρᾶν.
ΟΔ. οὔ τἄρα Τρωσὶν, ἀλλὰ σοὶ μαχούμεθα.
ΝΕ. ἔστω τὸ μέλλον. ΟΔ. χεῖρα δεξιὰν ὁρᾷς
κώπης ἐπιψαύουσαν; ΝΕ. ἀλλὰ κἀμέ τοι
ταὐτὸν τόδ᾽ ὄψει δρῶντα κοὐ μέλλοντ᾽ ἔτι.
ΟΔ. καίτοι σ᾽ ἐάσω· τῷ δὲ σύμπαντι στρατῷ
λέξω τάδ᾽ ἐλθὼν, ὅς σε τιμωρήσεται.
ΝΕ. ἐσωφρόνησας· κἂν τὰ λοίφ᾽ οὕτω φρονῇς,
ἴσως ἂν ἐκτὸς κλαυμάτων ἔχοις πόδα.
σὺ δ᾽, ὦ Ποίαντος παῖ, Φιλοκτήτην λέγω,

---

1165. σὸν D.] σοὶ 1168. *ᾧ] ὃ 1175. *μ᾽ ἤλπισας] ἤλπισάσ μ᾽ 1177. με λείπετ᾽] μ᾽ ἐλείπετ᾽ pr. 1187. ὁ ex ὦ factum. 1192. *προύφαινες] προὔφανεσ 1193. *νεμεσητὸν] νεμεσσητὸν 1199. βροντᾶς αὐγαῖς ex schol.] βρονταῖς αὐταῖς 1206. δὴ addidit Hermannus. 1207. κρᾶτ᾽ ἀπὸ πάντα καὶ ἄρθρα] κρᾶτα καὶ ἄρθρ᾽ ἀπὸ πάντα Bergkius. 1211. *ἐς] εἰσ 1212. ἐστ᾽ delet Hermannus. 1213. ὦ πόλις ὦ D.] ὦ πόλις ὦ πόλις 1214. εἰσίδοιμ᾽ ἄθλιός σ᾽ ἀνὴρ D.] εἰσίδοιμί σ᾽ ἄθλιός γ᾽ ἀνὴρ 1216. Ante λιβάδ᾽ litera erasa, η ut videtur.

1218. νεὼς] νεῶσ a m. sec. ὁμοῦ] ἐγγὺσ superscr. a m. pr. 1219. ἂν ἦ Elmsleius] ἂν ἦν (ἄνην pr.) 1221. ἐλεύσσομεν] Alterum σ ab S insertum. 1222. οὐκ ἂν] οὐδ᾽ αὖ superscr. a m. ant. 1223. σὺν σπουδῇ] Literae ν σπ ab S illatae. συμπουδῆι pr. 1226. *πιθόμενος] πειθόμενοσ 1231. *τί χρῆμα] τί χρῆμα τί ὑπῆλθέ τις] ὑπῆλθ᾽ ἔτι pr., correctum ab S. 1235. *δὴ] om. Poterat pari iure δὲ addi vel quod coniecit Hermannus σύ, vel πρὸς θεῶν σε scribi. δὴ codex om. infra 1308. ubi habent apographa. 1237. Ἀχιλλέως] ἀχιλλέω,
ν
σ ab S addito. 1238. ἀναπολεῖν] ἀναπολεῖ, ν ab S. Probabilius ἀμπολεῖν. Vid. ad Electr. 693. 1240. *ἀκήκοας] ἀκηκοὼσ 1245. σοφά Brunckius] σοφόν 1247. ἅ γ᾽ ἔλαβες] Probabilius ἅλαβες. 1251. φόβον] στρατὸν Hermannus. Post 1251. unius versus defectum indicavit Hermannus. 1252—1258. Personae in cod. sic distributae Οδ. ἀλλ᾽⊣ Νε οὔτ᾽ ἄρα — Οδ. ἔστω⊣ Νε. χεῖρα — Οδ. ἀλλὰ — τιμωρήσεται. Recte Turnebus. 1255. κἀμέ] καὶ ἐμέ pr.
η
1259. φρονῇς] φρονεῖσ, η a m. pr.

ἔξελθ', ἀμείψας τάσδε πετρήρεις στέγας.
ΦΙ. τίς αὖ παρ' ἄντροις θόρυβος ἵσταται βοῆς;
τί μ' ἐκκαλεῖσθε; τοῦ κεχρημένοι, ξένοι;
ὤμοι· κακὸν τὸ χρῆμα. μῶν τί μοι μέγα
πάρεστε πρὸς κακοῖσι πέμποντες κακόν;
ΝΕ. θάρσει· λόγους δ' ἄκουσον οὓς ἥκω φέρων.
ΦΙ. δέδοικ' ἔγωγε· καὶ τὰ πρὶν γὰρ ἐκ λόγων
καλῶν κακῶς ἔπραξα, σοῖς πεισθεὶς λόγοις.
ΝΕ. οὔκουν ἔνεστι καὶ μεταγνῶναι πάλιν;
ΦΙ. τοιοῦτος ἦσθα τοῖς λόγοισι χὤτε μου
τὰ τόξ' ἔκλεπτες, πιστός, ἀτηρὸς λάθρα.
ΝΕ. ἀλλ' οὔ τι μὴν νῦν· βούλομαι δέ σου κλύειν,
πότερα δέδοκταί σοι μένοντι καρτερεῖν,
ἢ πλεῖν μεθ' ἡμῶν. ΦΙ. παῦε, μὴ λέξῃς πέρα.
μάτην γὰρ ἂν εἴπῃς γε πάντ' εἰρήσεται.
ΝΕ. οὕτω δέδοκται; ΦΙ. καὶ πέρα γ' ἴσθ' ἢ λέγω.
ΝΕ. ἀλλ' ἤθελον μὲν ἄν σε πεισθῆναι λόγοις
ἐμοῖσιν· εἰ δὲ μή τι πρὸς καιρὸν λέγων
κυρῶ, πέπαυμαι. ΦΙ. πάντα γὰρ φράσεις μάτην.
οὐ γάρ ποτ' εὔνουν τὴν ἐμὴν κτήσει φρένα,
ὅστις γ' ἐμοῦ δόλοισι τὸν βίον λαβὼν
ἀπεστέρηκας· κᾆτα νουθετεῖς ἐμὲ
ἐλθών, ἀρίστου πατρὸς αἴσχιστος γεγώς.
ὄλοισθ', Ἀτρεῖδαι μὲν μάλιστ', ἔπειτα δὲ
ὁ Λαρτίου παῖς, καὶ σύ. ΝΕ. μὴ 'πεύξῃ πέρα·
δέχου δὲ χειρὸς ἐξ ἐμῆς βέλη τάδε.
ΦΙ. πῶς εἶπας; ἆρα δεύτερον δολούμεθα;
ΝΕ. ἀπώμοσ' ἁγνὸν Ζηνὸς ὑψίστου σέβας.
ΦΙ. ὦ φίλτατ' εἰπών, εἰ λέγεις ἐτήτυμα.
ΝΕ. τοὔργον παρέσται φανερόν. ἀλλὰ δεξιὰν
πρότεινε χεῖρα, καὶ κράτει τῶν σῶν ὅπλων.
ΟΔ. ἐγὼ δ' ἀπαυδῶ γ', ὡς θεοὶ ξυνίστορες,
ὑπέρ τ' Ἀτρειδῶν τοῦ τε σύμπαντος στρατοῦ.
ΦΙ. τέκνον, τίνος φώνημα, μῶν Ὀδυσσέως,
ἐπῃσθόμην; ΟΔ. σάφ' ἴσθι· καὶ πέλας γ' ὁρᾷς,
ὅς σ' ἐς τὰ Τροίας πεδί' ἀποστελῶ βίᾳ,
ἐάν τ' Ἀχιλλέως παῖς ἐάν τε μὴ θέλῃ.
ΦΙ. ἀλλ' οὔ τι χαίρων, ἢν τόδ' ὀρθωθῇ βέλος.
ΝΕ. ἆ, μηδαμῶς, μή, πρὸς θεῶν, μεθῇς βέλος.
ΦΙ. μέθες με, πρὸς θεῶν, χεῖρα, φίλτατον τέκνον.
ΝΕ. οὐκ ἂν μεθείην. ΦΙ. φεῦ· τί μ' ἄνδρα πολέμιον
ἐχθρόν τ' ἀφείλου μὴ κτανεῖν τόξοις ἐμοῖς;
ΝΕ. ἀλλ' οὔτ' ἐμοὶ τοῦτ' ἐστὶν οὔτε σοὶ καλόν.
ΦΙ. ἀλλ' οὖν τοσοῦτόν γ' ἴσθι, τοὺς πρώτους στρατοῦ,
τοὺς τῶν Ἀχαιῶν ψευδοκήρυκας, κακοὺς
ὄντας πρὸς αἰχμήν, ἐν δὲ τοῖς λόγοις θρασεῖς.
ΝΕ. εἶεν. τὰ μὲν δὴ τόξ' ἔχεις, κοὐκ ἔσθ' ὅτου
ὀργὴν ἔχοις ἂν οὐδὲ μέμψιν εἰς ἐμέ.
ΦΙ. ξύμφημι. τὴν φύσιν δ' ἔδειξας, ὦ τέκνον,
ἐξ ἧς ἔβλαστες, οὐχὶ Σισύφου πατρός,
ἀλλ' ἐξ Ἀχιλλέως, ὃς μετὰ ζώντων θ' ὅτ' ἦν
ἤκου' ἄριστα, νῦν δὲ τῶν τεθνηκότων.
ΝΕ. ἥσθην πατέρα τὸν ἀμὸν εὐλογοῦντά σε
αὐτόν τέ μ'· ὧν δέ σου τυχεῖν ἐφίεμαι
ἄκουσον. ἀνθρώποισι τὰς μὲν ἐκ θεῶν
τύχας δοθείσας ἔστ' ἀναγκαῖον φέρειν·
ὅσοι δ' ἑκουσίοισιν ἔγκεινται βλάβαις,
ὥσπερ σύ, τούτοις οὔτε συγγνώμην ἔχειν
δίκαιόν ἐστιν οὔτ' ἐποικτείρειν τινά.
σὺ δ' ἠγρίωσαι, κοὔτε σύμβουλον δέχει,
ἐάν τε νουθετῇ τις εὐνοίᾳ λέγων,
στυγεῖς, πολέμιον δυσμενῆ θ' ἡγούμενος.
ὅμως δὲ λέξω· Ζῆνα δ' ὅρκιον καλῶ·
καὶ ταῦτ' ἐπίστω, καὶ γράφου φρενῶν ἔσω.
σὺ γὰρ νοσεῖς τόδ' ἄλγος ἐκ θείας τύχης,
Χρύσης πελασθεὶς φύλακος, ὃς τὸν ἀκαλυφῆ
σηκὸν φυλάσσει κρύφιος οἰκουρῶν ὄφις·
καὶ παῦλαν ἴσθι τῆσδε μή ποτ' ἂν τυχεῖν
νόσου βαρείας, ὡς ἂν αὑτὸς ἥλιος
ταύτῃ μὲν αἴρῃ, τῇδε δ' αὖ δύνῃ πάλιν,
πρὶν ἂν τὰ Τροίας πεδί' ἑκὼν αὐτὸς μόλῃς,
καὶ τοῖν παρ' ἡμῖν ἐντυχὼν Ἀσκληπίδαιν
νόσου μαλαχθῇς τῆσδε, καὶ τὰ πέργαμα
ξὺν τοῖσδε τόξοις ξύν τ' ἐμοὶ πέρσας φανῇς.
ὡς δ' οἶδα ταῦτα τῇδ' ἔχοντ' ἐγὼ φράσω.
ἀνὴρ γὰρ ἡμῖν ἐστιν ἐκ Τροίας ἁλούς,
Ἕλενος ἀριστόμαντις, ὃς λέγει σαφῶς
ὡς δεῖ γενέσθαι ταῦτα· καὶ πρὸς τοῖσδ' ἔτι,
ὡς ἔστ' ἀνάγκη τοῦ παρεστῶτος θέρους
Τροίαν ἁλῶναι πᾶσαν· ἢ δίδωσ' ἑκὼν
κτείνειν ἑαυτόν, ἢν τάδε ψευσθῇ λέγων.
ταῦτ' οὖν ἐπεὶ κάτοισθα, συγχώρει θέλων.
καλὴ γὰρ ἡ 'πίκτησις, Ἑλλήνων ἕνα
κριθέντ' ἄριστον, τοῦτο μὲν παιωνίας
ἐς χεῖρας ἐλθεῖν, εἶτα τὴν πολύστονον
Τροίαν ἑλόντα κλέος ὑπέρτατον λαβεῖν.
ΦΙ. ὦ στυγνὸς αἰών, τί με, τί δῆτ' ἔχεις ἄνω
βλέποντα κοὐκ ἀφῆκας εἰς Ἅιδου μολεῖν;
οἴμοι, τί δράσω; πῶς ἀπιστήσω λόγοις
τοῖς τοῦδ', ὃς εὔνους ὢν ἐμοὶ παρῄνεσεν;
ἀλλ' εἰκάθω δῆτ'; εἶτα πῶς ὁ δύσμορος
ἐς φῶς τάδ' ἔρξας εἶμι; τῷ προσήγορος;
πῶς, ὦ τὰ πάντ' ἰδόντες ἀμφ' ἐμοὶ κύκλοι,
ταῦτ' ἐξανασχήσεσθε, τοῖσιν Ἀτρέως
ἐμὲ ξυνόντα παισίν, οἵ μ' ἀπώλεσαν;
πῶς τῷ πανώλει παιδὶ τῷ Λαερτίου;
οὐ γάρ με τἄλγος τῶν παρελθόντων δάκνει,
ἀλλ' οἷα χρὴ παθεῖν με πρὸς τούτων ἔτι
δοκῶ προλεύσσειν· οἷς γὰρ ἡ γνώμη κακῶν
μήτηρ γένηται, τἄλλα παιδεύει κακούς.
καὶ σοῦ δ' ἔγωγε θαυμάσας ἔχω τόδε.
χρῆν γάρ σε μήτ' αὐτόν ποτ' ἐς Τροίαν μολεῖν,

---

1263. Versum in fine paginae omissum librarius ipse postmodum addidit. 1265. μέγα — κακόν] νέα ὸν — κακά Bergkius. 1266. κακόν] κακὰ, ὸν a m. pr. 1270. *οὔκουν] οὐκοῦν 1275. παῦε Triclinius] παῦσαι 1278. μὲν inter versus additum a m. pr. 1284. αἴσχιστος Piersonus ad Moer. p. 135.] ἔχθιστος 1288. ἆρα Porsonus] οὐκ ἆρα 1289. ἁγνὸν Wakefieldus] ἁγνοῦ σέβας] β in litura, fortasse pro λ 1292. *πρότεινε] προὔτεινε, literis προὐτ (sic, sine accentu) a m. recenti scriptis pro literis quibusdam vel evanidis vel elutis. πρότεινε est in Lb. 1294. *τ'] om. 1300. ἆ Turnebus] ἆᾶ corr., ἀα (sine accentu) pr. 1302. *τί μ'] τίν' 1304. καλόν post ἐμοὶ lectum post σοὶ transposuit Wakefieldus. 1308. *δὴ] om. ὅτου Turnebus] ὅπου

1310. *δ'] om. 1312. *θ'] om. 1313. δὲ] τε Turnebus. 1314. ἀμὸν Triclinius] ἐμὸν 1319. *τούτοις] τούτουσιν, υ ante σ in ι mutato. 1322. *εὐνοίᾳ] εὔνοιάν σοι 1327. *Χρύσης] χρυσῆσ 1329. ἂν τυχεῖν Porsonus] ἐντυχεῖν 1330. ὡς ἂν] ἔστ' ἂν Brunckius. αὑτὸς Doederlinus] αὐτὸς 1332. *ἑκὼν αὐτὸς] αὐτὸσ ἑκὼν 1333. τοῖν — Ἀσκληπιδαῖν (debebat Ἀσκληπίδαιν) Erfurdtius] τῶν — ἀσκληπιδῶν α 1335. φανῇς] φωνῆισ, α a m. pr. 1337. γὰρ] παρ' Elmsleius. 1358. *με τἄλγος] μ' ἔτ' ἄλγοσ 1361. κακούς Dobraeus] κακά

ἡμᾶς τ᾽ ἀπείργειν, οἵ γέ σου καθύβρισαν,
πατρὸς γέρας συλῶντες, εἶτα τοῖσδε σὺ
εἶ ξυμμαχήσων, κἄμ᾽ ἀναγκάζεις τάδε;
μὴ δῆτα, τέκνον· ἀλλ᾽ ἅ μοι ξυνώμοσας,
πέμψον πρὸς οἴκους· καὐτὸς ἐν Σκύρῳ μένων
ἔα κακῶς αὐτοὺς ἀπόλλυσθαι κακούς.
χοὕτω διπλῆν μὲν ἐξ ἐμοῦ κτήσει χάριν,
διπλῆν δὲ πατρός· κοὐ κακοὺς ἐπωφελῶν
δόξεις ὅμοιος τοῖς κακοῖς πεφυκέναι.
ΝΕ. λέγεις μὲν εἰκότ᾽, ἀλλ᾽ ὅμως σε βούλομαι
θεοῖς τε πιστεύσαντα τοῖς τ᾽ ἐμοῖς λόγοις
φίλου μετ᾽ ἀνδρὸς τοῦδε τῆσδ᾽ ἐκπλεῖν χθονός.
ΦΙ. ἦ πρὸς τὰ Τροίας πεδία καὶ τὸν Ἀτρέως
ἔχθιστον υἱὸν τῷδε δυστήνῳ ποδί;
ΝΕ. πρὸς τοὺς μὲν οὖν σε τήνδε τ᾽ ἔμπυον βάσιν
παύσοντας ἄλγους κἀποσώσοντας νόσου.
ΦΙ. ὦ δεινὸν αἶνον αἰνέσας, τί φῄς ποτε;
ΝΕ. ἃ σοί τε κἀμοὶ λῷσθ᾽ ὁρῶ τελούμενα.
ΦΙ. καὶ ταῦτα λέξας οὐ καταισχύνει θεούς;
ΝΕ. πῶς γάρ τις αἰσχύνοιτ᾽ ἂν ὠφελούμενος;
ΦΙ. λέγεις δ᾽ Ἀτρείδαις ὄφελος, ἢ ᾽π᾽ ἐμοὶ τόδε;
ΝΕ. σοί που φίλος γ᾽ ὤν, χὠ λόγος τοιόσδε μου.
ΦΙ. πῶς, ὅς γε τοῖς ἐχθροῖσί μ᾽ ἐκδοῦναι θέλεις;
ΝΕ. ὦ τᾶν, διδάσκου μὴ θρασύνεσθαι κακοῖς.
ΦΙ. ὀλεῖς με, γιγνώσκω σε, τοῖσδε τοῖς λόγοις.
ΝΕ. οὔκουν ἔγωγε· φημὶ δ᾽ οὔ σε μανθάνειν.
ΦΙ. ἐγὼ οὐκ Ἀτρείδας ἐκβαλόντας οἶδά με;
ΝΕ. ἀλλ᾽ ἐκβαλόντες εἰ πάλιν σώσουσ᾽ ὅρα.
ΦΙ. οὐδέποθ᾽ ἑκόντα γ᾽ ὥστε τὴν Τροίαν ἰδεῖν.
ΝΕ. τί δῆτ᾽ ἂν ἡμεῖς δρῷμεν, εἰ σέ γ᾽ ἐν λόγοις
πείθειν δυνησόμεσθα μηδὲν ὧν λέγω;
ὡς ῥᾷστ᾽ ἐμοὶ μὲν τῶν λόγων λῆξαι, σὲ δὲ
ζῆν ὥσπερ ἤδη ζῇς ἄνευ σωτηρίας.
ΦΙ. ἔα με πάσχειν ταῦθ᾽ ἅπερ παθεῖν με δεῖ·
ἃ δ᾽ ᾔνεσάς μοι δεξιᾶς ἐμῆς θιγών,
πέμπειν πρὸς οἴκους, ταῦτά μοι πρᾶξον, τέκνον,
καὶ μὴ βράδυνε μηδ᾽ ἐπιμνησθῇς ἔτι
Τροίας· ἅλις γάρ μοι τεθρήνηται γόοις.
ΝΕ. εἰ δοκεῖ, στείχωμεν. ΦΙ. ὦ γενναῖον εἰρηκὼς ἔπος.
ΝΕ. ἀντέρειδε νῦν βάσιν σήν. ΦΙ. εἰς ὅσον γ᾽ ἐγὼ σθένω.
ΝΕ. αἰτίαν δὲ πῶς Ἀχαιῶν φεύξομαι; ΦΙ. μὴ φροντίσῃς.
ΝΕ. τί γάρ, ἐὰν πορθῶσι χώραν τὴν ἐμήν; ΦΙ. ἐγὼ παρὼν
ΝΕ. τίνα προσωφέλησιν ἔρξεις; ΦΙ. βέλεσι τοῖς Ἡρακλέους
ΝΕ. πῶς λέγεις; ΦΙ. εἴρξω πελάζειν. ΝΕ. στεῖχε προσκύσας χθόνα.

ΗΡΑΚΛΗΣ.

μήπω γε, πρὶν ἂν τῶν ἡμετέρων
ἀΐῃς μύθων, παῖ Ποίαντος·
φάσκειν δ᾽ αὐδὴν τὴν Ἡρακλέους
ἀκοῇ τε κλύειν λεύσσειν τ᾽ ὄψιν.
τὴν σὴν δ᾽ ἥκω χάριν οὐρανίας
ἕδρας προλιπών,
τὰ Διός τε φράσων βουλεύματά σοι,
κατερητύσων θ᾽ ὁδὸν ἣν στέλλει·
σὺ δ᾽ ἐμῶν μύθων ἐπάκουσον.
καὶ πρῶτα μέν σοι τὰς ἐμὰς λέξω τύχας,
ὅσους πονήσας καὶ διεξελθὼν πόνους
ἀθάνατον ἀρετὴν ἔσχον, ὡς πάρεσθ᾽ ὁρᾶν.
καὶ σοί, σάφ᾽ ἴσθι, τοῦτ᾽ ὀφείλεται παθεῖν,
ἐκ τῶν πόνων τῶνδ᾽ εὐκλεᾶ θέσθαι βίον.
ἐλθὼν δὲ σὺν τῷδ᾽ ἀνδρὶ πρὸς τὸ Τρωικὸν
πόλισμα πρῶτον μὲν νόσου παύσει λυγρᾶς,
ἀρετῇ τε πρῶτος ἐκκριθεὶς στρατεύματος,
Πάριν μέν, ὃς τῶνδ᾽ αἴτιος κακῶν ἔφυ,
τόξοισι τοῖς ἐμοῖσι νοσφιεῖς βίου,
πέρσεις τε Τροίαν, σκῦλά τ᾽ ἐς μέλαθρα σὰ
πέμψεις, ἀριστεῖ᾽ ἐκλαβὼν στρατεύματος,
Ποίαντι πατρὶ πρὸς πάτρας Οἴτης πλάκα.
ἃ δ᾽ ἂν λάβῃς σὺ σκῦλα τοῦδε τοῦ στρατοῦ,
τόξων ἐμῶν μνημεῖα πρὸς πυρὰν ἐμὴν
κόμιζε. καὶ σοὶ ταῦτ᾽, Ἀχιλλέως τέκνον,
παρῄνεσ᾽· οὔτε γὰρ σὺ τοῦδ᾽ ἄτερ σθένεις
ἑλεῖν τὸ Τροίας πεδίον οὔθ᾽ οὗτος σέθεν.
ἀλλ᾽ ὡς λέοντε συννόμω φυλάσσετον
οὗτος σὲ καὶ σὺ τόνδ᾽. ἐγὼ δ᾽ Ἀσκληπιὸν
παυστῆρα πέμψω σῆς νόσου πρὸς Ἴλιον.
τὸ δεύτερον γὰρ τοῖς ἐμοῖς αὐτὴν χρεὼν
τόξοις ἁλῶναι. τοῦτο δ᾽ ἐννοεῖθ᾽, ὅταν
πορθῆτε γαῖαν, εὐσεβεῖν τὰ πρὸς θεούς.
[ὡς τἄλλα πάντα δεύτερ᾽ ἡγεῖται πατὴρ
Ζεύς. ἡ γὰρ εὐσέβεια συνθνήσκει βροτοῖς,
κἂν ζῶσι κἂν θάνωσιν, οὐκ ἀπόλλυται.]
ΦΙ. ὦ φθέγμα ποθεινὸν ἐμοὶ πέμψας,
χρόνιός τε φανείς,
οὐκ ἀπιθήσω τοῖς σοῖς μύθοις.
ΝΕ. κἀγὼ γνώμην ταύτῃ τίθεμαι.
ΗΡ. μὴ νυν χρόνιοι μέλλετε πράσσειν.
καιρὸς καὶ πλοῦς
ὅδ᾽ ἐπείγει γὰρ κατὰ πρύμναν.
ΦΙ. φέρε νυν στείχων χώραν καλέσω.
χαῖρ᾽, ὦ μέλαθρον ξύμφρουρον ἐμοί,
Νύμφαι τ᾽ ἔνυδροι λειμωνιάδες,
καὶ κτύπος ἄρσην πόντου προβολῆς,

---

1364. γε Brunckius] τε 1365. Post συλῶντες sequebatur οἳ τὸν ἄθλιον | Αἴανθ᾽ ὅπλων σοῦ πατρὸς ὕστερον δίκῃ | Ὀδυσσέως ἔκριναν. Delevit Brunckius. 1366. κἄμ᾽ Brunckius] καί μ᾽ *τάδε] τόδε ο ex ω facto ut videtur. 1373. σε inter versus addidit m. pr. 1379. κἀποσώσοντας Heathius] κἀποσώζοντας 1381. λῷσθ᾽ D.] καλῶσ 1383. αἰσχύνοιτ᾽] οι ex ει factum. 1384. τόδε] *τάδε 1386. ἐχθροῖσί μ᾽ Brunckius] ἐχθροῖσιν 1387. τᾶν] τὰν pr. (γοισ superscr.) 1388. λόγοις] λόισ, deletis a m. pr. literis ισ 1390. *ἐγὼ οὐκ Ἀτρείδας] ἔγωγ᾽ οὐ κατρείδασ 1391. *σώσουσ᾽] σώουσ᾽, litera ω non satis certa et litera σ ab S inserta. 1392. ἰδεῖν] ἑλεῖν, superscripto a m. pr. ἰδεῖν. 1394. πείθειν Schaeferus] πείσειν. πεῖσαι Nauckius. 1395. *μὲν] om. 1401. γόοις] λόγοισ, adscripto ab S γρ. γόοισ 1404. *φεύξομαι] φεύξωμαι 1406. προσωφέλησιν] πρὸσὠφέλησιν rec. *ἔρξεις] ἔρξεισ Ἡρακλέους Brunckius] ἡρακλείοις

1407. πελάζειν D.] πελάζειν σῆς πάτρας *ΝΕ.] om. Delevi quae ante στεῖχε legebantur ἀλλ᾽ εἰ (εἰ ex ου factum a m. ant.) δρᾶισ ταῦθ᾽ ὥσπερ αὐδᾶισ Verba στεῖχε προσκύσας χθόνα separato versu posita sunt. 1410. *ἀΐῃς] ἀΐεισ 1416. *κατερητύσων] κατηρετύσων 1418. λέξω] λέγω D. 1422. τῶνδ᾽] δ᾽ ab S additum videtur. εὐκλεᾶ] εὐκλέα pr. 1427. *νοσφιεῖς] νοσφίσεισ 1429. ἐκλαβὼν Turnebus] ἐκβαλών 1440. ἐννοεῖθ᾽ Elmsleius] ἐννοεῖσθ᾽ (ῆ superscr.) 1441. πορθῆτε] πορθεῖτε, ῆ a m. recentiore. 1442—1444. Seclusit D. 1447. ἀπιθήσω] ι ex ει factum. 1448. γνώμην Toupius] γνώμηι 1449. πράσσειν Brunckius] πράττειν 1451. Punctum post ὅδ᾽ positum. 1455. προβολῆς Hermannus] προβλῆς

οὗ πολλάκι δὴ τοὐμὸν ἐτέγχθη
κρᾶτ᾽ ἐνδόμυχον πληγαῖσι νότου,
πολλὰ δὲ φωνῆς τῆς ἡμετέρας
Ἑρμαῖον ὄρος παρέπεμψεν ἐμοὶ
στόνον ἀντίτυπον χειμαζομένῳ.
νῦν δ᾽, ὦ κρῆναι Λύκιόν τε ποτόν,
λείπομεν ὑμᾶς, λείπομεν ἤδη,
δόξης οὔ ποτε τῆσδ᾽ ἐπιβάντες.
χαῖρ᾽, ὦ Λήμνου πέδον ἀμφίαλον,
καί μ᾽ εὐπλοίᾳ πέμψον ἀμέμπτως,
ἔνθ᾽ ἡ μεγάλη Μοῖρα κομίζει
γνώμη τε φίλων, χὠ πανδαμάτωρ
δαίμων, ὃς ταῦτ᾽ ἐπέκρανεν.
ΧΟ. χωρῶμεν δὴ πάντες ἀολλεῖς,
Νύμφαις ἁλίαισιν ἐπευξάμενοι.
νόστου σωτῆρας ἱκέσθαι.

---

1457. *πληγαῖσι] πληγῆισι 1459. Ἑρμαῖον ex Eustathio ad Hom. p. 1809, 42.] ἕρμαιον 1461. Λύκιον] γλύκιον, tria puncta a m. antiqua.

1465. πέμψον] ψ ex π factum. 1469. δὴ Hermannus] ἤδη *ἀολλεῖς] ἀολλέεσ

# ΣΟΦΟΚΛΕΟΥΣ ΑΠΟΣΠΑΣΜΑΤΙΑ*.

ΑΘΑΜΑΣ Α. Β.

1. Fabulam de Athamante Sophocles duabus tractavit tragoediis, quarum altera fortasse nihil aliud fuit quam correcta et mutata prioris editio, quemadmodum Euripidis Hippolyti utriusque (Ἱππολύτου στεφανηφόρου et Ἱππολύτου καλυπτομένου) idem fuit argumentum, etsi diversis modis tractatum: de quo dixi in ampliore Sophoclis fragmentorum editione Oxoniensi tertia (vol. 8. p. 1.). Eadem quaestio ad alias quasdam Sophoclis fabulas pertinet, quarum duplices ab grammaticis memorantur editiones, Θυέστου πρώτου et Θυέστου δευτέρου, Τυροῦς πρώτης et Τυροῦς δευτέρας, Φινέως πρώτου et Φινέως δευτέρου, Λακαινῶν προτέρων et Λακαινῶν δευτέρων.

De tempore quo Athamantis fabula in scenam producta ab Sophocle fuerit tantum scimus, priorem fuisse Nubibus Aristophanis, quae fabula acta est Olymp. 89, 2. Nam in Nubibus ad Athamantem Sophoclis alluditur v. 257. ΣΩ. Τουτονὶ τοίνυν λαβὲ | τὸν στέφανον. ΣΤΡ. ἐπὶ τί στέφανον; οἴμοι, Σώκρατες. | ὥσπερ με τὸν Ἀθάμανθ᾽ ὅπως μὴ θύσετε. ad quae verba una est antiquioris scholiastae annotatio, τοῦτο πρὸς τὸν ἕτερον Ἀθάμαντα Σοφοκλέους ἀποτεινόμενος λέγει. ὁ γάρ τοι Σοφοκλῆς πεποίηκε τὸν Ἀθάμαντα ἐστεφανωμένον καὶ παρεστῶτα τῷ βωμῷ τοῦ Διὸς ὡς σφαγιασθησόμενον. μέλλοντα δὲ ἀποσφάττεσθαι αὐτὸν, παραγενόμενον Ἡρακλέα, καὶ τοῦτον θανάτου ῥυόμενον, λέγοντα ὡς σώζοιτο ὁ Φρῖξος, δι᾽ ὃν ἔμελλεν ἐκεῖνος τεθνήξεσθαι. Schol. Pindari Pyth. 4, 288. ταύτην (Phrixi novercam) δὲ ὁ Πίνδαρος ἐν ὕμνοις Δημοδίκην φησὶν, Ἱππίας δὲ Γοργῶπιν, Σοφοκλῆς δὲ ἐν Ἀθάμαντι Νεφέλην.

2. Hesychius, Καταγνῶναι: ἐπιγνῶναι, μέμψασθαι. Σ. Ἀθάμαντι α΄.

3. Hesychius, Ἕρκεσι: δικτύοις. Σ. Ἀθάμαντι β΄.

4. Hesychius, Ἑψία: — ἀπὸ τοῦ ἕπεσθαι· ὁμιλία. Σ. Ἀθάμαντι β΄.

5. Choeroboscus in Theodosii Can. p. 307, 14. ed. Gaisf. Ἀγύναιξ — οἷον

Ὡς ὧν ἄπαις τε κἀγύναιξ κἀνέστιος.

παρὰ Σοφοκλεῖ ἐν Ἀθάμαντι.

6. Hesychius, Ἀγχήρης: ὁ ἐγγύς. Σ. Ἀθάμαντι. Etym. M. p. 15, 33. ἀγχήρης· ἐγγύς.

7. Harpocratio, Ἔπιπλον, — τὰ κατὰ τὴν οἰκίαν σκεύη ἔπιπλα λέγουσι — Σοφοκλῆς Ἀθάμαντι.

8. Hesychius, Ἐπιστίγματα: ἐπικελεύματα. Σοφοκλῆς Ἀθάμαντι. Sophocles, ut monuit Ruhnkenius apud Valckenarium ad Theocriti 6, 29. ἐπισίγματα scripserat, si recte praecepit Moeris p. 157. ἐπισίξας Ἀττικοί· ἐπιστίξας Ἕλληνες.

9. Hesychius, Ἐχρωματίσθη: συνεχρώσθη. Σ. Ἀθάμαντι. Suidas, ἐχρωματίσθη: χρῶμα ἐδέξατο.

10ᵃ. Antiatticista Bekkeri p. 106, 33. Λευκὴν ἡμέραν: τὴν ἀγαθήν. Σ. Ἀθάμαντι.

10ᵇ. Stephanus Byz. Ἅλος πόλις Ἀχαΐας. — κτίσαι δ᾽ αὐτὴν Ἀθάμαντα ἀπὸ τῆς συμβάσης αὐτῷ ἄλης. Θέων δέ φησιν ὅτι Ἅλος θεράπαινα ἦν Ἀθάμαντος ἡ μηνύσασα τὴν Ἰνὼ φρύγειν τὰ σπέρματα, ἧς εἰς τιμὴν τὴν πόλιν ὠνόμασε. — Τὸ ἐθνικὸν Ἀλεὺς, Σοφοκλῆς δὲ Ἀλουσίους, τινὲς δὲ τῶν γλωσσογράφων Ἀλίους. Eadem fere leguntur in Etym. Vossiano in Gaisf. annotatione p. 189 E. Ad Athamantem rettulit Nauckius.

Hesychii glossa ex Athamante βρυαζούσης λεαίνης incertum est utrum Aeschyli an Sophoclis sit. Vide Aeschyli fragm. 4.

ΑΙΑΣ ΛΟΚΡΟΣ.

De argumento fabulae suas aliorumque coniecturas exposuit Welckerus p. 161—166. recte monens aptum tragoediae argumentum praebere potuisse quae Proclus Chrestom. p. 461. ed. Gaisf. ex Arctino rettulit. Neque improbabilis Nauckii coniectura ad hanc tragoediam referentis quae de alterius (i. e. Locrensis) Aiacis morte dixit Lucianus de saltat. c. 46. vol. 2. p. 295. Ceterum Αἴας Λοκρὸς fabula ab Sophocle post alteram, quae superest, simplici Aiacis nomine inscriptam, edita videtur: de quo dixi in Prolegomenis ad illam in ed. Oxon. p. 3.

11. Stobaeus Ecl. phys. 1, 3, 46. vol. 1. p. 130. ed. Heeren. Σοφοκλέους (αἴαντι margo Canteri)

Εἰ δείν᾽ ἔδρασας, δεινὰ καὶ παθεῖν σε δεῖ.
Δίκας δ᾽ ἐξέλαμψεν ὅσιον φάος.

Priorem versum ex Sophocle affert Theophilus ad Autolyc. 2, 54. p. 258. et sine nomine schol. Dion. Thr. p. 965. Incertum igitur est ex qua fabula sumtus sit: nam marginis Canteri auctoritas nulla est. Alter, in quo ἐξέλαμψε θεῖον φάος correxit Cobetus, si est Sophoclis, ex alio loco petitus est. Similis sententia Σοφοκλέους Αἴαντι tribuitur apud Stobaeum l. l. p. 124. (unde fortasse lemma Αἴαντι sumsit Canterus)

Τὸ χρύσεον δὲ τᾶς Δίκας
δέδορκεν ὄμμα, τὸν δ᾽ ἄδικον ἀμείβεται.

Athenaeus 12. p. 546 b. Καί πού τις καὶ ποιητὴς ἐφθέγξατο — "Τὸ χρύσεον ὄμμα τὸ τᾶς Δίκας." Euripides in Melanippa Δικαιοσύνης τὸ χρύσεον πρόσωπον dixit.

---

* Brevior haec Sophoclis fragmentorum collectio ex prioribus *Poetarum scenicorum* editionibus meis est repetita, sed correcta et aucta partim ex horum fragmentorum editione, quae Sophoclis editioni Oxoniensi tertiae (a. 1860.) est adiecta (vol. 8. p. 1—204.) partim ex iis quae nuper demum vel ab aliis vel ab me ipso sunt animadversa. De numero, nominibus et temporibus fabularum dixi in Vita Sophoclis vol. 8. edit. Oxon. p. XLV. seqq.

**12.** Stobaeus Floril. 48, 5. Εὐριπίδου
Σοφοὶ τύραννοι τῶν σοφῶν ξυνουσίᾳ.
"Senarium hunc Sophoclis esse ex Aiace Locro testantur Aristides vol. 2. p. 288. Libanius Epist. 33. Zenobius Prov. 5, 98. Gellius 13, 18. (Adde schol. Platon. p. 417. ed. Bekk.) Platonis errorem, aliis iam antea notatum, ostendit Gatakerus, qui de hoc senario copiose agit vol. 1. p. 173." Brunck. Alia dedi ad Aristophanis fragm. 289. Quod apud Demetrium Cydon. in Boissonadii Anecdotis novis p. 280. legitur τῇ σοφῶν μετουσίᾳ, memoriae error est.

**13.** Stobaeus 98, 14. Σοφοκλῆς Αἴαντι
Ἄνθρωπός ἐστι πνεῦμα καὶ σκιὰ μόνον.
Ad Aiacem Locrum refertur, quia in superstite Aiacis fabula non legitur: recte, nisi in nomine fabulae erratum est, ut saepe apud Stobaeum. Idem de proximo fragmento dicendum.

**14.** Scholiasta Aeschinis F. Leg. p. 65, 7. ed. meae (p. 304, 1. ed. Schultz.) ὑπομερίζων καὶ διαβάλλων (ad verba oratoris διέβαλλε δὲ κἀκεῖνον διαιρούμενος τὸν λόγον) διαιρούμενος, οἱονεὶ σαφῶς λέγων καὶ ἄντικρυς κατὰ διαίρεσιν καὶ φανερῶς· ἢ ὡς Σοφοκλῆς Αἴαντι φάσκων "δατούμενος"· τὸ γὰρ αὐτὸ δύναται. Satis manifestum esse puto memoriae errorem subesse grammaticumque in mente habuisse locum Trachin. v. 791. τὸ δυσπάρευνον λέκτρον ἐνδατούμενος | σοῦ τῆς ταλαίνης. Monuit etiam Schneidewinus Coniect. crit. p. 102.

**15.** Schol. Euripidis ad Alcestin 446. οὐρείαν χέλυν] — μετὰ λύρας. καὶ παρὰ Σοφοκλεῖ ἐν Αἴαντι Λοκρῷ "καὶ πεζὰ καὶ φορμικτά." καὶ πεζαὶ δέ τινες ἑταῖραι λέγονται, αἳ χωρὶς ὀργάνου εἰς τὰ συμπόσια φοιτῶσι.

**16.** Schol. Aristophanis ad Aves 934. Σπολάς, διφθέρα ὁποιαοῦν. Σοφοκλῆς Αἴαντι Λοκρῷ
Καταστίκτου κυνὸς
σπολὰς Λίβυσσα, παρδαληφόρον δέρος.
τὸ δὲ Σοφόκλειον ἐπὶ τοῦ δέρματος εἴρηται, τοῦ κρεμαμένου πρὸς τῇ τοῦ Ἀντήνορος οἰκίᾳ. Pollux 7, 70. σπολὰς — Σοφοκλῆς δ' αὐτὴν Λίβυσσαν ὀνομάζει "Σπολὰς Λίβυσσα, παρδαληφόρον δέρος." Eustathius p. 405. e Strabone p. 608. Σοφοκλῆς ἱστορεῖ ἐν ἁλώσει Ἰλίου παρδαλέην τῆς θύρας προτεθῆναι τοῦ Ἀντήνορος, σύμβολον τοῦ ἀπόρθητον ἐαθῆναι τὴν οἰκίαν· τὸν δὲ ἅμα παισὶ μετὰ τῶν περιγενομένων Ἐνετῶν εἰς Θρᾴκην περισωθῆναι, κἀκεῖθεν διεκπεσεῖν εἰς τὴν ἐν τῷ Ἀδρίᾳ Ἐνετικήν· τὸν δὲ Αἰνείαν μετ' Ἀγχίσου τοῦ πατρὸς καὶ τοῦ παιδὸς Ἀσκανίου λαὸν ἀθροίσαντα πλεῦσαι. Quae etiam ad Ἀντηνορίδας tragoediam spectare possunt.

**17.** Antiatticista p. 97, 4. Ἑλλάς: ὁ ἀνήρ. Σ. Αἴαντι Λοκρῷ. Sic Sophocles etiam Trach. 1060.

**18.** Zenobius 6, 14. Τί σοι ὁ Ἀπόλλων κεκιθάρικεν; τὸ κεκιθάρικεν οἷον ἐμαντεύσατο, ὥς φησιν Αἰσχύλος ἐν Αἴαντι Λοκρῷ. Aeschylus calami lapsu pro Sophocle nominatus. In verbo κεκιθάρικεν consentiunt Macarius Proverb. 8, 37. et Plutarch. Prov. 1, 7., nisi quod apud hunc ἐκιθάρισεν scriptum est. Meinekius, sublato vitio antiquo, τεθρίακεν restituit, cui praeferendum quod Nauckius coniecit, τί σοι δ' Ἀπόλλων ἐντεθρίακεν, collata glossa Hesychii Ἐντεθρίωκεν.

## ΑΙΓΕΥΣ.

De argumento huius fabulae nihil compertum habemus. Neque ex Aegei Euripidis fragmentis quae supersunt coniecturam de argumento tragoediae Sophocleae capere licet. Vid. Welcker p. 394.

**19.** Strabo 9. p. 392. Τὴν δ' εἰς τέτταρα μέρη διανομὴν ἄλλων ἄλλως εἰρηκότων, ἀρκεῖ ταῦτα παρὰ Σοφοκλέους λαβεῖν. φησὶ δ' ὁ Αἰγεὺς ὅτι ὁ πατὴρ ὥρισεν ἐμοὶ μὲν ἀπελθεῖν εἰς ἀκτάς, τῆσδε γῆς πρέσβεῖα νείμας, τῷ δὲ Λύκῳ
τὸν ἀντίπλευρον κῆπον Εὐβοίας νέμων·
Νίσῳ δὲ τὴν ὅμαυλον ἐξαιρεῖ χθόνα
Σκείρωνος ἀκτῆς· τῆς δὲ γῆς τὸ πρὸς νότον
ὁ σκληρὸς οὗτος καὶ γίγαντας ἐκτρέφων
εἴληχε Πάλλας.
Versus tres praecedentes ex verbis Strabonis colligi potest hos fere fuisse
ἐμοὶ μὲν ὥρισεν πατὴρ
ἀκτὰς ἀπελθεῖν τῆσδε γῆς ⏑ – ⏑ –
πρεσβεῖα νείμας· εἶτα – ⏑ – Λύκῳ —
Syllabas omissas Meinekius Vindic. Strabon. p. 129. supplevit inserto προσεσπέρους et δευτέρῳ. Brunckius coniecerat, πατὴρ δ' ἀπελθεῖν ὥρισ' εἰς Ἀκτὴν ἐμοὶ | πρεσβεῖα νείμας τῆσδε γῆς· τῷ δ' αὖ Λύκῳ —.

**20.** Athenaeus 3. p. 122 f. Τὸ δὲ Ταύρειον ὕδωρ ὠνόμασεν Σοφοκλῆς ἐν Αἰγεῖ (codex ἐν γαι) ἀπὸ τοῦ περὶ Τροιζῆνα ποταμοῦ Ταύρου, παρ' ᾧ καὶ κρήνη τις Ὑόεσσα καλεῖται. unde corruptum Hesychii locum s. v. Ταύρειον πόμα correxerunt critici. αἷμα ταύρειον ex Helena affertur: de quo infra. Id ad hanc fabulam rettulit Brunckius.

**21.** Pollux 10, 160. Καὶ κέστρα δὲ σφύρας τινὸς εἶδος σιδηρᾶς, ὡς ἐν Αἰγεῖ Σοφοκλῆς
Κέστρᾳ σιδηρᾷ πλευρὰ καὶ κατὰ ῥάχιν
ἤλαυνε παίων.
Hesychius, Κεστρίαι· σιδηραῖ. Est glossa Κέστρᾳ σιδηρᾷ, cuius interpretatio excidit. Monuit Hemsterhusius in annot. ad Pollucem. In versu altero ἤλαυνε παίων ex coniectura Casauboni legitur pro ἠλοῆσαι πλεῖον. Recte, ut videtur, παίων correxit, sed prioris vocabuli incerta emendatio est.

**22.** Stephanus, Χώρα: — ἢ ἀπὸ τοῦ χώρα χωρίτης — Σοφοκλῆς Αἰγεῖ
Κλύω μὲν οὐκ ἔγωγε, χωρίτην δ' ὁρῶ.
Sic Meinekius. Codex Rehdig. ἐκλύωμεν οὐκ ἔγωγε χωρίτην σ' ὁρῶ.

**23.** Schol. Pindari Pyth. 2, 62. Πειρατὰς τοὺς κατὰ πέλαγος λῃστὰς λέγομεν· κυρίως δὲ τοὺς ἐν ὁδῷ κακουργοῦντας· παρ' ὃ δὴ καὶ ὁδουροὺς αὐτοὺς λέγουσιν — Σοφοκλῆς ἐν Αἰγεῖ
Πῶς δῆθ' ὁδουρὸν οἷος ἐξέβης λαθών;
οἷος ex Valckenarii coniectura legitur pro ὅμοιος. In codice Gotting. ὁδουρῶν. Hinc Nauckius ὁδουρῶν σμῆνος.

**24.** Schol. Homeri Od. 7, 106. Σοφοκλῆς ἐν Αἰγεῖ (libri ἐναργῶς vel ἐν ἄργει)
Ὥσπερ γὰρ ἐν φύλλοισιν αἰγείρου μακρᾶς,
κἂν ἄλλο μηδέν, ἀλλὰ τοὐκείνης κάρα
κινήσῃς αὔραις ἀνακουφίζει πτερόν.
V. 3. Sensus tale quid postulat, κινεῖ τις αὔρα κἀνακουφίζει πτερόν. Herwerdenus in *Exercitationibus criticis* (Hagae Com. a. 1862.) p. 23. coniecit κλίνει τις αὔρα κἀνακουφίζει πεσόν.

**25.** Hesychius, Ἀρρύθμων (codex ἀρύθμων): ἀσυμθω φώνων. Σοφοκλῆς αἰγί. Ita codex. Musurus Αἰγίσθῳ. Aut Αἰγεῖ aut Αἰθίοψι scribendum videtur.

## ΑΙΘΙΟΠΕΣ.

Ab hac fabula non diversam esse Memnonem, quae in argumento Aiacis memoratur, Heynius coniecit, probante Welckero p. 137.

**26.** Athenaeus 3. p. 122 c. (et ex eo partim Eustathius p. 752, 31.) Εὕροι τις ἂν ὑπὸ τῶν ἄλλων ποιητῶν ἢ καὶ σοφιστῶν ἓν ἢ δύο γοῦν πονηρῶς εἰρημένα, οἷα παρὰ — Σοφοκλεῖ τὸ ἐν Αἰθίοψιν εἰρημένον

Τοιαῦτά τοί σοι πρὸς χάριν τε κοὐ βίᾳ
λέγω, σὺ δ' αὐτὸς ὥσπερ οἱ σοφοὶ τὰ μὲν
δίκαι' ἐπαίνει, τοῦ δὲ κερδαίνειν ἔχου.

**27.** Photius p. 22, 15. (et omisso nomine fabulae Etym. M. p. 385, 2.) Ἐσφηκωμένον: ἐσφιγμένον. ἀπὸ τῶν σφηκῶν, οἳ κατὰ μέσον εἰσὶν ἐσφιγμένοι· ἔνθεν καὶ ὁ σφήν. Σοφοκλῆς Αἰθίοψι τοὺς ἐσφιγμένους μύρμηκας τῇ σαρκώσει

Τετράπτεροι γὰρ νῶτον ἐν δεσμώμασι
σφηκοὶ κελαινόρρινες.

κελαινόρρινες scripsi pro κελαινόρινες.

**28.** Hesychius, Ἄναρκτον: ἀνυπότακτον, οὗ οὐδεὶς ἦρξε. Σ. Αἰθίοψι.

**29.** Hesychius, Ἀνθοβοσκόν: ἀνθοτρόφον. Σ. Αἰθίοψι.

**30.** Hesychius, Ἀπιστεῖ: ἀπειθεῖ. Σ. Αἰθίοψι.

**31.** Photius p. 346, 19. Ὀρθόπτερον: Σοφοκλῆς Αἰθίοψιν. ὀρθοὺς ἔχοντα κολωνούς. τὰ γὰρ εἰς ὕψος ἀνέχοντα πτερὰ ἔλεγον. Similiter Hesychius s. v. Ὀρθόπτερος, sed omissa Sophoclis mentione.

## ΑΙΧΜΑΛΩΤΙΔΕΣ.

Incertas de argumento fabulae coniecturas proposuerunt quum alii tum Welckerus p. 171—176. Fuit autem haud dubie tragoedia, non drama satyricum, quod sine idonea ratione coniecit Brunckius. Nomen fabulae in locis grammaticorum infra afferendis Αἰχμαλωτίσι vel Αἰχμαλώτισι vel Αἰχμαλώτησι vel Αἰχμαλώτοις scriptum. Vera una scriptura est Αἰχμαλωτίσι, non Αἰχμαλώτισι, de quo dixi in annotatione ad Ai. 71.

**32.** Harpocratio, Ἀπομάττων. Σ. ἐν Αἰχμαλωτίσι

Στρατοῦ καθαρτὴς κἀπομαγμάτων ἴδρις.

καὶ πάλιν

Δεινότατος ἀπομάκτης τε μεγάλων συμφορῶν.

Hesychius, Ἀπομάκτης: περικαθαρτής. Alterum versum comici esse poetae videri monet Nauckius.

**33.** Pollux 10, 190. Αὐτὸ δὲ τὸ πήλινον, ὃ περιείληφε τὰ πλασθέντα κήρινα, ἃ κατὰ τὴν τοῦ πυρὸς προσφορὰν τήκεται, καὶ πολλὰ ἐκείνῳ τρυπήματα ἐναπολείπεται, λίγδος (codd. μίλιγδος) καλεῖται· ὅθεν καὶ Σοφοκλῆς ἔφη ἐν Αἰχμαλωτίσιν

Ἀσπὶς μὲν ἡμῖν λίγδος ὣς πυκνομματεῖ.

Legebatur ἡμίλιγδος ὣς πυκνὸν πατεῖ, quorum vitiorum prius correxit Leopardus, alterum Bentleius in Epistola ad Hemsterhusium. Ad hunc locum spectat Hesychius in γλίδου χοάναι et λιγδοῦ χοάνη.

**34.** Schol. Aristoph. ad Ranas 233. Ὅτι οἱ ἀρχαῖοι καλάμῳ ἀντὶ κερατίου ἐχρῶντο. Σ. Αἰχμαλωτίσιν

Ὑφηρέθη σου κάλαμος ὡσπερεὶ λύρας.

Nomen fabulae om. Pollux 4, 62. Scholiastae codex Venetus σοι.

**35.** Suidas, Ὑπὸ παντὶ λίθῳ — Σ. Αἰχμαλωτίσι

Ἐν παντὶ γάρ τοι σκορπίος φρουρεῖ λίθῳ.

"Laudat hunc versum scholiasta quoque Nicandri ad Theriac. 19. Notissimum proverbium, ad quod alludit comicus Thesmoph. 528." Brunck.

**36.** Stephanus, Βωμοὶ — τοπικὸν βώμιος, καὶ κατὰ παραγωγὴν βωμιαῖος. Σ. Αἰχμαλωτίσι

Καὶ βωμιαῖον ἐσχάρας ⏑ _ λαβών.

ἐσχάρας] ἐς χέρας Vaterus. λαβὼν λίθον Meinekius.

**37.** Stephanus, Εὐρώπη — λέγεται καὶ Εὐρώπεια, καὶ διὰ τοῦ ι Εὐρωπία παρὰ Σ. ἐν Αἰχμαλωτίσι

Καὶ νησιώτας καὶ μακρὰς Εὐρωπίας.

μακρᾶς Meinekius. μακρὰν Brunckius.

**38.** Stephanus, Χρύση, βαρυτόνως ἡ πόλις τοῦ Ἀπόλλωνος ἐγγὺς Λήμνου. Σ. — ἐν Αἰχμαλωτίσιν

Ταύτην ἐγὼ Κίλλαν τε καὶ Χρύσην ⏑ _.

νέμω supplet Meinekius, ut haec Apollinis verba sint.

**39.** Photius p. 643, 7. Etymol. M. p. 789, 43. Φαῦλον: — τεθείη δ' ἂν καὶ ἐπὶ τοῦ μεγάλου. Σ. Α.

Εἰ μικρὸς ὢν τὰ φαῦλα νικήσας ἔχω.

Male intellexisse videntur verba poetae, licet φαῦλον etiam ab Hesychio per ἁδρόν et μέγα explicetur. Neque enim φαῦλα hoc sensu dici potuit. De quo recte iudicavit Ellendtius in Lexico vol. 2. p. 896.

**40.** Herodianus περὶ μονήρους λέξεως p. 9, 9. Παρὰ Σοφοκλεῖ ἐν Αἰχμαλωτίσιν εἴρηται Σαρπηδὼν ἀκτή. Hesychius, Σαρπηδὼν ἀκτή: ἀντὶ τοῦ Σαρπηδονία. τόπος δὲ οὗτος Θρᾴκης ἀεὶ κλύδωνας ἔχων καὶ κυματιζόμενος, ἱερὸν (corr. ἱερὸς) Ποσειδῶνος. Photius p. 502, 3. Σαρπηδὼν ἀκτή: ἄκρα τῆς Θρᾴκης.

**41.** Hesychius, Αἰχμόδετος: αἰχμάλωτος. Σοφοκλῆς Αἰχμαλωτίσιν. In αἰχμόλετος corruptum in Etym. M. p. 41, 3. ex quo Meinekius (in Fleckeiseni Annal. a. 1863. vol. 87. p. 378.) αἰχμέλετος fecit.

**42.** Hesychius, Ἀλιτρία Σοφοκλῆς Αἰχμαλωτίσι λέγει. Hoc restitui Oed. Col. 371. κἀξ ἀλιτρίας φρενός, ubi codex κἀξ ἀλιτηροῦ φρενός.

**43.** Hesychius, Ἀμφίλινα κρούπαλα: Σοφοκλῆς Αἰχμαλωτίσι "Πατὴρ δὲ χρυσδὺς ἀμφίλινα κρούπαλα." (Sic codex vitiose.) Idem, Κρούπαλα (codex κρούπανα·) ξύλινα ὑποδήματα. In vocabulo corrupto χρυσδύς nomen Χρύσης vel Χρυσηΐδος latere coniecit Bergkius in Prooemio Lectionum Marburgensium a. 1843/4 p. IV.

**44.** Hesychius, Ἀνηκές: ἀνῆκον. Σ. Α. Sic Musurus. De accentu ἀνηκές dixit Lehrs. Quaest. Epic. p. X. Codex ἀηκές et ἀῆκον. ἀνήκεστον pro ἀῆκον Pierson. ad Moer. p. 78.

**45.** Hesychius, Ἀπειθής: ἀνυπότακτος, ἄπιστος (ἄπειστος Nauckius). Σ. Α.

**46.** Grammaticus Bekkeri 1. p. 447, 7. Ἀρτάνη κυρίως μὲν ἡ (διὰ addit Ellendt.) καλωδίων ἀγχόνη, Σοφοκλῆς δὲ ἐν Αἰχμαλωτίσιν ἐπὶ τοῦ δεσμοῦ.

**47.** Hesychius, Ἄσεπτον: ἀσεβές. Σ. Α. Ἀσέπτων est in Oed. T. 890.

**48.** Hesychius, Ἄχνην Λυδῆς κερκίδος. Σοφοκλῆς Αἰχμαλώτοις. ἄχνην τὸ ἄκρον κατὰ τὴν ἐργασίαν ἄκρως ἔχον. ἢ ἀπὸ (ἐπὶ codex) τῆς θαλασσίας ἄχνης· ἔστι γὰρ λαμπρὰ καὶ διαφανής. γράφεται δὲ καὶ ἴχνη. Quod non minus mirum quam ἄχνη. Hesychii verba repetita sunt in Proverb. Append. 1, 44. usque ad ἀπὸ τῆς θαλαττίας ἄχνης. Verba γράφεται δὲ καὶ ἴχνη ad nomen urbis Macedonicae refert Schmidtius satis probabiliter, licet id non Ἄχνη, vel Ἴχνη, sed Ἴχναι vel Ἄχναι fuerit, ut docet Steph. Byz. s. v. Ἴχναι. Et sic Ἴχναι apud Herodotum 7, 133. ubi ex uno tantum codice annotatum ἴχνη.

**49.** Suidas, Βαιαί: μικραί. καὶ βαιὸς ἰδίως ἀντὶ τοῦ εἷς. Σοφοκλῆς — ἐν Αἰχμαλωτίσι

Ἔσπεισα βαιᾶς κύλικος ὥστε δεύτερα.

Excerpta haec sunt ex scholio ad Soph. Oed. T. 750. de quo dixi in Annot. ad schol. vol. 2. p. 42. Usum adiectivi βαιός pro εἷς ex Αἰχμαλωτίσι etiam Hesychius annotaverat, cuius verba cum alia glossa sub lemmate βαιών sunt confusa. Verba ὥστε δεύτερα intelligi non possunt quum sequentia verba non sint addita. εἶτα δευτέρας Herwerdenus p. 13.

**50.** Hesychius, Ἐμπλεύρου: ἐνάλλου εἰς τὰς πλευράς. Σ. Α.

**51.** Etymolog. M. p. 344, 47. Ἐνόπαις: τοῖς ἐνωτίοις. ἀπὸ τοῦ ἐν ταῖς τῶν ὤτων ὀπαῖς κεῖσθαι. Σοφοκλῆς. Vulgo Ἐνοπαῖς. Nomen fabulae et prosodia vocabuli cognoscitur ex glossa Hesychii ἐνώταις: ἐνωτίοις. τῇ προσῳδίᾳ ὡς φιλόπαις. Σ. Αἰχμαλώτισιν.

**52.** Hesychius, Ἐνστερνομαντίαις: ἐγγαστριμύθοις. Σ. Α. corrupte Pollux 2, 162. schol. Platonis p. 372. Photius Quaest. Amphiloch. 81. p. 148. et Suidas (s. v. ἐγγαστρίμυθος) στερνόμαντιν ex Sophocle memorant. Sophocles dativo usus esse videtur στερνομάντεσιν, si quid Hesychii interpretationi ἐγγαστριμύθοις tribuendum. Quocum praepositio ἐν quae praecesserat coniuncta est, aut a grammatico addita, quem usitatum ἐγγαστρίμυθος deceperat.

**53.** Hesychius, Ἐπιμάσσεται: ἐπαύξεται ἐπὶ πλέον. ἀπὸ τοῦ μάσσονος, ὅ ἐστι μακροτέρου. οἱ δὲ ἐφάψεται, ψηλαφήσει. (Haec recta interpretatio est.) ἢ οἷον οὐ λιμώσσει, ἀλλὰ καὶ προσεπιμάσσεται πλείω. Σοφοκλῆς Αἰχμαλωτίσιν.

**54.** Hesychius, Ἴαννα: ἐν μὲν Αἰχμαλωτίσι Σοφοκλέους ἀπέδοσαν Ἑλληνική, ἐπεὶ Ἴαννας τοὺς Ἕλληνας λέγουσιν. ἐν δὲ Τριπτολέμῳ ἐπὶ γυναικός, ὡς καὶ ἐν Ποιμέσι. τινὲς δὲ τὴν Ἑλένην. ἐπιεικῶς δὲ οἱ βάρβαροι τοὺς Ἕλληνας Ἴωνας λέγουσι. καὶ ἐν Τρωΐλῳ βάρβαρον θρήνημα τὸ ἰαί. ἢ ὄνομα γυναικός. Ἴαννας in Ἰᾶνας mutavi in Thesauro. Sed Hesychius Ἴαννας scripsisse videtur, ut Ἴαννα in lemmate, ubi Ἰάν vel Ἰᾶνα literarum ordini repugnaret, qui tamen non ubique observatur in glossis Hesychii.

**55.** Hesychius, Ἱερόλας: ἴσισυς (ἱερεύς Heringa). Σ. Α. ὡς καὶ τὸν γέροντα γεροιδὰν ἢ γεροῦντος λέγει. Fortasse ὡς καὶ τὸν γέροντα γηρόλαν λέγει. Ἱερόλας si ex trimetro est, ἱρόλας scribendum. ἱεροίτας et γεροίταν coniecit Lobeck. Pathol. Proleg. p. 387.

**56.** Hesychius, Ἰκτορεύσομεν: ἱκετεύσομεν. Σ. Α. Codex ἰκτερεύσομεν. Correxit Is. Vossius, collata altera gl. Hesychii Ἰκετορεύσομεν· ἱκετεύσομεν.

**57.** Schol. Homeri Il. 15, 302. Τὸ Μύνης ὁ μὲν ποιητὴς περιττοσυλλάβως ἔκλινεν, ὁ δὲ Σοφοκλῆς ἰσοσυλλάβως "Μύνου τ' Ἐπιστρόφου τε (legitur γε, quod correxit Gaisfordus)." Spectat ad hunc locum Eustathius p. 1017, 10. Nomen fabulae addidit Choeroboscus in Theodos. p. 140, 3. ed. Gaisf., ubi corrupte Σοφοκλῆς Μύνου ἔκλινεν Αἰχμαλώτησιν εἰπὼν "Μύνου τί ἐπιστρέφου γε," ὁ δὲ ποιητὴς ἀναλόγως Μύνητος.

## ΑΚΡΙΣΙΟΣ.

Argumentum huius fabulae fuisse Danaen in exilium actam cum Perseo non improbabilis coniectura Iacobsii est in Supplementis ad Sulzerum vol. 4. p. 122. quam secutus Welckerus (p. 348.) hanc tragoediam non diversam fuisse coniecit ab Danae. In cognato argumento versata est, sed non eadem fuit, quod Brunckius opinatus erat, Λαρισαῖοι, de quo Welckerus p. 352. coniecturam fieri posse monet ex narratione Apollodori 2, 4, 4. quibuscum comparanda copiosior narratio Pherecydis apud schol. Apollonii Rh. 4. 1091. et Pausanias 2, 16, 12. Hinc lucem accipiunt fragm. 68 et 69.

**58.** Stobaeus 8, 2. Σ. Ἀκρισίῳ

Βοᾷ τις; ὦ ἀκούετ'· ἢ μάτην ὑλακτῶ;
ἅπαντα γάρ τοι τῷ φοβουμένῳ ψοφεῖ.

o
V. 1. Βοᾷ] χ. (i. e. χορός: conf. ad fragm. 964.) βοᾷ cod. Vind. ὑλῶ Hermannus Elem. d. m. p. 50. Fort. λάκω. 2. ἅπαντα] πάντα libri optimi.

**59.** Stobaeus 12, 2. Σ. Ἀκρισίῳ

Ἀλλ' οὐδὲν ἕρπει ψεῦδος ἐς γῆρας χρόνου.

Nomen fabulae ex cod. Vindob. sumtum est. In cod. Paris. B. est Ἀλευάδαις (i. e. Ἀλεάδαις). Deest fragmentum in cod. Paris. A. ἐς scripsi pro εἰς. γῆρας] μῆκος Nauckius.

**60.** Stobaeus 62, 30. Σ. Ἀκρισίῳ

Δοῦλον γὰρ ἐν δεσμοῖσι δραπέτης ἀνὴρ
κῶλον ποδισθεὶς πᾶν πρὸς ἡδονὴν λέγει.

V. 1. Δοῦλον pro δῆλον Grotius.

**61. 62.** Stobaeus 79, 24. et 74, 28. Σ. Ἀκρισίῳ

Ῥῆσις βραχεῖα τοῖς φρονοῦσι σώφρονα
πρὸς τοὺς τεκόντας καὶ φυτεύσαντας πρέπει
ἄλλως τε καὶ κόρῃ τε κἀργείᾳ γένος,
αἷς κόσμος ἡ σιγή τε καὶ τὰ παῦρ' ἔπη.

Apud Stobaeum haec in duo fragmenta, quorum utrique Σοφοκλῆς Ἀκρισίῳ praescriptum, sunt disiuncta, primo loco (74, 28.) positis v. 3. et 4., altero (79, 24.) v. 1. et 2. Transposuit Meinekius et coniunxit restitutis dativis κόρῃ τε κἀργείᾳ, pro nominativis κόρη τε κἀργεία.

**63.** Stobaeus 108, 56. Σ. Ἀκρισίῳ

Θάρσει, γύναι· τὰ πολλὰ τῶν δεινῶν, ὄναρ
πνεύσαντα νυκτὸς, ἡμέρας μαλάσσεται.

**64.** Stobaeus 119, 7. Τοῦ αὐτοῦ (i. e. Σοφοκλέους). Ἀκρισίῳ

Τοῦ ζῆν γὰρ οὐδεὶς ὡς ὁ γηράσκων ἐρᾷ.

Idem versus, sed cum Cratetis comici fragmento coniunctus legitur ib. 115, 9. Et iterum 116, 29. Σοφοκλῆς "Ζῆν γὰρ οὐδεὶς ὡς ὁ γηράσκων ἐρᾷ."

**65.** Stobaeus 119, 12. Σ. Ἀκρισίῳ

Τὸ ζῆν γάρ, ὦ παῖ, παντὸς ἥδιον γέρας.
θανεῖν γὰρ οὐκ ἔξεστι τοῖς αὐτοῖσι δίς.

ἥδιον Meinekius pro ἥδιστον.

[Fragmenta 66—70. vide post 80.]

**71.** Hesychius, Ἄδοξα: παράδοξα, καὶ ἃ οὐκ ἄν τις ἐδόξασεν. Σ. Α.

**72.** Hesychius, Ἀκτίτης λίθος: ἀπὸ τῆς ἐν Πελοποννήσῳ ἀκτῆς. Σ. Α. Ἀκτίτης λίθος memoratur etiam ab Harpocr. s. v. Ἀκτή.

**73.** Etym. M. p. 69, 41. Ἀλοιμός· τὰς χρίσεις καὶ τὰς ἐπαλείψεις ἀλοιμοὺς ἔλεγον. Σοφοκλῆς "Μαριεὺς ἀλοιμός." ἡ ἐπάνω τῆς τοῦ θαλάμου γανώσεως ἐνιεῖσα (ἐνεθεῖσα Sturzius) ἐπάλειψις, καθαπερανεὶ πετάλωσις οὖσα ἐν αὐτῷ. Μαριεὺς dictus ab urbe Cypri Mario, quae postero tempore appellata fuit Arsinoë. Nomen fabulae servavit Hesychius, Ἀλοιμός (codex ἄλοιμα): χρῖσμα τοίχων. (Sic etiam in Bekk. Anecd. p. 385, 9.) Σ. Α.

**74.** Hesychius, Ἀνταίαν: ἔκτοπον, χαλεπήν. Σοφοκλῆς Ἀκρισίῳ. Codex τισίω.

**75.** Hesychius, Ἀπόδρομον: ἐλαττούμενον τοῖς δρόμοις, ἢ παλίνδρομον, ἢ μετ' ἐπάνοδον. Σ. Α. Codex ἀκρησίῳ, omisso Σοφοκλῆς.

**76.** Hesychius, Ἀποφανθείς: ἐν τῷ φανερῷ καταστάς. Σ. Α. Conf. ad 846.

**77.** Hesychius, Ἀρώματα: ἀροτριάματα. καὶ ἐπὶ τοῦ ἀροῦν τὰ ἄλφιτα οὕτω λέγεται. Σ. Α.

**78.** Hesychius, Ἄστομος: ὁ μὴ δυνάμενος λέγειν. Σ. Α.

**79.** Hesychius, Βίδην: εἶδος κρούματος. Σοφοκλῆς Ἀκρισίῳ "Ὡς ἐπιψάλλειν βίδην τε καὶ ξυναυλίαν."-
λλ
ἄλλοι βίθυν. (Codex ὡς ἐπιψα βίδηνται). Idem, Βυδοί: οἱ μουσικοί. ἢ κροῦμά τι. Σοφοκλῆς Κρησίν.

ubi dubitatur utrum Ἀκρισίῳ an Κρίσει corrigendum sit. Ἀκρισίῳ in ἄκρισιν corruptum in Hesychii codice s. v. ἄδοξα, in ἄκρισι s. v. ἀρώματα, in ἀκρησίῳ s. v. ἀπόδρομον.

## ΛΑΡΙΣΑΙΟΙ.

De argumento huius fabulae dictum supra ad Ἀκρισίου fragmenta.

**80.** Hesychius, Ἰλλάδας γονάς: ἀγελαίας, καὶ τὰς συστροφάς. ("Delenda verba ex versu sequenti, ut videtur, illata καὶ τὰς συστροφάς. Ἰλλάδες γοναὶ autem de bubus aratoribus capiendum puto, ut est de aratris Antig. 341. ἰλλομένων ἀρότρων." L. Dindorf. in Thesauro vol. 2. p. 711.) Εὐριπίδης Φρίξῳ καὶ Σοφοκλῆς Ἀκρισίῳ.

[Fragmenta 81—97. vide post 112.]

**66.** Stobaeus 125, 11. Σοφοκλέους Λαρισσαίων

Χρὴ δὲ τῷ τεθνηκότι
τὸν ζῶντ' ἐπαρκεῖν αὐτὸν ὡς θανούμενον.

Χρὴ δὲ Gesnerus. Legebatur μηδέ.

**67.** Hesychius s. v. ὡς, Σοφοκλῆς Λαρισσαίοις ἀντὶ τοῦ λίαν "Ὡς καὶ τύραννι* πᾶς ἐγγίζεται φυγεῖν." Brunckius

Ὡς καὶ τύραννον πᾶς ἐφίεται φυγεῖν.

ἐπεύξεται Nauckius.

**68.** Athenaeus 10. p. 466b. Ὁ δὲ παρὰ Σοφοκλεῖ ἐν τοῖς Λαρισσαίοις Ἀκρίσιος καὶ αὐτὸς ἐκπώματα ὅσα πλεῖστα εἶχεν, ὥς φησιν ὁ τραγικὸς

Πολὺν δ' ἀγῶνα πάγξενον κηρύσσεται,
χαλκηλάτους λέβητας ἐκτιθεὶς φέρειν
καὶ κοῖλα χρυσόκολλα καὶ πανάργυρα
ἐκπώματ', εἰς ἀριθμὸν ἑξήκοντα δίς.

V. 1. πάγξενον Nauckius. Codex πάνξενα. Casaubonus πανξένοις.

**69.** Stephanus, Δώτιον, — ὁ πολίτης Δωτιεύς. Σοφοκλῆς Λαρισαίοις

Καί μοι τρίτον ῥίπτοντι Δωτιεὺς ἀνὴρ
ἀγχοῦ προσήψεν Ἔλατος ἐν δισκήματι.

**70.** Stephanus, Κράνεια: χωρίον Ἀμβρακιωτῶν. τὸ ἐθνικὸν Κρανειάτης, ὡς Μαρειάτης, ὥς φησι Σοφοκλῆς Λαρισαίοις.

## ΑΛΕΑΔΑΙ.

Nomen fabulae in codicibus aliquoties in Ἀλευάδαι corruptum vel Ἀλωάδαι, quorum alterum non debebat probari ab Valckenario in Diatr. Eurip. p. 15. cuius opinionem refutavit Fr. Vaterus in commentatione Germanice scripta, quae Berolini prodiit a. 1835. De argumento fabulae dixit idem p. 11 seqq. et Welckerus p. 408 seqq. De eo insignis est locus Alcidamantis rhetoris in Ulixe p. 185, 23. ed. H. Steph.

**98.** Stobaeus 4, 37. Σ. Ἀλεάδαις

Ἐνταῦθα μέντοι πάντα τἀνθρώπων νοσεῖ,
κακοῖς ὅταν θέλωσιν ἰᾶσθαι κακά.

Nomen fabulae Ἀλεάδαις servavit codex unus apud Schowium.

**99.** Stobaeus 9, 4.

Τοῖς γὰρ δικαίοις ἀντέχειν οὐ ῥᾴδιον.

Σοφοκλέους] Εὐριπίδου cod. Paris. A. Nomen fabulae in libris ἀλεάδαι, ἀλαιάδαι, ἀλωάδαι scriptum, similiterque in reliquis quae ex hac fabula Stobaeus apposuit fragmentis variatur; de quo satis erit in universum monuisse, quum vera nominis forma extra dubitationem posita sit.

**100.** Stobaeus 12, 3.

Κακὸν τὸ κεύθειν κοὐ πρὸς ἀνδρὸς εὐγενοῦς.

κοὐ] Alii libri καί.

**101.** Stobaeus 13, 6.

Καὶ γὰρ δικαία γλῶσσ' ἔχει κράτος μέγα.

**102.** Stobaeus 33, 3.

Ὦ παῖ, σιώπα· πόλλ' ἔχει σιγὴ καλά.

Sine auctoris nomine attulit Plutarchus Moral. p. 502e. Menandro tribuit Apostolius 21, 16. Menandri est qui apud Stobaeum praecedit versus.

**103.** Stobaeus 36, 11.

Τί ταῦτα πολλῶν ῥημάτων ἔτ' ἔστι σοι;
τὰ γὰρ περισσὰ πανταχοῦ λυπήρ' ἔπη.

**104.** Stobaeus 41, 4.

Μὴ πάντ' ἐρεύνα· πολλὰ καὶ λαθεῖν καλόν.

Ita Blomfieldus. Vulgo λαλεῖν κακόν.

**105.** Stobaeus 43, 6.

Κοὐκ οἶδ' ὅ τι χρὴ πρὸς ταῦτα λέγειν,
ὅταν οἵ τ' ἀγαθοὶ πρὸς τῶν ἀγενῶν
κατανικῶνται,
ποία πόλις ἂν τάδ' ἐνέγκοι;

**106.** Stobaeus 54, 21.

Δοκῶ μέν, οὐδείς· ἀλλ' ὅρα μὴ κρεῖσσον ᾖ
καὶ δυσσεβοῦντα τῶν ἐναντίων κρατεῖν
ἢ δοῦλον αὐτὸν ὄντα τῶν πέλας κλύειν.

V. 3. δοῦλον αὐτὸν ὄντα] Ineptum supplementum lacunae pro τοὺς θεοὺς σέβοντα, quod restituit Cobetus Mnemos. vol. 9. p. 90.

**107.** Stobaeus 76, 9.

Παῦσαι. καταρκεῖ τοῦδε κεκλῆσθαι πατρός,
εἴπερ πέφυκά γ'· εἰ δὲ μή, μείων βλάβη.
τό τοι νομισθὲν τῆς ἀληθείας κρατεῖ.

**108.** Stobaeus 77, 9.

Ὁ δὴ νόθος τοῖς γνησίοις ἴσον σθένει.
ἅπαν τὸ χρηστὸν γνησίαν ἔχει φύσιν.

V. 1. δὴ] δ' εἰ codices. τοῖς] τις τοῖς codd. A.B. σθένει] σθένοι iidem. 2. γνησίαν] τὴν ἴσην apud Clem. Alex. Strom. 6. p. 741. Sunt autem hi versus inter duas personas distribuendi, ut monuit Nauckius.

**109.** Stobaeus 91, 27. et (v. 6—10. omisso poetae fabulaeque nomine) Plutarchus Moral. p. 21.

Τὰ χρήματ' ἀνθρώποισιν εὑρίσκει φίλους,
αὖθις δὲ τιμάς, εἶτα τῆς ὑπερτάτης
τυραννίδος θακοῦσιν ἡδίστην ἕδραν.
ἔπειτα δ' οὐδεὶς ἐχθρὸς οὔτε φύεται
πρὸς χρήμαθ' οἵ τε φύντες ἀρνοῦνται στυγεῖν.
δεινὸς γὰρ ἕρπειν πλοῦτος ἔς τε τἄβατα
καὶ πρὸς βέβηλα, χὡπόθεν πένης ἀνὴρ
μηδ' ἐντυχὼν δύναιτ' ἂν ὧν ἐρᾷ τυχεῖν.
καὶ γὰρ δυσειδὲς σῶμα καὶ δυσώνυμον
γλώσσῃ σοφὸν τίθησιν εὔμορφόν τ' ἰδεῖν.
μόνῳ δὲ χαίρειν καὶ νοσεῖν ἐξουσία
πάρεστιν αὐτῷ κἀπικρύψασθαι κακά.

Ad hunc locum fortasse spectant Dionis Chrys. verba ab Geelio ad Dionis Serm. Olymp. p. 187. memorata vol. 1. p. 256. ὃν οὐδείς, ἐμοὶ δοκεῖν, φαίη ἄν ποτε φιλονεικοῦντα τούτοις τε ἀντειρηκέναι καὶ τοῖς ὑπὸ Σοφοκλέους εἰς τὸν πλοῦτον εἰρημένοις· ἐκείνοις μὲν ἐπ' ὀλίγον, τοῖς δὲ τοῦ Σοφοκλέους ἐπὶ πλέον. Apud Stobaeum praescriptum Σοφοκλέους Ἀλεάδαι. Versum 1. idem affert 94, 8. et qui Euripidi tribuit Plutarchus Mor. p. 497b, confusum cum Eurip. Phoen. 439.

V. 3. θακοῦσιν Salmasius. Libri τ' ἄγουσιν vel τ' ἄκουσιν. ἡδίστην Stobaei codex Paris. B.: ceteri αἰσχίστην, quod in ἐχθίστην mutari volebat Gaisfordus. 5. τε φύντες] τ' ἔχοντες Meinekius. 6. δεινὸς Plut. ξένος vel ξενὸς Stobaei codices. ἔς τε] πρός τε Plut. τἄβατα] τὰ βατὰ Stobaei codices. 7. βέβηλα] Legebatur τὰ βατά. Correxit Vaterus p. 23. 8. μηδ'] οὐδ' Plut. 10. γλώσσῃ σοφὸν]

Sensus postulat γῆρας νέον, quod proposuit Meinekius. γῆρας δυσώνυμον etiam Euripides dixit. 11. καὶ νοσεῖν ἐξουσία] Haec absurdum in modum corrupta. Nec verum quod Ellendtius coniecit κοὐ νοσεῖν ἐξουσία. Meinekius κἀν νόσοις.

**110.** Aelianus N. A. 7, 39. Ὅσοι λέγουσι θῆλυν ἔλαφον κέρατα οὐ φύειν, οὐκ αἰδοῦνται τοὺς τοῦ ἐναντίου μάρτυρας, Σοφοκλέα μὲν εἰπόντα

Νομάς τε τις κεροῦσσ' ἀπ' ὀρθίων πάγων
καθεῖρπεν ἔλαφος.

καὶ πάλιν

Ἄρασα μύξας — ⏑ καὶ κερασφόρους
στόρθυγγας εἷρφ' ἔκηλος.

καὶ ταῦτα μὲν ὁ τοῦ Σοφίλλου ἐν τοῖς Ἀλεάδαις Pollux 5, 76. καὶ Ἀνακρέων μὲν σφάλλεται κερόεσσαν ἔλαφον προσειπών, καὶ Σοφοκλῆς κεροῦσσαν τὴν Τηλέφου τροφόν. Verba νομὰς δέ τις κεροῦσσ' afferuntur in Etym. Gud. p. 317, 12. et Zonarae Lex. p. 1186., in νόμος δέ τι κεροῦσα corrupta omissoque poetae nomine.

V. 1. ὀρθίων πάγων] ὀρθόποδα πάγον dixit Antig. 985. 3. μύξας] Pollux 2, 72. παρὰ δὲ Σοφοκλεῖ καὶ μύξαι οἱ μυκτῆρες κέκληνται.

**111.** Hesychius: Ἐφυμνεῖς: ἐπᾴδεις. Σ. Ἀ.

**112.** Φρονεῖν: vide fragm. 121.

## ΑΛΕΞΑΝΔΡΟΣ.

Argumentum erat Paris agnitus et receptus a Priamo patre, postquam in ludis omnium certaminum victor evasisset. Vide Hyginum Fab. 91. Idem argumentum in tragoedia cognomine tractavit Euripides, cuius fragmenta multo plura quam Sophocleae supersunt.

**81.** Stephanus, Ἄστυ — ἀπὸ τοῦ ἀστὸς τὸ ἀστίτης. Σοφοκλῆς Ἀλεξάνδρῳ

Οὐ γάρ τι θεσμὰ τοῖσιν ἀστίταις πρέπει.

καὶ

Βοτῆρα νικᾶν ἄνδρας ἀστίτας. τί γάρ;

**82.** Stephanus, Ἔφεσος. — τὸ ἐθνικὸν Ἐφέσιος· εὕρηται καὶ Ἐφέσεια διὰ διφθόγγου. οὕτω γὰρ ἐν Ἀλεξάνδρῳ Σοφοκλῆς. Hanc formam, ab Sophocle metri caussa positam, passim praebent tituli: v. Boeckh. Corp. Inscr. 2228, 4. et quae dixit Boeckh. vol. 2. p. 778. et 1001. Monuit Nauckius.

**83.** Scholiasta Homeri Iliad. 5, 158. et Eustathius p. 533, 40. Τὸ παρὰ Σοφοκλεῖ ἐν Ἀλεξάνδρῳ "Στείχων δ' (δ' om. Eustath.) ἀγρώστην ὄχλον" παρώνυμόν ἐστι.

**84.** Hesychius, Δύσαυλος: δυσαύλιστος. Σ. Ἀλεξάνδρῳ.

**85.** Hesychius, Θηλάστρια: τροφός. ἔστι δὲ Ἰακόν. Σ. Ἀλεξάνδρῳ.

**86.** Antiatticista Bekkeri p. 108, 31. Μαιεύτριαν: ἀντὶ τοῦ μαῖαν. Σ. Ἀλεξάνδρῳ.

**87.** Antiatticista p. 107, 25. Μνείαν: τὴν μνήμην. Σ. Ἀλεξάνδρῳ. Conf. Photium p. 272, 17. et Suidam. Sic Sophocles etiam Electr. 392. βίου δὲ τοῦ παρόντος οὐ μνείαν ἔχεις;

## ΑΛΗΤΗΣ.

Ἀλήτης, cuius nomen in codicibus Stobaei, ex quo uno hanc fabulam cognitam habemus, identidem in Ἀλείτης corruptum est, non dubium videtur quin Aegisthi et Clytaemnestrae filius intelligendus sit, qui quum Erigonam sororem habuerit, Welckerus p. 215. Ἀλήτην tragoediam non diversam ab Ἠριγόνῃ fuisse argumentumque fabulae ex Hygini narratione (Fab. 122.) coniici posse censuit, cuius satis erit extrema apposuisse verba, "*Cognitione facta Mycenas venerunt* (Orestes et Electra) *et Aleten Aegisthi filium Orestes interfecit et Erigonam ex Clytaemnestra et Aegistho natam voluit interficere, sed Diana eam rapuit et in terram Atticam sacerdotem fecit.*"

**88.** Stobaeus 3, 8.

Ψυχὴ γὰρ εὔνους καὶ φρονοῦσα τοὔνδικον
κρείσσων σοφιστοῦ παντός ἐστιν εὑρέτις.

**89.** Stobaeus 35, 4.

Βραχεῖ λόγῳ καὶ πολλὰ πρόσκειται σοφά.

**90.** Stobaeus 36, 16.

Ἀνὴρ γὰρ ὅστις ἥδεται λέγων ἀεί,
λέληθεν αὑτὸν τοῖς ξυνοῦσιν ὢν βαρύς.

V. 1. λέγων] λέγειν cod. Vindob.

**91.** Stobaeus 88, 11.

Ἀλλ' εἴπερ εἶ γενναῖος, ὡς αὐτὸς λέγεις,
σήμαιν' ὅτου τ' εἶ χὤπόθεν. τὸ γὰρ καλῶς
πεφυκὸς οὐδεὶς ἂν μιάνειεν λόγος.

V. 2. χὤπόθεν Paris. B: ceteri ὁπόθεν vel καὶ πόθεν.

**92.** Stobaeus 89, 8.

Ἀλλ' ἀξίως ἔλεξας, οὐδὲ μὴν πικρῶς.
γένος γὰρ εἰς ἔλεγχον ἐξιὸν καλὸν
εὔκλειαν ἂν κτήσαιτο μᾶλλον ἢ ψόγον.

V. 1. οὐδὲ μὴν Brunckius. οὐδὲ μὲν libri. οὐδ' ἐμοὶ Porsonus.

**93.** Stobaeus 105, 42.

Τίς δή ποτ' ὄλβον ἢ μέγαν θείη βροτῶν,
ἢ σμικρὸν, ἢ τὸν μηδαμοῦ τιμώμενον;
οὐ γάρ ποτ' αὐτῶν οὐδὲν ἐν ταὐτῷ μένει.

**94.** Stobaeus 106, 11.

Δεινόν γε τοὺς μὲν δυσσεβεῖς κακῶν τ' ἄπο
βλαστόντας, εἶτα τούσδε μὲν πράσσειν καλῶς,
τοὺς δ' ὄντας ἐσθλοὺς ἔκ τε γενναίων ἅμα
γεγῶτας εἶτα δυστυχεῖς πεφυκέναι.
οὐ χρῆν τάδ' οὕτω δαίμονας θνητῶν πέρι
πράσσειν· ἐχρῆν γὰρ τοὺς μὲν εὐσεβεῖς βροτῶν
ἔχειν τι κέρδος ἐμφανὲς θεῶν πάρα,
τοὺς δ' ὄντας ἀδίκους τοῖσδε τὴν ἐναντίαν
δίκην κακῶν τιμωρὸν ἐμφανῆ τίνειν,
κοὐδεὶς ἂν οὕτως ηὐτύχει κακὸς γεγώς.

V. 1. γε] μὲν Par. A., δὲ B, om. Vind. τ' addidit Bergkius. 6. πράσσειν] τάσσειν Herwerdenus p. 14. 8. τοῖσδε] τοῖς δὲ Par. A. τοὺς δὲ Scor. τούσδε Vindob. ἐναντίαν] ἐπαξίαν Herwerdenus. 11. ηὐτύχει cum augmento scripsi. Libri εὐτυχεῖ, εὐτυχῇ, εὐτυχὴ εἰ.

## ΑΛΚΜΕΩΝ.

Nomen in locis grammaticorum per diphthongum scribitur Ἀλκμαίωνι, contra usum veterum, quos Ἀλκμέων dixisse hodie satis constat. Coniecturas de argumento huius fabulae protulit Welckerus p. 278—283. adhibitis Attii Alphesiboeae s. Alcmeonis fragmentis. Euripides duas de hoc argumento tragoedias scripserat, alteram Ἀλκμέωνα τὸν διὰ Ψωφῖδος, alteram Ἀλκμέωνα τὸν διὰ Κορίνθου.

**95.** Porphyrius Quaest. Homer. I. (et omisso nomine fabulae Eusthathius p. 1448, 6.) Τὸ δὲ ἐπήβολος σημαίνει τὸν ἐπιτυχῆ καὶ ἐγκρατῆ ἀπὸ τῆς βολῆς καὶ τοῦ βάλλειν. — Σοφοκλῆς Ἀλκμαίωνι

Εἴθ' εὖ φρονήσαντ' εἰσίδοιμί πως φρενῶν
ἐπήβολον καλῶν σε.

πως omittit Eustathius. Fortasse praestat καί.

**96.** Hesychius, Αἰνῶ: παρίημι, παραιτοῦμαι. καὶ ἐπαινῶ. Σ. Ἀλκμαίωνι. Bekkeri Anecd. p. 358, 28. Αἰνῶ· παραιτοῦμαι. Σοφοκλῆς. καὶ ἐπαινῶ (καὶ αἰνῶ σε addidit Suidas).

**97.** Hesychius, Ἀραίας: βλαβεράς. Σ. Ἀ.
Ad hanc fabulam Valckenarius in Diatr. p. 150. refert versus duo, quos Plutarchus Moral. p. 35 f. 88 f. omisso poetae nomine attulit.

ΑΜΥΚΟΣ (ΣΑΤΥΡΙΚΟΣ).

De Amyco Bebryciorum rege videndae narrationes Apollodori 1, 9, 20. et Hygini Fab. 17.

**113.** Athenaeus 9. p. 400b. Τῇ δὲ τὸν λαγόν ἑνικῇ αἰτιατικῇ ἀκόλουθός ἐστιν ἡ παρὰ Σοφοκλεῖ ἐν Ἀμύκῳ σατυρικῷ πληθυντικὴ ὀνομαστικὴ

Γέρανοι, χελῶναι, γλαῦκες, ἰκτῖνοι, λαγοί.

ἰκτῖνοι epitome: vulgo ἴκτινοι. ἰκτῖνες Eustathius p. 1534, 15. ἰκτῖνοι καὶ grammaticus Hermanni p. 320. ἰκτὶς καὶ grammaticus MS. apud Brunckium sive in Crameri Anecd. Par. vol. 4. p. 245, 24. Athenaeus paullo post, λέγουσι δὲ καὶ Ἀττικοὶ λαγὸς, ὡς ὁ Σοφοκλῆς

Γέρανοι, κορῶναι, γλαῦκες, λαγοί.

**114.** Athenaeus 3. p. 94e. Σιαγόνος — Σοφοκλῆς Ἀμύκῳ "Σιαγόνας τε δὴ μαλθακὰς τίθησι." Trimetrum restituit Porsonus δὴ post τίθησι transposito.

ΑΜΦΙΑΡΕΩΣ (ΣΑΤΥΡΙΚΟΣ).

Amphiaraum vatem Thebanorum clarissimum intelligendum esse ex fragm. 116. colligitur, ex quo incertam de choro fabulae coniecturam duxit Welckerus in Append. Trilog. p. 318.

**115.** Schol. Aristoph. ad Ranas 484. Ὠρακιᾶσαι λέγεται τὸ ὑπὸ φόβου ὠχριᾶσαι, ἀπὸ τοῦ τὴν ὥραν αἰκίζειν. τοῦτο δὲ Σοφοκλῆς εἶπεν ἐν Ἀμφιαράῳ σατυρικῷ.

**116.** Schol. ad Vespas 1501. Πιννοτήρης — καρκίνιόν τι ἐστι σύννομον καὶ ἀεὶ ταύτῃ προσεχόμενον. Σοφοκλῆς Ἀμφιαράῳ

Ὁ πιννοτήρης τοῦδε μάντεως χοροῦ.

χοροῦ] χορὸς Meinekius.

**117.** "Athenaeus 10. p. 454 f. postquam tragicorum ῥήσεις aliquot protulit, in quibus homines rustici literarumque rudes, describentes literarum figuras, aenigmatice personarum nomina designant, Sophoclis meminit rusticum inducentis, qui literarum formas non verbis, sed schematibus et gestu saltando exprimeret: Καὶ Σοφοκλῆς δὲ τούτῳ παραπλήσιον ἐποίησεν ἐν Ἀμφιαράῳ σατυρικῷ τὰ γράμματα παράγων ὀρχούμενον." Brunck.

**118.** Scholiasta Platonis p. 378. Παροιμία "ὁ ἁλιεὺς πληγεὶς νοῦν φύσει" —. κέχρηται Σοφοκλῆς ἐν Ἀμφιαράῳ σατυρικῷ λέγων "ἔτ' αὖ** ὥσπερ ἁλιεὺς πληγεὶς * * ενων (φρενῶν Ahrensius) διδάσκαλος." Originem proverbii explicat Zenobius 2, 14. apud quem νοῦν οἴσει et νοῦν οἴσω scriptum est.

**119.** Hesychius, Ἁγνίσαι: ἀποθῦσαι. Βουσίριδι (Euripidis?) καὶ διαφθεῖραι. Σοφοκλῆς Ἀμφιαράῳ. Bekkeri Anecd. p. 339, 8. Ἁγνίσαι: τὸ θῦσαι. διαφθεῖραι κατ' ἀντίφρασιν. οὕτω Σοφοκλῆς.

**120.** Hesychius, Ἀλεξαίθριον: θερμὸν σκέπασμα. Σ. Ἀ.

**121.** Erotianus p. 210. (84. ed. Klein.) Φρονεῖν ἔλεγον οἱ παλαιοὶ τὸ νοεῖν. — μέμνηται καὶ Σοφοκλῆς ἐν Ἀχαιάδι (Ἀλωάδαις Brunckius. Debebat Ἀλεάδαις) καὶ ἐν Ἀμφιαράῳ.

**122.** Grammaticus in Crameri Anecd. Oxon. vol. 1. p. 344, 9. ubi de πελιοῖο agit, quod a quibusdam pro πολιοῖο lectum fuit apud Homer. Il. 10, 334: Πελιοῦ οὖν παρὰ τὸ πελλός (codex πέλλω).

Ἐνδύντα πελλῆς ῥινὸν ἀγραύλου βοός,

Σοφοκλῆς ἐν Ἀμφιαράῳ σατυρικῷ. Nam sic scripturam codicis ἔνθ' οὔτε πέλλεις οἱ ἄγραυλος βότος correxit Schneidewinus in Coniectan. crit. p. 99., recte, ut videtur, nisi quod fortasse praestat ἐνδύς τε. ἔνθ' οὔτε πελλῆς οἰὸς Nauckius. Coaluit hoc fragmentum cum alio ex Ποιμέσι apud Erotianum p. 306. (p. 109, 6. ed. Klein.) Πελλόν (vulgo Πέλον): ὑπόφαιον—. ὡς καὶ Σοφοκλῆς ἐν Ποιμέσι καὶ ἐν Ἀμφιαράῳ φησὶ "Κυνὸς πέλλης τε μηκάδος βοὸς ῥινόν." Libri ῥινέων vel ῥηνέων. Verba ex Ποιμέσι excerpta Duentzerus in Schneidewini Philol. vol. 3. p. 138. sic correxit, αἰγὸς τε πελλῆς μηκάδος. Brunckius ῥινὸν βοός.

**123.** Scholiasta Aeliani N. A. 3, 10. Τρασιὰ λέγεται ὁ τόπος ἔνθα τὰ σῦκα ξηραίνεται, παρὰ τὸ τερσαίνειν. ὁ δὲ Σοφοκλῆς ἐν (τῷ ἑτέρῳ addit Zonaras p. 1742. quod ex ἐν τῷ σατυρικῷ corruptum videtur Nauckio) Ἀμφιαράῳ ἐπὶ τῆς ἅλω ἐτίθη τὴν λέξιν.

ΑΜΦΙΤΡΥΩΝ.

Incertas de argumento fabulae coniecturas proposuit Welckerus p. 371. 372. Attii tragoedia fuit Amphitruo, fortasse Sophoclem imitati, ut in aliis fabulis fecit.

**124.** Scholiasta Oedip. Col. 390. Εὔσοιάν φασι τὴν εὐθένειαν, καθάπερ καὶ ἐν Ἀμφιτρύωνι

Ἐπεὶ δὲ βλάστοι, τῶν τριῶν μίαν λαβεῖν
εὔσοιαν ἀρκεῖ.

**125.** Hesychius, Ἀμφιτέρμως (Ἀμφιτερμόνως Nauckius): ἀποτετερματισμένως (codex ἀποτερματισμένως). Σ. Ἀ.

**126.** Hesychius, Ἄτμητον: ἀμέριστον, ἀτραυμάτιστον. Σ. Ἀ. Sic Salmasius. Codex contra seriem alphabeticam, Ἀτραυμάτιστον· Σοφοκλῆς Ἀμφιτρύωνι. Ἄτμητον· ἀμέριστον.

**127.** [ΑΝΔΡΟΜΑΧΗ.] Citatur haec fabula in Etym. M. p. 652, 12. errore grammatici, de quo dicetur ad fr. 459.

ΑΝΔΡΟΜΕΔΑ.

**128.** Eratosthenes Catasterism. 16. Τὴν Κασσιέπειαν ἱστορεῖ Σοφοκλῆς ὁ τῆς τραγῳδίας ποιητὴς ἐν Ἀνδρομέδᾳ ἐρίσασαν περὶ κάλλους ταῖς Νηρηίσιν εἰσελθεῖν εἰς τὸ σύμπτωμα καὶ Ποσειδῶνα διαφθεῖραι τὴν χώραν, κῆτος ἐπιπέμψαντα. — Idem 36. Τοῦτο τὸ κῆτός ἐστιν ὃ Ποσειδῶν ἔπεμψε Κηφεῖ, διὰ τὸ Κασσιέπειαν ἐρίσαι περὶ κάλλους ταῖς Νηρηίσι. Περσεὺς δ' αὐτὸ ἀνεῖλε, καὶ διὰ τοῦτο εἰς τὰ ἄστρα ἐτέθη, ὑπόμνημα τῆς πράξεως αὐτοῦ· ἱστορεῖ δὲ ταῦτα Σοφοκλῆς ὁ τῶν τραγῳδιῶν ποιητὴς ἐν τῇ Ἀνδρομέδᾳ. Hyginus Poet. Astron. 2, 10. p. 443. *Cassiepeia. De hac Euripides et Sophocles et alii complures dixerunt, ut gloriata sit se forma Nereidas praestare, pro quo facto inter sidera sedens in siliquastro constituta est, quae propter impietatem vertente se mundo resupinato capite ferri videtur.* Argumentum a poetis pluribus tractatum, inter Latinos ab Livio Andronico. De tragoedia Sophoclea dixit Welckerus p. 349—352.

**129.** Athenaeus 11. p. 482d. Ὅτι δὲ καὶ πλοῖον ἡ κύμβη Σοφοκλῆς ἐν Ἀνδρομέδᾳ φησὶν

Ἵπποισιν, ἢ κύμβαισι ναυστολεῖς χθόνα;

Attulit Eustathius p. 1205, 56. Photius p. 187, 3. Κύνβη: πλοίου εἶδος. Σοφοκλῆς.

**130.** Phrynichus p. 374. Lobeck. Πολλὴν διατριβὴν ἐποιησάμην ἐπισκοπούμενος εἰ μόνον λέγεται πρόσφατος νεκρός καὶ μὴ πρόσφατον πρᾶγμα. εὑρίσκετο δὲ Σοφοκλῆς ἐν τῇ Ἀνδρομέδᾳ τιθεὶς οὕτω

Μηδὲν φοβεῖσθαι προσφάτους ἐπιστολάς.

**131.** Schol. Theocriti 4, 62. Τοὺς σατύρους ἀκρατεῖς οἱ πλείονές φασιν, ὡς καὶ τοὺς Σειληνοὺς καὶ Πᾶνας, ὡς Αἰσχύλος μὲν ἐν Γλαύκῳ, Σοφοκλῆς δὲ ἐν Ἀνδρομέδᾳ.

**132.** Hesychius, Κουρίον: Σοφοκλῆς Ἀνδρομέδᾳ

ἡμιουτὸν κόριον ἡρέθη πόλει.
νόμος γάρ ἐστι τοῖς βαρβάροις
θυηπολεῖν βρότειον ἀρχῆθεν γέρος τῷ Κρόνῳ.

Quae Scaliger sic correxit

Αἱμόρρυτον κούρειον ἡρέθη πόλει·
νόμος γάρ ἐστι τοῖσι βαρβάροις Κρόνῳ
θυηπολεῖν βρότειον ἀρχῆθεν γένος.

V. 3. γέρας Buttmannus in Actis Acad. Boruss. a. 1814. p. 174.

**133.** Pollux 10, 120. Σοφοκλῆς δ' ἐν Ἀνδρομέδᾳ αὐτοχείλεσι (αὐτολίθοισι Hemsterhusius) ληκύθοις (λίθοις codex unus) ἔφη, δηλῶν ἀλαβάστους μονολίθους.

**134.** Hesychius, Ἀμβλύσκει: ἐξαπλοῖ. κυρίως δὲ ἐπὶ ἀμπέλου. καὶ ἐκτιτρώσκει. Σ. Ἀνδρομέδᾳ.

**135.** Hesychius, Ἀμφίπρυμνον πλοῖον: ἑκατέρωθεν πρύμνας ἔχον. Σ. Ἀνδρομέδᾳ.

**136.** Hesychius, Ζευξίλεως: ζευκτὸς λαός (ζευκτὴς λαοῦ Ellendtius). ᾗ ᾧ ὑπεζευγμένοι εἰσὶ λαοί. Σ. Ἀνδρομέδᾳ. Photius p. 53, 8. et Suidas, Ζευξίλεως: ᾧ ὑπεζευγμένοι εἰσὶν οἱ λαοί. Eustath. p. 401, 11. Ζευξίλεως εἴρηται παρὰ τοῖς μεθ' Ὅμηρον ὁ βασιλεύς.

**137.** Etymolog. M. p. 272, 3. Δίγονος μάσθλης: διπλοῦς ἱμάς. ἢ ὅτι οὐ μόνον κατὰ τὴν βαφὴν ἦν τοιοῦτος, ἀλλὰ καὶ ἀπὸ τοῦ αἵματος ἐκέχρωστο· Σοφοκλῆς Ἀνδρομέδᾳ "Ἰδοὺ δὲ φοίνιον (sic Brunckius pro φοινὸν) | μάσθλητα δίγονον." Hesychius, Μάσθλης: —— Σοφοκλῆς Ἀνδρομέδᾳ καὶ Συνδείπνοις. Conf. eundem s. v. Δίγονος.

**138.** Photius p. 317, 7. Οἰήτας: τοὺς κωμήτας. Σ. Ἀνδρομέδᾳ. Conf. Hesychii interpretes vol. 2. p. 721.

**139.** Hesychius, Σαλητόν: Σοφοκλῆς Ἀνδρομέδᾳ. ἀντὶ πατρὸς (corrigunt σαράπιδος). ἢ βαρβαρικὸν χιτῶνα. οἱ δὲ καὶ μεσόλευκον αὐτὸν εἶναί φασι. Idem, Σάρητον: ὁ σάραπις. καὶ εἶδος χιτῶνος.

## ΑΝΤΗΝΟΡΙΔΑΙ.

**140.** Scriptor argumenti Aiacis, τὸ δρᾶμα τῆς Τρωϊκῆς ἐστι πραγματείας, ὥσπερ οἱ Ἀντηνορίδαι καὶ Αἰχμαλωτίδες καὶ Ἑλένης ἁρπαγὴ καὶ Μέμνων. Ad hanc fabulam Welckerus p. 167. probabiliter rettulit quae ex Strabone 13. p. 608. supra apposuimus ad Fragm. 16. ubi quae de Venetis dixit Strabo cum loco Polybii 2, 17, 6. comparavit Nauckius, προσαγορεύονται δὲ Οὐένετοι — περὶ ὧν οἱ τραγῳδιογράφοι πολύν τινα πεποίηνται λόγον καὶ πολλὴν διατέθεινται τερατείαν. Attii tragoediam *Antenoridas* ad similitudinem Sophocleae compositam fuisse probabilis Welckeri sententia est.

**141.** Athenaeus 9. p. 373d. Ἐπὶ δὲ τοῦ ἀρσενικοῦ οὐ μόνον ὄρνιν, ἀλλὰ καὶ ὄρνιθα. καὶ Σοφοκλῆς Ἀντηνορίδαις

Ὄρνιθα καὶ κήρυκα καὶ διάκονον.

**142.** Hesychius, Ἀφεψιασάμην: ἀφωμίλησα. Σ. Ἀντηνορίδαις. Bekk. Anecd. p. 470, 13. Ἀφεψιαίμην: ἀφωμίλησα. οὕτω Σοφοκλῆς.

**143.** Hesychius, Ἐκβαβάξαι: ἐκσαλεῦσαι. Σ. Ἀντηνορίδαις.

## ΑΤΡΕΥΣ Η ΜΥΚΗΝΑΙΑΙ.

**144a.** Scholiasta Euripidis Or. 800. Ἀτρεὺς — δυσχεραίνων ὅτι ἀδίκως ἐστέρηται τῆς ἀρχῆς, ὁμοῦ τε τὴν γυναῖκα Ἀερόπην τιμωρεῖται — ῥίψας αὐτὴν εἰς τὴν θάλασσαν, ὥς φησι Σοφοκλῆς, καὶ τοὺς τρεῖς υἱοὺς τοῦ Θυέστου, Ἀγλαὸν, Ὀρχομενὸν καὶ Κάλεον, ἀποκτείνας παρέθηκεν εἰς τράπεζαν τῷ πατρὶ καὶ αὐτὸν ὕστερον ἀπέκτεινεν. Chorus fabulae Sophocleae ex mulieribus compositus fuit: unde Μυκηναῖαι inscripta fuit. Idem argumentum tractavit Attius in Atreo tragoedia.

**144b.** Scholiasta Euripidis Hippolyti 309. Εἰώθασιν οἱ εἰρωνευόμενοι κατὰ τῶν ἐχθρῶν ὀμνύναι, ὡς καὶ Σοφοκλῆς ἐν Μυκηναίαις (alii libri μυκήναις)

Μὰ τὴν ἐκείνου δειλίαν, ᾗ βόσκεται,
θῆλυς μὲν αὐτὸς, ἄρσενας δ' ἐχθροὺς ἔχων.

V. 2. ἄρσενας] ἄρρενας libri.

**145.** Hesychius, Ἐπισπάσει: ἐπιτεύξεται. Σ. Ἀτρεῖ ἢ Μυκηναίαις (codex μυκήναις), ἐπὶ (ἀπὸ Nauckius) τῶν τοῖς λίνοις λαμβανόντων.

## ΑΧΑΙΩΝ ΣΥΛΛΟΓΟΣ Η ΣΥΝΔΕΙΠΝΟΝ Η ΣΥΝΔΕΙΠΝΟΙ. (ΣΑΤΥΡΙΚΟΝ.)

Cicero ad Quintum fratrem 2, 16. Συνδείπνους Σοφοκλέους, *quamquam a te actam fabellam video esse festive, nullo modo probavi.* Athenaeus 8. p. 365b. Σύνδειπνον εἴρηκεν ἐπὶ συμποσίου Λυσίας — διόπερ τινὲς καὶ τὸ Σοφοκλέους δρᾶμα κατὰ τὸ οὐδέτερον ἐπιγράφειν ἀξιοῦσι ΣΥΝΔΕΙΠΝΟΝ. Fuit drama satyricum, cui convenit *fabellae* nomen quo usus est Cicero verbis modo appositis. (Dissentit Welckerus, qui duas fuisse credit tragoedias, quarum altera Ἀχαιῶν σύλλογος, altera Σύνδειπνοι inscripta fuerit, de quibus dixit p. 110—113 et 232—240.) Aristot. Rhet. 2, 24. Εἴ τις φαίη "τὸ ἐπὶ δεῖπνον κληθῆναι τιμιώτατον· διὰ γὰρ τὸ μὴ κληθῆναι ὁ Ἀχιλλεὺς ἐμήνισε τοῖς Ἀχαιοῖς ἐν Τενέδῳ· ὁ δ' ὡς ἀτιμαζόμενος ἐμήνισε· συνέβη δὲ τοῦτο ἐπὶ τοῦ μὴ κληθῆναι." ubi editor Cantabrigiensis: "Unde fabulae argumentum sumpsit Sophocles, quam vocavit συνδείπνους." Anonymus περὶ ὀργῆς in Volum. Hercul. Oxon. vol. 1. p. 51.: παραπεμφθέντες ὑπό τινος ἑστιῶντος, ὥσπερ ὁ Σοφοκλέους Ἀχιλλεὺς, ἢ κατά τι τοιοῦτο ὀλιγωρηθέντες· οὔπω γὰρ ἀδικηθέντες λέγω. Proclus Chrestom. p. 475. ἔπειτα καταπλέουσιν εἰς Τένεδον· καὶ εὐωχουμένων αὐτῶν Φιλοκτήτης ὑφ' ὕδρου πληγεὶς διὰ τὴν δυσοσμίαν ἐν Λήμνῳ κατελείφθη· καὶ Ἀχιλλεὺς ὕστερος κληθεὶς διαφέρεται πρὸς Ἀγαμέμνονα. Chorus fabulae non ex satyris compositus fuit, sed ex Achivis, quemadmodum in Alcestide Euripidis, quae ipsa quoque dramatis satyrici locum in tetralogia tenuit, chorus ex senibus Pheraeis compositus est.

**146.** Stobaeus 26, 1. Σ. ἐκ Συνδείπνου

Λάθα Πιερίδων στυγερὰ καὶ ἀνάρατος
ὠδυνάσεις θανάτοις εὐποτμότατε,
μελέων ἀνέχουσα βίου βραχὺν ἰσθμόν.

Verba corrupta ab aliis aliter correcta (v. Welcker. p. 233. Schneidewin. Philol. vol. 3. p. 112.), ab nemine satis probabiliter, nisi quod Brunckius θανάτοις ex θνατοῖς corruptum esse vidit. V. 1. ἀνάρατος libri optimi, alii ἀνάρεστος, ἀνάρετος.

**147.** Athenaeus 1. p. 17d. (ex eo Eustathius p. 1828, 28.) Τῶν δ' ἄλλων ποιητῶν ἔνιοι τὰς καθ' αὑτοὺς πολυτελείας καὶ ῥαθυμίας ἀνέπεμπον ὡς οὔσας καὶ κατὰ τὰ Τρωϊκά. Αἰσχύλος γοῦν ἀπρεπῶς που παράγει μεθύοντας τοὺς Ἕλληνας — καὶ Σοφοκλῆς δὲ ἐν Ἀχαιῶν Συνδείπνῳ,

Ἀλλ' ἀμφὶ θυμῷ τὴν κάκοσμον οὐράνην
ἔρριψεν οὐδ' ἥμαρτε· περὶ δ' ἐμῷ κάρᾳ
κατάγνυται τὸ τεῦχος οὐ μύρου πνέον·
ἐδειματούμην δ' οὐ φίλης ὀσμῆς ὕπο.

V. 4. ὀσμῆς] ὀδμῆς Eustath.

**148.** Athenaeus 15. p. 679a. Σ. Συνδείπνοις

Οὔτοι γένειον ὧδε χρὴ διηλιφὲς
φοροῦντα κἀντίπαιδα καὶ γένει μέγαν
μητρὸς καλεῖσθαι παῖδα, τοῦ πατρὸς παρόν.

V. 3. μητρὸς Nauckius. γαστρὸς codex.

**149.** Athenaeus 15. p. 686a. Τοῖς παισὶ παρακελεύομαι κατὰ τὸν Σοφοκλέα, ὅς ἐν Συνδείπνοις φησὶ

Φυρᾶτε, μασσέτω τις, ἐγχείτω βαθὺν
κρατῆρ'· ὅδ' ἀνὴρ οὐ πρὶν ἂν φάγῃ καλῶς
ὅμοια καὶ βοῦς ἐργάτης ἐργάζεται.

V. 1. Φυρᾶτε Meinekius pro φορεῖτε. 2. κρατῆρ' ὅδ' ἀνὴρ] κρητῆρα ὅδ' ἀνὴρ codex.

**150.** Schol. Pindari Isthm. 2, 68. Τὸ γὰρ ἀπόνειμον ἀντὶ τοῦ ἀνάγνωθι. Σ. ἐν Ἀχαιῶν συλλόγῳ

Σὺ δ' ἐν θρόνοισι γραμμάτων πτυχὰς ἔχων
νέμ' εἴ τις οὐ πάρεστιν ὃς ξυνώμοσε.

V. 1. θρόνοισι Toupius pro θρήνοισι. Boeckhius πτυχὰς pro πτύχας, recte, nisi ἔχων πτύχας scripsit poeta. Non attigit hunc locum Matthiae ad Eurip. Bacchar. v. 62. 2. Legebatur ἀπόνειμον νέμει τίς οὐ πάρεστι τίς ξυνώμοσε. Correxit Bergkius.

**151.** Pollux 10, 133. Τὰ δὲ ναυτικὰ σκεύη — πλῆκτρα, ὡς Σοφοκλῆς ἐν Ἀχαιῶν συλλόγῳ

Ὡς ναοφύλακες νυκτέρου ναυκληρίας
πλήκτροις ἀπευθύνουσιν οὐρίαν τρόπιν.

**152.** Plutarchus Moral. p. 74a. Ὁ παρὰ Σοφοκλεῖ τὸν Ἀχιλλέα παροξύνων Ὀδυσσεὺς οὔ φησιν ὀργίζεσθαι διὰ τὸ δεῖπνον, ἀλλά φησιν

Ἤδη τὰ Τροίας εἰσορῶν ἐδώλια
δέδοικας

καὶ πρὸς ταῦτα πάλιν τοῦ Ἀχιλλέως διαγανακτοῦντος καὶ ἀποπλεῖν λέγοντος

Ἐγῷδ' ὃ φεύγεις, οὐ τὸ μὴ κλύειν κακῶς·
ἀλλ' ἐγγὺς Ἕκτωρ ἐστίν· οὐ μένειν καλόν.

V. 2. οὐ μένειν] Alii libri θυμαίνειν, θυκαίνειν, οὐ καίνειν.

**153.** Herodianus περὶ σχημάτων p. 57, 58. ed. meae. (vol. 8. p. 601. ed. Walz.) Ἀστεϊσμὸς δέ ἐστι προσποίησις πιθανὴ τοῦ μὴ λέγειν ἢ μνημονεύειν ἡμᾶς ἃ λέγομεν, ὡς παρὰ Σοφοκλεῖ εἰσῆκται λέγων Ὀδυσσεὺς τῷ Διομήδει

Ἐγὼ δ' ἐρῶ σοι δεινὸν οὐδέν, οὔθ' ὅπως
φυγὰς πατρῴας ἐξελήλασαι χθονὸς
οὔθ' ὡς ὁ Τυδεὺς ἀνδρὸς αἷμα συγγενοῦς
κτείνας ἐν Ἄργει ξεῖνος ὢν οἰκίζεται,
οὔθ' ὡς πρὸ Θηβῶν ὠμοβρὼς ἐδαίσατο
τὸν Ἀστάκειον παῖδα διὰ κάρα τεμών.

V. 3. οὔθ' Brunckius pro οὐδ'. συγγενοῦς Brunckius pro συγγενές. 4. κτείνας] Recte Herwerdenus p. 11. πράξας. 5. οὔθ' codex Havn. Ceteri οὐδ'. ὠμοβρὼς Brunckius. Libri ὠμοβρῶτα, ὠμόβροτα, ὠμοβρότως.

**154.** Schol. Sophoclis Oedip. Col. v. 9. et Etym. M. p. 194, 5. Σοφοκλῆς ἐν Συνδείπνῳ βέβηλον τὸν ἰδιώτην φησί.

**155.** Schol. Sophoclis Aiac. v. 190. Τὸν Ὀδυσσέα Σισύφου συνήθως φησὶ Σ. καὶ ἐν Συνδείπνῳ

Ὦ πάντα πράσσων, ὡς ὁ Σίσυφος πολὺς
ἔνδηλος ἐν σοὶ πάντα χὠ μητρὸς πατήρ.

V. 2. πάντα χὠ Vaterus pro πανταχοῦ.

**156.** Hesychius, Ἀζειῶται: ἔθνος τῆς Τρῳάδος. Σ. Συνδείπνῳ.

**157.** Hesychius, Ἐκκεκώπηται (codex ἐκκεκό—): ἐξήρτυται (ἐξήρτηται codex). Σ. Συλλόγῳ.

**158.** Hesychius, Ἐπιξενοῦσθαι: μαρτύρεσθαι, πορεύεσθαι. Σ. Ἀχαιῶν Συλλόγῳ καὶ Αἰσχύλος Κρῆσσαις.

**159.** Hesychius, Ἐπισειούσης: ἐπικελευομένης. ἀπὸ τῶν τὰς ἡνίας ἐπιχαλώντων. Σ. Ἀχαιῶν Συλλόγῳ.

**160.** Μάσθλη: vide fragm. 137.

**161.** Hesychius, Ξυμβόλους: — τὰς διὰ τῆς φήμης γινομένας μαντείας, ἃς Φιλόχορός φησι Δήμητρα εὑρεῖν. Σ. Ἀχαιῶν Συλλόγῳ.

### ΑΧΙΛΛΕΩΣ ΕΡΑΣΤΑΙ (ΣΑΤΥΡΟΙ).

Respexit hanc fabulam, quae manifesto satyrica fuit, Ovidius, etsi Sophocle non nominato, Trist. 2, 409—402. de quo loco pluribus dictum ab Welckero in Append. ad Trilog. p. 168. 305.

**162.** Stobaeus 64, 13.

Νόσημ' ἔρωτος τοῦτ' ἐφίμερον κακόν·
ἔχοιμ' ἂν αὐτὸ μὴ κακῶς ἀπεικάσαι.
ὅταν πάγου φανέντος αἰθρίου χεροῖν
κρύσταλλον ἁρπάσωσι παῖδες ἀσταγῆ,
τὰ πρῶτ' ἔχουσιν ἡδονὰς ποταινίους,
τέλος δ' ὁ χυμὸς οὔθ' ὅπως ἀφῇ θέλει
οὔτ' ἐν χεροῖν τὸ κτῆμα σύμφορον μένειν.
οὕτω δὲ τοὺς ἐρῶντας αὑτὸς ἵμερος
δρᾶν καὶ τὸ μὴ δρᾶν πολλάκις προσίεται.

V. 1. νόσημ' ἔρωτος legitur ex cod. Paris. B. interpolato: in libro optimo (A.) et editione Trincavelli est ἔρωτος γὰρ νόσημα. Recte Dobraeum (Adversar. vol. 1. p. 52.) correxisse puto τὸ γὰρ νόσημα, deleto ἔρωτος, quod ex praecedentibus versibus intelligebatur. 4. παῖδες ἀσταγῆ Salmasius pro παιδιαῖς ἄγη. 6. χυμὸς] κρυμὸς Meinekius. 3. οὕτω δὲ Meinekius pro οὔτε. Scaliger οὕτω γε 9. καὶ τὸ] καί τι Meinekius. προσίεται idem pro προΐεται.

Plutarchus Moral. p. 508c. Ὥσπερ οἱ παῖδες τὸν κρύσταλλον οὔτε κατέχειν οὔτε ἀφεῖναι θέλουσι. Zenobius 5, 58. Ὁ παῖς τὸν κρύσταλλον. ἐπὶ τῶν μήτε κατέχειν δυναμένων μήτε μεθεῖναι βουλομένων ἡ παροιμία εἴρηται. μέμνηται αὐτῆς Σοφοκλῆς Ἀχιλλέως ἐρασταῖς.

**163.** Scholiasta Pindari Nem. 3, 60. Διωκομένη ἡ Θέτις ὑπὸ τοῦ Πηλέως μετέβαλλε τὰς μορφάς, ὁτὲ μὲν εἰς πῦρ, ὁτὲ δὲ εἰς θηρία. ὁ δὲ καρτερήσας περιγέγονε, περὶ δὲ τῆς μεταμορφώσεως αὐτῆς καὶ Σοφοκλῆς φησιν — ἐν Ἀχιλλέως ἐρασταῖς

Τίς γάρ με μόχθος οὐκ ἐπεστάτει; λέων
δράκων τε, πῦρ, ὕδωρ.

Schol. Apollonii Rh. 4, 816. Σοφοκλῆς δὲ ἐν Ἀχιλλέως ἐρασταῖς φησιν ὑπὸ Πηλέως λοιδορηθεῖσαν τὴν Θέτιν καταλιπεῖν αὐτόν.

V. 1. ἐπεστάτει] ἐπεστρατεύετο Nauckius, λέων in versum alterum translato.

**164.** Schol. Pindari Nem. 6, 90. Οὐκ ἐκ παραδρομῆς δὲ ζάκοτον εἶπε τὸ δόρυ τοῦ Ἀχιλλέως — ἀλλ' ὅτι ἰδιώτερον παρὰ τὰ ἄλλα κατεσκεύαστο. δίκρουν γάρ, ὥστε δύο αἰχμὰς ἔχειν καὶ μιᾷ βολῇ δισσὰ τὰ τραύματα ἀπεργάζεσθαι. — Σοφοκλῆς ἐν Ἀχιλλέως ἐρασταῖς "Ἡ δορὸς διχόστομον πλᾶκτρον· δίπτυχοι γὰρ ὀδύναι μιν ἤρικον Ἀχιλλήιου δόρατος." Non Sophoclis, sed alius poetae haec verba esse videbantur Heathio.

**165.** Scholiasta Aristoph. Vespar. 1021. Παιδικὰ ἐπὶ ἀρρένων καὶ ἐν τοῖς Ἀχιλλέως ἐρασταῖς ἐξείληπται. ἐπιδόντων γάρ τι τῶν σατύρων εἰς τὴν γυναικείαν ἐπιθυμίαν φησὶν ὁ Φοῖνιξ

Παπαῖ, τὰ παιδίχ', ὡς ὁρᾷς, ἀπώλεσας.

Eadem Photius p. 369, 10. Suidas in παιδικὰ, grammaticus Coislinianus apud Bachmannum Anecd. 1. p. 324. ex quo Montefalconius p. 474. ὡς ὀρῶσ' ἀπώλεσας edidit, Bachmannus, ex coniectura, ut videtur,

ὡς ὁρῶ σ' ἀπώλεσαν, et gramm. in Crameri Anecd. Paris. vol. 4. p. 173, 9.

**166.** Athenaeus 9. p. 401d. Τίς μνημονεύει, κατὰ τὸ σύνθετον ὁμοίως ἡμῖν, συάγρου, ἐπὶ τοῦ ἀγρίου συός; Σοφοκλῆς μὲν γὰρ ἐν Ἀχιλλέως ἐρασταῖς ἐπὶ κυνὸς ἔταξε τοὔνομα, ἀπὸ τοῦ σῦς ἀγρεύειν, λέγων

Σὺ δ', ὦ Σύαγρε, Πηλιωτικὸν τρέφος.

Epitome et ex ea Eustathius p. 1872, 12. βρέφος. Σύαγρος ex Sophocle memoratur ab grammatico Hermanni p. 320. et in Crameri Anecd. Paris. vol. 4. p. 245, 20. Apud Sophoclem nomen proprium canis fuisse Athenaei verba docent.

**167.** Scholiasta Sophoclis Oedip. Col. v. 481. Ὕδατος μελίσσης: ὕδατος καὶ μέλιτος. ἀπὸ γὰρ τοῦ ποιοῦντος τὸ ποιούμενον. καὶ ἐν Ἐρασταῖς

Γλώσσης μελίσσης τῷ κατερρυηκότι.

**168.** Choeroboscus p. 463, 27. ed. Gaisf. — ἀρῶξιν παρὰ Σοφοκλεῖ ἐν Ἀχιλλέως ἐρασταῖς

Ὁ δ' ἔνθ' ὅπλοις ἀρῶξιν Ἡφαίστου τεχνίτου.

τοῦτο γὰρ κατὰ μεταπλασμὸν ἀπὸ τοῦ ἀρρήκτοις γενόμενον, τοῦ η τραπέντος εἰς τὸ ω, προπερισπᾶται καὶ οὐ προπαροξύνεται, et ἄρωξιν ὅπλοις p. 367, 32. Scribendum ἀρρῶξιν cum Ellendtio, ut ἀρρώξ est in Antig. 251. Codex ὁ δὲ ἔνθ'. τεχνίτου in τέχνῃ mutandum videtur. Ἐνδύνθ' ὅπλοις ἀρρῶξιν Ἡφαίστου τέχνῃ Lobeck. Paralip. p. 287. de Achille intelligens armis Vulcaniis induto.

**169.** Hesychius, Ὀμμάτειος πόθος: διὰ τὸ ἐκ τοῦ ὁρᾶν ἁλίσκεσθαι ἔρωτι. ἐκ τοῦ γὰρ ἐσορᾶν γίνεται ἀνθρώποις ἐρᾶν. καὶ ἐν Ἀχιλλέως ἐρασταῖς ὀμματοπάλογχα φησίν. Verba corrupta Casaubonus sic correxit, ὀμμάτων ἄπο λόγχας φησίν, recte, nisi quod fugit eum φησίν ex ἀφίησιν vel ἀφιείς esse corruptum. Similem locutionem ἵμερον ἀφιείς memoravit Pollux 3, 71. ubi de vocabulis amatoriis agit. De versu proverbiali ἐκ τοῦ γὰρ ἐσορᾶν γίγνετ' ἀνθρώποις ἐρᾶν v. Diogenian. 4, 49. aliosque paroemiographos ibi indicatos ab Leutschio.

## ΔΑΙΔΑΛΟΣ.

Daedalum in scenam produxerunt Plato, Aristophanes et Eubulus comici: tragicorum solus Sophocles, si quid scriptorum silentio tribuendum. Drama haud dubie fuit satyricum, cuius de argumento coniecturas protulit Welckerus p. 73—75. ductas ex nomine Τάλω Cretensis, cuius partes in hac fabula fuisse ex annotatione scholiastae Apoll. Rh. intelligitur, quam fragm. 172. apponemus.

**170.** Pollux 7, 117. Ἐπεὶ δὲ καὶ τοὺς οἰκοδόμους Ὅμηρος τέκτονας καλεῖ, καὶ ἀρχιτέκτων εἴρηται παρὰ Πλάτωνι. βιαία γὰρ ἡ ἐν τῷ Σοφοκλέους Δαιδάλῳ "Τεκτόναρχος Μοῦσα." Τεκτονουργός per ἀρχιτέκτων explicat Hesychius: quae glossa ipsa quoque ex poeta aliquo sumta videtur.

**171.** Schol. Platonis p. 396. Σαρδάνιος γέλως — Σιμωνίδης δὲ ἀπὸ Τάλω τοῦ χαλκοῦ, ὃν Ἥφαιστος ἐδημιούργησε Μίνῳ, φύλακα τῆς νήσου ποιήσασθαι, ἔμψυχον ὄντα, τοὺς πελάζοντάς φησι κατακαίοντα ἀναιρεῖν. ὅθεν ἀπὸ τοῦ σεσηρέναι διὰ τὴν φλόγα τὸν σαρδάνιόν φησι λεχθῆναι γέλωτα. ὁμοίως καὶ Σοφοκλῆς ἐν Δαιδάλῳ. Confer paroemiographos s. v. Σαρδώνιος γέλως.

**172.** Schol. Apollonii Rhodii 4, 1638. Τάλως δὲ ἦν μὲν τοῦ γένους ἐκείνου τοῦ χαλκοῦ· ὅλος δὲ χαλκοῦς ὢν σύριγγα εἶχεν ἐπὶ τοῦ σφυροῦ ὑμένι περιεχομένην. σῦριγξ δέ ἐστιν ἡ περόνη. ῥαγείσης οὖν τῆς σύριγγος εἵμαρτο ἀλῶναι αὐτόν τοῦτο δὲ καὶ Σοφοκλῆς φησιν ἐν Τάλῳ. Brunckius ἐν Δαιδάλῳ. Nihil mutandum: nam primariam fabulae personam pro nomine fabulae nominavit grammaticus, quod saepe fecerunt grammatici.

**173.** Scholiasta Aristoph. Pacis v. 73. Μεγάλοι λέγονται εἶναι κατὰ τὴν Αἴτνην κάνθαροι. — Σοφοκλῆς Δαιδάλῳ "Ἀλλ' οὐδὲ μὲν δὴ κάνθαρος τῶν Αἰτναίων πάντως." λέγει δὲ (delevi πάντως post λέγει δὲ repetitum) εἰκάζων εἰς μέγαν. Fort. ἀλλ' οὐ μὲν δὴ κάνθαρος οὗτος | τ. Α. π. ἀλλ' οὐ μὲν δὴ dixit Sophocles El. 103.

**174.** Hesychius, Γοργάδων: ἁλιάδων. Σ. Δαιδάλῳ. Intelligendum de deabus marinis. V. L. Dindorf in Thesauro vol. 2. p. 727. ed. Paris. Zonaras p. 448. Γοργάδες· αἱ δέσποιναι. Hesychius infra, Γοργίδες αἱ Ὠκεανίδες.

**175.** Hesychius, Ἐσέφθην: ἐσεβάσθην, ἡσυχάσας ᾐσχύνθην. Σ. Δαιδάλῳ (codex παιδάλῳ). ἐσέφθην ex Sophocle Choeroboscus in Theodos. p. 489, 22. et Photius p. 19, 7. Male ἐσέβδην scriptum in Crameri Anecd. Oxon. vol. 4. p. 338, 17.

## ΔΑΝΑΗ.

Hanc tragoediam fortasse non diversam fuisse ab Acrisio supra dictum est ubi de Acrisio agebamus.

**176.** Scholiasta Aiacis v. 1. et ex eo Suidas s. v. πεῖρα, Πεῖρα γὰρ ἡ βλάβη, ὡς καὶ ἐν Δανάῃ

Οὐκ οἶδα τὴν σὴν πεῖραν· ἓν δ' ἐπίσταμαι,
τοῦ παιδὸς ὄντος τοῦδ' ἐγὼ διόλλυμαι.

**177.** Hesychius, Ἀνθήμερον: σήμερον ἡμέρα. Σ. Δανάῃ. Brunckius Αὐθημερόν. Glossas similiter corruptas comparavit Ahrens. de dial. Dor. p. 272. Praecedit apud Hesychium, Ἀνθ' ἡμέρας: δι' ὅλης τῆς ἡμέρας.

**178.** Hesychius, Ἀφροδισία ἄγρα: Σ. Δανάῃ

Γόνον τε μήλων κἀφροδισίαν ἄγραν.

(Codex γόνιοιον μήλων.) οἱ μὲν τοὺς πέρδικας, οἳ δὴ πρὸς τὸν καθαρμὸν ἁρμόζουσιν, τῇ δὲ θηλείᾳ παλεύοντες αἱροῦσιν αὐτούς. κακῶς δέ· χοίρῳ γὰρ καθαίρουσι καὶ ἀρνίῳ, ἀλλ' οὐ πέρδικι. λέγει οὖν τὴν τῶν συῶν, διὰ τὸ καταφερὲς εἶναι τὸ ζῷον πρὸς συνουσίαν. — δύναται δὲ καὶ τὴν τῶν αἰγῶν γονὴν δηλοῦν. Gramm. in Bekk. Anecd. p. 472, 22. Ἀφροδισία ἄγρα· οἱ πέρδικες διὰ τὸ τοὺς θηρῶντας τῇ θηλείᾳ ἐπιβουλεύοντας αἱρεῖν αὐτούς. Eustathius p. 1183, 19. λέγεται δέ, φασί, καὶ ἀφροδισία ἄγρα καθὰ πέρδιξ, οὕτω καὶ σῦς· καὶ γὰρ καὶ ὁ χοῖρος κατωφερὴς εἰς ἀφροδίσια. V. Bergk. ad Anacr. p. 227.

**179.** Antiatticista p. 85, 18. Βράχιστον: βραχύτατον. Σ. Δανάῃ.

**180.** Antiatticista p. 90, 31. Δαιμονίζεσθαι: Σ. Δανάῃ. δεδαιμονισμένον ἀντὶ τοῦ τεθεωμένον.

**181.** Antiatticista p. 97, 31. Ζῆ: ἀντὶ τοῦ ζῆθι. — Σ. Δανάῃ "Ζῆ, πῖνε, φέρβου."

## ΔΙΟΝΥΣΙΑΚΟΣ (ΣΑΤΥΡΙΚΟΣ).

**182.** Grammaticus Bekkeri p. 385, 18. Ἄλυπον ἄνθος ἀνίας: εἰ θέλοις εἰπεῖν ἐπί τινος πράγματος ὃ λύπης ἀπαλλάττει, οὕτως ἂν χρήσαιο, ὡς καὶ Σ. ἐν τῷ Διονυσιακῷ σατυρικῷ ἐπὶ οἴνου πρῶτον γευσαμένων τῶν κατὰ τὸν χορὸν σατύρων

Πόθεν ποτ' ἄλυπον ὧδε
εὗρον ἄνθος ἀνίας;

ὅλον δὲ τὸ μελύδριον πολιτικὸν ἄγαν γέγονε. μετὰ γὰρ τῆς ἄλλης ἐναργείας λελυμένην ἔχει τὴν ἑρμηνείαν καὶ μεθύουσιν ἁρμόττουσαν. Incertae de argumento fabulae sunt coniecturae Welckeri in Appendice ad librum de Trilogiis Aeschyleis p. 296. 297.

**183.** Hesychius, Θωχθείς: θωρηχθείς, μεθυσθείς. Σ. Διονυσιακῷ.

ΔΟΛΟΠΕΣ.

Valde incertae Welckeri (p. 140—145.) coniecturae de argumento huius fabulae, quam non diversam fuisse credit ab tragoedia Φοῖνιξ inscripta.

**184a.** Photius p. 36, 12. et Etymol. M. p. 393, 43. Εὐναῖος: ἐγκεκρυμμένος. Σ. Δόλοψιν

Εὐναῖος εἴη δραπέτιν στέγην ἔχων.

Hesychius, Εὐναῖος: λαγώς. Σ. Δόλοψι. καπτηχής. κατεπτηχὼς Nauckius.

**184b.** Cyrillus ap. Schowium ad Hesych. p. 781. Χαμεύνη: ἡ ἐπὶ γῆς κατάκλισις. καὶ τὸ ταπεινὸν κλινίδιον χαμεύνη. Σοφοκλῆς Δόλοψι.

ΕΛΕΝΗΣ ΑΠΑΙΤΗΣΙΣ.

"Ἑλένη. Ἑλένης ἁρπαγή. Ἑλένης ἀπαίτησις. Fabulas quibus argumentum praebuit Helenae historia, omnes coniungo; nescio quattuorne dicam, an tres, an solummodo duas. ΕΛΕΝΗ citatur nude a comici enarratore ad Equites 84. ΕΛΕΝΗΣ ΑΡΠΑΓΗ [quo nomine Alexis comoediam scripsit] laudatur ab auctore argumenti Aiacis, et ita quidem ut intelligatur exhiberi in hoc dramate, si modo scriptum fuit unquam, debuisse Helenam e Troia ereptam, non autem Thesei facinus, qui illam necdum maturam rapuerat. Reliquarum duarum certior est auctoritas." Brunck. Manifestum est duas fuisse fabulas, alteram tragoediam, Ἑλένης ἀπαίτησιν, alteram drama satyricum Ἑλένης γάμον. De Helena repetita vid. schol. Homeri Il. 3, 206. et Ovidius Metam. 13, 200. Coniecturas de singulis partibus fabulae proposuit Welckerus p. 117 seqq. et de satyrico dramate in Appendice ad Trilog. p. 304.

**185.** Schol. Aristoph. Equit. 84. Βέλτιστον ἡμῖν αἷμα ταύρειον πιεῖν: — ἔστι γοῦν ἀπὸ Σ. Ἑλένης

Ἐμοὶ δὲ λῷστον αἷμα ταύρειον πιεῖν,
καὶ μή τι πλείους τῶνδ' ἔχειν δυσφημίας.

τινὲς δέ φασιν ὅτι Σοφοκλῆς περὶ Θεμιστοκλέους τοῦτό φησι. ψεύδονται δέ· οὐ γάρ ἐστι πιθανόν. V. 2. Legebatur μή γε (μήτε codex Flor.) πλείω. Ceterum conf. fragm. 20.

**186.** Schol. Euripidis Phoeniss. 301. (312.) vol. 3. p. 118. ed. Oxon. Εἰ γὰρ καὶ Ἑλληνικῶς ἐλάλουν αἱ Φοίνισσαι, ἀλλ' οὖν γε τὴν πάτριον ἀπήχησιν ἔσωζον τῆς φωνῆς, ὡς Σοφοκλῆς ἐν Ἑλένης ἀπαιτήσει

Καὶ γὰρ χαρακτὴρ αὐτὸς ἐν γλώσσῃ τί με
παρηγορεῖ Λάκωνος ὀσμᾶσθαι λόγου.

V. 1. αὐτὸς Hermannus pro αὐτός. 2. παρηγορεῖ — ὀσμᾶσθαι] προσηγορεῖ — ὁρμᾶσθαι codices plerique.

**187.** Erotianus p. 180. (p. 77. ed. Klein.) Θράσσει — ἔστι δὲ ὀχλεῖ, καὶ Σ. ἐν Ἑλένης ἀπαιτήσει φησὶ

Γυναῖκα δ' ἐξελόντες, ἣ θράσσει γένυν
τε ὡς τοῦ μὲν ἐῷλον γραφίοις ἐνημμένοις.

V. 2. ἐῷλον] Sic codex Paris. 2651. αἰῶλον Paris. 2614. αἴολον Paris. 1868. Verba corrupta ab aliis aliter tentata: v. Welcker. p. 122. γραφίοις in γραβίοις mutabat Schneiderus in Lexico.

**188.** Strabo 14. p. 643. Οἱ δὲ τὸν Κάλχαντά φασιν ἀποθανεῖν ὑπὸ λύπης καὶ κατά τι λόγιον. λέγει δ' αὐτὸ Σοφοκλῆς ἐν Ἑλένης ἀπαιτήσει, ὡς εἱμαρμένον εἴη ἀποθανεῖν, ὅταν κρείττονι ἑαυτοῦ μάντει περιτύχῃ. οὗτος δὲ καὶ εἰς Κιλικίαν μεταφέρει τὴν ἔριν (Calchantis et Mopsi) καὶ τὸν θάνατον τοῦ Κάλχαντος. Ibid. p. 675. ἤρισαν περὶ τῆς μαντικῆς ὅ τε Κάλχας καὶ ὁ Μόψος· ταύτην τε γὰρ τὴν ἔριν μεταφέρουσιν ἔνιοι, καθάπερ καὶ Σοφοκλῆς, εἰς τὴν Κιλικίαν, καλέσας ἐκεῖνος αὐτὴν Παμφυλίαν τραγικῶς, καθάπερ καὶ τὴν Λυκίαν Καρίαν καὶ τὴν Τροίαν καὶ Λυδίαν Φρυγίαν. καὶ τὸν θάνατον δὲ τοῦ Κάλχαντος ἐνταῦθα παραδιδόασιν ἄλλοι τε καὶ Σοφοκλῆς. V. Welcker. p. 123.

**189.** Hesychius, Ἀναχαιτίζειν: ἀναπείθειν, ἀναχαλινοῦν. ἀνακρούεται, ἀναποδίζει. κυρίως δὲ ἐπὶ τῶν ἵππων. Σ. Ἑλένης ἀπαιτήσει. Suidas Ἀναχαιτίζει: αἰτιατικῇ. ἀναποδίζει, ἐγκόπτει. ἀναχαιτίζειν Σοφοκλῆς τὸ ἀπειθεῖν καὶ ἀντιτείνειν.

ΕΛΕΝΗΣ ΓΑΜΟΣ (ΣΑΤΥΡΙΚΟΣ).

Aristides vol. 2. p. 307. (cuius verba repetivit Photius Bibl. p. 438, 6.) Αὐτὴν μὲν γὰρ ἐὰν ἴδωσι τὴν Ἑλένην, Ἑλένην λέγω; θεράπαιναν μὲν οὖν ὁποίαν ἐποίησε Μένανδρος τὴν Φρυγίαν, τῷ ὄντι παιδιὰν ἀποφαίνουσι τοὺς σατύρους τοῦ Σοφοκλέους. Satyri igitur huius dramatis, ut monet Nauckius, quum Helenam conspexerunt, turpi libidine inflammantur.

**190.** Athenaeus 3. p. 76d. (ex eoque Eustath. p. 1205, 3.) Σοφοκλῆς ἐν Ἑλένης γάμῳ τροπικῶς τῷ τοῦ δένδρου (ἐρινοῦ) ὀνόματι τὸν καρπὸν ἐκάλεσεν εἰπὼν

Πέπων ἐρινὸς ἀχρεῖος ὢν
ἐς βρῶσιν ἄλλους ἐξερινάζεις λόγῳ.

πέπων δ' ἐρινὸς εἴρηκεν ἀντὶ τοῦ πέπον ἐρινόν.

V. 1. ἀχρεῖος ex glossemate illatum recte delere videtur Cobetus Var. Lect. p. 289. Aptius foret αὐτός, quod sensit Porsonus quum coniiceret πέπων ἐρινὸς ὡς ἀχρεῖος αὐτὸς ὤν. 2. ἐς] εἰς apud Eust.

**191.** Etymolog. M. p. 601, 20. Νένωται: νενόηται. παρὰ Σοφοκλεῖ Ἑλένης γάμῳ. Hesychius, Νένωται: ἐν νῷ ἔχει. Est forma Ionica, de qua dixi in Comment. de dialecto Herodoti p. viii.

**192.** Photius p. 371, 21. Πανόν: ἀπὸ τοῦ πάντα φαίνειν σχηματισθέντα κατὰ μεταβολὴν τοῦ φ. Σ. Ἑλένης γάμῳ. "Fortasse haec supplenda ex Eustathio p. 1189, 24. ὁ δ' αὐτὸς (φανός) καὶ πανός, ἀπὸ τοῦ φαίνειν σχηματισθείς, φασί, κατὰ μεταβολὴν τοῦ φ, οἷον "πανοῦχον ἅψαντες φλόγα." V. Meinekium Com. vol. 4. p. 378." Nauck.

**193.** Grammaticus in appendice ad Photium p. 674, 20. Ὀροσάγγαι οἱ σωματοφύλακες, ὡς Ἑλένης γάμῳ καὶ Τρωΐλῳ.

ΕΠΙΓΟΝΟΙ.

**194. 195.** "Sophoclis Epigonos Latine expresserat Attius, cuius versum laudat Cicero Tuscul. 2, 24. *Tum Cleanthem, quum pede terram percussisset, versum ex Epigonis ferunt dixisse*:

*Audisne haec, Amphiarae sub terram abdite?*

Sophoclis Epigonorum ab Attio conversorum meminit Cicero in libro de oratorum optimo genere cap. 6. Euripidis Andromacham apud Romanos docuit Ennius: Antiopam Pacuvius: Sophoclis Epigonos Attius." Brunck. Fabulam non diversam esse ab Eriphyla Welckerus p. 269. coniecit probabiliter. De Attii Epigonorum fragmentis (quae fabula *Eriphyla* appellatur a Prisciano vol. 1. p. 251. Kr.) dixit idem p. 270. et seqq. et O. Ribbeckius ad Trag. Fragm. p. 314 seqq.

**196.** Stobaeus 38, 27.

Φιλεῖ γὰρ ἡ δύσκλεια τοῖς φθονουμένοις
νικᾶν ἐπ' αἰσχροῖς ἢ 'πὶ τοῖς καλοῖς πλέον.

**197.** Stobaeus 73, 51.

Ὦ πᾶν σὺ τολμήσασα καὶ πέρα, γύναι,
κάκιον ἄλλ' οὐκ ἔστιν οὐδ' ἔσται ποτὲ
γυναικός, εἴ τι πῆμα γίγνεται βροτοῖς.

V. 1. γύναι] γυνὴ libri optimi. 3. εἴ] ἢ εἰ vel ἤει libri.

**198.** Athenaeus 13. p. 584d. Ἀνδρονίκου δὲ τοῦ τραγῳδοῦ ἀπ᾽ ἀγῶνός τινος, ἐν ᾧ τοὺς Ἐπιγόνους εὐημερήκει, πίνειν μέλλοντος παρ᾽ αὐτῇ (Γναθαίνῃ) καὶ τοῦ παιδὸς κελεύοντος τὴν Γνάθαιναν προσαναλῶσαι,

Ὀλόμενε παίδων, ποῖον εἴρηκας λόγον;

Non liquet utrum Aeschyli an Sophoclis Ἐπιγόνους dicat.

---

De fragmento per errorem ad hanc fabulam relato vide ad 230.

---

## ΕΡΙΣ.

Ἔριν Welckerus in Append. ad Trilog. p. 313. intelligit contentionem Iovis et Neptuni de Themide, quae θεῶν ἔρις τε καὶ κρίσις διὰ Θέμιδός τε καὶ Διός dicitur a Platone Rep. 2. p. 379e. Cuiusmodi drama Ἔρις inscribi poterat, ut Κρίσις drama satyricum inscriptum fuit omisso θεῶν. Fuit autem Ἔρις quoque satyricum, ut vel ex fragm. 199. colligi potest.

**199.** Athenaeus 14. p. 646d. Ἴτριον πεμμάτιον λεπτὸν διὰ σησάμου καὶ μέλιτος γινόμενον. μνημονεύει αὐτοῦ — Σοφοκλῆς Ἔριδι

Ἐγὼ δὲ πεινῶσ᾽ αὖ πρὸς ἴτρια βλέπω.

**200.** Hesychius, Εὔωρος γάμος: Σ. Ἔριδι. ἤτοι ὡραῖος (ὥριος codex) ἢ ὀλίγωρος. οὕτω γὰρ λέγουσι κατὰ ἀντίφρασιν, ὡς ὁ αὐτὸς ἐν Σκυρίαις χρῆται τῷ εὐωριάζειν. Pro γάμος legendum esse γάμου docet interpretatio ὀλίγωρος quamvis falsa. Monuit Nauckius.

**201.** Antiatticista p. 108, 9. Μίαν μίαν: ἀντὶ τοῦ κατὰ μίαν. Σ. Ἔριδι.

## ΕΡΙΦΥΛΗ.

Hoc drama idem cum Epigonis esse videri Welckero supra diximus ad Fragm. 195.

**202.** Stobaeus 1, 1.

Ἀρετῆς βέβαιαι δ᾽ εἰσὶν αἱ κτήσεις μόναι.

**203.** Stobaeus 7, 7.

Ἀνδρῶν γὰρ ἐσθλῶν στέρνον οὐ μαλάσσεται.

Similiter Menand. Monost. 31. ἀνδρὸς πονηροῦ σπλάγχνον οὐ μαλάσσεται.

**204.** Stobaeus 43, 7.

Ὅπου δὲ μὴ τἄριστ᾽ ἐλευθέρως λέγειν
ἔξεστι, νικᾷ δ᾽ ἐν πόλει τὰ χείρονα,
ἁμαρτίαι σφάλλουσι τὴν σωτηρίαν.

V. 1. τἄριστ᾽ Wyttenbachius. τὰ ῥᾷστ᾽ libri. 2. Imitatur Homeri Il. 1, 576. ἐπεὶ τὰ χερείονα νικᾷ. V. Boiss. Anecd. nov. p. 68.

**205.** Stobaeus 99, 20.

Πῶς οὖν μάχωμαι θνητὸς ὢν θείᾳ τύχῃ;
ὅπου τὸ δεινὸν, ἐλπὶς οὐδὲν ὠφελεῖ.

**206.** Stobaeus 117, 3.

Γήρᾳ πρεπόντως σῶζε τὴν εὐφημίαν.

πρεπόντως Nauckius. Libri προσηκόντως vel προσόντως, ex quo Brunckius προσήκων fecerat. εὐφημίαν ex εὐθυμίαν corruptum esse potest.

**207.** Clemens Strom. 6. p. 741. Λάβοις δ᾽ ἂν ἐκ παραλλήλου — Εὐριπίδου μὲν ἐκ τοῦ Ὀρέστου "ὦ φίλον ὕπνου θέλγητρον ἐπίκουρον νόσου," Σοφοκλέους δὲ ἐκ τῆς Ἐριφύλης,

Ἄπελθ᾽ ἐκείνης ὕπνον ἰατρὸν νόσου.

ἄπελθ᾽· ἐκείνης ὕπνος ἰατρὸς νόσου Valckenar. ad Hippolyt. p. 313. Minus probabilis Nauckii coniectura ἄπελθε· κινεῖς ὕπνον ἰατρὸν νόσου, ut ἐξ ὕπνου κινεῖν δέμας dixit Euripides Bacch. 680.

**208.** Appendix Vat. Proverb. 2, 49. (vol. 1. p. 423. ed. Schn.) Καὶ γὰρ Ἀργείους ὁρᾷς: αὕτη Σοφόκλειος. πεποίηται γὰρ Ἐριφύλη πρὸς Ἀλκμαίωνα λέγουσα

Καὶ γὰρ Ἀργείους ὁρῶ.

εἴρηται δὲ ἐπὶ τῶν ἐκτενῶς πρὸς ὁτιοῦν βλεπόντων καὶ καταπληκτικόν τι δοκούντων ὁρᾶν. οἱ δὲ ἐπὶ τῶν εἰς κλοπὴν ὑπονοουμένων. κωμῳδοῦνται γὰρ Ἀργεῖοι ἐπὶ κλοπῇ, ὡς καὶ Σοφοκλῆς ἐχρήσατο.

**209.** Ioannes Damasc. in Gaisfordi appendice ad Stobaeum vol. 4. p. 13. (sive post Ecl. p. 699, 3.) Σοφοκλέους Ἐριφύλη

*γλῶσσ᾽ ἐν οἷσιν ἀνδράσιν τιμὴν ἔχεις,
ὅπου λόγοι σθένουσι τῶν ἔργων πλέον.

V. 1. Ἡ supplet Brunckius et ἔχει scribit. Γλῶσσ᾽ ἐν κενοῖσιν ἁ. τ. ἔχει Iacobsius. Fort. Ὦ γλῶσσ᾽, ἐν οἵοις —

## ΕΡΜΙΟΝΗ.

**210.** Eustathius p. 1479. (conf. schol. Odyss. 4, 4.) Σοφοκλῆς δέ, φασίν, ἐν Ἑρμιόνῃ ἱστορεῖ ἐν Τροίᾳ ὄντος ἔτι Μενελάου ἐκδοθῆναι τὴν Ἑρμιόνην ὑπὸ τοῦ Τυνδάρεω τῷ Ὀρέστῃ· εἶτα ὕστερον ἀφαιρεθεῖσαν αὐτοῦ ἐκδοθῆναι τῷ Νεοπτολέμῳ κατὰ τὴν ἐν Τροίᾳ ὑπόσχεσιν· αὐτοῦ δὲ Πυθοῖ ἀναιρεθέντος ὑπὸ Μαχαιρέως, ὅτε τὸν Ἀπόλλω τινύμενος τὸν τοῦ πατρὸς ἐξεδίκει φόνον, ἀποκατασταθῆναι αὖθις αὐτὴν τῷ Ὀρέστῃ· ἐξ ὧν γενέσθαι τὸν Τισαμενὸν, φερωνύμως οὕτω κληθέντα παρὰ τὴν μετὰ μένους τίσιν, ἐπεὶ ὁ πατὴρ Ὀρέστης ἐτίσατο τοὺς φονεῖς τοῦ Ἀγαμέμνονος. "Confer interpretem Hygini ad fab. 123. ubi ex his Eustathii verbis corrigitur scholiasta Euripidis ad Orest. 1687." Brunck. Apud schol. Euripidis Neoptolemi mors narratur ex Euripide et Pherecyde, additurque ταῦτα γενεαλογεῖ καὶ Σοφοκλῆς. Aliorum locos collegit Welckerus p. 220 seqq. comparatis etiam Pacuvii Hermionae fragmentis, de quibus v. Ribbeckius ad Fragm. Trag. p. 289—291. Euripides Hermionam in scenam produxit in Andromacha.

**211.** Stephanus, Ἀγυιά: τόπος δηλῶν τὴν ἐν τῇ πόλει πορευτὴν ὁδὸν — τὸ τοπικὸν ἀγυιαῖος. Σοφοκλῆς Ἑρμιόνῃ

Ἀλλ᾽ ὦ πατρῴας γῆς ἀγυιαίου πέδον.

**212.** Antiatticista p. 87, 25. Γνωστός: ἀντὶ τοῦ γνώριμος. Σ. Ἑρμιόνῃ.

## ΕΥΜΗΛΟΣ.

**213.** Hesychius, Αἵματος ἆσαι Ἄρηα: αἵματος κορέσαι τὸ δόρυ. ἢ αἵματι μολῦναι καὶ χρῶσαι αὐτό. ἄση γὰρ ἡ ῥυπαρία. ὅθεν καὶ ἀσάμινθος (codex ἀσάμεθα), ἐν ᾗ τὴν ἄσην μινύθοντες ἐνεορεῖ (corrigunt ἐλούοντο ex Suida s. v. ἀσάμινθος). Σοφοκλῆς Εὐμήλῳ. Codex ἀμήλῳ. Glossam Homericam post μινύθοντες defectam cum alia glossa, cuius exciderit initium, coaluisse coniicit Schmidtius.

**214.** Harpocratio, Καθελών: Δημοσθένης — ἀντὶ τοῦ ἀνελὼν ἢ ἀποκτείνας. ἐχρήσαντο δὲ οὕτω τῷ ὀνόματι καὶ ἄλλοι, ὡς καὶ Στησίχορος ἐν Ἰλιοπέρσιδι καὶ Σοφοκλῆς ἐν Εὐμήλῳ. Ex Epitome Photius p. 122, 1.

## ΕΥΡΥΑΛΟΣ.

**215a.** "Euryalus filius fuit Ulyssis et Euippes, quem ab ipso patre Ulysse interfectum alii narrant, alii vero Telemacho. Vide Parthenii Erotica cap. 3. cuius inscriptio est: Περὶ Εὐίππης· ἱστορεῖ Σοφοκλῆς Εὐρυάλῳ. Eustathius p. 1796, 52. Κατὰ δὲ Λυσίμαχον (ἐν Νόστοις) υἱὸς αὐτῷ (Ὀδυσσεῖ) ἐξ Εὐίππης Θεσπρωτίδος Λεοντόφρων, ὃν ἄλλοι Δόρυκλόν φασι.

Σοφοκλῆς δὲ ἐκ τῆς αὐτῆς (Εὐίππης) Εὐρύαλον ἱστορεῖ, ὃν ἀπέκτεινε Τηλέμαχος." Brunck. Extrema Parthenii verba τρωθεὶς ἀκάνθῃ θαλασσίας τρυγόνος ἐτελεύτησεν senarium τρωθεὶς ἀκάνθῃ τρυγόνος θαλασσίας efficere monet Meinekius, quem Sophoclis esse posse. Breviter de hac tragoedia dixit Welckerus p. 248.

### ΕΥΡΥΣΑΚΗΣ.

**215b.** Hesychius, Ἀδόξαστον: ἀσάλπιστον. Σοφοκλῆς εὐρησά (κ). Recte haud dubie Musurus Εὐρυσάκει, quum L. Attius Eurysacem tragoediam scripserit, fortasse Sophoclem imitatus, ut monet Welckerus p. 198. Eadem glossa in Bekk. Anecd. p. 344, 28., sed omisso fabulae nomine. Sophocles quomodo hanc fabulam tractaverit nescimus: facilius est de Attii tragoediae compositione coniecturas facere. De qua videnda quae Welckerus p. 198—203. et Ribbeckius in annotationibus ad Attium p. 328—332. dixerunt.

### ΗΡΑΚΛΗΣ ΕΠΙ ΤΑΙΝΑΡΩΙ (ΣΑΤΥΡΙΚΟΣ).

**216.** "Hercules in Taenaro ad inferos descendit ad Cerberum in lucem educendum: hinc fabulae satyricae nomen et argumentum." Toup. Chorum ex Helotibus compositum fuisse memoravit Eustathius p. 297, 37. ἐν γοῦν τοῖς Ἡρωδιανοῦ εὕρηται ὅτι Εἵλωτες οἱ ἐπὶ Ταινάρῳ σάτυροι. Nomen fabulae, quod non dubium est quin Ἡρακλῆς ἐπὶ Ταινάρῳ fuerit, variis modis scriptum in locis grammaticorum infra indicandis. Ἡρακλίσκος haec fabula dici videtur ab Orione in Gnomologio codicis Vindob. ap. Schneidewin. in Coniectan. crit., ubi duo afferuntur fragmenta, alterum p. 47. ἐκ τοῦ Ἡρακλείσκου σατουρίκης (sic codex),

Κρεῖσσον θεοῖς γὰρ ἢ βροτοῖς χάριν φέρειν·

alterum p. 49. ἐκ τοῦ Ἡρακλείσκου Σοφοκλέους,

Τὸν δρῶντα γάρ τι καὶ παθεῖν ὀφείλεται.

Sed manifestum est Ἡρακλείσκου illud sive ab grammatico sive ab librario fictum esse ex Ἡρακλέους σατυρικοῦ. Versus prior in Florilegio Leidensi 98. (in Schneidew. Philologo vol. 6. p. 587.) sine nomine poetae et fabulae affertur. Alterum memorat scholiasta Pindari Nem. 4, 51. παρὰ τοῦτο ὁ τραγικὸς "τὸν δρῶντά πού τι καὶ παθεῖν ὀφείλεται." Arrianus Anab. 6, 13, 5. καί τι καὶ ἰαμβεῖον ἐπειπεῖν· τὸν δὲ νοῦν εἶναι τοῦ ἰαμβείου ὅτι τῷ τι δρῶντι καὶ παθεῖν ἐστιν ὀφειλόμενον. Simillimus versus δράσαντι γάρ τι καὶ παθεῖν ὀφείλεται Aeschylo tribuitur ab Theophilo ad Autolycum 2, 53. p. 252. et Stobaeo Ecl. 1, 3, 24. p. 118.

**217.** Athenaeus 9. p. 375d. Χοῖρον δὲ Ἴωνες καλοῦσι τὴν θήλειαν, ὡς Ἱππῶναξ — καὶ Σοφοκλῆς ἐπὶ Ταιναρίοις

Τοιγὰρ Ἰὼ δεῖ φυλάξαι χοῖρον ὥστε δεσμίαν.

Codex τοιγαριώδη φυλάξαι χοῖρος ὥς τε δεσμίων.

**218.** Pollux 10, 110. Προσθετέον δὲ τῷ μαγείρῳ καὶ ξύλα καύσιμα καὶ κληματίδας καὶ ἐκκαύματα, εἰπόντος Σοφοκλέους ἐν Ἡρακλεῖ σατυρικῷ

Συνέλεγον τὰ ξύλ', ὡς ἐκκαυμάτων
μή μοι μεταξὺ προσδεήσειεν.

Vulgo ἐκκαύματα. Idem 7, 109. Ἐκκαύματα Σ. ἐν Ἡρακλεῖ σατυρικῷ "Συνέλεγον τὰ ξύλ', ὡς ἐκκαυμάτων μή μοι δεήσειεν."

**219.** Stephanus, Χώρα: — χωρίτης — Σοφοκλῆς — ἐν Ἡρακλεῖ

Τρέφουσι κρήνης φύλακα χωρίτην ὄφιν.

Iacobsius Ἡρακλεῖ σ. (i. e. σατυρικῷ), Τρέφουσι —. Legebatur Ἡρακλεῖ στρέφουσι —. Conf. infra ad fragm. 333.

**220.** Hesychius, Ἀλαλίαν: πονηρίαν, ἀταξίαν. Σ. ἐπὶ Ταιναρίοις. Codex ἐπὶ παιενάροις. Videntur grammatici hanc fabulam Ἐπιταιναρίους dixisse, satyros intelligentes.

**221.** Hesychius, Ἀργέμων: τῶν ἐν τοῖς ὀφθαλμοῖς λευκωμάτων. οἱ δὲ ὀφθαλμιῶν (codex ὀφθαλμῶν). Σ. ἐπὶ Ταινάρῳ σατυρικῷ.

**222.** Hesychius, Κύκλους καὶ τροχούς: τὰ τείχη. τροχὸν δὲ τὸ τεῖχος, ὡς Σ. Ἡρακλεῖ "Κυκλώπιον τροχόν."

**223.** Photius p. 359, 25. Οὐκ ὤφιξεν: οὐ βλάπτει. Σ. ἐν ἐπὶ τεράρῳ σατύροις. Corrigendum οὐ κωφεῖ, de quo dixerunt Hesychii interpretes ad glossas Κωφεῖ: κακουργεῖ, βλάπτει, κωλύει, πηροῖ. et Οὐ κωφεῖ: οὐ βλάπτει, οὐ πηροῖ. et Κωφητέος: βλαπτέος.

---

De fragmento ad hanc fabulam, ut videtur, referendo vide ad fragm. 695.

---

### ΗΡΙΓΟΝΗ.

Erigonam tragoediam L. Attius scripsit, fortasse Sophocleam imitatus, quam non diversam esse ab Ἀλήτῃ Welckeri coniectura est supra exposita.

**224.** Etymolog. M. p. 762, 12. Τοπάζειν: στοχάζεσθαι, ἐνθυμεῖσθαι, ὑπονεῖν. καὶ παρὰ Σοφοκλεῖ ἐν Ἠριγόνῃ

Ἃ δὲ
δόξῃ τοπάζω, ταῦτ' ἰδεῖν σαφῶς θέλω.

Similiter Photius p. 595, 7. et Suidas.

**225.** Erotianus p. 374. (p. 128. ed. Klein.) Ὕποφρον: κρυφαῖον, ὥς φησιν ὁ Ταραντῖνος. μαρτυρεῖ γὰρ ὁ Σοφοκλῆς ἐν Σμηριγόνῃ λέγων

Νῦν δ' εἰρὴ ὕποφρος ἐξ αὐτῶν ἕως
ἀπώλεσέν τε καὐτὸς ἐξαπώλετο.

μέμνηται ὁ αὐτὸς καὶ ἐν Ἰφιγενείᾳ. καὶ ὁ Ἱπποκράτης δὲ σαφὲς ποιεῖ λέγων "οὐθὲν ὅττι καὶ ὕποφρον καὶ ἔχον περὶ αὐτὸ θαλάμας." Sophoclis versus prior graviter corruptus est. Vocabuli autem ab Erotiano notati vera forma est ὕπαφρος, de qua dixi in Thesauro vol. 8. p. 137. allatis aliorum de hoc adiectivo locis grammaticorum.

### ΘΑΜΥΡΑΣ.

Atticam nominis formam Θαμύρας, qua usus est Sophocles, librarii in plerisque scriptorum locis in Θάμυρις mutarunt. Recte Cyrillus in Crameri Anecd. Paris. vol. 4. p. 183, 13. Θάμυριν· — Ἀττικοὶ δὲ ὁ Θαμύρας, cuius formæ exempla sunt apud Platonem aliosque, de quo dixi in Thesauro vol. 4. p. 247.

Athenaeus 1. p. 20. Σοφοκλῆς δὲ πρὸς τῷ καλὸς γεγενῆσθαι τὴν ὥραν ἦν καὶ ὀρχηστικὴν δεδιδαγμένος, καὶ μουσικὴν ἔτι παῖς ὢν παρὰ Λάμπρῳ — καὶ τὸν Θάμυριν διδάσκων αὐτὸς ἐκιθάρισεν. ἄκρως δὲ ἐσφαίρισεν, ὅτε τὴν Ναυσικάαν καθῆκε. Scriptor Vitae Sophoclis (Schol. vol. 2. p. 2, 13.) Φασὶ δ' ὅτι καὶ κιθάραν ἀναλαβὼν ἐν μόνῳ τῷ (μονῳδῷ Welckerus p. 425.) Θαμύριδί ποτε ἐκιθάρισεν, ὅθεν καὶ ἐν τῇ ποικίλῃ στοᾷ μετὰ κιθάρας αὐτὸν γεγράφθαι. De persona Thamyrae Pollux 4, 141. τὰ δ' ἔκσκευα πρόσωπα Ἀκταίων ἐστὶ κερασφόρος, ἢ Φινεὺς τυφλός, ἢ Θάμυρις τὸν μὲν ἔχων γλαυκὸν ὀφθαλμόν, τὸν δὲ μέλανα. Argumentum fabulae Sophocleae fuit Tha-

myrae certamen cum Musis, quae χολωσάμεναι πηρὸν θέσαν, αὐτὰρ ἀοιδὴν θεσπεσίην ἀφέλοντο καὶ ἐκλέλαθον κιθαριστύν (Hom. Il. 2, 599). Sed quomodo hoc argumentum tractaverit Sophocles ex fragmentis coniici non potest. Dixit de eo Welckerus p. 419.—428.

**226.** Pollux 4, 75. Μόναυλος εὕρημα μέν ἐστιν Αἰγυπτίων, μέμνηται δὲ αὐτοῦ Σ. ἐν Θαμύριδι. Athenaeus 4. p. 175. Τοῦ δὲ μοναύλου μνημονεύει Σοφοκλῆς μὲν ἐν Θαμύρᾳ οὕτως

Ὤιχωκε γὰρ κροτητὰ πηκτίδων μέλη,
λύρα μοναύλοις τε χειμωντεως
ναος στέρημα κωμασάσης.

V. 2. 3. ab nemine dum probabiliter emendati. λύρα μόναυλοί θ᾽ οἷς ἐχαίρομεν τέως Nauckius. Alia tentavit Herwerdenus p. 25. λύρα μόναυλοί θ᾽, οὓς τύχῃ, χειμὼν ὅπως | ναὸς τέρεμνα κωμάσασ᾽ ἀνήρπασεν.

**227.** Athenaeus 14. p. 637a. Σοφοκλῆς δ᾽ ἐν Θαμύρᾳ

Πηκταὶ δὲ λύραι καὶ μαγάδιδες
τά τ᾽ ἐν Ἕλλησι ξόαν᾽ ἡδυμελῆ.

Photius p. 239, 15. Μάγαδις: ψαλτικὸν ὄργανον. οὕτω Σοφοκλῆς. Μαγάδιδες, quod nomen in aliorum poetarum locis syllabam primam brevem habet, Sophocles metro anapaestico accommodavit syllaba prima producta, quod tanto minus offensionis habet, quum nomen barbara sit origine. μαγαδῖδες praetulit Meinekius Com. vol. 3. p. 179. De alio instrumento, τριγώνῳ, quod ex Thamyra memoratur, vide infra fragm. 361.

**228.** Scholiasta Hephaestionis ex cod. Bodl. editus ab Gaisfordo vol. 1. p. 170. (sive ap. Cramerum in Anecd. Paris. vol. 4. p. 183.) Χορεῖος ὅτι πρὸς τὰ χορικὰ μέλη πολλάκις λαμβάνεται, τρίβραχυς δὲ διὰ τὸ ἐκ τριῶν βραχειῶν συγκεῖσθαι — τροχαῖος δὲ, ἐπειδὴ ὁ Σοφοκλῆς ἐν τῷ Θαμύριδί φησι

Πρόποδα μέλεα· τὰ δ᾽ ὅσα κλύομεν
τρόχιμα, βάσιμα, χέρεσι, πόδεσι.

Eadem ex codice Ambrosiano edidit H. Keilius in Analectis grammaticis (Halis a. 1848.) p. 8, 10. ubi πρόσωδα μέλεα τάδε σε κλαίομαι — χερσὶ πόδεσσιν. Πρόσοδα μέλεα, quae vulgo προσόδια appellantur, Nauckius coniecit. Miras in poeta Attico formas χέρεσι πόδεσι propter metri necessitatem admisit Sophocles, quod puros postulabat tribrachos.

**229.** Eustathius p. 358, 40. Ὅτι δὲ Θρᾳκικὸς καὶ ὁ Ἄθως, οὗ μνεία παρὰ τῷ ποιητῇ, δηλοῖ, φασὶ, Σοφοκλῆς ἐν Θαμύριδι εἰπὼν

Θρῄσσαν σκοπιὰν Ζηνὸς Ἀθῴου.

**230.** Scholiasta Sophoclis Oedip. Col. 378. Πολλαχοῦ τὸ Ἄργος κοῖλόν φασι, καθάπερ καὶ ἐν Θαμύρᾳ (codex θαμυρία)

Τὸ κοῖλον Ἄργος οὐ κατοικήσαντ᾽ ἔτι.

καὶ ἐν Ἐπιγόνοις

Ἐκ μὲν Ἐριχθονίου ποτιμάστιον ἔσχεθε κοῦρον
Αὐτόλυκον, πολέων κτεάνων σίνιν Ἀργεϊ κοίλῳ.

Legebatur Ἐπιγόνοις — Θαμύρᾳ. Transposuit Kirchhoffius. Epigoni cyclicum sunt carmen.

**231.** Antiatticista p. 105, 27. Κάνναβις: Σ. Θαμύρᾳ, Ἡρόδοτος τετάρτῃ.

**232a.** Plutarchus Moral. p. 455d. Ἀλλ᾽ ὀργιζόμεθα καὶ πολεμίοις καὶ φίλοις, καὶ τέκνοις καὶ γονεῦσι, καὶ θεοῖς νὴ Δία, καὶ θηρίοις καὶ ἀψύχοις σκεύεσιν, ὡς ὁ Θάμυρις

Ῥηγνὺς χρυσόδετον κέρας,
ῥηγνὺς ἁρμονίαν χορδοτόνου λύρας.

**232b.** Plutarchus Moral. p. 1093d. Τὰ Σοφοκλέους περίεισιν ᾄδων

Μουσομανεῖ δ᾽ ἐλάμφθην δακέτῳ, ποτὶ δειρὰν
ἔρχομαι δ᾽ ἔκ τε λύρας ἔκ τε νόμων,
οὓς Θαμύρας περίαλλα μουσοποιεῖ.

V. 1. ἐλάμφθην] ἐθάλφθην Brunckius. δακέτῳ] Legebatur δ᾽ ἂν καὶ τῷ (τὸ codex Harl.). Correxit Brunckius. 3. οὓς Porsonus pro οὗ. Plura in his corrupta esse sensus et metrum docet.

## ΘΗΣΕΥΣ.

Theseum tragoediam scripsit Euripides, cuius de argumento nonnulla coniici possunt ex fragmentis. De Sophoclea tragoedia omnia incerta. Neque enim eadem esse videtur fabula quae Φαίδρα, quod contendit Welckerus ubi de Phaedra dixit p. 394—402.

**233a.** "Ad hoc drama pertinere videntur ista in prolegomenis ad Pindari Isthmia: Τὸν τῶν Ἰσθμίων ἀγῶνα οἱ μὲν ἐπὶ Σίνιδι τῷ Προκρούστῃ διαθεῖναί φασι τὸν Θησέα, ἀνελόντα αὐτὸν, ὅτε περ καὶ τοὺς ἄλλους, ὥς φησι Σοφοκλῆς, λέγων περὶ αὐτοῦ

Ὃς παρακτίαν
στείχων ἀνημέρωσα κνωδάλων ὁδόν."

Brunck.

**233b.** Suidas et Photius p. 342, 11. Ὄμπνιον (Ὄπνιον Photius) νέφος: μέγα, πολὺ, ηὐξημένον. Σ. Θησεῖ. Photius p. 335, 9. Ὀμπνίου νέφους: μεγίστου.

## ΘΥΕΣΤΗΣ ΕΝ ΣΙΚΥΩΝΙ Η ΣΙΚΥΩΝΙΟΣ. ΘΥΕΣΤΗΣ ΔΕΥΤΕΡΟΣ.

"Duo fuerunt dramata. Prioris actio transigebatur Sicyone, posterioris Argis. Utriusque argumentum colligi potest ex Hygini fabula 88." Brunck. Valde incertae hae coniecturae poteratque pari iure sumi Thyestem alterum correctam et mutatam prioris editionem fuisse: de qua ratione diximus ad Athamantis fragm. 1. dubitavitque etiam Welckerus p. 366. Dio Chrys. vol. 2. p. 349. exposita de Thyeste fabula, τούτοις δὲ, inquit, οὐκ ἄξιον ἀπιστεῖν, ἃ γέγραπται μὲν οὐχ ὑπὸ τῶν τυχόντων ἀνδρῶν, Εὐριπίδου καὶ Σοφοκλέους, λέγεται δὲ ἐν μέσοις τοῖς θεάτροις.

**234a.** Orion in Gnomologio cod. Vindob. apud Schneidewin. Coniect. crit. p. 47. ἐκ τοῦ ά Θυέστου,

Σοφὸς γὰρ οὐδεὶς πλὴν ὃν ἂν τιμᾷ θεός·
ἀλλ᾽ ἐς θεοὺς ὁρῶντα κἂν ἔξω δίκης
χωρεῖν κελεύῃ, κεῖσ᾽ ὁδοιπορεῖν χρεών·
αἰσχρὸν γὰρ οὐδὲν ὧν ὑφηγοῦνται θεοί.

V. 1. τιμᾷ] τιμήσῃ in Florilegio Leidensi 99. in Schneidew. Philologo vol. 6. p. 587. ubi hic versus omisso poetae et fabulae nomine affertur. ὃς ἂν τιμᾷ θεούς Beynenius.

**234b.** Stobaeus Eclog. phys. 1, 5. p. 156. Heer.

Πρὸς τὴν ἀνάγκην οὐδ᾽ Ἄρης ἀνθίσταται.

**235.** Stobaeus Floril. 29, 1.

Ὡς νῦν τάχος στείχωμεν. οὐ γὰρ ἔσθ᾽ ὅπως
σπουδῆς δικαίας μῶμος ἅψεταί ποτε.

V. 2. ἅψεται Valckenarius ad Eurip. Hippol. 604. Legebatur ἅπτεται.

**236.** Stobaeus 108, 21.

Ἔχει μὲν ἀλγείν᾽, οἶδα· πειρᾶσθαι δὲ χρὴ
ὡς ῥᾷστα τἀναγκαῖα τοῦ βίου φέρειν.
ἐκ τῶν τοιούτων χρή τιν᾽ ἴασιν λαβεῖν.

V. 1. ἔχει codices. ἔχεις Trincav. ἀλγείν᾽ — χρὴ] ἀλγεῖν ἃ οἶδα· σύμφορον δέ σοι cod. Par. A. Versum 2. huc relatum ex proximo excerpto (22.), ubi

Eur. Hel. 253. affertur, delet Badhamus, χρὴ quod sequitur v. 3. in δὴ mutato.

**237.** Stobaeus 113, 12.

Ἔνεστι γάρ τις καὶ λόγοισιν ἡδονή,
λήθην ὅταν ποιῶσι τῶν ὄντων κακῶν.

**238.** Stobaeus 115, 16.

Καίπερ γέρων ὢν, ἀλλὰ τῷ γήρᾳ φιλεῖ
χὠ νοῦς ὁμαρτεῖν καὶ τὸ βουλεύειν ἃ δεῖ.

**239.** Scholiasta Euripidis Phoeniss. 227. vol. 3. p. 103. ed. Oxon. Σοφοκλῆς δὲ ἐν Θυέστῃ ἱστορεῖ καὶ παρ' Εὐβοεῦσιν ὁμοίαν ἄμπελον εἶναι τῇ ἐν Παρνασῷ, λέγων οὕτως

Ἔστι γάρ τις ἐναλία
Εὐβοιὶς αἶα· τῇδε βάκχειος βότρυς
ἐπ' ἦμαρ ἕρπει· πρῶτα μὲν λαμπρᾶς ἕω
κεκλημάτωται χλωρὸν οἰνάνθης δέμας·
εἶτ' ἦμαρ αὔξει μέσσον ὄμφακος τύπον,
γλυκαίνεταί τε κἀποπερκοῦται βότρυς·
δείλῃ δὲ πᾶσα τέμνεται βλαστουμένη
ὀπώρα καλῶς κἀνακίρναται ποτόν.

V. 2. Εὐβοιὶς αἶα L. Dindorfius in Thesauro vol. 3. p. 2201. Libri εὐβοήσασα praeter unum, qui εὐβοΐσασα. Εὐβοιὶς ἀκτὴ Meinekius in Fleckeiseni Annal. a. 1863. vol. 87. p. 375. 3. λαμπρᾶς ἕω codex unus, nisi quod ἕωι. Aliorum librorum corruptelae sunt λαβράσως, λαβράδως, λαβραδέω. 4. χλωρὸν Bergkius pro χῶρον. οἰνάνθης Barnesius pro εὐανθές. 5. αὔξει] ἄξει libri optimi. 6. γλυκαίνεταί τε Meinekius. καὶ κλίνεταί γε (unus τε) libri. πεπαίνεταί τε Nauckius. Idem κἀπιπερκοῦται. 7. βλαστουμένη corruptum. 8. ὀπώρα καλῶς] καλῶς ὀπώρα Valckenarius, quo metrum restituitur, non sententia poetae. πᾶσα τέμνεται βλαστοῦ γονὴ | ὀπωροκλάστη, κᾆτα κίρναται ποτόν Meinekius in Leutschii Philologo vol. 17. p. 558. Ceterum de vitibus his Parnasiis comparandae narrationes schol. Homeri Il. 11, 21. schol. Soph. Antig. 1183. et Stephani Byz. s. v. Νῦσαι.

**240.** Hesychius, Ἀκήρυκτον: ἄγνωστον. ἀφανὲς δὲ Σ. Θ.

**241.** Hesychius, Ἄλογα: ἄρρητα. Σ. Θ. Omisso fabulae nomine Bekk. Anecd. p. 385, 6.

**242.** Hesychius, Ἀλωπός: ἀλωπεκώδης, πανοῦργος. Σ. Θυέστῃ καὶ (καὶ addidit Musurus) Ἰνάχῳ. οἱ δὲ ἀφανὴς κατὰ τὴν πρόσοψιν. De accentu v. Arcad. p. 67, 23. In Etym. M. p. 75, 5. οἱ δὲ ἀφελὴς καὶ ἀπρόσοψις. Ἀλωπός per ἀφανής explicat Lex. rhet. ap. Eustath. p. 1392, 33.

**243.** Hesychius, Ἀμόρφωτον: ἀδιατύπωτον. Σ. Θυέστῃ τῷ ἐν Σικυῶνι.

**244.** Hesychius, Ἀνταίρουσιν: ἀντιλέγουσιν. Σ. Θ. Codex ἀντεροῦσιν contra seriem. Correxit Is. Vossius.

**245.** Hesychius, Ἀπείρονας: ἀπειράτους. Σ. Θ.

**246.** Hesychius, Ἀπόθεα: ἄθεα, ἐκτὸς θεῶν. Σ. Θ.

**247.** Hesychius, Ἀποπλήκτῳ ποδί: μανιώδει. Σ. Θ. Σικυωνίῳ.

**248.** Hesychius, Ἀτελῆ: ἀδάπανα, οὐκ ἔχοντα τέλεσματα. Σ. Ο.

**249.** Hesychius, Αὐτόμοιρος: μονόμοιρος. Σ. Θ. Σικυωνίῳ.

**250.** Hesychius, Αὐτόφορτοι: αὐτοδιάκονοι. κυρίως δὲ οἱ ἐν τοῖς ἰδίοις πλοίοις. Σ. Θ. Σικυωνίῳ.

**251.** Hesychius, Ἀφωσιωμέναι: ἀνόσιαι, ἄποθεν τοῦ ὁσίου γεγενημέναι. Σ. Θυέστῃ δευτέρῳ. Ἀφωσιωμένε: ἄποθεν τοῦ ὁσίου ἀφωρισμένε.

**252.** Antiatticista p. 94, 8. Ἐντέλλω: ἀντὶ τοῦ ἐντέλλομαι. Σ. Θ.

**253.** Hesychius, Ἐπαίνους: τὰς κρίσεις καὶ τὰς συμβουλίας καὶ τὰς ἀρχαιρεσίας. Σ. Θ. Σικυωνίῳ. quibus in cod. haec adduntur, καὶ ἀλκέοι ταῖς ἐπαι-
ε
νήταισιν.

**254.** Hesychius, Ἠγόμην: διῆγον. Σ. Θ. δευτέρῳ.

## ΙΝΑΧΟΣ (ΣΑΤΥΡΙΚΟΣ).

"De argumento vide Toupium Epist. Crit. p. 51. et qui dudum ante eum perspexerat fabulam fuisse satyricam, Tib. Hemsterhusium ad Aristoph. Plutum p. 248." Brunck. Adde Welcker. in Append. ad Trilog. p. 306. Apollodorus 2, 1, 3. Πολλοὶ τῶν τραγικῶν Ἰνάχου τὴν Ἰὼ λέγουσιν —. ταύτην ἱερωσύνην τῆς Ἥρας ἔχουσαν Ζεὺς ἔφθειρε· φωραθεὶς ὑφ' Ἥρας τῆς μὲν κόρης ἁψάμενος εἰς βοῦν μετεμόρφωσε λευκήν — Ἥρα δὲ αἰτησαμένη παρὰ Διὸς τὴν βοῦν φύλακα αὐτῆς κατέστησεν Ἄργον τὸν πανόπτην.

**255.** Stobaeus 46, 13.

Ἐπῄνεσ'· ἴσθι δ', ὥσπερ ἡ παροιμία,
ἐκ κάρτα βαιῶν γνωτὸς ἂν γένοιτ' ἀνήρ.

Versum alterum corrupte exibet Apostolius 7, 95.

**256.** Dionysius Halic. Antiq. 1, 25. Σοφοκλεῖ δ' ἐν Ἰνάχῳ δράματι ἀνάπαιστον ὑπὸ τοῦ χοροῦ λεγόμενον πεποίηται ὧδε

Ἴναχε νᾶτορ, παῖ τοῦ κρηνῶν
πατρὸς Ὠκεανοῦ, μέγα πρεσβεύων
Ἄργους τε γύαις, Ἥρας τε πάγοις
καὶ Τυρσηνοῖσι Πελασγοῖς.

Scholiasta Apollonii Rh. 1, 580. Ὅτι δὲ καὶ αὐτοὶ οἱ Ἀργεῖοι ἐκαλοῦντο Πελασγοὶ Σ. ἐν Ἰνάχῳ φησὶ "καὶ Τυρσηνοῖσι Πελασγοῖς". V. 1. νᾶτορ Meinekius collata Hesychii glossa, ναέτωρ: ῥέων, πολύρρους. Legebatur γεννᾶτορ παῖ κρηνῶν: sed codex Chisianus
γεν
γεννάτορ παῖ τοῦ κρηνῶν, Urbinas νάτορ παῖ τοῦ κρηνῶν.

**257.** Athenaeus 15. p. 668 b. Σοφοκλῆς ἐν Ἰνάχῳ ἀφροδισίαν εἴρηκε τὴν λάταγα "Ξανθὴ δ' ἀφροδισία λάταξ παισὶν ἐπεκύπτει (ἐπεγκύπτει Musurus. ἐπεισκύπτει Casaubonus) δόμοις." Quae Toupius 2. p. 471. in trimetros redegit,

Ξένη δὲ κἀφροδισία
λάταξ ἅπασι νῦν ἐπεισκύπτει δόμοις.

Glyconeos fecit Meinekius, ξανθὴ δ' ἀφροδισία | λάταξ πᾶσιν (sic Heathius) ἐπεκτύπει (sic Nauckius) | δόμοις. Ad sensum verborum quod attinet, Meinekius in Exercitat. in Athenaeum 1. p. 49. haec e loco sumta esse coniecit in quo pacis otiique commoda et gaudia celebrata fuerint, ut in loco simili Euripidis ex Plisthene apud Athenaeum l. c.

**258.** Pollux 9, 50. Μέρη δὲ πόλεως, καὶ πανδοκεῖον, καὶ ξενών, καὶ, ὡς ἐν Ἰνάχῳ Σοφοκλῆς, "Πανδόκος ξενόστασις."

**259.** Schol. Aristoph. Pluti 727. Τὸν Πλούτωνα εἶπε παίζων· ἢ ὅτι καὶ Πλούτωνα αὐτὸν ὑποκοριστικῶς ἐκάλεσεν, ὡς Σοφοκλῆς Ἰνάχῳ "Πλούτωνος δ' (δ' in ἦδ' mutat Porsonus ad Toup. Emend. vol. 4. p. 487.) ἐπείσοδος." καὶ πάλιν

Τοιόνδ' ἐμὸν Πλούτων' ἀμεμφίας χάριν.

Suspecta scriptura versus, in quo ἐμόν in ἐμοί mutari volebat Hemsterhusius. Idem scholiasta ad v. 807. Σιπύη δὲ ἡ ἀρτοθήκη. ταῦτα δὲ ἐξ Ἰνάχου Σοφοκλέους, ὅτε τοῦ Διὸς εἰσελθόντος πάντα μεστὰ ἀγαθῶν ἐγένετο.

**260.** Scholiasta Equitum 1147. Κημὸς — ἦν παρόμοιος χώνῃ, ὡς καὶ Σοφοκλῆς ἐν Ἰνάχῳ.

**261.** Scholiasta Avium 1203. Κυνῆ δέ, ὅτι ἔχει

περικεφαλαίαν τὸν πέτασον· ὡς Ἑρμῆς ἄγγελος ὢν παρὰ Σοφοκλεῖ ἐν Ἰνάχῳ ἐπὶ τῆς Ἴριδος

Γυνὴ τίς ἥδε; κυκλὰς Ἀρκάδος κυνῆς.

κυκλὰς — κυνῆς Toupius coniectura incerta, nec meliora quae alii excogitarunt. Libri συληνᾶς (κυληνᾶς ed. Ald.) — κυνῇ. Hesychius, Ἀρκὰς κυνῆ: Ἀρκαδικὸς πῖλος. Σ. Ἰ. unde correcta est glossa superior, Ἀρασύνη· πύελος. Annotavit etiam Eustathius p. 302, 26. ἐν τοῖς Παυσανίου φέρεται ὅτι τε Ἀρκὰς κυνῆ ἐλέγετό τις ἤτοι Ἀρκαδικὸς πῖλος — καὶ ὅτι φελλός τις ἐφέρετο Ἀρκάς.

**262.** Scholiasta Demosth. vol. 8. p. 182, 17. ed. Oxon. Σιροῖς] τὰ κατάγεια, Θεόπομπος καὶ Σοφοκλῆς ἐν Ἰνάχῳ "σιροὶ κριθῶν."

**263.** Scholiasta Aristoph. Ecclesiaz. 80. Τοῦ Πανόπτου τοῦ τὴν Ἰὼ φυλάττοντος. αἰνίττεται δὲ ὡς ὄντος αὐτοῦ δεσμοφύλακος. ἀναφέρει δὲ τοῦτον ἐπὶ τὸν παρὰ Σοφοκλεῖ ἐν Ἰνάχῳ Ἄργον. et similiter ad v. 81.

**264.** Scholiasta Aeschyli Prom. 576. Σοφοκλῆς ἐν Ἰνάχῳ καὶ ᾄδοντα τὸν Ἄργον εἰσάγει.

**265.** Strabo 6. p. 271. Εἰ δὲ τοῦτο δυνατὸν, τά γε προειρημένα ἀδύνατα καὶ τὰ περὶ τοῦ Ἰνάχου μύθῳ παραπλήσια,

Ῥεῖ γὰρ ἀπ' ἄκρας
Πίνδου (φησὶν ὁ Σ.) Λάκμου τ' ἀπὸ Περραιβῶν
εἰς Ἀμφιλόχους καὶ Ἀκαρνᾶνας,
μίσγει δ' ὕδασιν τοῖς Ἀχελῴου.

καὶ ὑποβὰς

Ἔνθεν ἐς Ἄργος διὰ κῦμα τεμὼν
ἥκει δῆμον τὸν Λυρκείου.

Λυρκείου Tyrwhittus. λυρκίου libri. Hesychius, Λυρκίου δῆμον· τὸ Ἄργος ἀπὸ Λυρκίου τοῦ Λυγκέως· ἔστι δὲ καὶ ὄρος καὶ πόλις.

**266.** Herodianus περὶ μονήρους λέξεως p. 35, 10. Ψαρός, ναρὸς (nam sic scribendum cum Lehrsio pro λαρός, de quo adiectivo inferius demum agit Herodianus), ἔνθεν θηλυκὸν παρὰ Σοφοκλεῖ ἐν Ἰνάχῳ καὶ σασχυτρίνων λαρὸς εὔτατ' ἐπὶ κῦμα ἐκροὰς ἐπώμοσα. Ita codex. καὶ σασχυτρίνων corruptum ex σατυρικῷ. Poetae verba Lehrsius sic corrigit

Ναράς τε πατρὸς κυμάτων ἐπιρροὰς
ἐπώμοσα.

Femininum ναράς τε Δίρκης ex Aeschylo annotavit Photius p. 286, 8.

**267.** Scholiasta Aristophanis Pacis 530. Σοφοκλέους μελῶν: ὅτι ἡδέα τὰ μέλη Σοφοκλέους. περιέργως δέ τινες εἰς τὰ ἐν τῷ Ἰνάχῳ περὶ τοῦ ἀρχαίου βίου καὶ τῆς εὐδαιμονίας "Εὐδαίμονες οἱ τότε γενεᾶς ἀφθίτου λαχόντες θείου." Quae Bergkius coniecit sic esse corrigenda, γέννας ἀφθίτου θείας λαχόντες.

**268.** Hesychius, Ἀντίπλαστον: Σ. Ἰνάχῳ

Πατὴρ δὲ ποταμὸς Ἴναχος
τὸν ἀντίπλαστον νομὸν ἔχει κεκμηκότων.

ἀντὶ τοῦ ἰσόπλαστον, ὅμοιον. V. 2. νομὸν ἔχει Ellendtius. Codex ἔχει νόμον.

**269.** Suidas et grammaticus Bekkeri p. 442, 3. Ἀράχνης: — θηλυκῶς δὲ Σ. Ἰ.

Πάντα δ' ἐρίθων ἀραχνᾶν βρίθει.

**270.** Hesychius. Ἐπίκρουμα: ἐπίπληγμα, ἢ ἐπιχάραγμα. διὰ τὸ παρωνομάσθαι τῷ ἔργῳ (Ἄργῳ Toupius). "Ἐπίκρουμα χθονὸς Ἀργείας."

**271.** Hesychius, Κυάμῳ πατρίῳ: Σοφοκλῆς Μελεάγρῳ, ὡς καὶ τῶν Αἰτωλῶν τὰς ἀρχὰς κυαμευόντων. διεκλήρουν δὲ αὐτὰς κυάμῳ, καὶ ὁ τὸν λευκὸν λαβὼν ἐλάγχανεν. ἀνάγει δὲ τοὺς χρόνους, ὡς καὶ ἐν Ἰνάχῳ "Κυαμοβόλον δικαστήν." Codex κυαμοβόλως δικιστήν. unde Schowius p. 471. κυαμοβόλῳ δικαστῇ. Ellendtius in Lexico κυαμόβολον δικαστήν, retracto accentu.

**272.** Harpocratio, Παλίνσκιον: —— Σ. Ἰνάχῳ

Χειμῶνι σὺν παλινσκίῳ.

ἀντὶ τοῦ ζοφερῷ. Eadem ex Epitome Harpocrationis Photius p. 374, 11. et Suidas, omisso fabulae nomine.

**273.** Hesychius, Ἀελλόθριξ: ποικιλόθριξ. (Hoc ad αἰολόθριξ refert Toupius.) ἢ πυρεωροὺς (πυρροὺς vel πυκνοὺς Guyetus) καὶ συνεχεῖς ἔχουσα τὰς τρίχας. παρὰ τὴν ἄελλαν. Σ. Ἰ.

**274.** Hesychius, Ἀναιδείας φάρος: χιτών. Σ. Ἰ. παρὰ τὸ (Il. 2, 262.) "Χλαῖνάν τ' ἠδὲ χιτῶνα, τά τ' αἰδῶ ἀμφικαλύπτει."

**275.** Hesychius, Ἄναντα: — Σ. δὲ Ἰνάχῳ τὰ μὴ κεκομμένα (sic Salmasius pro κεκωλυμένα). παρὰ τὸ αἴνειν (vulgo αἰνεῖν), ὅ ἐστι κατακόπτοντα πτίσσειν.

**276.** Ἀλωπός: vide fragm. 242.

**277.** Antiatticista p. 84, 18. Βοῦ: ἀντὶ τοῦ βοός. Σ. Ἰνάχῳ. Similiter Choeroboscus in Theodos. p. 237, 8.

**278.** Erotianus p. 200. (p. 81. ed. Klein.) Παρὰ τοῖς Ἀττικοῖς κερχνώδη ἀγγεῖα λέγεται τὰ τραχείας ἀνωμαλίας ἔχοντα, ὡς καὶ Σοφοκλῆς περὶ τῆς ἀποταυρουμένης φησὶν Ἰοῦς

Τραχὺς χελώνης κέρχνος ἐξανίσταται.

Ita Elmsleius in Edinburgh Review vol. 17. p. 237. Vulgo φησὶν ἰχθὺς τραχὺς ὦ χελώνης —. Alia coniecit Herwerdenus p. 26.

## ΙΞΙΩΝ.

Aeschyli fabula Ἰξίων fuit. Pro quo Sophoclem nominatum esse ab grammatico, cuius excerptum apud scholiastam Homeri et Apollonii legitur, Welckerus opinatur p. 402.

**279.** Schol. Apollonii Argon. 4, 14. Παρὰ τὸ ἴψαι Σοφοκλῆς ἐν Ἰξίονι δίψιον φησὶ τὸ βεβλαμμένον. καὶ Ὅμηρος "Πολυδίψιον Ἄργος ἱκοίμην" πολλάκις βεβλαμμένον. Schol. Homeri Il. 4, 171. ap. Cramer. Anecd. Paris. vol. 3. p. 162, 25. ἢ βλαβερὸν ἀπὸ τοῦ ἴψιον, ἢ παρὰ τὸ ἴψαι. Σοφοκλῆς ἐν Ἰξίονι (ἱερίονι codex Paris.) δίψιον κατὰ πλεονασμὸν τοῦ δ δίψιον ἄτησι βεβολημένον. Quae non Sophoclis, sed epici poetae esse monet Nauckius.

## ΙΟΒΑΤΗΣ.

"Iobates rex Lyciae pater fuit Stheneboeae. Vide Apollodori Biblioth. 2, 3. et Hygini fab. 57." Brunck. Adde Asclepiadis narrationem apud schol. Homeri Il. 6, 155. ex qua coniecturam fieri posse de argumento fabulae Sophocleae Welckerus putat p. 417.

**280.** Stobaeus 119, 6. Σοφοκλέους Ἰοβάτου

Τὸν Ἀΐδαν γὰρ οὐδὲ γῆρας οἶδε φιλεῖν.

**281.** Hesychius, Ἀφύλλωτον πέτραν: ἄπορον (recte ἄφορον Toupius), ἄδενδρον, οἷον λεωπετρίαν. Σ. Ἰοβάτῃ.

## [ΙΠΠΟΔΑΜΕΙΑ. Vide ΟΙΝΟΜΑΟΣ.]

## ΙΠΠΟΝΟΥΣ.

De Hipponoo videnda Apollodori narratio 1, 8, 4. ex qua colligi potest praecipuas in hac fabula partes Hipponoi, Oleni regis, et Periboeae filiae fuisse. De quo videndae Welckeri coniecturae p. 428. 429.

**282.** Orion in Gnomologio codicis Vindob. ap. Schneidewin. Coniect. crit. p. 46. ἐκ τοῦ Ἱππόνου Σοφοκλέους

Σωτηρίας γὰρ φάρμακ' οὐχὶ πανταχοῦ
βλέψαι πάρεστιν, ἐν δὲ τῇ προμηθίᾳ.

**283.** Pollux 4, 111. Τραγικὸν δὲ οὐκ ἔστιν (ἡ παράβασις), ἀλλ' Εὐριπίδης αὐτὸ πεποίηκεν ἐν πολλοῖς δράμασιν. ἐν μέν γε τῇ Δανάῃ τὸν χορὸν ὑπὲρ αὐτοῦ τι ποιήσας παρειπεῖν, ἐκλαθόμενος, ὡς ἄνδρας λέγειν ἐποίησε τῷ σχήματι τῆς λέξεως τὰς γυναῖκας. καὶ Σοφοκλῆς δὲ αὐτὸ ἐκ τῆς πρὸς ἐκεῖνον ἁμίλλης ποιεῖ σπανιάκις, ὥσπερ ἐν Ἱππόνῳ. Choros tragicos etiam ex mulieribus compositos interdum masculino genere de se loqui exemplis non paucis constat: de quo dixi in annot. ad Euripidis Hippol. 1105. Sed locorum ad quos Pollux respexit ratio fortasse fuit paullo alia. Quae etiam Welckeri sententia est p. 429.

**284.** Stobaeus Eclog. phys. 1. 9. p. 230. et qui nomen fabulae addit Clemens Stromat. 4. p. 742. et Gellius 12, 11.

Πρὸς ταῦτα κρύπτε μηδέν, ὡς ὁ πάνθ' ὁρῶν
καὶ πάντ' ἀκούων πάντ' ἀναπτύσσει χρόνος.

**285.** Stephanus, Ὤλενος: πόλις Ἀχαΐας, καὶ Αἰτωλίας, θηλυκῶς λεγομένη. Σοφοκλῆς ἐν Ἱππόνῳ

Ἐξ Ὠλένου γῆς φορβάδος κομίζομαι.

**286.** Hesychius, Ἀπαλέξασθαι: ἀποφυλάξασθαι. Σ. Ἱππόνῳ. Sic etiam Ai. 166.

**287.** Hesychius, Ἀπαρθένευτος: ἀκέραιος, καθαρά. Σ. Ἱππόνῳ. Omisso poetae fabulaeque nomine Bekk. Anecd. p. 418, 11.

## ΙΦΙΓΕΝΕΙΑ.

Fabulam de Iphigenia, in qua Aeschylum praeeuntem habuit Sophocles, duabus quae supersunt tragoediis tractavit Euripides. Quibus cum poetis etsi multa communia habere debuit Sophocles, tamen non dubitandum quin non pauca aliter instituerit, ut in aliis fabulis eius factum videmus, quae communes ei sunt cum Aeschylo et Euripide. Dixit de hac tragoedia Welckerus p. 107—110.

**288.** Stobaeus 30, 6. Σοφοκλέους Ἰφιγενείας

Τίκτει γὰρ οὐδὲν ἐσθλὸν εἰκαία σχολή.

Qui additur versus θεὸς δὲ (γὰρ cod. A.) τοῖς ἀργοῦσιν οὐ παρίσταται Menandro tribuitur in cod. Vindob. legiturque inter monosticha Menandri 242. ubi ἀργοῖσιν.

**289.** Athenaeus 12. p. 513 d.

Νοῦν δεῖ πρὸς ἀνδρί, σῶμα πουλύπους ὅπως
πέτρᾳ, τραπέσθαι γνησίου φρονήματος.

Νοῦν δεῖ Porsonus. Codex νόει. V. 1. σῶμα] χρῶμα Bergkius.

**290.** Hesychius, Ἀκρουχεῖ: ἄκρον ἔχει. Ἄκρον δὲ ὄρος τῆς Ἀργείας, ἐφ' οὗ Ἀρτέμιδος ἱερὸν ἱδρύσατο Μελάμπους, καθάρας τὰς Προιτίδας, ἤγουν ταῖς Χάρισι. Σ. Ἰφιγενείᾳ.

**291.** Hesychius, Ἀπυνδάκωτος — Σοφοκλῆς ἐν Ἰφιγενείᾳ πύνδακα τοῦ ξίφους τὴν λαβὴν ἔφη. Idem e Lexico Pausaniae, sed omisso fabulae nomine, annotavit Eustathius p. 870, 28.

**292.** Hesychius, Βασίλη: βασίλεια. Σ. Ἰφιγενείᾳ. Ita corrigenda codicis scriptura, βασιλ, ἡ βασίλεια. Formam vocis βασίλη annotavit Stephanus Byz. s. v. Ἀγάμεια. Ea restituenda Pindaro Nem. 1, 39. ubi vulgo βασίλεια, Boeckhius βασιλῆ.

**293ᵃ.** Photius p. 410, 10. et Suidas s. v. πενθερὸς, Σοφοκλῆς εἶπε πενθερὸν τὸν γαμβρὸν ἐν Ἰφιγενείᾳ. Ὀδυσσεύς φησι πρὸς Κλυταιμνήστραν περὶ Ἀχιλλέως

Σὺ δ' ὦ μεγίστων τυγχάνουσα πενθερῶν.

ἀντὶ τοῦ γαμβρῶν. Conf. Etymolog. M. p. 220, 40.

**293ᵇ.** Proverb. Append. 4, 27. Ὀξηρὸν ἄγγος οὐ μελιττοῦσθαι πρέπει: ἐπὶ τοῦ ἀναξίου. Σ. Ἰφιγενείᾳ.

**294.** Ὕποφρον: vide fragm. 226. De alio fragmento fortasse ad hanc fabulam referendo v. ad 793. Κλυταιμνήστρα haec tragoedia appellari videtur ab Erotiano, cuius locum v. fragm. 310.

## ΙΧΝΕΥΤΑΙ (ΣΑΤΥΡΟΙ).

De huius fabulae argumento neque ex nomine eius neque ex fragmentis coniecturam facere licet. Coniecturas quasdam ex nomine Ἰχνευτῶν ductas proposuit Welckerus in Append. ad Trilog. p. 311.

**295.** Pollux 10, 34. Μέρη δὲ κλίνης καὶ ἐνήλατα. — Σ. ἐν Ἰχνευταῖς σατύροις ἔφη "Ἐνήλατα ξύλα τρίγομφα διατορεῦσαί σε δεῖται." Verba corrupta, de quibus post alios coniecturas protulit Lobeckius ad Phrynich. p. 178.

**296.** Athenaeus 2. p. 62ᶠ. Ἀττικοὶ δ' εἰσὶν οἱ λέγοντες ὅρμενον τὸν ἀπὸ τῆς κράμβης ἐξηνθηκότα. Σ. Ἰχνευταῖς

Κἀξορμενίζει κοὐκ ἐπισχολάζεται
βλάστη.

παρὰ τὸ ἐξορούειν καὶ βλαστάνειν. κἀξορμενίζειν οὐκ Eustathius p. 899, 17.

**297.** Photius p. 489, 1. et Suidas. Ῥικνοῦσθαι: τὸ διέλκεσθαι καὶ παντοδαπῶς διαστρέφεσθαι κατ' εἶδος· λέγεται δὲ καὶ ῥιγνοῦσθαι (ῥικνοῦσθαι Suidas) τὸ καμπύλον γίγνεσθαι ἀσχημόνως καὶ κατὰ συνουσίαν καὶ ὄρχησιν κάμπτοντα τὴν ὀσφῦν. Σ. Ἰχνευταῖς. Similiter Hesychius s. v. Ῥικνοῦσθαι et Ῥιχνοῦσθαι. Pollux 4, 99. εἴδη δὲ ὀρχημάτων — ῥικνοῦσθαι, ὅπερ ἦν τὸ τὴν ὀσφὺν φορτικῶς περιάγειν. Photius p. 488, 22. Ῥικνός· ὁ πεφρικὼς, παρὰ Σοφοκλεῖ.

## ΙΩΝ.

Tragoedia eadem, ut videtur, quae Κρέουσα. De quo monuit Welckerus p. 391. Argumentum idem in Ione tractavit Euripides.

**298ᵃ.** Stobaeus 103, 10. Σοφοκλέους Ἴωνος

Ἐν Διὸς κήποις ἀροῦσθαι μόνον εὐδαίμονας ὄλβους.

μόνον] μοῦνον A.

**298ᵇ.** Orion in Gnomologio cod. Vindob. apud Schneidewin. Coniect. crit. p. 51. Σ. Ἴωνος

Πρὸς ἀνδρὸς ἐσθλοῦ πάντα γενναίως φέρειν,

Choricius Gaz. p. 17. ἐσθλοῦ γὰρ ἀνδρὸς, ἡ τραγῳδία φησὶν, ἅπαντα φέρειν καλῶς. Sententia pervagata, quae servatis verbis γενναίως φέρειν, priore vero versus parte variata reperitur apud scriptores multos, velut quos Nauckius indicavit, Menandrum Com. vol. 4. p. 264. 293. Nicetam Eugenian. 9, 139., scriptorem Vitae Aesopi p. 46, 10. ed. West. Dicaearchum in Muelleri Fragm. Hist. vol. 2. p. 261. Hipparchum Stobaei Flor. 108, 81. Eusebium ib. 1, 85. Chariton. 5, 9.

---

De fragmento ad hanc fabulam non recte relato dixi infra ad fragm. 417.

---

## ΚΑΜΙΚΙΟΙ Η ΜΙΝΩΣ.

"Oppidum Siciliae est Camicus: vide Stephanum s. v. Κάμικος. Argumentum erat mors Minois a Cocali filiabus interempti. Videndi praeter Diodorum Sicul. in Daedali historia 4, 79. scholiasta Pindari ad Nem. 4, 95. et Pausan. 10, 17, 4." Brunck. Adde schol. Homeri Il. 2, 145. Hygin. Fab. 44. Fortasse huc spectat Libanius ab Nauckio memoratus vol. 3. p. 64. οὐχ ὁρᾶτε τὸν Μίνω δεινὰ πάσχοντα ἐπὶ τῆς σκηνῆς;

**299.** Athenaeus 3. p. 86ᵈ. Τῶν στραβήλων (con-

charum) μνημονεύει καὶ Σοφοκλῆς ἐν Καμικίοις (codex καμικοῖς) οὕτως

Ἀλίας στραβήλου τῆσδε, τέκνον, εἴ τινα
δυναίμεθ᾽ εὑρεῖν.

Quo spectet στραβήλου mentio indicat Zenobius 4, 92. ὁ Μίνως οὖν ἐδίωκε Δαίδαλον καὶ καθ᾽ ἑκάστην χώραν ἐρευνῶν ἐκόμιζε κόχλον καὶ πολὺν ὑπισχνεῖτο δοῦναι μισθὸν τῷ διὰ τοῦ κοχλίου λίνον διείραντι (sic Valcken. pro διείξαντι), διὰ τούτου νομίζων εὑρήσειν Δαίδαλον. unde versum 2. Nauckius probabiliter explet verbis ὅς διείρειεν λίνον.

**300.** Athenaeus 9. p. 388[f]. Πέρδιξ· τοῦ ὀνόματος ἔνιοι συστέλλουσι τὴν μέσην συλλαβὴν, ὡς Ἀρχίλοχος· πολὺ δέ ἐστι τὸ ἐκτεινόμενον παρὰ τοῖς Ἀττικοῖς. Σοφοκλῆς Καμικίοις

Ὄρνιθος ἦλθ᾽ ἐπώνυμος
πέρδικος ἐν κλεινοῖς Ἀθηναίων πάγοις.

**301.** Photius p. 413, 15. et Suidas s. v. Πέρδικος ἱερὸν — Σοφοκλῆς δὲ ἐν Καμικίοις (libri κωμικοῖς) τὸν ὑπὸ Δαιδάλου ἀναιρεθέντα Πέρδικα εἶναι τοὔνομα.

**302.** Clemens Alex. Strom. 6. p. 741. Σ. ἐν Μίνῳ

Οὐκ ἔστι τοῖς μὴ δρῶσι σύμμαχος τύχη.

**303.** Hesychius, Κωχεύουσιν: ὀχοῦσι, μετεωρίζουσι. πιστοί με Σοφοκλῆς καμίκην κωχεύουσιν ἐμφοραιδέσμας. Paullo emendatius Etymolog. MS. apud Ruhnkenium in Auctario et Cramer. Anecd. Paris. vol. 4. p. 52, 19. Κωχεύουσιν: ὀ. μ. Σ. καμικοῖς "πιστοί με κωχεύουσιν ἐν φοραὶ δέμας." Recte, nisi quod ἐν φορᾷ scribendum. Ruhnkenio ἀμφορεῖ placebat, comparata Hesychii glossa, Ἀμφορεῖ: τῷ (codex ἀμφορείῳ) φορτίῳ. Suspectum vero verbum est κωχεύουσιν, cui defendendo non sufficit quod scriptor lexici schedographici in Boisson. Anecd. Paris. vol. 4. p. 387. κώχεύς per μετέωρος explicuit, προσεκώχευσε Pachymeres dixit in Vita Andron. Palaeologi p. 400 D. nec pauca verbi ἀνακοχεύω exempla reperiuntur, inter quae unum est Sophoclis ipsius Electr. 734. Nam haec omnia ex ἀνοκωχεύειν depravata esse recte iudicarunt L. Dindorfius in Thesauro vol. 1. part. 2. p. 428. et Cobetus Nov. Lect. p. 169., etsi ἀνακωχεύειν fortasse relinquendum infimae aetatis scriptoribus. Non dubitandum igitur quin Sophocles scripserit πιστοί μ᾽ ὀκωχεύουσιν ἐν φορᾷ δέμας. Rectam verbi formam Hesychius ipse annotavit, Ὀκωχεύειν: ἔχειν, συνέχειν.

## ΚΗΔΑΛΙΩΝ (ΣΑΤΥΡΙΚΟΣ).

Eustathius p. 987, 8. Ὅτε Κρόνος ἐταρταρώθη, ἐξεδόθη τῷ Διὶ παρὰ Τηθύος καὶ Ὠκεανοῦ ἡ Ἥρα, ἐγκύμων μὲν οὖσα, ὡς παρθένος δὲ ὑπονοουμένη. τεκοῦσα δὲ τὸν Ἥφαιστον προσεποιήσατο δίχα μίξεως τεκεῖν καὶ Κηδαλίωνι τῷ Ναξίῳ ἐκεῖνον παρέδωκε διδάξαι χαλκευτικήν. Lucianus de domo c. 28. vol. 3. p. 206. Ὠρίων φέρει τὸν Κηδαλίωνα τυφλὸς ὤν, ὁ δ᾽ αὐτῷ σημαίνει τὴν πρὸς τὸ φῶς ὁδὸν ἐποχούμενος, καὶ ὁ Ἥλιος φανεὶς ἰᾶται τὴν πήρωσιν. Hygin. Poet. Astron. 2, 34. p. 486. Haec et alia collegit Welckerus in Append. ad Trilog. p. 315.

**304.** Etymol. M. p. 753, 5. ubi de voc. τερθρεία agitur, ὁ δὲ Ὧρος ὁ Μιλήσιος λέγει ὅτι εἶναι περὶ ἃ ἄχρηστα τινὲς σπουδάζουσιν, ἀντὶ τοῦ κενοσπουδία· παρὰ τὸ τερθρεύειν, καὶ τερθρευόμενος. Φερεκράτης, τερθρία, πνοή. ad quae Gaisfordus haec ex codici-
ἐ
bus suis annotavit, "εἶναι περὶ ἃ] π D. (i. e. codex
ετ
Dorvill.) παρὰ τὸ — Φερεκράτης] π κεν̎ ἑώρ϶ D. τερθρία, πνοὴ] ἀγροῖς τ. μέντοι π. διὰ τοῦ ϊ ἡ
α
ὀπισθία V. (i. e. codex Leidensis) ἀγροῖς τερθρι μέν-
δ᾽
τοι πνοὴ διὰ τοῦ ϊ ἡ ὀπισθία σοφοκλῆς κη κενὸν ἑωρα϶ M. (i. e. codex Marcianus.) Locus videtur sumptus ex Sophoclis Cedalione, sed verba non extrico."
ετ
Sigla libri Dorvilliani π nihil aliud significat quam
αὸ
παρὰ τὸ, modo sic modo πτ scriptum, ut in specimine codicis videre licet, quod tabula lithographica expressum editioni suae praefixit Gaisfordus. Ex quo sequitur post παρὰ τὸ excidisse quae in aliis codicibus et partim etiam in libris vulgatis servata videmus. Itaque totus locus sic videtur in ordinem esse redigendus, Ὁ δὲ Ὧρος ὁ Μιλήσιος λέγει [ὅτι περὶ ἄχρηστα τινὲς σπουδάζουσιν] ἀντὶ τοῦ κενοσπουδία, παρὰ τὸ τερθρεύειν· καὶ "Τερθρευόμενος κέν᾽ ἑώραται (ut ἑώραται λειτουργῶν Demosth. p. 1121, 22.)" Φερεκράτης Ἀγρίοις. Τερθρία μέντοι πνοὴ διὰ τοῦ ῑ ἡ ὀπισθία Σοφοκλῆς Κηδαλίωνι. Sophoclis verba sunt τερθρία πνοή, μέντοι vero non poetae, sed grammatici vocabulum est, qui τερθρία per ι scriptum opposuit substantivo τερθρεία per diphthongum scribendo.

**305.** Herodianus περὶ μονήρους λέξεως p. 30, 27. Σ. ἐν Κηδαλίωνι (codex κηδεμόνι) σατυρικῷ φησι

Καὶ δή τι καὶ παρεῖκα τῶν ἀρτυμάτων
ὑπὸ τοῦ δέατος.

ἀντὶ τοῦ δέους. V. 1. τῶν ἀρτυμάτων] Conf. fragm. 601. Hesychius, Δέατος: δέους. Σ. Κηδαλίωνι.

**306.** Hesychius, Αὐτοκτίτους (codex αὐτοκτίστους) δόμους: οὐ κατεσκευασμένους, ἀλλ᾽ ἐκ ταὐτομάτου γεγενημένους, ἢ τοὺς οὐκ οἰκουμένους. Σ. Κηδαλίωνι.

**307.** Photius p. 217, 9. et scholiasta Platonis p. 323. et Suidas, Λευκὴ στάθμη: ἐπὶ τῶν ἄδηλα ἀδήλοις σημειουμένων, ἢ ἐπὶ τῶν μηδὲν συνιέντων. Σοφοκλῆς Κηδαλίωνι

Τοῖς μὲν λόγοις τοῖς σοῖσιν οὐ τεκμαίρομαι,
οὐ μᾶλλον ἢ λευκῷ λίθῳ λευκὴ στάθμη.

Comparandus etiam Hesychius s. v. Λευκὴ στάθμη et Zenobius Prov. 4, 89. V. 1. μὲν om. Eustath. p. 1023, 2. ubi hos versus sine nomine poetae affert. 2. λευκὴ στάθμη] λευκὴν στάθμην Eustath.

**308.** Photius p. 338, 15. et Suidas, Ὄνου σκιά: καί, περὶ ὄνου σκιᾶς. Σοφοκλῆς Κηδαλίωνι

Ὅτι ἂν τι γένηται, τὰ πάντ᾽ ὄνου σκιά.

Photius γίνηται. Suidas γένηται. Dobraeus Ὅταν γένηται ταῦτα, πάντ᾽ ὄνου σκιά.

**309.** Athenaeus 4. p. 164[a]. Κατὰ γὰρ τὸν Σοφοκλέους Κηδαλίωνα ἐστὲ

Μαστιγίαι, κέντρωνες, ἀλλοτριοφάγοι.

Ex Epitome Eustathius p. 1404, 13.

## ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ (?).

**310.** Erotianus p. 62. (p. 45. ed. Klein.) Ἀνταῖον (codices ἄντεον hic et infra) θεόν: τὸν βλάβης ὑπονοούμενον αἴτιον ἔσεσθαι ἄνθρωπον (ἀνθρώπῳ Nauckius). ἀνταῖον δ᾽ ἐκάλουν οἱ παλαιοὶ τὸν σώφρονα, ὡς καὶ Σοφοκλῆς ἐν Κλυταιμνήστρᾳ λέγων "Τὸν δὲ ἀνταῖον περιδινέοντα οὐχ ὁρᾶτε καὶ δεῖμα προσπνέοντα (codex Cantabrigiensis προσπαίοντα, Parisini 2151. 2614. 2651. προσπέοντα) ἀνταίας (libri ἀντέας vel ἀντίας) θεοῦ." Verba valde corrupta incertis coniecturis tentarunt viri docti: v. Welcker. p. 108. Lobeck. in Actis Societ. Graecae vol. 2. p. 307. et in

Patholog. p. 162. Ceterum vereor ne haec tragoedia non sit diversa ab Iphigenia: quae etiam Welckeri sententia est.

## ΚΟΛΧΙΔΕΣ.

Scriptor argumenti Promethei Aeschylei: Κεῖται δὲ ἡ μυθοποιία ἐν παρεκβάσει παρὰ Σοφοκλεῖ ἐν Κόλχοις. Fabulam de Iasone Medeae ope arietis aurei vellus repetente, quae huic tragoediae argumentum praebuit, narrat Apollodorus 1, 9, 23. Alia de ea contulit Welckerus p. 333—336. Prometheus memoratur fragm. 317.

**311.** Stobaeus 22, 23.

Καλὸν φρονεῖν τὸν θνητὸν ἀνθρώποις ἴσα.

**312.** Athenaeus 13. p. 602e. Σοφοκλῆς ἐν Κολχίσι περὶ Γανυμήδους τινὰ λόγον ποιούμενος

Μηροῖς ὑπαίθων τὴν Διὸς τυραννίδα.

**313.** Bekkeri Anecd. p. 404, 19. et Suidas, Ἀνθυπουργῆσαι χάριν: τὸ ἀνταποδοῦναι χάριν. Σ. Κολχίσιν

Ἦ φῂς ὑπομνὺς ἀνθυπουργῆσαι χάριν;

**314a.** Schol. Apollonii Rhodii 3, 1371, Σοφοκλῆς ἐν Κολχίσι πεποίηκε τοῦ ἀγγέλου τὸν Αἰήτην πυθόμενον (πυθομένου codex) περὶ τῶν προειρημένων οὕτως

Ἦ βλαστὸς οὐκ ἔβλαστεν οὑπιχώριος;
καὶ κρᾶτα φρίξας εὐλόφῳ σφηκώματι,
χαλκηλάτοις ὅπλοισι μητρὸς ἐξέδυ;

Versum 1. Aeetae, versus 2. et 3. nuncii esse ex verbis scholiastae apparet. 2. κρᾶτα Bergkius pro κάρτα. εὐλόφῳ σφηκώματι] εὐλόφω σφηκώμενα codex. Correxit Valckenarius ex glossa Hesychii Φρίξας εὐλόφῳ σφηκώματι: ἀντὶ τοῦ ἀναφὺς ἄρτιος. 3. μητρὸς ἐξέδυ Rutgersius. μὴ προσεξέδυ codex.

**314b.** Pollux 7, 68. Ὁ τε τῆς Ἀμαζόνος ζωστὴρ καὶ ἡ ἐν ταῖς Σοφοκλέους Ζωστῆρσιν ἐπιζώστρα. λέγει γοῦν· Ἔχοντας εὐζώνους ἔστασαν ἱματίων ἐπιζώστρας. Veram scripturam ταῖς Σοφοκλέους Κολχίσιν ex codice Parisino restituit Bekkerus.

**315.** De morte Apsyrti: vide fragm. 491.

**316.** Hesychius, Ἐπαλλαχθεῖσα: ἐπαλλάξασα. Σ. Κ.

**317.** Etymolog. M. p. 439, 1. Σ. Κόλχοις

Ὑμεῖς μὲν οὐκ ἄρ' ἤστε τὸν Προμηθέα.

ἀντὶ τοῦ ᾔδειτε. Promethei unguenti, de quo Apoll. Rh. 3, 843., mentionem παρεκβάσεως de Prometheo ansam fuisse Welckerus coniecit.

**318.** Athenaeus 2. p. 70a. Κινάρα: ταύτην Σ. ἐν Κολχίσι κυνάραν καλεῖ. Ex Epitome Eustathius p. 1822, 17.

**319.** Galenus vol. 9. p. 385. Charter. (5. p. 454. Basil.) Δοκεῖ μὲν γὰρ αὐτὴν (τὴν πέμφιγα) ἐπὶ τῆς πνοῆς Σοφοκλῆς ἐν Κόλχοις λέγειν

Ἀπῇξε πέμφιξιν οὐ πέλας φόρου.

— ἐπὶ δὲ τῶν ἀκτίνων αὐτῶν δοκεῖ χρῆσθαι τῷ ὀνόματι Σ. ἐν Κόλχοις κατὰ τάδε τὰ ἔπη

Κἂν ἐθαύμασας
τηλέσκοπον πέμφιγα χρυσέαν ἰδών.

Versum primum Hermannus Opusc. vol. 4. p. 277. ita corrigit, Ἀπῇξε πέμφιξ ὡς ἱπνοῦ (πέμφιξ ἡλίου Maur. Schmidtius) σελασφόρου. Idem in altero loco emendavit vulgatum ἐθαύμασα. τηλέσκοπον pro τῇδε σκοπῶν Bentleii emendatio est.

**320.** Scholiasta Pindari Pyth. 4, 398. Τοὺς πυρίπνους ταύρους Ἀντίμαχος ἐν Λύδῃ Ἡφαιστοτεύκτους λέγει. καὶ Σοφοκλῆς δὲ χαλκοῦς (δ' ἐν Κολχίσι Bothius) βοῦς ἀδερμάτους φησὶν

Χαλκοσκελεῖς γὰρ — —
— — ἐκπνέουσι πνευμάτων ἄπο·
φλέγει δὲ μυκτήρ, ὡς — —

V. 2. πνευμάτων] Scribendum πνευμόνων (vel potius πλευμόνων) cum Bergkio: quae vocabula pariter permutata sunt in codicibus Aeschyli Sept. 61. et Diodori 17, 84. Totum autem locum sic redintegrat Bergkius, Χαλκοσκελεῖς γὰρ καὶ τὸ πᾶν ἀδέρματοι | πυρὸς φλόγ' ἐκπνέουσι πνευμόνων ἄπο· | φλέγει δὲ μυκτὴρ ὡς ἰπνὸς σελασφόρος.

## ΚΡΕΟΥΣΑ.

Non diversam hanc tragoediam ab Ione fuisse videri supra dictum est ad Ionem.

**321.** Stobaeus 4, 38.

Ταῦτ' ἐστὶν ἄλγιστ', ἣν παρὸν θέσθαι καλῶς
αὐτός τις αὑτῷ τὴν βλάβην προσθῇ φέρων.

V. 1. ἣν] ἂν libri. 2. αὑτῷ] αὐτῷ libri. φέρων] θέλων Nauckius.

**322.** Stobaeus 7, 8.

Ὅστις δὲ τόλμῃ πρὸς τὸ δεινὸν ἔρχεται,
ὀρθὴ μὲν ἡ γλῶσσ' ἐστίν, ἀσφαλὴς δ' ὁ νοῦς.

V. 1. τόλμης Elmsl. ad Medeam p. 146.

**323.** Stobaeus 12, 4.

Καλὸν μὲν οὖν οὐκ ἔστι τὰ ψευδῆ λέγειν·
ὅτῳ δ' ὄλεθρον δεινὸν ἀλήθει' ἄγει,
συγγνωστὸν εἰπεῖν ἐστι καὶ τὸ μὴ καλόν.

V. 2. ἀλήθει'] ἡ ἀλήθει' libri.

**324.** Stobaeus 38, 26.

Οὔτε γὰρ γάμον, ὦ φίλαι,
οὔτ' ἂν ὄλβον ἔκμετρον
ἔνδον εὐξαίμαν ἔχειν·
φθονεραὶ γὰρ ὁδοί.

V. 1. ὦ recte delere videtur Nauckius. 3. εὐξαίμαν Seidlerus. εὔξαιμ' ἂν libri.

**325.** Stobaeus 91, 28.

Καὶ μή τι θαυμάσῃς με τοῦ κέρδους, ἄναξ,
ὧδ' ἀντέχεσθαι. καὶ γὰρ οἳ μακρὸν βίον
θνητῶν ἔχουσι, τοῦ γε κερδαίνειν ὅμως
ἀπρὶξ ἔχονται κἄστι πρὸς τὰ χρήματα
θνητοῖσι τἄλλα δεύτερ'· εἰσὶ δ' οἵτινες
αἰνοῦσιν ἄνοσον ἄνδρ', ἐμοὶ δ' οὐδεὶς δοκεῖ
εἶναι πένης ὢν ἄνοσος, ἀλλ' ἀεὶ νοσεῖν.

**326.** Stobaeus 103, 15.

Κάλλιστόν ἐστι τοὔνδικον πεφυκέναι·
λῷστον δὲ τὸ ζῆν ἄνοσον· ἥδιστον δ' ὅτῳ
πάρεστι λῆψις ὧν ἐρᾷ καθ' ἡμέραν.

**327.** Bekkeri Anecd. p. 373, 5. Ἀκουστά: ὡς ἐν τῇ (codex τῷ) Κρεούσῃ

Ἄπελθ' ἄπελθε, παῖ· τάδ' οὐκ ἀκουστά σοι.

(σοι om. codex) καὶ Εὐριπίδης δὲ πολλάκις. ὁ μέντοι Σοφοκλῆς ἀκούσιμά φησι. Recte additum videtur σοι, quod aptissimum est. Inter ὡς et ἐν nomen excidit Σοφοκλῆς, quod necessarium est propter sequentia verba Εὐριπίδης δέ. Inter Σοφοκλῆς vero et ἀκούσιμα excidisse videtur καί. Adiectivo ἀκουστός utitur Sophocles Oed. T. 1312.

**328.** Hesychius, Ἀνέκτημαι: ἀνείληφα. Σ. Κ.

**329.** Pollux 6, 174. Τὸ δὲ ἰσοθάνατον Σοφοκλέους εἰπόντος ἐν Κρεούσῃ οὐ πάνυ ἀνεκτόν.

## ΚΡΙΣΙΣ (ΣΑΤΥΡΙΚΗ).

Paridis iudicium intelligendum esse ex verbis Athenaei apparet.

**330.** Athenaeus 15. p. 687c. Σοφοκλῆς ὁ ποιητὴς ἐν Κρίσει (codex κρησὶ) τῷ δράματι τὴν μὲν Ἀφροδίτην ἡδονήν (ἡδονικήν Nauckius) τινα οὖσαν δαίμονα μύρῳ τε ἀλειφομένην παράγει καὶ κατοπτριζομένην, τὴν δ' Ἀθηνᾶν φρόνησιν οὖσαν καὶ νοῦν, ἔτι δ' ἀρετήν, ἐλαίῳ χρωμένην καὶ γυμναζομένην.

**331.** Herodianus περὶ διχρόνων in Crameri Anecd. Oxon. vol. 3. p. 295, 8., exscriptus ab Dracone qui dicitur p. 35, 5. et grammatico Hermanni p. 444. Φάρος συστέλλον τὸ α, ὡς παρὰ Σοφοκλεῖ ἐν Κρίσει σατυρικῇ

Καὶ δὴ φάρει τῷδ' ὡς ἐμῷ καλύπτομαι.

In Herodiani libro περὶ μονήρους λέξεως p. 36, 24. haec partim in lacunam inciderunt: unde postrema tantum verba supersunt τῷδ' ὡς ἐμῷ καλύπτομαι.

**332.** Hesychius, Βυδοί: οἱ μουσικοί. ἢ κρουμά τι. Σ. Κρίσει. Codex σαφῶς κρησίν. Quod etiam Σ. Ἀκρισίῳ esse potest: v. ad fragm. 79.

## ΚΩΦΟΙ.

**333.** Scholiasta Nicandri Ther. 343. Ἄλλοι δὲ οὕτω τὸν μῦθόν φασιν. Προμηθέα τὸ πῦρ κλέψαντα καὶ τοῖς ἀνθρώποις δωρησάμενον οἱ λαβόντες ἐμήνυσαν, οὐ καλὴν τῆς χάριτος τίνοντες ἀμοιβήν· ἐφ' οἷς τὸν Δία φασὶν ἐπαινέσαντα φάρμακον αὐτοῖς ἀγηρασίας δοῦναι· τοὺς δὲ λαβόντας ἀποφέρειν τὸ δωρηθὲν ἐπὶ ὄνου· τὸν δὲ δίψει τειρόμενον ἐλθεῖν εἰς κρήνην, ἣν ἐφύλασσεν ὄφις· καὶ τοῦ ποτοῦ ὀρεγόμενος ἀπέδοτο τοῦ γήρως τὸ φάρμακον· διὸ πάντας μὲν τοὺς ὄφεις καθ' ἕκαστον νεάζειν ἐνιαυτόν, ἀποδυομένους τὸ γῆρας, τὸν δὲ ὄφιν τῆς κρήνης φύλακα καταλαβεῖν τὸ δίψος. ὅθεν τοῖς δηχθεῖσιν ἐμποιεῖ δίψαν. ἔστι δὲ ὁ μῦθος παρὰ Σοφοκλεῖ ἐν Κωφοῖς. Eandem fabulam narrat Aelianus de Nat. Anim. 6, 51. omisso nomine dramatis. Κρήνης φύλακα χωρίτην ὄφιν memorat poeta fragm. 219.

**334.** Schol. Apollonii Rhodii 1, 972. Λέγεται δὲ ἴουλος καὶ ζῷόν τι, θηρίδιον πολύπουν· ἑκατέρωθεν γὰρ ἔχει πολλοὺς πόδας, ὥσπερ ἡ σκολόπενδρα. Θεόφραστος δὲ ἐν τῇ πρὸς Φανίαν ἐπιστολῇ καὶ ὄνον φησὶν αὐτὸν καλεῖσθαι, ὡς παρὰ Σοφοκλεῖ ἐν Κωφοῖς σατύροις

Κυλισθεὶς ὥς τις ὄνος ἰσόσπριος.

Hesychius, Ὄνος ἰσόσπριος: ἔστι δὲ ζῷον πολύπουν, ὀσπρίῳ ὅμοιον, ὃ καὶ ἴουλον τινὲς φασίν. Photius p. 337, 17. Ὄνος ἰσόσπριος: ζῷον πολύπουν σκωληκῶδες, ὃ συνειληθὲν ὅμοιον κυάμῳ φαίνεται.

**335.** Schol. Apollonii Rhodii 1, 1126. Ὅτι δὲ νύμφη τις Οἰαξίδος γῆς δραξαμένη τοὺς καλουμένους Ἰδαίους Δακτύλους ἐποίησε παρὰ Στησιμβρότου εἴληφε· καὶ ὅτι διὰ τὸ ῥυῆναι αὐτοὺς διὰ τῶν χειρῶν Δάκτυλοι ἐκλήθησαν. Σοφοκλῆς δὲ αὐτοὺς Φρύγας καλεῖ ἐν Κωφοῖς σατύροις. "Confer Zenobium Prov. 4, 80. Κέλμις ἐν σιδήρῳ, ubi omisso fabulae nomine citatur Sophocles ἐν Σατύροις, et Wesselingium ad Diodorum Sic. vol. 1. p. 381, 4," Brunck. Adde Strabon. 10. p. 473. Δακτύλους δ' Ἰδαίους φασί τινες κεκλῆσθαι τοὺς πρώτους οἰκήτορας τῆς κατὰ τὴν Ἴδην ὑπωρείας· πόδας μὲν γὰρ λέγεσθαι τὰς ὑπωρείας, κορυφὰς δὲ τὰ ἄκρα τῶν ὀρῶν· αἱ οὖν κατὰ μέρος ἐσχατιαὶ καὶ πᾶσαι τῆς μητρὸς τῶν θεῶν ἱεραὶ περὶ τὴν Ἴδην. Σοφοκλῆς δὲ οἴεται πέντε τοὺς πρώτους ἄρσενας γενέσθαι, οἳ σίδηρόν τε ἐξηῦρον καὶ εἰργάσαντο πρῶτοι, καὶ ἄλλα πολλὰ τῶν πρὸς τὸν βίον χρησίμων· πέντε δὲ καὶ ἀδελφὰς τούτων· ἀπὸ δὲ τοῦ ἀριθμοῦ Δακτύλους κληθῆναι. ἄλλοι δ' ἄλλως μυθεύουσιν, ἀπόροις ἄπορα συνάπτοντες· διαφόροις δὲ καὶ τοῖς ὀνόμασι καὶ τοῖς ἀριθμοῖς χρῶνται, ὧν Κέλμιν ὀνομάζουσί τινα καὶ Δαμναμενέα, καὶ Ἡρακλέα, καὶ Ἄκμονα· καὶ οἱ μὲν ἐπιχωρίους τῆς Ἴδης, οἱ δὲ ἐποίκους· πάντες δὲ σίδηρον εἰργάσθαι ὑπὸ τούτων ἐν Ἴδῃ πρῶτόν φασι· πάντες δὲ καὶ γόητας ὑπειλήφασι, καὶ περὶ τὴν μητέρα τῶν θεῶν καὶ ἐν Φρυγίᾳ ᾠκηκότας περὶ τὴν Ἴδην, Φρυγίαν τὴν Τρωάδα καλοῦντες, διὰ τὸ τοὺς Φρύγας ἐπικρατῆσαι πλησιοχώρους ὄντας, τῆς Τροίας ἐκπεπορθημένης.

## ΛΑΚΑΙΝΑΙ.

"Fabulae argumentum e parva Iliade sumptum testatur Aristoteles de Poëtica cap. 23. τοιγαροῦν ἐκ μὲν Ἰλιάδος καὶ Ὀδυσσείας μία τραγῳδία ποιεῖται ἑκατέρας ἢ δύο μόναι, ἐκ δὲ Κυπρίων πολλαί, καὶ ἐκ τῆς μικρᾶς Ἰλιάδος πλέον ὀκτώ, οἷον Ὅπλων κρίσις, Φιλοκτήτης, Νεοπτόλεμος, Εὐρύπυλος, πτωχεία, Λάκαιναι, Ἰλίου πέρσις καὶ ἀπόπλους καὶ Σίνων καὶ Τρῳάδες." Brunck. Lacaenae mulieres, quae chorum effecerint, intelligendae haud dubie Helenae comites. Argumentum fabulae videtur fuisse raptus Palladii ab Ulixe et Diomede perpetratus, de quo conf. Procli Chrestom. p. 460. ed. Gaisf. et schol. Homeri Il. 6, 311. Quae pluribus persecutus est Welckerus p. 145–151.

**336.** Pollux 9, 49. Ἔστι δὲ ἡ ψαλὶς εἶδος οἰκοδομήματος. ἥ που καὶ Σοφοκλῆς ἐν Λακαίναις λέγει

Στενὴν δ' ἔδυμεν ψαλίδα κοὐκ ἀβόρβορον.

ἀβόρβορον pro ἀβάρβαρον Blomfieldus. Servius ad Virgil. Aen. 2, 166. *Diomedes et Ulixes, ut alii dicunt cuniculis, ut alii, cloacis ascenderunt arcem.*

**337.** Priscianus 18. vol. 2. p. 197. Krehl. (vol. 2. p. 302. ed. Hertz.) *Attici,* ἄρχω τοῦδε καὶ τόδε, ἀντὶ τοῦ κατάρχω. *Sophocles* Λακαίναις

Θεοὶ γὰρ οὔποτ', εἴ τι χρὴ βροτὸν λέγειν,
ἄρξασι Φρυξὶ τὴν κατ' Ἀργείους ὕβριν
ξυναινέσονται ταῦτα. μὴ μάχου βίᾳ.

V. 1. θεοὶ γὰρ codex Paris. Legebatur θεοῖς ἄρ'. 2. Ἀργείους] Ἀργείων Ellendtius. 3. Codex Monac. ΞΥΝΑΙΝΕωΤΑΤΑΥΤΑ. ξυναινέσω τὰ ταῦτα codex Paris. Recte correxit Madvigius in Schneidewini Philologo vol. 1. p. 671.

**338.** Herodianus περὶ μονήρους λέξεως p. 40, 11. Τὸ παρὰ Σοφοκλεῖ ἐν Λακαίναις δανοτὴς εἰρημένον "Ἐν ᾗ παύσετ' ἀμερίων μόχθων τε καὶ δανοτῆτος" ὑγιῶς ἂν ἔχοι εἰ παρ' ὄνομα σχηματισθείη. δανότης et δανότητος Lehrsius. Incerta significatio vocabuli. Versus fortasse Glyconei, ἐν ᾗ παύσαιθ' ἀμερίων | μόχθων καὶ δανοτῆτος. Τε etiam Herwerdenus delevit p. 12. etsi longe aliter, sed parum probabiliter, de ceteris iudicans.

**339.** Strabo 8. p. 364. Τὴν δὲ Λᾶν οἱ Διόσκουροι ποτὲ ἐκ πολιορκίας ἑλεῖν ἱστοροῦνται, ἀφ' οὗ δὴ Λαπέρσαι προσηγορεύθησαν. (Conf. Hesychii interpretes ad Λαπέρσαι.) καὶ Σοφοκλῆς λέγει που

Νὴ τὼ Λαπέρσα, νὴ τὸν Εὐρώταν τρίτον,
νὴ τοὺς ἐν Ἄργει καὶ κατὰ Σπάρτην θεούς.

## ΛΑΟΚΟΩΝ.

Argumentum fabulae quod fuerit ex Hygini fabula 135. colligi posse vidit Heynius ad Virgil. Aeneid. librum 2. exc. 5. V. etiam Servium ad Aen. 2, 201. et 211. et Welcker. p. 152. De anguibus qui Laocoontem petunt Servius ad v. 204: *horum sane draconum nomina Sophocles in Laocoonte dicit.* Nomina illa Nauckius coniicit fuisse Πόρκης et Χαρίβοια, coll. C. Keilii Anal. epigr. p. 191.

**340.** Harpocratio, grammaticus Bekkeri p. 332, 5. et Suidas s. v. ἀγυιαί, Ἀγυιεὺς δέ ἐστι κίων εἰς ὀξὺ λήγων, ὃν ἱστᾶσι πρὸ τῶν θυρῶν — εἶεν δ' ἂν καὶ παρὰ τοῖς Ἀττικοῖς λεγόμενοι ἀγυιεῖς οἱ πρὸ τῶν οἰκιῶν βωμοί, ὥς φασι Κρατῖνος καὶ Μένανδρος, καὶ

Σοφοκλῆς ἐν τῷ Λαοκόωντι, μετάγων τὰ Ἀθηναίων ἔθη εἰς Τροίαν, φησὶ

Λάμπει δ' ἀγυιεὺς βωμὸς ἀτμίζων πυρὶ
σμύρνης σταλαγμούς, βαρβάρους εὐοσμίας.

V. 2. σταλαγμοὺς] σταλαγμοῖς Harpocrationis libri plerique.

**341.** Scholiasta Aristophanis Ranar. 678. Παρὰ τὰ Σ. ἐκ Λαοκόωντος "Πόσειδον, ὃς Αἰγαίου μέδεις πρῶνας (Αἰγαίους ἔχεις πρῶνας Bergkius) ἢ γλαυκᾶς μέδεις (μεδέεις duo codd.) εὐανέμου λίμνας ἐφ' ὑψηλαῖς σπιλάδεσσι στομάτων." στομάτων σπιλάδεσσι Bergkius. στομάτων ex participio aliquo, velut πολεύων, corruptum esse coniecit Herwerdenus p. 13.

**342.** Dionysius Halic. Antiq. 1, 48. Σοφοκλῆς μὲν ὁ τραγῳδοποιὸς ἐν Λαοκόωντι δράματι, μελλούσης ἁλίσκεσθαι τῆς πόλεως, πεποίηκε τὸν Αἰνείαν ἀνασκευαζόμενον εἰς τὴν Ἴδην, κελευσθέντα ὑπὸ τοῦ πατρὸς Ἀγχίσου, κατὰ τὴν μνήμην ὧν Ἀφροδίτη ἐπέσκηψε καὶ ἀπὸ τῶν νεωστὶ γενομένων περὶ τοὺς Λαοκοωντίδας σημείων* τὸν μέλλοντα ὄλεθρον τῆς πόλεως συντεκμηράμενον. ἔχει δὲ αὐτῷ τὰ ἰαμβεῖα ἐν ἄλλῳ προσώπῳ λεγόμενα ὧδε

Νῦν δ' ἐν πύλαισιν Αἰνέας ὁ τῆς θεοῦ
πάρεστ', ἐπ' ὤμων πατέρ' ἔχων κεραυνίου
νώτου καταστάζοντα βύσσινον φάρος.
κύκλῳ δὲ πᾶσαν οἰκετῶν παμπληθίαν·
συμπλάζεται δὲ πλῆθος οὐχ ὅσον δοκεῖς,
οἳ τῆσδ' ἐρῶσι τῆς ἀποικίας, Φρυγῶν.

V. 1. Αἰνείας libri. 3. μοτοῦ Plutarchus Moral. p. 100d. ubi hunc versum omisso poetae fabulaeque nomine affert. 4. κύκλῳ Reiskius] κυκλεῖ vel κυκλοῖ libri. παμπληθίαν] παμπησίαν Naeckius. 5. συμπλάζεται] Alii libri συμπάζεται, συνοπάζεται. δοκεῖς, οἳ Reiskius pro δοκεῖ σοι.

**343a.** Stobaeus 29, 38. Σοφοκλέους Λαοκόωντος

Πόνου μεταλλαχθέντος οἱ πόνοι γλυκεῖς.

**343b.** Stobaeus 29, 37. Σοφοκλέους

Μόχθου γὰρ οὐδεὶς τοῦ παρελθόντος λόγος.

Lemma Σοφοκλέους est in ed. Trincavelli, totum locum om. duo libri optimi, quem inter fragmenta Laocoontis posuit Brunckius auctoritate codicis Vindobonensis, quem Σοφοκλέους omittere annotavit Gaisfordus. Ex his colligi potest hunc versum et sequentem πόνου μεταλλαχθέντος οἱ πόνοι γλυκεῖς transpositos in unum esse fragmentum coniungendos cum lemmate Σοφοκλέους Λαοκόωντος.

**344.** Hesychius, Καταρράκτης: ὀχετός, ῥύαξ. καὶ ὁ ἀετός. Σ. Λαοκόωντι.

[ΛΑΡΙΣΑΙΟΙ. Vide ΑΚΡΙΣΙΟΣ.]

## ΛΗΜΝΙΑΙ.

**345.** "Notum dramatis argumentum, Argonautarum in Lemnum appulsus, cum Lemniis mulieribus congressus, quem narrat Argonauticorum poeta lib. 1. v. 609. [Coniecturas de singulis fabulae partibus proposuit Welckerus p. 326.—328.] Correctum fuisse videtur post primam emissionem, iterumque in scenam productum. Nam a Stephano in Δώτιον laudantur Λήμνιαι πρότεραι,

Φερητίδης τ' Ἄδμητος ἠδ' ὁ Δωτιεὺς
Λαπίθης Κορωνός."

* Proclus Chrestom. p. 460. ed. Gaisf. δύο δράκοντες ἐπιφανέντες τὸν Λαοκόωντα καὶ τὸν ἕτερον τῶν παίδων διαφθείρουσιν· ἐπὶ δὲ τῷ πέρατι δυσφορήσαντες οἱ περὶ τὸν Αἰνείαν ὑπεξῆλθον εἰς τὴν Ἴδην.

Brunck. Scribendum Κόρωνος: v. Arcad. p. 66, 9. Idem vitium apud Diodor. 4, 37.

**346.** Schol. Pindari Pyth. 4, 303. Πάντας Σοφοκλῆς ἐν ταῖς Λημνιάσι τῷ δράματι καταλέγει τοὺς εἰς τὸ Ἀργῷον εἰσελθόντας σκάφος. Ex hoc catalogo nomina sumta sunt fragm. 345.

**347.** Schol. Apollonii Rhodii 1, 773. Ὅτι δὲ ἐμίγησαν οἱ Ἀργοναῦται ταῖς Λημνίαις Ἡρόδωρος ἱστορεῖ. Αἰσχύλος δὲ ἐν Ὑψιπύλῃ ἐν ὅπλοις φησὶν αὐτὰς ἐπελθούσας χειμαζομένοις τοῖς Ἀργοναύταις, μέχρις οὗ ὅρκον ἔλαβον παρ' αὐτῶν ἀποβάντας μίσγεσθαι αὐταῖς. Σοφοκλῆς δὲ ἐν Λημνίαις καὶ μάχην ἰσχυρὰν αὐτὰς συνάψαι φησίν.

**348.** Etymol. M. p. 26, 16. Ἄθως: ἀκρωτήριον Θρᾴκης. Σοφοκλῆς

Ἄθως σκιάζει νῶτα Λημνίας βοός.

ἐν γὰρ τῇ Λήμνῳ βοῦς χαλκῆ ἵδρυται, ἐφ' ἣν τοῦ Ἄθω ἡ σκιὰ φθάνει. Versus est proverbialis, cuius diversae sunt apud alios scriptores (Plut. Mor. p. 935 f. schol. Hom. Il. 14, 229. Eustath. p. 980, 46. schol. Theocr. 7, 76. Suid. s. v. Ἄθως et paroemiogr. ap. Leutsch. vol. 1. p. 355.) lectiones, καλύψει (vel καλύπτει) pro σκιάζει, πλευρὰ pro νῶτα, et ἁλὸς pro βοός: de quibus dixerunt Ruhnkenius Ep. crit. p. 197. et Piersonus ad Moeridem p. 267.

**349.** Stephanus, Χρύση: ἡ πόλις τοῦ Ἀπόλλωνος ἐγγὺς Λήμνου. Σ. Λημνίαις

Ὦ Λῆμνε Χρύσης τ' ἀγχιτέρμονες πάγοι.

**350.** Hesychius, Ἀξύμβλητον: ὃ μηδενὶ ἀπαντᾶν δυνατόν, ἢ ἀσυνάντητον. Σ. Λ. Versum sine fabulae nomine attulit gramm. in Bekk. Anecd. p. 413, 14. et Etym. M. in cod. Voss. (apud Gaisf. p. 327c) et Eustath. p. 1405, 58. Ἀξύμβλητον· ὥστε μηδενὶ ἀπαντῆσαι. Σοφοκλῆς

Ἄπλατον, ἀξύμβλητον ἐξεθρεψάμην.

Scribebatur ἄπλαστον. Correxit Bergkius.

**351.** Hesychius, Ἀσάλπικτον ὥραν: τὸ μεσονύκτιον. ἑσπέρας γὰρ καὶ ὄρθρου ἐσάλπιζον. Σ. Λ. Bekk. Anecd. p. 450. 26. Ἀσάλπιγκτον ὥραν· τὸ μεσονύκτιον. οὕτω Σοφοκλῆς.

**352.** Scholiasta Platonis p. 393. Αὐτὸ δείξει: — μέμνηται δὲ τῆς παροιμίας Σοφοκλῆς ἐν Λημνίαις οὕτως

Ταχὺ δ' αὐτὸ δείξει τοὔργον, ὡς ἐγώ, σαφῶς.

ἐγώ] ἔχει Herwerdenus p. 17. δοκῶ Meinekius.

[ΜΑΝΤΕΙΣ. Vide ΠΟΛΥΙΔΟΣ.]

## ΜΕΛΕΑΓΡΟΣ.

**353.** Plinius H. N. 37, 11. de electro: *Sophocles tragicus poeta — ultra Indiam fieri dixit e lacrimis meleagridum avium Meleagrum deflentium. Quod et credidisse eum vel sperasse aliis persuaderi posse quis non miretur?* Fabulam de Meleagro narrarunt Homerus Il. 9, 529. seqq. Apollodorus 1, 8, 3. Diodorus 4, 34. Ovidius Metam. 8, 270 seqq. Hyginus Fab. 174. Post Sophoclem tractavit Euripides. De Sophocleae fabulae compositione, de qua dixit Welckerus p. 403. —406., nihil fere compertum habemus. Chorum ex sacerdotibus compositum fuisse tradit schol. Hom. Il. 9, 575. ἐντεῦθεν Σοφοκλῆς ἐν τῷ Μελεάγρῳ τὸν χορὸν ἀπὸ ἱερέων παρήγαγεν. Scholiasta recentior Σ. τὸν χορὸν Οἰδίποδος ἐξ ἱερέων ποιεῖ, interpolatione indocta, quam notavit Lehrs. de Aristarcho p. 39.

**354a.** Hesychius, Ἀντίβοιον: ἰσόβοιον, ἀντὶ βοὸς καθαγιαζόμενον. Σ. Μ.

**354b.** Hesychius, Ἰξοφόρους δρύας: τὰς ἰξὸν φερούσας. Σ. Μ.

**355.** Κυάμῳ πατρίῳ (τῶν Αἰτωλῶν): vide fragm. 271.

**356.** Hermogenes vol. 3. p. 324. Φίλανδρόν που τὴν Ἀταλάντην εἶπεν ὁ Σοφοκλῆς διὰ τὸ ἀσπάζεσθαι σὺν ἀνδράσιν εἶναι, ἡμῶν πάλιν ἐπὶ ἄλλου πράγματος ταττόντων τοὔνομα τοῦτο. Ad hanc fabulam rettulit Brunckius cum proximo fragmento.

**357.** Lucian. Symp. c. 25. vol. 3. p. 437. Εἰ δὲ δείπνου ἕνεκα ὀργίζεσθαί σοι δοκῶ, τὸ κατὰ τὸν Οἰνέα ἐννόησον. ὄψει γὰρ καὶ τὴν Ἄρτεμιν ἀγανακτοῦσαν, ὅτι μόνην αὐτὴν οὐ παρέλαβεν ἐκεῖνος ἐπὶ τὴν θυσίαν, τοὺς ἄλλους θεοὺς ἑστιῶν. φησὶ δὲ περὶ αὐτῶν Σοφοκλῆς

Συὸς μέγιστον χρῆμ' ἐπ' Οἰνέως γύαις
ἀνῆκε Λητοῦς παῖς ἑκηβόλος θεά.

### ΜΕΜΝΩΝ.

Dramatis huius meminit auctor argumenti Aiacis. Fabulam eandem esse quae Αἰθίοπες coniecit Heynius ad Apollod. vol. 2. p. 301. et ad Virgil. Aen. 1. exc. 19.

### [ΜΙΝΩΣ. Vide ΚΑΜΙΚΙΟΙ.]

### [ΜΥΚΗΝΑΙΑΙ. Vide ΑΤΡΕΥΣ.]

### ΜΥΣΟΙ.

Fabulam eandem esse quae Τήλεφος ab Hesychio appellatur in glossa infra afferenda probabilis Welckeri opinio est p. 414. Nam in Μυσοῖς de Teuthrante Mysiae rege et Telepho actum esse videri: v. Hygin. Fab. 100. Telephum Aeschylus quoque in Μυσοῖς tragoedia produxerat.

**358.** Stobaeus 26, 4.

Ὡς τοῖς κακῶς πράσσουσιν ἡδὺ καὶ βραχὺν
χρόνον λαθέσθαι τῶν παρεστώτων κακῶν.

**359.** Stobaeus 98, 23. Σ. "Ἄμοχθος γὰρ οὐδείς· ὁ δ' ἥκιστα ἔχων μακάρτατος." Verba metro soluta.

**360.** Strabo 8. p. 356. ubi πόλις sensu latiore de terra a poetis dici docet, Σοφοκλῆς δ' ἐν Μυσοῖς

Ἀσία μὲν ἡ σύμπασα κλῄζεται, ξένε,
πόλις δὲ Μυσῶν Μυσίᾳ προσήγορος.

**361.** Athenaeus 4. p. 183e. Μνημονεύει δὲ τοῦ τριγώνου τούτου καὶ Σοφοκλῆς ἐν μὲν Μυσοῖς οὕτως

Πολὺς δὲ Φρὺξ τρίγωνος ἀντίσπαστά τε
Λυδῆς ἐφυμνεῖ πηκτίδος συγχορδία.

καὶ ἐν Θαμύρᾳ. Iterum affert 14. p. 635c.

V. 1. τε abest p. 635. 2. ἐφυμνεῖ] ἐφύμνει p. 635.

**362.** Pollux 10, 186. Φαίης δ' ἂν καὶ σίσυρναν, Σοφοκλέους ἐν Μυσοῖς λέγοντος

Ψαλίδας, τιάρας καὶ σισυρνώδη στολήν.

Ψαλίδας] Ψέλλια Bergkius. Hesychius, Σισυρνώδη στολήν: τὸν ἐκ τῆς σισύρνης στολισμόν.

**363.** Antiatticista p. 83, 22. Ἄβολον ἵππον: Σ. Μυσοῖς (codex μούσαις).

**364.** Hesychius, Ἀποβάθρα: ἀποβατηρία. ἢ κλῖμαξ νεώς. Σ. Μ. Bekk. Anecd. p. 426, 18. Ἀποβάθρα: ἀποβατήρια. οὕτω Σοφοκλῆς. Scribendum Ἀπόβαθρα: v. L. Dindorf. in Thesauro vol. 1. part. 2. p. 1362.

**365.** Hesychius, Ἀποσύρει: ἀποσπᾷ. Σ. Μ.

**366.** Hesychius, Ἀπύρου: ἀθύτου. Σ. Μ.

**367.** Hesychius, Ἀστραφής: σκληρός. Σ. Μ.

**368.** Hesychius, Ἀφθίτους γνώμας: ἀμετρέπτους. Σ. Μ.

### ΜΩΜΟΣ (ΣΑΤΥΡΙΚΟΣ).

Ignotum argumentum fabulae. Narrationem de Minerva, Neptuno, Vulcano et Momo apud Lucianum Hermot. c. 20. vol. 1. p. 758. memorat Wagnerus.

**369.** Hesychius, Ἀλώπηξ: ὄρχησίς τις. καὶ ἀλωπεκίαι ὡς Σοφοκλῆς Μώμῳ (codex μώμων ὡς σοφοκλῆς). ὅπερ ἐστὶν ἐν σώματι πάθος γενόμενον. Ad Sophoclem nihil praeter ὄρχησίς τις pertinere videtur.

**370.** Hesychius, Ἄμφιον: ἔνδυμα. Σ. Μώμῳ. Eustathius p. 1421 extr. Πηνίον δέ ἐστιν ὁ μίτος, ἐξ οὗ καὶ "χρυσεοπήνητον ἄμφιον," quae Sophoclis verba esse coniecit Hemsterhusius.

**371.** Hesychius, Ἀναστῦψαι: ἐπᾶραι τὸ αἰδοῖον. ἢ στυγνάσαι. Σ. Μώμῳ. Ἀναστῦψαι ex comicis memorat Pollux 2, 176.

**372.** Hesychius, Ἄνθρωσκε: ἄνω θρῶσκε, ὀρχοῦ. Σ. Μώμῳ (codex κώμῳ).

**373.** Hesychius, Ἀποσκόλυπτε: ἀπολέπιζε καὶ ἀποκόλουε. φασὶ καὶ τὸν περιτετμημένον τὸ αἰδοῖον ἀπεσκολυμμένον. Σ. Μώμῳ. Bekkeri Anecd. p. 435. 24. Ἀποσκολύψαι: ἀφελεῖν τὸ δέρρα. ἢ ἀπογυμνῶσαι. Σοφοκλῆς δὲ τὸ ἀποκόλουε ἐν Μενελάῳ.

**374a.** Bekkeri Anecd. p. 446, 12. Ἄρπην: δρέπανον. Σ. Μώμῳ (codex νόμῳ) σατυρικῷ.

**374b.** Choeroboscus p. 376, 19. Τὸ σὺν δόρει σὺν ἀσπίδι, ὅπερ Ἀριστοφάνης παρεμφαίνει (corr. παρεμφέρει) ἐν Εἰρήνῃ (v. 357.) ἐν Μώμῳ Σοφοκλέους προκείμενον, ὡς ἀπὸ τοῦ δόρος ἐστίν. In scholio ad versum Aristophanis ex Achaei Μώμῳ, quam fabulam ab nemine veterum memoratam vidi, affertur versus integer

Ἄρης ὁ λῃστὴς σὺν δόρει σὺν ἀσπίδι.

### ΝΑΥΠΛΙΟΣ ΚΑΤΑΠΛΕΩΝ. ΝΑΥΠΛΙΟΣ ΠΥΡΚΑΕΥΣ.

Ναύπλιον καταπλέοντα Huschkius in Anal. crit. p. 241. intellexit proficiscentem ad Graecorum castra eo consilio ut poenas exigeret ab iis quorum fraude Palamedes interemtus esset. De quo schol. Eurip. Or. 422. λίθοις φονεύεται ὁ Παλαμήδης· Ναύπλιος δὲ ἀκούσας ἦλθεν εἰς Ἴλιον δικάσαι τὸν φόνον τοῦ παιδός. Eadem quum olim Welckeri sententia fuisset, postmodum mutavit et Ναύπλιον καταπλέοντα eandem quam Ναύπλιον πυρκαέα tragoediam fuisse censuit p. 189. parum probabiliter. Neque enim verisimile est uni eidemque tragoediae, quae simplici Ναυπλίου nomine inscribi poterat, duplex datum esse cognomen. Nihilominus recte iudicare videtur Welckerus fabulam de Nauplio vix duabus suffecisse tragoediis. Quamobrem coniicere licet duplicem eiusdem tragoediae exstitisse editionem, quarum altera καταπλέων, altera πυρκαεὺς inscribi potuerit, ut Euripidis Hippolytus prior et alter καλυπτομένου et στεφανηφόρου cognomine distincti sunt: de quo fabularum genere dixi ad Athamantis fragm. 1. Cuiusmodi tamen cognomina non magis quam numeri πρότερος et δεύτερος, quorum exempla ibidem collegi, ab poetis addita sunt quum fabulas in scenam producerent, sed ab antiquis grammaticis, qui quum didascalias colligerent operam dabant ut plures eiusdem nominis fabulas distinguerent.

De Nauplio πυρκαεῖ disertum est testimonium Pollucis 9, 156. ὁ δ' ἐμπρήσας τάχ' ἂν πυρκαεὺς ὀνομάζοιτο κατ' Αἰσχύλον καὶ Σοφοκλέα, οὕτως ἐπιγράψαντας τὰ δράματα, τὸν μὲν τὸν Προμηθέα, τὸν δὲ τὸν Ναύπλιον. De Aeschylo memoria eum fefellit. Neque enim Προμηθεὺς πυρκαεύς, quod parum aptum

Prometheo cognomen foret, sed Προμηθεὺς πυρφόρος, drama satyricum, ab Aeschylo scriptum est: de quo monui ad Aeschyli Fragm. 187. Contra aptissimum Nauplio cognomen illud est, de quo comparanda Hygini narratio Fab. 116.

**375.** Schol. Pindari Isthm. 5, 10. Τὸν δὲ τρίτον κρατῆρα Διὸς σωτῆρος ἔλεγον, καθὰ καὶ Σοφοκλῆς ἐν Ναυπλίῳ

Ζεῦ παυσίλυπε καὶ Διὸς σωτηρίου
σπονδὴ τρίτου κρατῆρος.

Verba καὶ Διὸς — κρατῆρος citat schol. Platonis p. 43. ed. Siebenk. (325. ed. Bekk.) et, ut Siebenk. annotavit, Hermias in schol. in Phaedrum. Porro schol. Platonis p. 383. τὸ τρίτον τῷ σωτῆρι· ἐκ μεταφορᾶς εἴρηται τοῦ ἐν ταῖς συνουσίαις ἔθους. Σοφοκλῆς ἐν Ναυπλίῳ καταπλέοντι. Hesychius, Τρίτος κρατήρ: Σ. Ναυπλίῳ καταπλέοντι. V. 2. σπονδὴ] σπονδαὶ Arsenius p. 90.

**376.** Stephanus, Ἀσπίς — Σοφοκλῆς ἐν Ναυπλίῳ καταπλέοντι

Ἀλλ' ἀσπιδίτην ὄντα καὶ πεφραγμένον.
ὡς ἀσπιδοῦχος, ἢ Σκύθης τοξεύμασι.

V. 1. Sophocles scripserat πεφαργμένον: vide ad Antig. 253. V. 2. ex alio eiusdem fabulae loco sumtus videtur: quamobrem Meinekius καὶ praescripsit.

**377.** Stobaeus 104, 3. Σ. Ν.

Τῷ γὰρ κακῶς πράσσοντι μυρία μία
νὺξ ἐστιν· εὖ παθόντα εἶθ' ἑτέρα θανεῖν.

εἶθ' ἑτέρα] ἡτέρα Scor. θἠτέρᾳ Brunckius. Debebat θἀτέρᾳ. Locus non integer.

**378.** Aristides vol. 1. p. 259. Ποίας Νουπλίου πάγας ὑποπύρους, ὡς ἔφη Σοφοκλῆς, ἄξιον τῇ πυρκαϊᾷ ταύτῃ παραβαλεῖν; Fallaces ignes, quibus Nauplius Graecos in saxa litoris Euboici illexerit intelligit Ellendtius in Lexico vol. 2. p. 884.

**379.** Achilles Tatius Isag. ad Arati Phaenom. cap. 1. p. 122. ed. Petav. (ex cod. Laurentiano 27, 44.) Σοφοκλῆς δὲ Παλαμήδει ἀνατίθησιν. λέγοντα γὰρ Ναύπλιον εἰσάγει

Οὗτος δ' ἐφηῦρε τεῖχος Ἀργείων στρατῷ,
σταθμῶν τ', ἀριθμῶν καὶ μέτρων εὑρήματα·
τάξεις τε ταύτας οὐράνιά τε σήματα,
κἀκεῖν' ἔτευξε πρῶτον ἐξ ἑνὸς δέκα,
κἀκ τῶν δέκ' αὖθις ηὗρε πεντηκοντάδας
ὃς χίλι' εὐθὺς ὃς στρατοῦ φρυκτωρίαν,
ὕπνου φυλαξ . . . οα σημαντήρια
ἔδειξε, κἀνέφηνεν οὐ δεδειγμένα·
ἐφηῦρε δ' ἄστρων μέτρα καὶ περιστροφάς,
νεῶν τε ποιμαντῆρσιν ἐνθαλασσίων
ἄρκτου στροφάς τε καὶ κυνὸς ψυχρὰν δύσιν.

Lectiones codicis Vaticani 191. edidit Keilius in Schneidewini Philol. vol. 1. p. 157. V. 1. et 8. ἐφηῦρε scripsi pro ἐφεῦρε et v. 5. ηὗρε pro εὗρε. 2. σταθμῶν ἀριθμῶν Salmasius, recte, nisi quod τ' addere debebat. σταθμ ἀριθμῶν Vat. στάθμη δ' ἀριθμῶν Laur. lacuna male expleta. De Palamede Philostratus Heroic. p. 708. πρὸ γὰρ δὴ Παλαμήδους — οὐδὲ νόμισμα ἦν οὐδὲ σταθμὰ καὶ μέτρα οὐδὲ ἀριθμοί. εὑρήματα] Suspectum propter praecedens ἐφηῦρε. ὁρίσματα L. Dindorfius. σοφίσματα Meinekius (in Fleckeiseni Annal. a. 1863. p. 381.) collato Aeschyli Prom. 459. ἀριθμὸν ἔξοχον σοφισμάτων ἐξεῦρον αὐτοῖς. Versum 3. qui alienus ab hoc loco videtur, post v. 8. transponi voluit Scaliger. 4. πρῶτον L. Dindorfius pro πρῶτος: cui respondet αὖθις. 6. χίλι'] χίλια Vat. Versus corruptus et fortasse ex duorum versuum reliquiis compositus, ut Keilio videtur. στρατοῦ Vat. στρατῷ Laur. 7. φυλαξ . . . οα Vat. φυλάξεις στιθόα Laur. quae interpolatio similis est ei quam notavimus v. 2. φύλαξι πιστὰ Wagnerus. 8. 9. Verba ἔδειξε et ἐφεῦρε recte transponere videtur Nauckius. 10. ποιμαντῆρσιν Heathius. πυμαντῆρσιν Vat. πημαντῆρσιν Laur. 11. στοφάς τε καὶ Laur. στροφ. . . . καὶ Vat.

**380.** Eustathius p. 228. Παλαμήδους ἐπινοησαμένου κυβείαν καὶ πεττείαν ἐν Ἰλίῳ εἰς παραμύθιον λιμοῦ κατασχόντος τὴν στρατιὰν λίθος ἐκεῖ ἐδείκνυτο, καθὰ Πολέμων ἱστορεῖ, ἐφ' οὗ ἐπέσσευον. τῆς δὲ τοιαύτης ἐπινοίας τοῦ Παλαμήδους, καὶ τῆς εὑρέσεως δὲ τοῦ χρόνου, ἣν καὶ αὐτὴν ἐκεῖνος ἐσοφίσατο, μάρτυρα παράγουσι Σοφοκλῆν, ὃς ἐν δράματι ὁμωνύμῳ τῷ εὑρετῇ Παλαμήδει φησὶν

Οὐ λιμὸν οὗτος τῶνδ' ἀπῶσε, σὺν θεῷ
εἰπεῖν, χρόνου τε διατριβὰς σοφωτάτας
ἐφηῦρε, φλοίσβου μετὰ κοπὴν καθημένοις,
πεσσοὺς κύβους τε, τερπνὸν ἀργίας ἄκος;

"Nihil tam apertum est quam hos versus ad eandem Nauplii ῥῆσιν pertinere, cuius partem ab Achille Tatio servatam supra protulimus. Proinde sunt itidem ex Nauplio: aut si Eustathii fidem sequimur, licet dramatum quibus nunc caremus nullum ipse viderit, ad Palamedem priores alteri etiam referendi sunt." Brunck. Versum ultimum ex Palamede rursus affert Eustathius p. 1397, 8. Recte Brunckius utrumque fragmentum aut ad Nauplium aut ad Palamedem referendum esse iudicavit. Alteram sententiam defendit Vaterus in commentatione de Aleadis p. 27. V. 1. τῶνδ' Scaliger pro τόνδ'. 3. ἐφηῦρε scripsi pro ἐφεῦρε.

**381.** Hesychius, Πεσσὰ πεντέγραμμα καὶ κύβων βολάς: Σ. Ναυπλίῳ πυρκαεῖ, παρόσον πέντε γραμμαῖς ἔπαιζον. Versum integrum Καὶ πεσσὰ πεντέγραμμα καὶ κύβων βολαί ex Sophocle attulit Pollux 9, 97. Conf. Etymol. M. p. 666, 18. Orionem p. 127, 1. Eustathium p. 1396, 60. Ad eandem, ut videtur, fabulam spectat Pollux 7, 203. πεττεία, ἢ πεσσεία, ὡς Σοφοκλῆς. In Etymologicis et apud Eustathium πεντάγραμμα scriptum contra usum Atticorum, qui literam ε in compositis cum πέντε non mutant: de quo post alios dixit Cobetus Nov. Lect. p. 775.

**382.** Herodianus περὶ μονήρους λέξεως p. 31, 21. Σπίζα· ἔστι δὲ εἶδος ὀρνέου. Σ. ἐν Ναυπλίῳ πυρκαεῖ

Κάτω κρέμανται σπίζ' ὅπως ἐν ἕρκεσι.

Κάτω] ἄκατοι Bergkius. σπίζ' ὅπως correxi pro σπίζα τέως.

**383.** Photius p. 150, 9. Κατουλάδα: Σ. Ναυπλίῳ

Ἐπεύχομαι δὲ νυκτὶ τῇ κατουλάδι.

τὴν κατίλλουσαν καὶ κατείργουσαν. — οἱ δὲ τῇ πανωλέθρῳ ἐσομένῃ τοῖς Ἕλλησιν — ἢ ζοφώδη. Scholiasta Apollonii Rh. 4, 1695. ἡ σκοτεινὴ νὺξ κατουλὰς καλεῖται — παρὰ Σοφοκλεῖ ἐν Ναυπλίῳ "νυκτὶ κατουλάδι."

**384.** Hesychius, Ἀνόρεος πόλεμος: ἀνδρεῖος, ὁ πρὸς τοὺς ἄνδρας. Σ. Ν.

**385.** Schol. Aristoph. Pacis 1126. Ἐλύμνιον: Καλλίστρατός φησι τόπον Εὐβοίας τὸ Ἐλύμνιον. Ἀπολλώνιος δὲ ναόν φησιν εἶναι πλησίον Εὐβοίας. νυμφικὸν δέ τινες αὐτὸ φασιν, ὅτι ὁ Ζεὺς τῇ Ἥρᾳ ἐκεῖ συνεγένετο. μέμνηται καὶ Σοφοκλῆς "Πρὸς πέτραις Ἐλυμνίαις," καὶ ἐν Ναυπλίῳ "Νυμφικὸν Ἐλύμνιον." Verba πρὸς πέτραις Ἐλυμνίαις ac fortasse haec sola ex Sophoclis Nauplio petita esse coniicit Nauckius.

**386.** Hesychius, Ἐπίκοτα: ἐπίμομφα, ἃ πᾶς ἄν τις μέμψαιτο. Σ. Ν. καταπλέοντι.

**387.** Hesychius, Ναύκληρον πλάτην: ναυτικήν. Σ. Ν. πυρκαεῖ.

**388.** Pollux 10, 134. Ὁλκία τὰ πηδάλια Σ. ἐν Ναυπλίῳ ὠνόμασε. παρὰ τὸ Ὁμήρου "ξεστὸν ἐφόλκαιον." Recta scriptura ὁλκεῖα videtur.

### ΝΑΥΣΙΚΑΑ Η ΠΛΥΝΤΡΙΑΙ.

**389.** Eustathius p. 1553, 63. Μάλιστα δὲ, φασὶν, ἐπεμελήθησαν ὕστερον σφαιριστικῆς πόλεων μὲν κοινῇ Λακεδαιμόνιοι, βασιλέων δὲ ὁ μέγας Ἀλέξανδρος, ἰδιωτῶν δὲ Σοφοκλῆς ὁ τραγικός· ὃς καὶ ὅτε, φασὶ, τὰς Πλυντρίας ἐδίδασκε, τὸ τῆς Ναυσικάας πρόσωπον σφαίρᾳ παιζούσης ὑποκρινόμενος ἰσχυρῶς εὐδοκίμησεν. (Conf. p. 381, 10.) Athenaeus 1. p. 20e. Σοφοκλῆς ἄκρως ἐσφαίρισεν, ὅτε τὴν Ναυσικάαν καθῆκε. Huc fortasse referendum fr. 872. Nausicaam et Πλυντρίας eandem esse fabulam, cuius argumentum ex Odysseae libro sexto petitum fuerit, intellexit Valckenarius ad Eurip. Hippol. 125. p. 181. Idem recte fortasse pro dramate satyrico habuit, de quo dissentiunt Welckerus p. 227. aliique. Nullius in hac quaestione momenti est quod Eustathius p. 381. Nausicaam τῇ τραγικῇ ποιήσει annumerat suam ipsius opinionem secutus, ubi repetit quae in annotationibus ad Odysseam prius scriptis p. 1553. ex Athenaeo excerpserat de Sophocle δεινῷ ὄντι σφαιρίσαι.

**390.** Hesychius, Ἀναρροιβδεῖ: — Σ. ἐν Ναυσικάᾳ ἀντὶ τοῦ ἀναρρίπτει.

**391.** Pollux 7, 45. Ἐπενδύτης — ληπτέον ἐκ τῶν Σ. Πλυντριῶν

Πέπλους τε νῆσαι λινογενεῖς τ' ἐπενδύτας.

λινογενεῖς cod. Bekkeri. Vulgo νεοπλυνεῖς.

**392.** Pollux 10, 52. Λαμπήνη ἐν τῇ Σ. Ναυσικάᾳ. Hesychius, Λαμπήνη: εἶδος ἁμάξης, ἐφ' ἧς ὀχοῦνται. ἔνιοι ἀπήνη. ἢ ἁρμαμάξης περιφανοῦς βασιλικῆς.

### ΝΙΟΒΗ.

Fabulam de Niobe ante Sophoclem Aeschylus tractaverat. De compositione fabulae Sophocleae coniecturas suas exposuit Welckerus p. 286—298. De Oeagro Niobae sive Aeschyli sive Sophoclis actore dictum ad Aeschyli Fragm. 154.

**393.** Athenaeus 13. p. 601a. Αἰσχύλος μέγας ὢν ποιητὴς καὶ Σοφοκλῆς ἦγον εἰς τὰ θέατρα διὰ τῶν τραγῳδιῶν τοὺς τῶν παίδων ἔρωτας, ὁ μὲν τὸν Ἀχιλλέως πρὸς Πάτροκλον, ὁ δ' ἐν τῇ Νιόβῃ τὸν τῶν Νιόβης παίδων. Plutarchus Moral. p. 760e. Τῶν τοῦ Σοφοκλέους Νιοβιδῶν βαλλομένων καὶ θνησκόντων ἀνακαλεῖταί τις οὐδένα βοηθὸν ἄλλον οὐδὲ σύμμαχον ἢ τὸν ἐραστήν "Ὦ ἀμφ' ἐμοῦ στεῖλαι." Verba οὐδένα βοηθὸν ἄλλον οὐδὲ σύμμαχον trimetrum efficiunt. De numero Niobidarum schol. Eurip. ad Phoeniss. 159. ἑπτὰ παρθένων] καὶ Σοφοκλῆς ἐν Νιόβῃ ἑπτά φησιν αὐτὰς εἶναι καὶ τοὺς ἄρσενας.

**394.** Eustathius p. 1367, 21. Τῆς Νιόβης ἡ συμφορὰ κατὰ μέν τινας ἐν Λυδίᾳ, κατὰ δέ τινας ἐν Θήβαις γενέσθαι λέγεται. Σοφοκλῆς δὲ τοὺς μὲν παῖδας αὐτῇ ἐν Θήβαις ἀπολέσθαι φησὶν, αὐτὴν δὲ εἰς Λυδίαν ἐλθεῖν. Lutatius ad Statii Theb. libr. 6. *Niobe, secundum Homerum, duodecim filios habuit. Sophocles autem dicit eam quattuordecim habuisse.* Vide Hermann. Opusc. vol. 3. p. 38.

**395.** Diogenes Laërt. in vita Zenonis 7, 28. Ἐτελεύτα δὲ οὕτως. ἐκ τῆς σχολῆς ἀπιὼν προσέπταισε καὶ τὸν δάκτυλον περιέρρηξε. παίσας δὲ τὴν γῆν τῇ χειρί φησι τὸ ἐκ τῆς Νιόβης "Ἔρχομαι, τί μ' αὔεις;" Eadem Suidas s. v. αὔεις. Verba neque Aeschyli nec Sophoclis esse videri monet Nauckius p. 38., sed Timothei, cuius de Niobe Macho apud Athen. 8. p. 341c. ὁ Τιμοθέου Χάρων σχολάζειν οὐκ ἐᾷ | οὐκ τῆς Νιόβης, χωρεῖν δὲ πορθμὸν ἀναβοᾷ, | καλεῖ δὲ μοῖρα νύχιος.

**396.** Schol. Oedip. Colon. 684. Κἂν τῇ Νιόβῃ ὁ Σ. τὸν κρόκον ἄντικρυς τῇ Δήμητρι ἀνατίθεται.

**397.** Harpocratio, Δερμηστής (codd. hic et infra δερμιστής): Δίδυμος μὲν ἀποδίδωσι τὸν σκώληκα οὕτω λέγεσθαι τῷ Σοφοκλεῖ ἐν Νιόβῃ ἐν ζ' τῆς ἀπορουμένης λέξεως, Ἀρίσταρχος δὲ τὸ Σοφόκλειον ἐξηγούμενος τὸν ὄφιν ἀπέδωκε. μήποτε δὲ μᾶλλον ἂν εἴη ὅστις τὰ δέρματα ἐσθίει δερμηστής. Hesychius, Δερμηστής· ὁ σκώληξ ἢ ὁ σὴς ὁ τὰ δέρματα ἐσθίων. Ἀρίσταρχος ὄφιν. Conf. fragm. 562a. et Bekkeri Anecd. p. 240, 14.

**398.** Athenaeus 4. p. 176f. Τοὺς ἐλύμους αὐλοὺς, ὧν μνημονεύει Σ. ἐν Νιόβῃ τε κἂν Τυμπανισταῖς, οὐκ ἄλλους τινὰς εἶναι ἀκούομεν ἢ τοὺς Φρυγίους.

**399.** Scholiasta Homeri Iliad. 5, 533. et Odyss. 8, 186. Ἦ — ἀντὶ τοῦ ἦν — Σ. ἐν τῇ Νιόβῃ

Ἦ γὰρ φίλη 'γὼ τῶνδε τοῦ προφερτέρου.

Non mirandum ἦ, quod tragici ceterique scriptores Attici veteres constanter dixerunt, ex uno afferri loco Niobae, quum iam illorum grammaticorum aetate ἦν pro ἦ codicibus non raro illatum fuisse videatur.

**400.** Plutarchus Moral. p. 691d. Αὐτοὺς παραλογιζόμεθα, θερμὸν εὐθὺς εἶναι τὸ θερμαῖνον ὑπολαμβάνοντες· καὶ ταῦθ' ὁρῶντες ὅτι ταὐτὸ ἱμάτιον ἐν χειμῶνι θερμαίνει, ἐν δὲ ἡλίῳ ψύχειν λέγομεν, ὥσπερ ἡ τραγικὴ τροφὸς ἐκείνη τὰ τῆς Νιόβης τέκνα τιθηνεῖται

λεπτοσπαθήτων χλανιδίων ἐρειπίοις
θάλπουσα καὶ ψύχουσα, καὶ πόνῳ πόνον
ἐκ νυκτὸς ἀλλάσσουσα τὸν καθ' ἡμέραν.

Postrema καὶ πόνῳ — ἡμέραν addita ex eodem p. 496e. ubi σπαργάνων scriptum pro χλανιδίων. Ad Sophocleam fabulam haec rettulit Valckenar. ad Phalaridem p. X.

### ΝΙΠΤΡΑ Η ΟΔΥΣΣΕΥΣ ΑΚΑΝΘΟΠΛΗΞ.

Argumentum huic fabulae praebuit Ulixes ab Telegono filio inscio vulneratus ἀκάνθῃ τρυγόνος θαλασσίας et occisus: de quo videndae narrationes scriptorum ab Welckero p. 240 seqq. memoratae, Procli in Chrestomathia, scholiastae Homeri Odysseae p. 6. ed. meae, Eustathii p. 1676, 44. Oppiani Hal. 2, 497. Plinii H. N. 9, 48, 72. Hygini Fab. 127. Idem argumentum in *Niptris* tragoedia tractavit Pacuvius. Graecae Latinaeque tragoediae structuram ex fragmentis quatenus fieri potuit exponere conati sunt Welckerus p. 241 seqq. et Ribbeckius p. 286. 287. Sophoclea fabula ab grammaticis aliis Νίπτρα aliis Ὀδυσσεὺς ἀκανθοπλὴξ appellatur. Sophocles haud dubie uno usus erat nomine Νίπτρα, quemadmodum eius exemplo fecit Pacuvius, nomine inde repetito quod Homerica Euryclea Ulixi pedes abluens in prima parte fabulae introducebatur, ut Welckerus coniicit. Ceterum ad hanc fabulam spectat Aristoteles de Poet. c. 14. ab Nauckio memoratus, ἔστι δὲ πρᾶξαι μὲν, ἀγνοοῦντας δὲ πρᾶξαι τὸ δεινὸν, εἶθ' ὕστερον ἀναγνωρίσαι τὴν φιλίαν, οἷον ὁ Σοφοκλέους Οἰδίπους. τοῦτο μὲν οὖν ἔξω τοῦ δράματος· ἐν δ' αὐτῇ τῇ τραγῳδίᾳ, οἷος ὁ Ἀλκμαίων ὁ Ἀστυδάμαντος, ἢ ὁ Τηλέγονος ὁ ἐν τῷ τραυματίᾳ Ὀδυσσεῖ.

**401.** Stephanus in Δωδώνη — λέγεται καὶ Δωδὼν, ἧς τὴν γενικὴν Σοφοκλῆς Ὀδυσσεῖ ἀκανθοπλῆγι

Νῦν δ' οὔτε μ' ἐκ Δωδῶνος οὔτε Πυθικῶν
γυ . . τις ἂν πείσειεν.

(V. 1. ἐκ Meinekius. εἰς codex. 2. γυ codex Coislinianus ceteris adustis. γυάλων Nauckius. Montefalcon. γυνή. Vulgo γύας.) καὶ δοτικὴν

Δωδῶνι ναίων Ζεὺς ὁμέστιος βροτῶν.

(ὁμέστιος incerta Tennulii correctio est pro ὁμίος) τῆς μέντοι Δωδώνης Δωδωναῖος· καὶ τὸ θῆλυ Δωδωνίς. Σοφοκλῆς Ὀδυσσεῖ ἀκανθοπλῆγι

Τὰς θεσπιῳδοὺς ἱερίας Δωδωνίδας.

ἱερίας correxi pro ἱερέας. Ioannes Alexandr. τονικῶν παραγγελμ. p. 12, 2. Δωδῶνι Σοφοκλῆς Ὀδυσσεῖ ἀκανθοπλῆγι

Καὶ τὸν ἐν Δωδῶνι παῦσον δαίμον' εὐλογούμενον.

παῦσον] πᾶσι Nauckius. δαίμον' εὐλογούμενον Blochius. Codex δαῖμον συλογούμενον.

**402.** Scholiasta Homeri Iliadis 1, 135. apud Koen. ad Gregor. Cor. p. 49. et in Crameri Anecd. Paris. vol. 3. p. 5, 3. 274, 30. Καὶ Σοφοκλῆς ἐν Ὀδυσσεῖ ἀκανθοπλῆγι

Εἰ μέν τις οὖν ἔξεισιν· εἰ δὲ μή, λέγε.

Conf. Eustathium p. 66, 31.

**403.** Schol. Dionysii Thracis in Bekkeri Anecd. 2. p. 872, 19. et in Crameri Anecd. Paris. vol. 4. p. 330, 5. Σοφοκλῆς ἐν Ὀδυσσεῖ ἀκανθοπλῆγι τῷ ποδαπός ἀντὶ τοῦ ποῖος χρησάμενος ἀκυρολογεῖ (male ap. Bekkerum ἀκριβολογεῖ)

Ποδαπὸν τὸ δῶρον ἀμφὶ φαιδίμοις ἔχων
ὤμοις;

Falli videtur grammaticus qui ποδαπὸν pro ποῖον accepit. Non quale sit donum quaeritur, sed a quo venerit.

**404.** Hesychius, Ἀθηρόβρωτον ὄργανον: τὴν τορύνην, ἢ τὴν ἀθήραν ἀνακινοῦσι. Σ. Ὀδυσσεῖ ἀκανθοπλῆγι. Versum integrum, sed omisso nomine fabulae, servarunt scholiasta Homeri Odyss. 11, 128. et Eustathius p. 1675, 52.

Ὤμοις ἀθηρόβρωτον ὄργανον φέρων.

**405.** Hesychius, Ἐλαιάεσσα νηδύς: Σ. Ὀδυσσεῖ ἀκανθοπλῆγι. ἤτοι λαιάεσσα ἀντὶ τοῦ σκαιά, ἀγρία. ἢ ἀπὸ τοῦ ληΐζεσθαι, πάντα ληιζομένη καὶ κατεσθίουσα. ἢ ἀπὸ τοῦ ἐλαίου λιπαρά. Photius p. 298, 1. Νηδὺς ἐλαιάεσσα: ἐπὶ Κύκλωπος. Σικελή. ἀπὸ Ὕβλης τῆς ἐλαιηρᾶς. Hesychius, Νηδὺς ἐλαιάεσσα: ἀπὸ μέρους μιᾶς πόλεως τῆς ἐλαιηρᾶς Ὕβλης.

**406.** Photius p. 400, 5. et Suidas, Παρουσία: — καὶ ἐπὶ τοῦ παρεῖναι τάσσεται, ὡς ἐν τοῖς Νίπτροις Σοφοκλέους "Τὴν παρουσίαν | τῶν ἐγγὺς ὄντων."

**407. 408.** Ad hanc fabulam Brunckius duo fragmenta rettulit, alterum apud Plutarch. Moral. p. 745f. Σοφοκλέους Ὀδυσσεύς φησι Σειρῆνας εἰσαφικέσθαι Φόρκου κόρας αἰθροῦντος τοὺς Ἅιδου νόμους. Quae Lobeckius ad Sophocl. Aiac. p. 352. metro accommodavit

Σειρῆνας εἰσαφικόμην
Φόρκου κόρας, θροοῦντε τοὺς Ἅιδου νόμους.

Alterum locum servavit scriptor vitae Sophoclis, Καὶ τὴν Ὀδύσσειαν ἐν πολλοῖς δράμασιν ἀπογράφεται, παρετυμολογεῖ δὲ καθ' Ὅμηρον καὶ τὸ ὄνομα Ὀδυσσέως

Ὀρθῶς δ' Ὀδυσσεύς εἰμ' ἐπώνυμος κακοῖς·
πολλοὶ γὰρ ὠδύσαντο δυσσεβεῖς ἐμοί.

Ad Phaeaces utrumque fragmentum rettulit Welckerus.

**409.** Photius p. 240, 10. Μαγνον (sine accentu): Σ. Ὀδυσσεῖ τὸν μέγαν (τὸν μέγαν delet Ellendtius) τὸν ἀπομάσσοντα καὶ καθαίροντα. Nihili est Μάγνον. Apud Hesychium est Μαγμόν, quod explicatur τὸ καθάρσιον· ἀπομάσσειν γὰρ λέγουσιν ὅταν περικαθαίρωσι τοὺς ἐνοχλουμένους τινὶ πάθει. In glossa Photii Barkerus corrigebat, Μάγον: Σ. Ο. τὸν μαγέα, τὸν etc.

ΞΟΑΝΗΦΟΡΟΙ (?)

**410.** Scholiasta Aeschyli S. c. Th. 310. Εἴρηται δὲ καὶ ἐν Ξοανηφόροις Σοφοκλέους ὡς οἱ θεοὶ ἀπὸ τῆς Ἰλίου φέρουσιν ἐπὶ τῶν ὤμων τὰ ἑαυτῶν ξόανα, εἰδότες ὅτι ἁλίσκεται.

De hac fabula dubitat Welckerus p. 66.

ΟΔΥΣΣΕΥΣ ΜΑΙΝΟΜΕΝΟΣ.

"Argumentum, Ulixes furorem simulans, ne ad Troiam navigare cogeretur, et a Palamede fraudis convictus. προσποιούμενον γὰρ αὐτὸν μαίνεσθαι Παλαμήδης ἤλεγξεν, inquit scholiasta noster ad Philoct. 1025." Brunck. Fabula sumta ex carminibus Cypriis, de quibus Proclus in Chrestomathia p. 454. ἔπειτα τοὺς ἡγεμόνας ἀθροίζουσιν ἐπελθόντες τὴν Ἑλλάδα. καὶ μαίνεσθαι προσποιησάμενον τὸν Ὀδυσσέα ἐπὶ τῷ μὴ θέλειν στρατεύεσθαι ἐφώρασαν Παλαμήδους ὑποθεμένου τὸν υἱὸν Τηλέμαχον ἐπὶ κόλασιν ἐξαρπάσαντες. Comparandae cum his Hygini (Fab. 95.) aliorumque narrationes memoratae ab Welckero p. 101.

**411.** Scholiasta Pindari Isthm. 5, 86. Σύντομοι δὲ οὐ μόνον Λάκωνες, ἀλλὰ καὶ Ἀργεῖοι. Σ. Ὀδυσσεῖ μαινομένῳ

Πάντ' οἶσθα, πάντ' ἔλεξα τἀντεταλμένα·
μῦθος γὰρ Ἀργολιστὶ συντέμνειν βραχύς.

V. 2. συντέμνειν fortasse in συντέμνων mutandum. Parum probabiliter Herwerdenus p. 10. μύθους (vel μῦθον) γὰρ Ἀργολιστὶ συντέμνειν ἔφυν, vel μῦθος γὰρ Ἀργολιστὶ συντέμνειν ἔφυ.

**412.** Hesychius, Ἐμπερής: ἔμπειρος. Σοφοκλῆς Ὀδυσσεῖ μαινομένῳ.

**413.** Hesychius, Ἠμαλάψαι: κρύψαι, ἀφανίσαι. Σ. Ὀ. μ. Photius p. 68, 3. Ἠμάλαπτεν· ἔκρυπτεν, ἠφάνιζεν.

**414.** Hesychius, Θρεκτοῖσι νόμοις: ἀντὶ τοῦ τροχαῖος. (Corrige τροχαίοις.) Σ. Ὀ. μ. ἔνιοι δὲ κρεκτοῖς. Quae haud dubie vera est scriptura.

**415a.** Hesychius, Θριάζειν: φυλλολογεῖν, ἐνθουσιᾶν, ἐνθουσιάζειν. Εὐριπίδης Λικυμνίῳ καὶ Σ. Ὀ. μ.

ΟΙΚΛΗΣ.

De argumento huius fabulae nihil constat. Οἰκλῆς haud dubie Amphiarai pater intelligendus. Amphiaraus ipse satyricae fabulae argumentum praebuit Sophocli.

**415b.** Aristophanes Equitibus 498.

Ἀλλ' ἴθι χαίρων, καὶ πράξειας
κατὰ νοῦν τὸν ἐμόν.

ubi schol. ταῦτα δὲ παρὰ τὰ Σοφοκλέους ἐξ Οἰκλέους. Nam sic scripturam Aldinam Ἰολάου correxi. Codex Ven. ἰοκλέους. Quod nihil aliud esse potest quam Οἰκλέους, frequenti huius nominis corruptela, ut apud Eurip. Suppl. 925. Diodor. 4, 67. schol. Hom. Od. 11, 326. p. 508, 1. ed. meae.

**415c.** Pollux 10, 39. Καὶ τύλη δὲ παρ' Εὐπόλιδί ἐστιν ἰάζοντι ἐν τοῖς Κόλαξι καὶ παρὰ Σοφοκλεῖ ἐν τῷ Οἰκλεῖ (sic Brunckius: libri ἰοκλεῖ) λέγοντι "Ἀλλὰ καὶ λινορραφὴ | τυλεῖα." Idem corrupte 7, 191. Σοφοκλῆς δ' ἔφη "κλινοραφὴς τυλία."

ΟΙΝΕΥΣ.

Hanc fabulam in duobus Hesychii locis ab Musuro

depravatis agnoscere videmur. Oeneum etiam Euripides scripsit, cuius argumentum breviter exposuit scholiasta Aristoph. Ach. 417. Fabula Sophoclea utrum similis an dissimilis Euripideae fuerit nescimus, quum variis modis construi potuerit: v. Welcker. p. 285.

**416.** Hesychius, Ἄλυτον: ἀκατάλυτον, ἀκατάπαυστον. Σοφοκλῆς Οἰνεῖ. Ita corrigenda codicis scriptura ἰνεῖ.

**417.** Hesychius, Χερσεύει: Σοφοκλῆς Οἰνεῖ (codex οι ει ἰονι ) "Κείμενος μὲν βουστάδας αὐλὰς**." ἐπὶ χέρσου, ἢ ἀπὸ χειρῶν ἔχει, ἢ οὕτως ἐμβατεύει. Post βουστάδας αὐλὰς indicavi lacunam: nam exciderunt aliquot poetae verba, in quibus χερσεύει fuit.

## ΟΙΝΟΜΑΟΣ Η ΙΠΠΟΔΑΜΕΙΑ.

Ἱπποδάμεια haec tragoedia ab solo nominatur Stobaeo (v. Fragm. 419.), nomine ducto ab secundaria fabulae persona. Sophocles non dubitandum quin Οἰνόμαον inscripserit, ut fecerunt Euripides et Attius, sive is Sophoclis sive Euripidis Oenomaum expressit. Fabulam de Oenomao enarrarunt schol. Homeri Il. 2, 104. Hyginus Fab. 84. aliique ab Welckero indicati p. 353. Ad fabulam Sophocleam quum Aristophanes in Avibus alludat (v. Fragm. 423.), sequitur ante olymp. 91, 2. scriptam fuisse, quo anno Aves edidit Aristophanes. De Aeschine Oenomai Sophoclei actore v. ad Fragm. 425.

**418.** Apollonius de pronomine p. 330. ubi de pronomine ἵ agit, ἀξιοπιστότερος ὁ Σοφοκλῆς μάρτυς χρησάμενος ἐν Οἰνομάῳ "ει μεν ωσει θασσονα ειδωσ ειτεκοι παιδα." Schol. Homeri Iliad. 22, 410. Σ. Οἰνομάῳ "ἡ μὲν ὡσεὶ θάσσο. ἡ δὲ ὡσιτέξου παῖδα." ἔστιν οὖν δίφθογγον. Sophoclis igitur verba fuerunt

Ἡ μὲν ὡς ἵ θάσσον', ἡ δ' ὡς ἵ τέκοι παῖδα.

Loquitur de duabus matribus, quarum sui utraque filii celeritatem praedicabat. Quod quo consilio fecerint ex fabula notissima de Oenomao apertum est.

**419.** Stobaeus 27, 6. Σ. Ἱ.

Ὅρκου δὲ προστεθέντος ἐπιμελεστέρα
ψυχὴ κατέστη· δισσὰ γὰρ φυλάσσεται,
φίλων τε μέμψιν κἀς θεοὺς ἁμαρτάνειν.

V. 1. προστεθέντος] προτεθέντος libri optimi. 3. κἀς scripsi pro κεἰς. In codice Scor. plene καὶ εἰς.

**420.** Athenaeus 9. p. 410c. Χειρόμακτρον δὲ καλεῖται ᾧ τὰς χεῖρας ἀπεμάττοντο ὠμολίνῳ. — Σοφοκλῆς Οἰνομάῳ

Σκυθιστὶ χειρόμακτρον ἐκκεκαρμένος.

ἐκδεδαρμένος Herwerdenus p. 21. collata Hesychii glossa, Σκυθιστὶ χειρόμακτρον: οἱ Σκύθαι τῶν λαμβανομένων ἐν πολέμοις ἀνθρώπων (sic Lennepius correxit pro λαμβανομένων πολλοῖς ὧν) τὰς κεφαλὰς ἐκδέροντες ἦσαν (ἐκδέροντες τοῖς δέρμασιν Lennepius) ἀντὶ χειρομάκτρων ἐχρῶντο. Scholiasta Pindari Isthm. 4, 92. τὸν Ἀνταῖόν φησι τῶν ξένων τῶν ἡττωμένων τοῖς κρανίοις ἐρέφειν τὸν τοῦ Ποσειδῶνος ναόν· τοῦτο γὰρ ἱστοροῦσι τὸν Θρᾶκα Διομήδην ποιεῖν — οἱ δὲ Οἰνόμαον, ὡς Σοφοκλῆς.

**421.** Athenaeus 13. p. 564b. Σοφοκλῆς δέ που περὶ τοῦ κάλλους τοῦ Πέλοπος διαλεγομένην ποιήσας τὴν Ἱπποδάμειάν φησιν

Τοιάνδ' ἐν ὄψει λύγγα θηρατηρίαν
ἔρωτος, ἀστραπήν τιν' ὀμμάτων ἔχει·
ἐκθάλπεται μὲν αὐτὸς, ἐξοπτᾷ δ' ἐμὲ,
ἴσον μετρῶν ὀφθαλμὸν, ὥστε τέκτονος
παρὰ στάθμην ἰόντος ὀρθοῦται κανών.

V. 1. λίγγα Erfurdtius, recte, ut videtur: v. Lobeck. Paralip. p. 110. 3. ἐκθάλπεται] εἶθ' ἅλλεται codex. ἐνθάλπεται Ruhnkenius collato Phrynicho (in Bekk. Anecd. p. 40, 20.) ἐνθάλπεσθαι ἔρωτι· οἷον καίεσθαι ὑπὸ ἔρωτος. ubi ἐκθάλπεσθαι Bekkerus edidit: quod probabilius. Sic ἐκθερμαίνεσθαι ἔρωτι potius dicitur quam ἐνθερμαίνεσθαι, quod legitur Trach. 368. ἐντεθέρμανται πόθῳ, nisi hic quoque ἐκτεθέρμανται scribendum. δ' ἐμὲ Brunckius pro δέ με. 4. μετρῶν Valckenarius pro μέτρων.

**422.** Pollux 10, 55. Τὴν ψήκτραν — εἴρηκε Σ. ἐν Οἰνομάῳ

Διὰ ψήκτρας σ' ὁρῶ
ξανθὴν καθαίρονθ' ἵππον αὐχμηρᾶς τριχός.

**423.** Aristophanes Avibus 1337.

Γενοίμαν αἰετὸς ὑψιπέτας,
ὡς ἂν ποταθείην ὑπὲρ ἀτρυγέτου γλαυκᾶς ἐπ'
οἶδμα λίμνας.

Haec e Sophoclis Oenomao esse scholiasta annotavit, ἐν τοῖς Καλλιστράτου· ταῦτα ἐξ Οἰνομάου τοῦ Σ.

**424.** Diogenes Laert. in vita Arcesilai 4, 35. Πρὸς δὲ τὸν δανειστικὸν καὶ φιλόλογον εἰπόντα τι ἀγνοεῖν ἔφη

Λήθουσι γάρ τοι κἀνέμων διέξοδοι
θήλειαν ὄρνιν, πλὴν ὅταν τόκος παρῇ.

ἔστι δὲ ταῦτα ἐκ τοῦ Οἰνομάου Σοφοκλέους. Eadem (ex Diogene) Suidas s. v. Διέξοδοι et s. v. Λήθουσι. Omisso poetae nomine attulit Plutarchus Moral. p. 718a. qui Sophoclis scripturam servavit πλήθουσι. V. 2. τόκος παρῇ] παρῇ τόκος Plut.

**425.** Hesychius, Ἀρουραῖος Οἰνόμαος. Δημοσθένης (p. 307.) Αἰσχίνην οὕτως ἔφη, ἐπεὶ κατὰ τὴν χώραν περινοστῶν ὑπεκρίνετο Σοφοκλέους τὸν Οἰνόμαον. Conf. gramm. in Bekk. Anecd. p. 184, 3. 211, 32. et Vitam Aeschinis p. 2, 1. 5, 7. ed. Oxon.

## ΠΑΛΑΜΗΔΗΣ.

De Palamede copiosae sunt narrationes scholiastae Euripidis Or. 422., Philostrati Heroic. p. 708., Tzetzae ad Lycophronem 384., Hygini Fab. 105. Idem argumentum Aeschylus et Euripides tractarunt. De Sophocleo Palamede dixit Welckerus p. 139—135.

De loco ab Eustathio ex hac fabula allato vide ad fragm. 380.

**426.** Ammonius p. 76. Ἴσθι καὶ γίνου διαφέρει. — τάσσουσι δὲ ὅμως καὶ ἐπὶ τοῦ γίνου τὸ ἴσθι. Σοφοκλῆς ἐν Παλαμήδῃ

Εὔφημος ἴσθι μοῦνον ἐξορμωμένη.

Verba Σ. ἐν Π. suppleta ex codice Musei Britannici.

**427.** Hesychius, Ἄκεστρον: φάρμακον. Σ. Παλαμήδῃ.

**428.** Hesychius, Δροπά: δρεπτά. Σ. Παλαμήδῃ. Blomfieldus, Ἄδροπα: ἄδρεπτα. Apud Suidam s. v. δρωπακίζω legitur Δρωπά (nam sic ex aliquot codd. et Zonara p. 572. corrigendum pro δρωπτά) et explicatur per δρεπτά.

## ΠΑΝΔΩΡΑ Η ΣΦΥΡΟΚΟΠΟΙ (ΣΑΤΥΡΟΙ).

Ex mythographorum de Pandora narrationibus non perspicitur quomodo fabulam composuerit Sophocles, de qua incerta est coniectura Welckeri in Append. ad Trilog. p. 314. Drama fuisse satyricum fragmenta docent monuitque Boeckhius in libro de Tragicis p. 129.

**429.** Athenaeus 11. p. 476c. ubi de voce κέρας *poculum* significante, Καὶ Σοφοκλῆς Πανδώρᾳ

Καὶ πλῆρες ἐκπιόντι χρύσεον κέρας
τρίψει γέμοντα μαλθακῆς ὑπ' ὠλένης.

**430.** Pollux 10, 44. Ἀμὶς, ἣν Σ. ἐν Πανδώρᾳ ἐνουρήθραν καλεῖ. Tzetzes in Walzii Rhet. vol. 7. p. 735. sive ap. Cramer. Anecd. Oxon. vol. 4. p. 60. Ἀμὶς, σταμνίον, ᾧ ἐνουροῦσι. Σ. δὲ ἐν Πανδώρᾳ ἐνούρηθρον καλεῖ, Αἰσχύλος δὲ οὐράνην. Ἐνουρῆθρον apud grammat. in Crameri Anecd. Paris. vol. 4. p. 12, 13.

**431.** Hesychius, Κεχήλωμαι: πόδας δέδεμαι, συνέρραμμαι τοὺς πόδας. — καὶ χήλευμα τὸ σπαρτίον Σ. Πανδώρᾳ ἢ Σφυροκόποις. Sic haec nunc ex Musuri interpolatione leguntur. Codex κεχήλωμ . . . πόδας. δέδεμαι συνερράμενος τοὺς πόδας — καὶ χήλευμα τὸ σπήτιον etc. Quae sic sunt emendanda, Κεχήλευμαι πόδας: δέδεμαι συνερραμμένος τοὺς πόδας. — καὶ χήλευμα τὸ ὀπήτιον etc. ut Pollux 7, 83. annotavit, ὀπήτια, ἃ καὶ χηλεύματα ἐκάλουν οἱ ποιηταί. Lemma glossae Hesychii κεχήλευμαι πόδας haud dubie ipsum quoque ex tragoedia petitum est, sive Aeschyli sive Sophoclis.

**432.** Scholiasta Hippocratis apud Foesium in Oeconomia v. Ὀργασμός (s. ap. Littré vol. 5. p. 480. ex cod. Paris. E.): Ὀργασμός: μαλαγμός. μέμνηται τῆς λέξεως καὶ Σοφοκλῆς ἐν Πανδώρᾳ λέγων

Καὶ πρῶτον ἄρχου πηλὸν ὀργάζειν χεροῖν.

ἄρχου codex Par.: ἄρχον apud Foesium, unde ἀρχὸν Huschkius in dissertatione de Archilocho p. 206. comparatis Horatii verbis Odar. 1, 16, 13. *Fertur Prometheus addere principi limo* —. Phrynichus in Bekk. Anecd. p. 53, 31. Ὀργάζειν πηλόν: τὸ διαβρέχειν. οὕτω γὰρ τὸ ὑγραίνειν οἱ ἀρχαῖοι λέγουσι. Pollux 7, 165. λέγεται δὲ καὶ πηλὸν ὀργάζειν. Fortasse ex eadem fabula est fragmentum in Etymolog. M. p. 629, 34. ὀργάσαι τὸ πηλοποιῆσαί ἐστι καὶ ὑγρῷ ξηρὸν μῖξαι. Σοφοκλῆς "Θέλοιμι πηλὸν ὀργάσαι." ubi Etymol. Gud. p. 432, 53. vitiose ὀργάσασθαι.

In alio ad Hippocratem scholio verbum βλίσσειν ex Sophoclis Pandora affertur: quem locum infra exhibebimus fragm. 856. De verbo ὀργάζειν videnda quae Cobetus dixit Mnemos. vol. 9. p. 39.

**433.** Erotianus p. 304. (p. 108. ed. Klein.) Παιδικὸν πάθος: παιδείαν νῦν τὴν παιδοτροφίαν· ὅθεν καὶ Σ. ἐν Πελίᾳ φησὶ "Λευκὸν αὐτὴν ὧδ' ἐπαίδευσεν γάλα." De loco Hippocratis ad quem Erotiani glossa spectat (vol. 1. p. 244. ed. Ermerins.) et de usu verbi παιδεύειν pro ἐκτρέφειν dixit Cobetus Mnemos. vol. 9. p. 84. Nomen fabulae Sophocleae ex Πηλεῖ corruptum esse coniecit Hermannus in Praefat. ad Eurip. Alc. p. xvii. Contra Welckerus p. 340. eandem dici fabulam coniicit quae ab aliis Ῥιζοτόμοι appelletur, in qua Peliae praecipuas partes fuisse probabile est, ut illic dicetur. Λευκὸν] λουκὸν codex Paris. 2614. οὐ λευκὸν Welckerus p. 343. λευκὸν γὰρ Cobetus. ὧδ' Welckerus pro ὅδ'.

## ΠΗΛΕΥΣ.

"Argumentum videtur fuisse Peleus ab Archandro et Architele Acasti filiis pulsus. Scholiasta Euripidis Tro. 1128. ὁ μὲν Εὐριπίδης ὑπὸ Ἀκάστου φησὶν ἐκβεβλῆσθαι τὸν Πηλέα· εἰσὶ δὲ οἵ φασιν ὑπὸ τῶν δύο αὐτοῦ παίδων Ἀρχάνδρου καὶ Ἀρχιτέλους κατὰ τὸν καιρὸν ὃν ἔμελλον Ἕλληνες ἐξ Ἰλίου ἐπανιέναι ἐξεληλάσθαι. Horatius Epist. 2, 3, 95. *et tragicus plerumque dolet sermone pedestri | Telephus et Peleus, quum pauper et exul uterque | proicit ampullas et sesquipedalia verba.* Aristot. Poet. c. 18. p. 1456, 2. τραγῳδίας δὲ εἴδη εἰσὶ τέτταρα. τοσαῦτα γὰρ καὶ τὰ μέρη ἐλέχθη. ἡ μὲν πεπλεγμένη — ἡ δὲ παθητικὴ — ἡ δὲ ἠθική, οἷον αἵ τε Φθιώτιδες καὶ ὁ Πηλεύς." Nauck. Tragoediam eandem fuisse quae ab aliis Φθιώτιδες appelletur demonstrare studuit Welckerus, qui de utriusque fragmentis dixit p. 205—210. Eadem Matthiae opinio fuerat in annot. ad Pelei Euripidis fragmenta.

**434.** Clemens Alex. Strom. 6. p. 748.

Πηλέα τὸν Αἰάκειον οἰκουρὸς μόνη
γεροντανωγῶ κἀναπαιδεύω πάλιν.
πάλιν γὰρ αὖθις παῖς ὁ γηράσκων ἀνήρ.

Versum 2. (quem imitatur Plutarchus Vit. Niciae c. 2.) attulit Trypho in Walzii Rhet. vol. 8. p. 741. (conf. Cocondrium ib. p. 784.) et utitur eo Aristophanes Equit. 1098.

Καὶ μὴν ἐμαυτὸν ἐπιτρέπω σοι τουτονὶ
γεροντανωγεῖν κἀναπαιδεύειν πάλιν.

Ex quo sequitur Peleum ab Sophocle ante olymp. 89, 1. scriptum esse, quo anno Equites edidit Aristophanes.

**435.** Aristophanes Avibus v. 852.

Ὁμορροθῶ, συνθέλω,
συμπαραινέσας ἔχω,
προσόδια μεγάλα
σεμνὰ προσιέναι θεοῖσιν.
ἴτω δὲ Πυθιὰς βοὰ θεῷ.

ubi scholiasta, Ὁμορροθῶ: Σοφοκλέους ἐν Πηλέως, ἀντὶ τοῦ τὸ αὐτὸ φρονῶ. et ad v. 5. καὶ τοῦτο δὲ ἐκ Πηλέως.

**436.** Stobaeus 121, 9. Σ. Π.

Τὸ μὴ γὰρ εἶναι κρεῖσσον ἢ τὸ ζῆν κακῶς.

**437.** Harpocratio, Ξηραλοιφεῖν: — τὸ χωρὶς λουτρῶν ἀλείφεσθαι — Σ. Π.

Καὶ ξηραλοιφῶν εἵματος διὰ πτυχῶν.

**438.** Stephanus, Δώτιον, πόλις Θεσσαλίας. — ὁ πολίτης Δωτιεύς — τὸ θηλυκὸν — Δωτιάς, ὡς Ἰλιὰς τοῦ Ἰλιεύς. Σοφοκλῆς ἐν Πηλεῖ

Βασιλεὺς χώρας τῆς Δωτιάδος.

**439.** Stephanus, Κυκνῖτις (χώρα Θεσσαλίας addit Meinekius): ἧς ὁ Κύκνος ἐβασίλευσε. Σοφοκλῆς ἐν Πηλεῖ καὶ ἐν Ποιμέσι "Βοὴν Κυκνῖτιν."

**440.** Antiatticista p. 106, 13. Λιποψυχεῖν: Σ. Πηλεῖ.

**441.** Antiatticista p. 107, 30. Μὴ νόμισον: ἀντὶ τοῦ μὴ νομίσῃς. Σ. Π. καὶ "μὴ ψεῦσον." Locum alterum ex Peleo servavit scholiasta Aristoph. Thesmoph. v. 870. Μὴ ψεῦσον, ὦ Ζεῦ· μή μ' ἕλῃς ἄνευ δορός.

**442.** Aristoph. Nub. 1154. Βοάσομαι τἄρα τὰν ὑπέρτονον βοάν. ἰὼ κλάετ', ὠβολοστάται. ubi schol. παρὰ τὰ ἐκ Πηλέως Εὐριπίδου· ἐπιφέρει γὰρ "ἰώ, πύλαισιν ἤ τις ἐν δόμοις." Codex Venetus Σοφοκλέους, minus probabiliter.

[ΠΛΥΝΤΡΙΑΙ. Vide ΝΑΥΣΙΚΑΑ.]

## ΠΟΙΜΕΝΕΣ.

**443.** Tzetzes ad Lycophronem 529. Ἱστορεῖ ὁ Σ. ἐν Ποιμέσιν ὑπὸ τοῦ Ἕκτορος ἀναιρεθῆναι τὸν Πρωτεσίλαον. Quibuscum comparanda Procli notatio Chrestom. p. 456. ἔπειτα ἀποβαίνοντας αὐτοὺς εἰς Ἴλιον εἴργουσιν οἱ Τρῶες, καὶ θνήσκει Πρωτεσίλαος ὑφ' Ἕκτορος. ἔπειτα Ἀχιλλεὺς αὐτοὺς τρέπεται ἀνελὼν Κύκνον τὸν Ποσειδῶνος. Quibus indiciis usus Welckerus coniecturas de singulis fabulae partibus proposuit p. 113—117. Drama ex eo genere fuisse, quod satyrorum locum in tetralogia tenebat, qualem Alcestin Euripidis fuisse hodie scimus, coniecit Hermannus in Schneidewini Philologo vol. 2. p. 135.

**444.** Sextus Empiricus adversus Grammaticos p. 286. Οὔτε γὰρ ἐκ τέχνης τινὸς μεμαθήκασιν ὅτι οἱ παρὰ τῷ Σοφοκλεῖ ποιμένες, ἰὼ βαλλὴν λέγοντες, ἰὼ βασιλεῦ λέγουσι Φρυγιστί· ἀλλὰ παρ' ἄλλων ἀκούσαν-

τες. Hesychius, Βαλλήν: βασιλεὺς Φρυγιστί. Utitur hoc vocabulo Aeschylus Pers. 657. βαλλὴν ἀρχαῖος, βαλλὴν ἔλθ' ἱκοῦ, ubi male codex βαλήν simplici λ.

**445.** Harpocratio s. v. Νάννιον. Ὅτι γὰρ θαλλῷ χαίρουσιν αἱ αἶγες καὶ Σοφοκλῆς Ποιμέσιν

Ἑωθινὸς γὰρ πρίν τιν' αὐλιτῶν ὁρᾶν,
θαλλὸν χιμαίρᾳ προσφέρων νεοσπάδα,
εἶδον στρατὸν στείχοντα παραλίαν ἄκραν.

"Leguntur hi versus etiam apud Athenaeum 13. p. 587a. Ad primum pertinet Hesychii glossa: Αὐλητήν: τὸν τῆς κόπρου ἐπιμελούμενον τῶν προβάτων. In 3. lego una voce παραλίαν. Sic in Theseo παρακτίαν στείχων." Brunck. V. 1. αὐλιτῶν scripsi cum Bekkero pro αὐλητῶν. Vide de hoc voc. Meinek. ad Steph. Byz. s. v. Αὐλή p. 146. ὁρᾶν] περᾶν Meinekius in Fleckeiseni Annal. a. 1863. p. 383. 2. χιμαίρᾳ] In χίλια vel χιλίαις corruptum in codicibus Harpocrationis. χιμαίραις Nauckius. νεοσπάδα Casaubonus. νέος παῖδα Athenaei codex, νεόπαιδα apud Harpocrat. 3. παραλίαν pro παρ' ἁλίαν Harpocrationi restitutum ex codicibus. ἄκραν] πέτραν Harpocratio.

**446.** Athenaeus 7. p. 319b. Τῶν πηλαμύδων μνημονεύει καὶ Σοφοκλῆς ἐν Ποιμέσιν

Ἔνθ' ἡ πάροικος πηλαμὺς χειμάζεται,
πάραυλος Ἑλλησποντίς, ὡραία θέρους
τῷ Βοσπορίτῃ· τῷδε γὰρ θαμίζεται.

V. 2. πάραυλος] Legebatur πάροικος. Correxit Bergkius ex Hesychio, Πάραυλος· πάραυλος Ἑλλησπόντου ὥρα θέρους· ἡ κατὰ τὸ θέρος ἀκμάζουσα. 3. τῷδε] τῇδε Nauckius. Hesychius, Θαμίζεται: ὁμιλεῖ.

**447.** Plutarchus Vit. Agidis c. 1. p. 795b. Οἱ Σοφοκλέους βοτῆρες ἐπὶ τῶν ποιμνίων λέγουσιν

Τούτοις γὰρ ὄντες δεσπόται δουλεύομεν,
καὶ τῶνδ' ἀνάγκη καὶ σιωπώντων κλύειν.

**448.** Suidas, Ἀμφήμερον: τὸν ἀμφημερινὸν πυρετόν. Σ. Π.

Κρυμὸν φέρων γνάθοισιν ἐξ ἀμφημέρου.

**449a.** Scholion Soph. Ai. 581. ex cod. Florentino G. ab me editum Schol. vol. 2. p. 90. Οὐκ ἔστιν ἰατροῦ σοφοῦ ἐπῳδαῖς χρῆσθαι τοῦ τραύματος ἤδη τομῆς δεομένου. καὶ ἐν Ποιμέσι

Λόγῳ γὰρ οὐδὲν ἕλκος οἶδά πω τυχεῖν.

οἶδά πω] Codex οἶ π. (8 suprascr.) Correxi οἶδά πω, quod certum est. Minus certa proximi vocabuli emendatio est. Sensus postulat μύσαν, quod Meinekius proposuit, vel simile quid. Apud Suidam, qui hoc scholion excerpsit s. v. θρηνῶν, legitur οἶδά που χανόν.

**449b.** Schol. Aristoph. Equit. 1147. Κημός—πλέγμα τι ἐκ σχοινίων γινόμενον ὅμοιον ἠθμῷ, ᾧ τὰς πορφύρας λαμβάνουσιν — ἐν αὐτοῖς δὲ τούτοις ἐστὶ καὶ τὸ δέλεαρ, ὥς φησιν Ἡρωδιανὸς παρατιθέμενος τὰ Σοφοκλέους ἐκ Ποιμένων

Κημοῖσι πλεκτοῖς πορφύρας φθείρει γένος.

Sic codices: editio Aldina τὰ ἐκ Πηλέως Σοφοκλέους. Comparanda Hesychii gl. Κημός.

**450.** Photius p. 307, 17. et Suidas, Ξανῶ: κοπιάσω. Σ. Ποιμέσιν· Ἕκτωρ τοῖς Ἀχαιοῖς βουλόμενος μάχεσθαί φησιν

Ἡδὺ ξανῆσαι καὶ προγυμνάσαι χέρα.

Hesychius, Ξανῆσαι: κοπιάσαι.

**451.** Herodianus περὶ μονήρους λέξεως p. 11, 3. Ποσίδειος — Σοφοκλῆς Ποιμέσι

Τειχέων καὶ δὴ τοὺς Ποσιδείους
θριγκοὺς ἀποσεισαμένη.

V. 1. codex τυχῶν, i. e. τειχῶν. 2. Aut caesuram neglexit poeta aut, quod probabilius, verbum (fortasse ἦλθεν) omisit grammaticus, nisi ἀποσεισαμένη θριγκοὺς scribendum cum Lehrsio.

**452.** Hesychius, Ἀναλῶσαι: ἀφανίσαι. Ποιμέσιν (codex ποιμένεσιν, ut κτεσίν in κτένεσιν, μησίν in μήνεσιν et alia huiusmodi corrumpere solent librarii).

**453.** Antiatticista p. 84, 10. Βᾶρις: κατ' οἰκίας καὶ πλοίου. Σ. ἐν Ποιμέσι βαρίβαν λέγει τὸν τῆς βάρεως ἐπιβεβηκότα. De hoc vocabulo dixit Lobeckius ad Phrynichum p. 609.

**454.** Hesychius, Βερέκυντα βρόμον: Φρύγιον αὐλόν. Σ. Π.

**455.** Stephanus, Γραικός: ὁ Ἕλλην — Γραῖκες δὲ παρὰ Ἀλκμᾶνι αἱ τῶν Ἑλλήνων μητέρες καὶ παρὰ Σοφοκλεῖ ἐν Ποιμέσιν. Conf. fragm. 933. et v. L. Dindorfium in Thesauro s. v. Γραῖξ.

**456.** Ἴαννα: vide fragm. 54.

**457.** Βοὴν Κυκνῖτιν: vide fragm. 439.

**458.** Πελλός: vide fragm. 122.

**459.** Etymol. M. p. 652, 12. Παρασάγγαι: — παρὰ Σοφοκλεῖ ἐν Ἀνδρομάχῃ (ἀνδρομάχῳ Etym. Gud. p. 452, 31.) ἐπὶ τοῦ ἀγγέλου εἴρηται. Andromacham Sophoclis nemo praeter Etymologicum memorat, cuius auctoritatem valde dubiam reddit locus grammatici in Appendice ad Photium p. 674, 25. σαγγάνδαι (ἀστάνδαι Nauckius) δὲ οἱ ἀποστελλόμενοι καλοῦνται. Σοφοκλῆς δὲ ἐν τοῖς Ποιμέσι καὶ Εὐριπίδης ἐν Σκυρίαις παρασάγγας αὐτοὺς καλοῦσιν. Sophoclis verba fortasse servavit Hesychius, Παρασσαγγιλόγῳ: οἱ Πέρσαι τοὺς διαγγέλλοντας οὕτω λέγουσι. ubi Παρασάγγῃ λόγῳ scribendum. Monuit Nauckius.

**460.** Hesychius, Φοινικίοις γράμμασιν: Σ. Ποιμέσιν. ἐπεὶ δοκεῖ Κάδμος αὐτὰ ἐκ Φοινίκης κεκομικέναι.

**461a.** Etymol. M. p. 405, 32. Τὸ ψό ἐν Ποιμέσι Σοφοκλέους ἐπίφθεγμα. Memorant etiam Herodianus περὶ μονήρους λέξεως p. 46, 18. et grammaticus in Crameri Anecd. Oxon. vol. 1. p. 118, 14. 343, 24.

**461b.** Schol, Eurip. Androm. 276. ὁ Μαίας τε καὶ Διὸς τόκος] ὁ Ἑρμῆς. μέμνηται δὲ τῆς ἱστορίας ἐκείνης ἔνθα περὶ τοῦ μήλου ἦλθον κριθησόμεναι Ἥρα καὶ Ἀθηνᾶ καὶ Ἀφροδίτη παρὰ τῷ Πάριδι. τοιαῦτά ἐστι καὶ τὰ παρὰ Σοφοκλεῖ ἐν Ποιμέσιν "Ἴδης δήποτε μηλοτρόφωι ἄγενναι τὴ ει τὴν τῆς Ἴδης τριολύμπιον ἅρμα." ἔνιοι δὲ διεψεῦσθαί φασι τὴν κρίσιν τῶν θεῶν, καθάπερ γράφει Ἀντικλείδης. τρία γάρ ἐστι τῶν ἐπιχωρίων γύναια τὰ εἰς τὴν τῆς εὐμορφίας κρίσιν καταστάντα. Verba poetae lacera sunt et corrupta. Spectat ad hunc locum Hesychius, Τριολύμπιον ἅρμα interpretatus τὸ ἐκ τριῶν Ὀλυμπιάδων ἐζευγμένον.

## ΠΟΛΥΙΔΟΣ Η ΜΑΝΤΕΙΣ.

Argumentum dramatis fuisse Glaucum, Minois et Pasiphaae filium, a Polyido, Coerani filio, obscurum ea de re oraculum recte interpretato, in vitam revocatum ex mythographorum narrationibus (Apollodori 3, 3, 1. Hygini Fab. 136.) intelligitur indiciisque fragmentorum quum Sophoclis tum Euripidis, qui idem argumentum in Polyido tractavit, confirmatur: de quo dixit Welckerus p. 767—777. Aristophanis quoque comoedia fuit Πολύϊδος. Ad formam nominis quod attinet, non dubitandum quin Attici certe poetae constanter Πολύϊδον, non Πολύειδον dixerint, quae forma hexametris dactylicis convenit.

**462a.** Etymologicon MS. apud Valckenar. Diatr. Eurip. p. 200. (p. 1921. apud Gaisf.) et Cyrillus in Crameri Anecd. Paris. vol. 4. p. 188, 29. Πολύϊδος:

οὕτω καὶ Ἀπολλώνιος ὁ τοῦ Ἀρχιβίου. καὶ ἔστι, φησὶ (duo codd. φασὶ), πολυΐδμων μάντις ὤν. οὕτω καὶ τὸ δρᾶμα ἐπιγράφεται παρὰ Ἀριστοφάνει (ὑπὸ Ἀριστοφάνους Cyrillus). μαρτυρεῖ δὲ Φιλόξενος. καὶ Σοφοκλῆς δ' ἐν Μάντεσι συνέστειλεν

Ὁρῶ πρὸ χειρῶν Πολυΐδου τοῦ μάντεως.

καὶ πάλιν

Οὐκ ἔστιν εἰ μὴ Πολυΐδῳ τῷ Κοιράνου.

V. 1. πρὸ χειρῶν] προχείρων Etym. codex Marcianus. πρόχειρον Cyrillus. 2. Codex τῷ κοιράνῳ. Correxit Welckerus in Zimmermanni Annalibus a. 1832. p. 216. Coeranus, Polyidi pater, memoratur ab Apollodoro 3, 3, 4. Pseudo-Plutarcho de fluviis 21, 4. Hygino fab. 136. Valde corrupta haec in Etymolog. Gud. p. 474. In Etymolog. M. p. 681, 24. παρὰ Σοφοκλεῖ "Ὁρῶ πρὸ χειρῶν Πολύϊδος τοῦ μάντεως.." καὶ πάλιν "Οὐκ ἔστιν εἰ μὴ Πολυείδῳ." ubi codices Gaisfordi (p. 1921.) πολυιδω τ̄ κοϊίανου vel πολυΐδω τῶ κοινϊνάχου.

**462 b.** Bekkeri Anecd. p. 361, 19. Αἰγύπτιον γῆρας:

Πρῶτον μὲν ὄψει λευκὸν ἀνθοῦντα στάχυν,
ἔπειτα φοινίξαντα γογγύλον μόρον,
ἔπειτα γῆρας λαμβάνεις Αἰγύπτιον.

Σοφοκλῆς. V. 1. 2. affert Athenaeus 2. p. 51 d. et ex eo Eustathius p. 835, 10. V. 1. μὲν om. Anecd. Bekk., ἀνθοῦντα om. Eustath. 2. γογγύλων Anecd. Bekk. στρογγύλον Eustath. 3. Pro altero hoc ἔπειτα aptius foret τέλος δέ, quod proposuit Nauckius. Versus ad hanc tragoediam referendos esse vidit Bergkius, collata Hygini fabula 136. ex qua satis habemus haec verba apposuisse "Polyidus Coerani filius monstrum Bizanti (?) demonstravit: eum arbori moro similem esse: nam primum album est, deinde rubrum, cum permaturuit, nigrum."

**462 c.** Euripidis schol. ad Phoenissas 1256. Τῆς κύστεως τὸ στόμα ἐρίῳ δεσμοῦντες ἐπετίθεσαν τῷ πυρί, καὶ παρετήρουν πῶς ῥαγήσεται καὶ ποῦ τὸ οὖρον ἀκοντίσει. Σοφοκλῆς ἐν Μάντεσι

Τὰς μαλλοδέτους κύστεις.

μαλλοδέτους Valckenarius. Legebatur μαλλοδετεῖς. Sed codices μαλλοδέτας.

**462 d.** Herodianus περὶ μον. λέξεως p. 8, 35. Φαμενός, Σοφοκλῆς Μάντεσι "Ξουθὸς (ξανθὸς Bergkius Comm. de reliq. Comoed. Atticae p. 129. ξυνετὸς Lehrsius) Φαμενὸς Τειρεσίου παῖς." Metrum est anapaesticum.

**463.** Stobaeus 29, 25. Σ. Μάντεων

Οὔτοι ποθ' ἅψει τῶν ἄκρων ἄνευ πόνου.

ἅψει Otto Schneiderus. Legebatur ἥξει. Οὐδέποτ' ἐφίξει Cobetus Nov. Lect. p. 295.

**464.** Porphyrius de Abstinentia 2, 19. p. 134. edit. Rhoer. Καὶ Σοφοκλῆς διαγράφων τὴν θεοφιλῆ θυσίαν φησὶν ἐν τῷ Πολυείδῳ

Ἦν μὲν γὰρ οἰὸς μαλλός, ἦν δὲ κάμπέλου
σπονδή τε καὶ ῥὰξ εὖ τεθησαυρισμένη·
ἐνῆν δὲ συμμιγὴς ὀλαῖς παγκαρπία,
λίπος τ' ἐλάας, καὶ τὸ ποικιλώτατον
ξουθῆς μελίσσης κηρόπλαστον ὄργανον.

Omisso nomine fabulae hos versus attulit Clemens Al. Strom. 4. p. 565. V. 1. ἦν δὲ κάμπέλου Brunckius. ἦν δ' ἀμπέλου Porphyrius. ἦν δ' ἀμπέλων Clemens. 3. ἐνῆν — παγκαρπία] ἐνῆν δὲ παγκάρπεια συμμιγὴς ὀλαῖς Porphyrius. 4. ἐλάας] ἐλαίας Porphyrius. ἐλαίου Clemens. 5. citat schol. Euripidis ad Phoenissas 114. p. 67, 17. ed. Oxon. ubi codices ξούθου, ξούφου, ξοῦφον, Arsenii editio ξουθοῦ, codex recens Florent. (p. 70, 2.) ξουθοῦ.

**465.** Schol. Aristoph. ad Ranas 596. exscriptus ab Suida s. v. γλάμων (et Zonara p. 438.) Σοφοκλῆς ἐν Μάντεσιν ἐπί τινων ὀρνέων

Τοὺς γλαμυροὺς κατὰ φορβάν.

**466.** Hesychius, Ἀνταίας: πολεμίας, ἐχθρᾶς. Σ. Πολυείδῳ. Non debebat huc referri Hesychii glossa Ὑπ' ἀντιαίης ab Ruhnkenio in Auctario.

**467 a.** Hesychius, Ἀραῖον: κατάρατον. ὡς τὸ

Ὁ πρόσθεν ἐλθὼν ἦν ἀραῖός μοι νέκυς.

οἷον ἀρὰν προσετρίβετο καὶ κατ' εὐχῆς. (Recte corrigitur κατευχήν). Σ. Πολυείδῳ.

**467 b.** Grammaticus in Crameri Anecd. Oxon. vol. 1. p. 226, 6. κλείω, ὅπερ οἱ Ἴωνες κλήω διὰ τοῦ η καὶ Θουκυδίδης καὶ τραγικοί, καὶ Σοφοκλῆς ἐν Μάντεσι

Ψυχῆς ἀνοῖξαι τὴν κεκλημένην πύλην.

οἱ κωμικοὶ δὲ διὰ διφθόγγου. Codex κεκλισμένην.

## ΠΟΛΥΞΕΝΗ.

De argumento fabulae v. quae ad fragm. 472. dicentur.

**468.** Strabo 10. p. 470. Ὁ δ' οὖν Σοφοκλῆς ποιήσας τὸν Μενέλαον ἐκ τῆς Τροίας ἀπαίρειν σπεύδοντα ἐν τῇ Πολυξένῃ, τὸν δ' Ἀγαμέμνονα μικρὸν ὑπολειφθῆναι βουλόμενον, τοῦ ἐξιλάσασθαι τὴν Ἀθηνᾶν χάριν, εἰσάγει λέγοντα τὸν Μενέλαον

Σὺ δ' αὖθι μίμνων που κατ' Ἰδαίαν χθόνα
ποίμνας Ὀλύμπου συναγαγὼν θυηπόλει.

V. 1. που Xylander. Libri τοῦ vel τήν. τῇδ' ἐπ' Ἰδαίᾳ χθονί Welckerus p. 177.

**469.** Porphyrius apud Stobaeum Ecl. phys. 1, 52. p. 1008. Ἀχέρων δὲ καὶ Ἀχερουσία λίμνη ταυτόν, ὡς ὁ Σοφοκλῆς ἐν Πολυξένῃ τὴν τοῦ Ἀχιλλέως ψυχὴν εἰσάγει λέγουσαν

Ἀκτὰς ἀπαίωνάς τε καὶ μελαμβαθεῖς
λιποῦσα λίμνης ἦλθον ἠχούσης γόους
Ἀχέροντος ὀξυπλῆγος ἄρσενας χοάς.

τὰς (ἀκτὰς ἀπαίωνας τὰς Meinekius) τῶν νεκρῶν λέγων παιῶνα οὐκ ἐχούσας, ἄρσενας δὲ χοὰς (χοὰς addidit Heerenius: ῥοὰς Meinekius) τὰς οὐδὲν ἐκτρεφούσας. V. 1. Ἀκτὰς Heynius pro ὦ τάς. 2. 3. Apud Stobaeum λιποῦσα λίμνης Ἀχέροντος ὀξυπλῆγας ἠχοῦσα (ἐχούσας codex unus) γόους ἦλθον ἄρσενας χοάς. Heynius λιποῦσα λίμνης ἦλθον ἄρσενας χοὰς (ῥοὰς Meinekius) Ἀχέροντος ὀξυπλῆγα ἠχούσας γόους.

**470.** Stobaeus 49, 13.

Οὐ γάρ τις ἂν δύναιτο πρῳρατὴς στρατοῦ
τοῖς πᾶσι δεῖξαι καὶ προσαρκέσαι χάριν·
ἐπεὶ οὐδ' ὁ κρείσσων Ζεὺς ἐμοῦ τυραννίδι
οὔτ' ἐξεπομβρῶν οὔτ' ἐπαυχμήσας φίλος,
βροτοῖς δ' ἂν ἐλθὼν ἐς λόγον δίκην ὄφλοι,
πῶς δῆτ' ἔγωγ' ἂν θνητὸς ὢν θνητῆς τε φὺς
Διὸς γενοίμην εὖ φρονεῖν σοφώτερος;

V. 4. Libri ἐξ ἐπόμβρων vel ἐξ ἐπομβρῶν. Verbo ἐξεπομβρῶν utitur Tzetzes Hist. 3, 59. 5. δ' addidit Dobraeus et λόγον δίκην λόγων. ὄφλοι Brunckius. ὄφλαι libri. 6. ἔγωγ' ἂν θνητὸς ὢν Meinekius. ἐγὼ θνητός γ' ὢν ἐκ codex A. ἐγὼ θνητός γ' ἂν ἐκ libri ceteri.

**471.** Schol. Apollonii Rhodii ad 2, 1121.

Ἀπ' αἰθέρος δὲ κἀπὸ λυγαίου νέφους.

νέφους] σκότους in apographo Parisino. κνέφους Meinekius.

**472.** "Ad Polyxenam respexisse videtur Longinus 15, 7. (Ruhnkenio iudice) Ἄκρως δὲ καὶ ὁ Σοφοκλῆς ἐπὶ τοῦ θνήσκοντος Οἰδίπου καὶ ἑαυτὸν μετὰ διοσημίας τινὸς θάπτοντος πεφάντασται, καὶ κατὰ τὸν

ἀπόπλουν τῶν Ἑλλήνων, ἐπὶ τοῦ Ἀχιλλέως προφαινομένου τοῖς ἀναγομένοις ὑπὲρ τοῦ τάφου. Scilicet in hoc dramate inducebatur Achillis umbra [v. Fragm. 469.], quodque apud Euripidem narratur initio Hecubae, id Sophocles spectatorum subiecerat oculis." Brunck. His indiciis usus coniecturas de structura fabulae Sophocleae proposuit Welckerus p. 176.—183. Schol. Eurip. ad Hecub. v. 1. τὰ περὶ τὴν Πολυξένην ἔστι καὶ παρὰ Σοφοκλεῖ εὑρεῖν.

473. Etymolog. M. p. 120, 48. Ἄπειρος: — λέγει δὲ Ὧρος ὅτι σημαίνει χιτῶνα διέξοδον μὴ ἔχοντα, ὡς παρὰ Σοφοκλεῖ ἐν Πολυξένῃ

Χιτών σ' ἄπειρος ἐνδυτήριος κακῶν.

474. Harpocratio, Ἠκρωτηριασμένοι τὰς ἑαυτῶν ἕκαστοι πατρίδας: ἀντὶ τοῦ λελυμασμένοι. οἱ γὰρ λυμαινόμενοί τισιν εἰώθασι περικόπτειν αὐτῶν τὰ ἄκρα, ὡς καὶ Σ. Πολυξένῃ.

475. Hesychius, Παράρυμα: Σ. Πολυξένῃ παράρυμα ποδός, ὡς κρεμαμένων τινῶν ὑφασμάτων ἐκ τοῦ εἵματος (sic Tollius pro ἅρματος) πρὸς κάλλος. τινὲς δὲ σχοινίον ἐν ταῖς ναυσίν. οἱ δὲ ὑπόδημα. Adde Phot. p. 389, 1. Παράρυμα ποδός: τὰ ὑποδήματα τὰ ῥυόμενα τοὺς πόδας.

## ΠΡΙΑΜΟΣ.

Priamum tragoediam quum etiam Philocles, aequalis Sophocli poeta, scripserit, nihil caussae est cur Sophocles scripsisse negetur, 'quod fecit Welckerus. qui aliam quandam Sophoclis tragoediam (fortasse Σίνωνα), in qua Priami partes fuerint, a Polluce et scholiasta Aristophanis Πρίαμον appellatam esse coniecit p. 158.

476. Scholiasta Aristoph. Vespar. v. 288: Ἐγχυτριεῖς: ἀπὸ τῶν ἐκτιθεμένων παιδίων ἐν χύτραις. διὸ καὶ Σοφοκλῆς τὸ ἀποκτεῖναι χυτρίζειν ἔλεγεν ἐν Πριάμῳ.

477. Pollux 10, 147. Οἰκοδόμου δὲ σκεύη, λεῖαι, γλαρίδες, ὡς Σοφοκλῆς ἐν Πριάμῳ. Idem 7, 118. Καὶ λατύπους δὲ Σοφοκλῆς, ὅπου καὶ ἐργαλεῖα τῶν λατύπων ὀνομάζει λείας καὶ γλαρίδας.

## ΠΡΟΚΡΙΣ.

De Procridis, Erechthei filiae, et Cephali, Deionei filii, amoribus v. Pherecydes apud schol. Homeri Od. 11, 321. et Ovidius Metam. 7. 694.—862. quorum ex narrationibus probabiliores de argumento fabulae Sophocleae coniecturas fieri posse quam ex Apollodori (3, 15, 1.), Antonini Liberalis (c. 41.) et Hygini (Fab. 189.) narrationibus recte monet Welckerus p. 388.

478. Pollux 9, 140. Ἐπιτιμητής — Σοφοκλῆς εἰπὼν ἐν τῇ Προκρίδι "Κολασταὶ κἀπιτιμηταὶ κακῶν." Eadem nomina coniunxit Euripides Suppl. 255. τούτων κολαστὴν κἀπιτιμητήν, ἄναξ.

## ΡΙΖΟΤΟΜΟΙ.

Argumentum huius tragoediae fuisse Peliam veneficis Medeae artibus interfectum recte coniecisse videtur Welckerus p. 340: unde fragmentum ab Erotiano ex Pelia allatum (433.) ad hanc fabulam refert. Chorum fabulae manifestum est ex ῥιζοτόμοις fuisse compositum, veneficas quibus Medea uteretur herbas praeparantibus: quod Welckerus p.342. illustrat collato Theophrasti de ῥιζοτομίᾳ loco Hist. Pl. 8, 6. memorataque Epimenidis ῥιζοτομίᾳ. Aesculapium ῥιζοτόμον appellat Hercules apud Lucian. Dial. Deor. 13

479. Macrobius Saturnal. 5, 19. *Sophoclis autem tragoedia id, de quo quaerimus, etiam titulo praefert. Inscribitur enim* Ῥιζοτόμοι, *in qua Medeam describit maleficas herbas secantem, sed aversam, ne vi noxii odoris ipsa interficeretur; et succum quidem herbarum in cados aeneos refundentem, ipsas autem herbas aeneis falcibus exsecantem. Sophoclis versus hi sunt*

Ἡ δ' ἐξοπίσω χερὸς ὄμμα τρέπουσ'
ὀπὸν ἀργινεφῆ στάζοντα τομῆς
χαλκέοισι κάδοις δέχεται.

*Et paullo post*

αἱ δὲ καλυπταὶ
κίσται ῥιζῶν κρύπτουσι τομάς,
ἃς ἥδε βοῶσ', ἀλαλαζομένη,
γυμνὴ χαλκέοις ἤμα δρεπάνοις.

V. 2. "Verbis ὀπὸν ἀργινεφῆ significari videtur faeculenti quiddam, quod Hippocratici ὀμίχλας dicere solent, Latini nubeculas." Lobeck. Paralip. p. 50. V. 4. καλυπταὶ] καλυπτραὶ in libris. 5. τομὰς hoc loco omittit codex Paris. 6371. 6. ἀλαλαζομένη] ὀλολυζομένη Ellendtius. 7. τομάς post δρεπάνοις lectum delevit Valckenarius.

480. Schol. Apollonii Rhodii 2, 1213. Ὅτι δράκουσι καὶ δρυΐνῳ κλάδῳ στέφεται ἡ Ἑκάτη καὶ Σοφοκλῆς ἐν Ῥιζοτόμοις τὸν χορὸν πεποίηκε λέγοντα

Ἥλιε δέσποτα
καὶ πῦρ ἱερόν, τῆς εἰνοδίας
Ἑκάτης ἔγχος, τῷ δι' Ὀλύμπου
πωλοῦσα φέρει καὶ γῆς ναίουσ'
ἱερὰς τριόδους, στεφανωσαμένη
δρυῒ καὶ πλεκταῖς
ὠμῶν σπείραισι δρακόντων.

V. 2. εἰνοδίας] ἐνοδίας codex. 3. τῷ Brunckius pro τό. τὸ δι' Οὐλύμπου Valckenarius. 4. πωλοῦσα H. Keilius. πολοῦσα codex. πάλλουσα Dobraeus. 5. δρυῒ Ellendtius pro δρυσί. πλεκταῖς — δρακόντων] πλείστους ὤμωι σπείρουσι δράκοντας codex. Correxit Valckenarius, qui πλεκτοῖς scripsit et σπείρησι.

481a. Hesychius, Ἀϊστώσας: διαχέας καὶ τήξας. Σ. Ῥιζοτόμοις "Κόρον ἀϊστώσας (codex ἰστώσας) πῦρ." Scribendum κηρὸν ἀϊστώσας (vel ᾀστώσας) πυρί cum Kustero.

481b. Plinius Hist. Nat. 21, 88. *Sophocles enim poeta venenatum id* (trifolium) *dicit.* Ad Ῥιζοτόμους probabiliter rettulit Nauckius.

## ΣΑΛΜΩΝΕΥΣ (ΣΑΤΥΡΙΚΟΣ).

De argumento dramatis facile est coniecturam facere ex narratione Apollodori 1, 9, 7. et Hygini Fab. 61.

482. Athenaeus 11. p. 487d. Καλεῖται δὲ μάνης καὶ τὸ ἐπὶ κοττάβου ἐφεστηκός, ἐφ' οὗ τὰς λάταγας ἐν παιδιᾷ ἔπεμπον, ὅπερ ὁ Σοφοκλῆς ἐν Σαλμωνεῖ χάλκειον ἔφη κάρα, λέγων οὕτως

Τάδ' ἐστὶ κνισμὸς καὶ φιλημάτων ψόφος,
τῷ καλλικοτταβοῦντι νικητήρια
τίθημι καὶ βαλόντι χάλκειον κάρα.

V. 3. χάλκειον scripsi pro χαλκεῖον.

483. Galenus vol. 9. p. 385. Πέμφιξ δοκεῖ ἐπὶ τῆς πνοῆς Σοφοκλῆς λέγειν — ἐν Σαλμωνεῖ σατύροις

Καὶ τάχ' ἂν κεραυνία
πέμφιξ σε βροντῆς καὶ δυσοσμίας λάβοι.

— ἐπὶ δὲ τοῦ νέφους δοκεῖ τετάχθαι κατὰ τόδε τὸ ἔπος ἐν Σαλμωνεῖ σατύροις παρὰ Σοφοκλεῖ

Πέμφιγι πᾶσαν ὄψιν ἀγγέλῳ πυρός.

V. 1. κεραύνια πέμφιξι libri. Correxit Porsonus.

2. δυσοσμίας] δυσοσμία Madvigius. δυσομβρίας Nauckius. λάβοι] βάλοι Brunckius. 3. πᾶσαν] πλήσας Hermannus Opusc. vol. 4. p. 277. ὄψιν ἀγγέλῳ Bentleius pro ὀψιαγέλων.

**484.** Hesychius, Θῆμα: θήκη, τάφος, ἀνάθημα. Σ. Σαλμωνεῖ.

**485.** Hesychius, Καρικοὶ τράγοι: ὡς εὐτελῶν ὄντων. Σ. Σαλμωνεῖ. εἰ μὴ ἄρα εἶπε συγχέων (sic Meinek. pro ἄρα ὑποσυγχέων) τοὺς Κιλικίους.

ΣΙΝΩΝ.

De Sinonis dolo quo Troianos fefellerit v. Virgil. Aen. 2, 57.—198. 233.—265. Hygin. Fab. 108. Quintum Smyrnaeum 12, 238. 13, 23. ab Welckero indicatos p. 157. Proclus in Chrestom. p. 461. ex Arctino, καὶ Σίνων τοὺς πυρσοὺς ἀνίσχει τοῖς Ἀχαιοῖς, πρότερον εἰσεληλυθὼς προσποίητος. οἱ δὲ ἐκ Τενέδου προσπλεύσαντες καὶ οἱ ἐκ τοῦ δουρείου ἵππου ἐπιπίπτουσι τοῖς πολεμίοις καὶ πολλοὺς ἀνελόντες τὴν πόλιν κατὰ κράτος λαμβάνουσι.

**486.** Hesychius, Αἰθύσσειν: ἀνασείειν· Σίνωνι Σοφοκλῆς. Idem, Ἀναιθύσσω: ἀνασείω. Σ. Σίνωνι.

**487.** Hesychius, Ἀξέστους: τραχείας. Σ. Σίνωνι (codex σιών, η superscr.).

**488.** Hesychius, Ἄρρητον: ἄφραστον, ἀνιστόρητον, ἀπόρρητον, ἄφωνον, αἰσχρόν. Σ. Σίνωνι. Eiusdem glossae, Ἀρητόν: βλαβερὸν, πολυχρόνιον, adiectum Σοφοκλῆς συνώνυμον ὕστερος, i. e. Σ. Σίνωνι ἀνιστόρητος, verbis ex altera glossa huc illatis. Quod vidit Albertus.

**489.** Hesychius, Ἐνθρίακτος: ἐνθουσιῶν. καὶ ἐνθέακτος (?). Σ. Σίνωνι.

ΣΙΣΥΦΟΣ.

Sisyphum, drama satyricum, etiam Aeschylus et Euripides scripserunt. Sophocleum solus memorat uno loco Hesychius: ut incertum sit utrum Sophocles quoque hoc argumentum tractaverit, an poetarum nomina permutaverit grammaticus, ut monuit Welckerus p. 402.

**490.** Hesychius, Ζεῦγος τριπάρθενον: Εὐριπίδης Ἐρεχθεῖ καὶ Σοφοκλῆς Σισύφῳ "Χαρίτων τριζύγων." Ἀριστοφάνης Ὥραις καταχρηστικῶς ἐπὶ τῶν τριῶν τὸ ζεῦγος ἔθηκε "Ζεῦγος τρίδουλον." Codex χαρίτων ζυγῶν. Recte restitutum τριζύγων, collato Eurip. Hel. 357. τριζύγοις θεαῖσι, et Macedonio Anth. Pal. 11, 27. τριζυγέες Χάριτες.

ΣΚΥΘΑΙ.

Argumentum dramatis ex Argonautarum fabula petitum fuisse fragmenta docent. Dixit de eo Welckerus p. 337.—340.

**491.** Schol. Apollonii Rhodii 4, 223. Φερεκύδης δὲ ἐν ἑβδόμῳ τὴν Μήδειάν φησιν ἆραι μικρὸν τὸν Ἄψυρτον ἐκ τῆς κοίτης, Ἰάσονος εἰπόντος αὐτῇ, καὶ ἐνεγκεῖν πρὸς τοὺς Ἀργοναύτας, ἐπεὶ δὲ ἐδιώχθησαν, σφάξαι καὶ μελίσαντας ἐκβαλεῖν εἰς τὸν ποταμόν. ἐν δὲ τοῖς Σκύθαις ὁ Σοφοκλῆς ἑτερομήτορα τῆς Μηδείας τὸν Ἄψυρτον λέγει "Οὐ γὰρ ἐκ μιᾶς κοίτης ἔβλαστον, ἀλλ' ὁ μὲν Νηρηΐδος τέκνον ἄρτι βλαστάνεσκεν (codex βλάστεσκεν), ἣν Εἰδυῖα πρίν ποτε Ὠκεανοῦ κόρη τίκτεν." Ex tetrametris, ut monuit Valckenarius Diatr. Eurip. p. 224. qui κοίτης delevit et Ἰδυῖα pro Εἰδυῖα scripsit. "Idyiam Medeae matrem facit Hesiodus Theog. 958.—962. quicum consentiret Sophocles, si τὴν δ' pro ἣν legendum esset [ut est in duobus apographis]. Schol. Apoll. Rh. 3, 242. Διονύσιος δὲ ὁ Μιλήσιος (λέγει) Ἑκάτην μητέρα Μηδείας καὶ Κίρκης, ὡς προείρηται, Σοφοκλῆς Νέαιραν μίαν τῶν Νηρηΐδων, Ἡσίοδος δὲ Ἰδυῖαν. Quae dubitari potest utrum de Apsyrti an Medeae matre intellegenda sint." Nauck. De Apsyrto in alio scholio ad locum priorem, Φερεκύδης ἐν ἑβδόμῳ φησὶ διωκομένους ἀναβιβάσαι ἐπὶ τὴν ναῦν τὸν Ἄψυρτον καὶ μελίσαντας ῥῖψαι εἰς τὸν ποταμόν. Σοφοκλῆς δὲ ἐν Κολχίσι φησὶ κατὰ τὸν οἶκον τοῦ Αἰήτου τὸν παῖδα σφαγῆναι.

**492.** Schol. Apollon. Rhod. 4, 284. Ἑκαταῖος δὲ ἱστορεῖ μὴ ἐκδιδόναι εἰς τὴν θάλασσαν τὸν Φᾶσιν, οὐδὲ διὰ Ταναΐδος ἔπλευσαν (ἐκπλεῦσαι H. Keilius), ἀλλὰ κατὰ τὸν αὐτὸν πλοῦν καθ' ὃν καὶ πρότερον, ὡς Σοφοκλῆς ἐν Σκύθαις ἱστορεῖ. Schol. Dionysii Per. 10. Αἰσχύλος δὲ ἐν Προμηθεῖ λυομένῳ καὶ Σοφοκλῆς ἐν Σκύθαις ὑπὸ τούτου (τοῦ Ταναΐδος) διορίζεσθαί φησι τὰς ἠπείρους.

**493.** Athenaeus 5. p. 189d. Καλοῦσι δ' ἀρσενικῶς τοὺς αὐλῶνας, ὥσπερ Θουκυδίδης ἐν τῇ τετάρτῃ καὶ πάντες οἱ καταλογάδην συγγραφεῖς· οἱ δὲ ποιηταὶ θηλυκῶς. Σοφοκλῆς Σκύθαις

Κρημνούς τε καὶ σήραγγας ἠδ' ἐπακτίας
αὐλῶνας.

Feminino etiam in Trach. 100. usus est ποντίας αὐλῶνας, ubi in cod. superscriptum est ους.

**494.** Erotianus p. 96. (p. 55. ed. Klein.) Ἀχιλλήιδες: κριθῶν εἶδος. ὧν μέμνηται καὶ Ἀριστοφάνης καὶ Σοφοκλῆς. Hesychius, Ἀχιλλείων Ἱππεῦσιν Ἀριστοφάνης (v. 819.) καὶ Σ. Σκύθαις.

**495.** Hesychius, Ἀψάλακτος: ἀκίνητος, ἀψηλάφητος, ἀκράτητος. Σ. Σκύθαις. Idem Ψαλακτόν: οὐκ ἀνερεύνητον. Alterius glossae lemma esse debebat Οὐκ ἀψάλακτον. Recte apud Photium p. 359, 5. Οὐκ ἀψάλακτος (codex ἀποψάλακτος): οὐκ ἀκρότητος οὐδὲ ἀρράπιστος. et in Bekk. Anecd. p. 475, 31. ἀψάλακτον: ἀψηλάφητον.

ΣΚΥΡΙΑΙ.

In locis grammaticorum partim Σκυρίαις partim Σκυρίοις.

**496.** "Notum argumentum fabulæ. Vide Hyginum cap. 96. et Philostrati iunioris iconem cui titulos Achilles in Scyro p. 863. ubi Sophoclei dramatis meminit: Σκῦρος, νῆσος, ἣν ὁ θεῖος Σοφοκλῆς ἀνεμώδεα καλεῖ." Brunck. Coniecturas de compositione fabulae deque personis quae in ea prodierint exposuit Welckerus p. 102.—107.

**497.** Plutarchus Moral. p. 34d. Τὴν δὲ πρὸς τὸν Ἀχιλλέα τὸν ἐν Σκύρῳ καθήμενον ἐν ταῖς παρθένοις γεγενημένην ἐπίπληξιν ὑπὸ τοῦ Ὀδυσσέως

Σὺ δ', ὦ τὸ λαμπρὸν φῶς ἀποσβεννὺς γένους,
ξαίνεις, ἀρίστου πατρὸς Ἑλλήνων γεγώς;

Iterum hos versus, quos ad fabulam Sophocleam probabiliter rettulit Brunckius, affert Plutarchus p. 72e. praemissis verbis, Ὁ ἐν τοῖς Σκυρίοις Ὀδυσσεύς. ubi καταισχύνων pro ἀποσβεννύς scriptum.

**498.** Stobaeus 51, 24. Σ. Σκυρίοις

Φιλεῖ γὰρ ἄνδρας πόλεμος ἀγρεύειν νέους.

**499.** Stobaeus 59, 3. Σοφοκλέους Σκυρίων

Οἱ ποντοναῦται τῶν ταλαιπώρων βροτῶν,
οἷς οὔτε δαίμων οὔτε τις θεῶν νέμων
πλούτου ποτ' ἂν νείμειεν ἀξίαν χάριν
λεπταῖς ἐπὶ ῥιπῖσιν ἐμπολὰς μακρὰς
ἀεὶ παραρρίπτοντες οἱ πολύφθοροι
ἢ 'σωσαν ἀκέρδαναν ἢ διώλεσαν.

V. 1. Οἱ est in B, ἣ in Scor., neutrum in A. 2. θεῶν νέμων] βροτῶν γέμων Meinekius. 4. ἐπὶ ῥιπῖσιν] Libri ἐπιρροπῆσιν vel ἐπιροπῆσιν. Correxit Meinekius, collato de mensura syllabae penultimae, quae plerumque corripitur, Herodiano περὶ διχρόνων in Crameri Anecd. Oxon. vol. 3. p. 299, 10. Τὸ μέντοι καρίς καὶ ῥιπίς ἡ μὲν κοινὴ συνήθεια ἐκτείνει, ἡ δὲ τῶν Ἀθηναίων διάλεκτος συστέλλει. 6. ἣ 'σωσαν Porsonus pro ἧς ὡς ἄν. ἀκέρδαναν Meinekius pro ἣ 'κέρδαναν.

**500.** Stobaeus 116, 28. Σοφοκλέους Σκυρίων

Οὐδὲν γὰρ ἄλγος οἷον ἡ πολλὴ ζόη.

ζόη pro ζωή restituit Porsonus.

**501.** Stobaeus 124, 17. Σοφοκλέους Σκυρίων

Ἀλλ' εἰ μὲν ἦν κλάουσιν ἰᾶσθαι κακὰ
καὶ τὸν θανόντα δακρύοις ἀνιστάναι,
ὁ χρυσὸς ἧσσον κτῆμα τοῦ κλάειν ἂν ἦν·
νῦν δ', ὦ γεραιέ, ταῦτ' ἀνηνύτως ἔχει,
τὸν μὲν τάφῳ κρυφθέντα πρὸς τὸ φῶς ἄγειν·
κἀμοὶ γὰρ ἂν πατήρ γε δακρύων χάριν
ἀνῆκτ' ἂν ἐς φῶς.

V. 1. κλάουσιν et v. 3. κλάειν scripsi pro κλαίουσιν et κλαίειν. 3. ἧσσον] ἧττον libri. 5. τὸν μὲν] τὸ μὲν A. τὸν ἐν Bergkius. Totum versum ab interpolatore confictum esse iudicat Herwerdenus p. 10. 6. κἀμοὶ] καί μοι libri. 7. ἐς] εἰς libri.

**502.** Hesychius, Ἀποστιβής (codex ἀποστίβ · ·): ἀποπεφοιτηκώς. οὐ τὴν αὐτὴν τρίβον στείβων, τουτέστι φοιτῶν. Σ. Σκυρίαις.

**503.** Hesychius, Αὐτόσσυτον: αὐτοκέλευστον. Σ. Σκυρίοις. Omisso nomine fabulae grammaticus Bekkeri p. 467, 31.

**504.** Hesychius, Ἀχρήματον: ἀδάπανον. Σ. Σκυρίοις. Codex ἀχρήματα.

**505.** Hesychius s. v. Εὔωρος — ὡς ὁ αὐτὸς (Σοφοκλῆς) ἐν Σκυρίαις χρῆται τῷ εὐωριάζειν.

[ΣΥΝΔΕΙΠΝΟΙ. Vide ΑΧΑΙΩΝ ΣΥΛΛΟΓΟΣ.]

[ΣΦΥΡΟΚΟΠΟΙ. Vide ΠΑΝΔΩΡΑ.]

[ΤΑΝΤΑΛΟΣ. Vide ad Fragm. 964.]

## ΤΕΥΚΡΟΣ.

Ad hanc fabulam spectant quae Aristoteles obscurius significavit Rhet. 2, 23. διαφέρει δὲ ὁ τρόπος, οἷον ἐν τῷ Τεύκρῳ· ᾧ ἐχρήσατο Ἰφικράτης πρὸς Ἀριστοφῶντα, ἐπερόμενος εἰ προδοίη ἂν τὰς ναῦς ἐπὶ χρήμασιν· οὐ φάσκοντος δὲ, εἶτα, εἶπεν, σὺ μὲν ὢν Ἀριστοφῶν οὐκ ἂν προδοίης, ἐγὼ δ' ὢν Ἰφικράτης; et 3, 15. κοινὸς δ' ἀμφοῖν ὁ τόπος τὰ σύμβολα λέγειν, οἷον ἐν τῷ Τεύκρῳ ὁ Ὀδυσσεὺς ὅτι οἰκεῖος τῷ Πριάμῳ· ἡ γὰρ Ἡσιόνη ἀδελφή· ὁ δὲ ὅτι ὁ πατὴρ ἐχθρὸς τῷ Πριάμῳ, ὁ Τελαμών, καὶ ὅτι οὐ κατεῖπε τῶν κατασκόπων. Versus ex Sophoclis Oedipode ab Stobaeo Flor. 114, 6. per errorem allatos (fragm. 964.) ad Teucrum probabiliter rettulit Welckerus p. 193. Inter Latinos Teucrum scripsit Pacuvius, cuius de fragmentis dixerunt Welckerus p. 192.—197. et Ribbeckius p. 287. 288. In tragoedia Sophoclea primariae partes fuerunt Teucri et patris eius Telamonis, acriter in Teucrum invehentis quod Aiacis fratris suicidium non impediverit: quod exprobratum sibi a patre, etsi iniuria, fore praevidet Teucer in oratione quam post necem Aiacis voluntariam habet apud Sophoclem in Aiace v. 982.—998. De tempore huius tragoediae tantum scimus, priorem fuisse Nubibus Aristophanis, quae fabula acta est olymp. 89, 2. V. Fragm. 507.

**506.** Stephanus, Κυχρεῖος: πάγος περὶ Σαλαμῖνα. Σοφοκλῆς Τεύκρῳ.

**507.** Aristophanes Nubibus 583. Βροντὴ δ' ἐρράγη δι' ἀστραπῆς. ubi scholiasta, παρὰ τὰ ἐκ Τεύκρου Σοφοκλέους

Οὐρανοῦ δ' ἄπο
ἤστραψε, βροντὴ δ' ἐρράγη δι' ἀστραπῆς.

**508.** Stobaeus 122, 10.

Ὡς ἄρ', ὦ τέκνον, κενὴν
ἐτερπόμην σου τέρψιν εὐλογουμένου,
ὡς ζῶντος· ἡ δ' ἄρ' ἐν σκότῳ λαθοῦσά με
ἔσαιν' Ἐρινὺς ἡδοναῖς ἐψευσμένον.

V. 1. ὦ] αὖ A.

**509.** Ad hanc fabulam Blomfieldus refert versus ab Tryphone de tropis p. 48. (vol. 8. p. 738. ed. Walz. Greg. Cor. ib. p. 767., Choerob. ib. p. 808.) sine poetae nomine allatos,

Τεῦκρος δὲ τόξου χρώμενος φειδωλίᾳ
ὑπὲρ τάφρου πηδῶντας ἔστησεν Φρύγας.

De alio fragmento ad hanc fabulam fortasse referendo v. ad 761.

## ΤΗΛΕΦΟΣ.

Tragoedia eadem quae Μυσοί, ut Welckerus p. 414. coniecit.

**510.** Hesychius, Ἀειφόρος: ἀειθαλής. Σ. Τηλέφῳ. Corrupte apud eundem, Αἴφρουρος· αἰθάλη. Σοφοκλῆς.

## ΤΗΡΕΥΣ.

**511.** "Ad hoc drama alludit comicus in Avibus 100. ubi Epopis rostrum ridenti Euelpidi Epops ait

Τοιαῦτα μέντοι Σοφοκλέης λυμαίνεται
ἐν ταῖς τραγῳδίαισιν ἐμὲ τὸν Τηρέα.

Ad quae sic scholiasta: ἐν γὰρ τῷ Τηρεῖ Σοφοκλῆς ἐποίησεν αὐτὸν ἀπωρνιθωμένον, καὶ τὴν Πρόκνην· ἐν ᾧ ἔσκωψε πολλὰ τὸν Τηρέα. Idem argumentum post Sophoclem tractavit Philocles, quem in eadem fabula perstringit comicus v. 280. ubi haec habet scholiasta: ὁ Σοφοκλῆς πρῶτος τὸν Τηρέα ἐποίησεν, εἶτα Φιλοκλῆς." Brunck. Nec raro comici poetae tractarunt, ut Cantharus, Anaxandrides, Philetaerus. Fabulam notissimam enarrarunt Ovidius Met. 6, 411—676. et mythographi ab Welckero indicati, qui de singularum huius tragoediae partium compositione satis probabiliter dixit p. 375—388. adhibitis etiam Attii Terei fragmentis.

**512.** Stobaeus 10, 25.

Φιλάργυρον μὲν πᾶν τὸ βάρβαρον γένος.

**513.** Stobaeus 13, 5.

Θάρσει· λέγων τἀληθὲς οὐ σφαλεῖ ποτε.

"In Vindobon. Εὐριπ. Τηρεῖ, eodem errore quo deceptus fuit Apostolius Proverb. 10, 12." Brunck. Libri σφαλῇ vel σφάλλῃ.

**514.** Stobaeus 20, 32.

Ἄνους ἐκεῖνος, αἱ δ' ἀνούστεραι ἔτι
ἐκεῖνον ἠμύναντο καρτερόν.
Ὅστις γὰρ ἐν κακοῖσι θυμωθεὶς βροτῶν
μεῖζον προσάπτει τῆς νόσου τὸ φάρμακον,
ἰατρός ἐστιν οὐκ ἐπιστήμων κακῶν.

"In Reg. cod. lemma adscriptum primo versui Σοφ. et 3. τοῦ αὐτοῦ Τηρεῖ. Hoc statim versui 1. appositum in Vindobon. continuatis una serie quinque versibus." Brunck. V. 1. ἀνούστεραι ἔτι Brunckius cum hiatu vitioso. ἀνούστερ' ἔτι libri. ἀνούστεραι πολὺ Gaisfordus. ἀνουστέρως ἔτι Cobetus. 2. καρτερόν] καρτερώτερον Grotius. κατὰ (πρὸς Cobetus) τὸ καρτερόν Porsonus.

**515.** Stobaeus 22, 22.

Θνητὰ φρονεῖν χρὴ θνητὴν φύσιν
τοῦτο κατειδότας, ὡς οὐκ ἔστιν
πλὴν Διὸς οὐδεὶς τῶν μελλόντων
ταμίας, ὅ τι χρὴ τετελέσθαι.

Nomen fabulae in lemmate in libris corruptum in ἀγήρει vel ἀγηρεῖ. V. 1. θνητὴν φύσιν] θνητοὺς φύντας Meinekius. Grotius θνητὴν δὲ φύσιν χρὴ θνητὰ φρονεῖν.

**516.** Stobaeus 39, 12.

Πολλά σε ζηλῶ βίου,
μάλιστα δ' εἰ γῆς μὴ πεπείρασαι ξένης.

**517.** Stobaeus 68, 19.

Νῦν δ' οὐδέν εἰμι χωρίς, ἀλλὰ πολλάκις
ἔβλεψα ταύτῃ τὴν γυναικείαν φύσιν,
ὡς οὐδέν ἐσμεν· αἳ νέαι μὲν ἐν πατρὸς
ἥδιστον, οἶμαι, ζῶμεν ἀνθρώπων βίον·
τερπνῶς γὰρ ἀεὶ πάντας ἀνοία τρέφει.
ὅταν δ' ἐς ἥβην ἐξικώμεθ' ἔμφρονες,
ὠθούμεθ' ἔξω καὶ διεμπολώμεθα
θεῶν πατρῴων τῶν τε φυσάντων ἄπο,
αἱ μὲν ξένους πρὸς ἄνδρας, αἱ δὲ βαρβάρους,
αἱ δ' εἰς ἀήθη δώμαθ', αἱ δ' ἐπίρροθα.
καὶ ταῦτ', ἐπειδὰν εὐφρόνη ζεύξῃ μία,
χρεὼν ἐπαινεῖν καὶ δοκεῖν καλῶς ἔχειν.

V. 2. ταύτῃ Vindob. ταύτην A B. 3. μὲν ἐν πατρὸς Valckenarius. μὲν γὰρ πατρός libri optimi. μὲν γὰρ ἐν πατρός B. 5. ἀνοία] ἡ ἄνοια libri. ἀγνοία Brunckius. 6. ἔμφρονες Dobraeus pro εὔφρονες. 7. διεμπολώμεθα Valckenarius pro διεμπολούμεθα. 10. ἀήθη B. ἀληθῆ ceteri. ἐπίρροθα] Hinc correcta Hesychii glossa, Ἐπιρρόθητα· ἐπίψογα. i. e. Ἐπίρροθα: τὰ ἐπίψογα.

**518.** Stobaeus 86, 12.

Ἓν φῦλον ἀνθρώπων μί' ἔδειξε πατρὸς καὶ ματρὸς ἡμᾶς
ἁμέρα τοὺς πάντας· οὐδεὶς ἔξοχος ἄλλος ἔβλαστεν ἄλλου.
βόσκει δὲ τοὺς μὲν μοῖρα δυσαμερίας, τοὺς δ' ὄλβος ἡμῶν,
τοὺς δὲ δουλείας ζυγὸν ἔσχεν ἀνάγκας.

V. 1. ἓν φῦλον Bergkius. ἐν φύλων libri optimi, ἐν φύλῳ interpolati. ματρὸς B et Scor. μητρὸς ceteri. 4. ἀνάγκας] ἀνάγκης libri.

**519.** Stobaeus 98, 45. Σοφοκλέους Τηρεῖ

Τὰν γὰρ ἀνθρώπου ζόαν
ποικιλομήτιδες ἆται
πημάτων πάσαις μεταλλάσσουσιν ὥραις.

V. 1. Τὰν δ' ἀνθρώπου ζωὰν libri. Metrum postulat γάρ, quod posuit Bergkius, et ζόαν. 3. μεταλλάσσουσιν ὥραις] μεταλλάσσουσι μορφαῖς Lehrsius (Populäre Aufsätze p. 227.) Verba a Plutarcho ex Sophocle citata Moral. p. 21b.

Ἀλλὰ τῶν πολλῶν καλῶν
τίς χάρις, εἰ κακόβουλος
φροντὶς ἐκτρέφει τὸν εὐαίωνα πλοῦτον;

Bergkius probabiliter coniecit in stropha vel antistropha respondisse versibus ab Stobaeo allatis, et in versu tertio correxit ἐκστρέψει, quod sensus postulat et metrum commendat pro ἐκτρέφει.

**520.** Stobaeus 98, 46. ἐν ταὐτῷ

Ζῴοι τις ἀνθρώπων τὸ κατ' ἦμαρ ὅπως ἥδιστα πορσύνων, τὸ δ' ἐς αὔριον ἀεὶ
τυφλὸν ἕρπει.

His versibus in stropha videntur respondisse versus ab Porphyrio citati in libro de Styge apud Stobaeum 105, 57. Ἥ τε γὰρ αἴγειρος, ὥς φασιν ἄλλοι τε καὶ Πλούταρχος, φιλοπενθὴς καὶ ἀτελὴς πρὸς καρπογονίαν. διὸ καὶ Σ. ἔν τισι (Τηρεῖ Bergkius) φησίν

Οὐ χρή ποτ' ἀνθρώπων μέγαν ὄλβον ἀποβλέψαι.
τανυφλοίου γὰρ ἰσαμέριός τις
ὅστις αἰγείρου βιοτὰν ἀποβάλλει.

Monuit Bergkius, qui ἰσαμέριός τις correxit pro ἰσαμέριος ὅστις.

**521.** Stobaeus 108, 58.

Ἀλγεινά, Πρόκνη, δῆλον· ἀλλ' ὅμως χρεὼν
τὰ θεῖα θνητοὺς ὄντας εὐπετῶς φέρειν.

V. 2. θεῖα] θνητὰ Nauckius.

**522.** Aristoteles de Poetica cap. 16. ubi de variis agnitionibus agit, Καὶ ἐν τῷ Σοφοκλέους Τηρεῖ ἡ τῆς κερκίδος φωνή. Κερκίδος ὕμνους dixit fragm. 909.

**523.** Scholiasta Homeri Iliad. 15, 705. Διονύσιος ὁ Ἁλικαρνασσεὺς ἐν τετάρτῳ Ἀττικῶν ὀνομάτων οὕτως ἔφη· φίλιππος μὲν τῆς μέσης δασυνομένης τὸ προσηγορικόν· οὕτως γὰρ καὶ ἐν Τηρεῖ Σοφοκλέους ἀναγινώσκομεν

Ἥλιε, φιλίπποις Θρῃξὶ πρέσβιστον σέλας.

σέβας Bothius.

**524.** Hesychius, Αἴγλη: χλίδων. Σ. Τηρεῖ. De vocabulo χλίδων dixi ad Aristophanis fragm. p. 618. ed. Oxon.

**525. 526.** Herodianus περὶ μονήρους λέξεως p. 36, 23. exscriptus ab grammaticis ad fragm. 331. indicatis, Φάρος κατὰ συστολὴν παρὰ Σ. ἐν Τηρεῖ

Σπεύδουσαν αὐτήν, ἐν δὲ ποικίλῳ φάρει.

Eadem apud Herodian. περὶ διχρόνων in Crameri Anecd. Oxon. vol. 3. p. 295, 12. et Dracon. p. 35, 9.

## ΤΡΙΠΤΟΛΕΜΟΣ.

Triptolemum curru a draconibus vecto orbem terrarum peragrasse, ut Cereris dona hominibus impertiret, et sacra Eleusinia instituisse ex mythographorum narrationibus liquet a Welckero collectis, inprimis Apollodori 1, 5, 2., Hygini Fab. 147., Mythographi Vaticani ab A. Maio editi 2, 99., Servii ad Virgil. Georg. 1, 19., et partim confirmatur iis quae ex Dionysio Hal. ad fragm. 527. apposuimus. Quae tamen non sufficiunt ad iudicium de compositione fabulae Sophocleae faciendum: de qua coniecturas suas exposuit Welckerus p. 301—312. Quarum una prae ceteris est probabilis, Cephei regis, Triptolemo insidias parantis, partes aliquas in hac fabula fuisse; de quo videnda Hygini et Mythographi Vaticani narratio. Ceterum Lessingio (in Vita Sophoclis) Triptolemus prima Sophoclis fabula esse visa est, acta olymp. 77, 4., computatione ex Plinii verbis (v. Fragm. 529.) facta. Quam rationem non satis certam esse monet Welckerus p. 310., quum Plinius annos usque ad mortem Alexandri a primo Sophoclis certamine scenico computare potuerit, etiam si Triptolemus non prima eius tragoedia fuerit.

**527.** Dionysius Halic. Antiq. 1, 12. Μαρτυρεῖ δέ μου τῷ λόγῳ Σοφοκλῆς μὲν ὁ τραγῳδοποιὸς ἐν Τριπτολέμῳ δράματι. πεποίηται γὰρ αὐτῷ Δημήτηρ διδάσκουσα Τριπτόλεμον ὅσην χώραν ἀναγκασθήσεται σπείρων τοῖς δοθεῖσιν ὑπ' αὐτῆς καρποῖς διεξελθεῖν. μνησθεῖσα δὲ τῆς ἑῴου πρῶτον Ἰταλίας, ἥ ἐστιν ἀπὸ ἄκρας Ἰαπυγίας μέχρι πορθμοῦ Σικελικοῦ, καὶ μετὰ τοῦτο τῆς ἀντικρὺ ἁψαμένη Σικελίας, ἐπὶ τὴν ἑσπέριον Ἰταλίαν αὖθις ἀναστρέφει, καὶ τὰ μέγιστα τῶν οἰκούντων τὴν παράλιον ταύτην ἐθνῶν διεξέρχεται, τὴν ἀρχὴν ἀπὸ τῆς Οἰνώτρων οἰκήσεως ποιησαμένη. ἀπόχρη δὲ ταῦτα μόνα λεχθέντα τῶν ἰαμβείων, ἐν οἷς φησι

Τὰ δ' ἐξόπισθε χειρὸς ἐς τὰ δεξιὰ
Οἰνωτρία τε πᾶσα καὶ Τυρσηνικὸς
κόλπος Λιγυστική τε γῆ σε δέξεται.

V. 1. ἐς scripsi pro εἰς.

**528.** Herodianus περὶ μονήρους λέξεως p. 9, 29. Χαρναβῶν Σοφοκλῆς Τριπτολέμῳ

Καὶ Χαρναβῶντος, ὃς Γετῶν ἄρχει τανῦν.

De hoc versu dixit Lobeckius Aglaoph. p. 215. 1351. ubi codicis scripturam ὅτι τῶν ὅς γε pro ὃς Γετῶν correxit, collato Hygino Poet. Astron. 2, 14. qui sic scribit, *Hunc* (Ophiuchum) *complures Carnabonta dixerunt nomine Getarum regem, qui sunt in Mysia regione, fuisse: qui eodem tempore regno est potitus quo primum semina frugum mortalibus tradita esse existimantur. Ceres enim quum sua beneficia largiretur hominibus, Triptolemum — iussit omnium nationum agros circumeuntem semina partiri —, qui quum pervenisset ad eum quem supra diximus Getarum regem, ab eo primum hospitaliter acceptus, deinde — insidiis captus pene perdidit vitam. Carnabontis enim iussu, quum draco unus eorum esset interfectus, — Ceres eo venisse et ereptum adolescenti currum dracone altero subiecto reddidisse, regem — poena non mediocri affecisse narratur.*

**529.** Plinius H. N. 18, 12, 1. *Hae fuere sententiae Alexandro magno regnante, quum clarissima fuit Graecia atque in toto orbe terrarum potentissima, ita tamen ut ante mortem eius annis fere 145 Sophocles poeta in fabula Triptolemo frumentum Italicum ante cuncta laudaverit, ad verbum translata sententia*

*Et fortunatam Italiam frumento canere candido.*

**530.** Sophoclis Triptolemi meminit Strabo 1. p. 27. ubi docet Homerum in Geographicis accuratiorem esse serioribus poetis, Καὶ γὰρ εἰ μηδὲν ἄλλο, τόν γε Τριπτόλεμον τοῦ Σοφοκλέους, ἢ τὸν ἐν ταῖς Βάκχαις Εὐριπίδου πρόλογον ἐπελθόντα καὶ παραβαλόντα τὴν Ὁμήρου περὶ τὰ τοιαῦτα ἐπιμέλειαν, ῥᾳον ἦν αἰσθέσθαι τὴν ἐπιβολὴν ἢ τὴν διαφοράν. — ὁ μὲν τὸν Διόνυσον ἐπιόντα τὰ ἔθνη φράζων, ὁ δὲ τὸν Τριπτόλεμον τὴν κατασπειρομένην γῆν, τὰ μὲν πολὺ διεστῶτα συνάπτουσιν ἐγγύς, τὰ δὲ συνεχῆ διασπῶσι.

**531.** Athenaeus 2. p. 67c. Μνημονεύει Σοφοκλῆς Τριπτολέμῳ τοῦ ταριχηροῦ γάρου. Versus integer apud Pollucem 6, 65.

Οὐδ' ἡ τάλαινα δοῦσα ταριχηροῦ γάρου.

Herodianus Piersoni p. 437. Ὁ γάρος ἀρσενικῶς — Σοφοκλῆς. Tetrametrum restitui voluit Meinek. Com. vol. 2. p. 178. οὐδὲν ἡ τάλαινα δοῦσα τοῦ ταριχηροῦ γάρου, senarium Bergkius σὺ δ' ἡ τάλαινα δὸς ταριχηροῦ γάρου.

**532.** Athenaeus 3. p. 110e. Ὀρίνδου δ' ἄρτου μέμνηται Σοφοκλῆς ἐν Τριπτολέμῳ, ἤτοι τοῦ ἐξ ὀρύζης γινομένου, ἢ ἀπὸ τοῦ ἐν Αἰθιοπίᾳ γιγνομένου σπέρματος, ὅ ἐστιν ὅμοιον σησάμῳ. Hesychius, Ὀρίνδην: ἄρτον παρὰ Αἰθίοψι. καὶ σπέρμα παραπλήσιον σησάμῃ.

**533.** Athenaeus 10. p. 447b. Τὸν δὲ κρίθινον οἶνον καὶ βρῦτον τινὲς καλοῦσιν, ὡς Σ. ἐν Τριπτολέμῳ

Βρῦτον δὲ τὸν χερσαῖον οὐ δυεῖν (?).

**534.** Harpocratio, Μελίνη; ὀσπρίου ἐστὶ σπέρμα, καὶ ἀρσενικῶς λέγουσι· θηλυκῶς δὲ Σ. Τριπτολέμῳ "Κνήμη μελίνης." Eadem, sed omissis poetae verbis, Photius p. 255, 24. et Suidas s. v. Μελίνη. Mirum κνήμη (in libris nonnullis μνήμου scriptum), pro quo Nauckius κνήκου coniecit, collato Hesychio, Κνῆκος: — εἶδός τι σπέρματος. καὶ πυρός.

**535.** Scholiasta Pindari Olymp. 10, 1. Σοφοκλῆς ἐν Τριπτολέμῳ



Θὲς δ' ἐν φρενὸς δέλτοισι τοὺς ἐμοὺς λόγους.

Θὲς δ' ἐν] οὐδ' αἱ cod. Vratisl.: unde Meinekius σὺ δ' ἐν.

**536?** Schol. Euripidis Troad. v. 218. Τινές φασι καὶ τὴν Ῥώμην καὶ τὴν Καρχηδόνα ἐπὶ τῆς πρώτης ὀλυμπιάδος κτισθῆναι, Σοφοκλῆς δὲ ἐπὶ τῶν καιρῶν Τριπτολέμου οἰκισθῆναι τὴν Καρχηδόνα, ἐν οἷς φησι

Καρχηδόνος δὲ κράσπεδ', ἣν ἀσπάζομαι.

Codex Vaticanus κράσπεδ' ... ἀσπάζομαι. Addidi ἣν cum Bergkio. Codex Neapol. ex Vaticano descriptus κρασπεδες (δ cum compendio syllabae ες) ἀσπάζομαι, unde Cobetus parum probabiliter

Καρχηδόνος δὲ κράσπεδ' ἔστ'. B. ἀσπάζομαι.

**537.** Scholiasta Sophoclis Oedip. Col. 504. Χρῆσται: χρείη ἔσται, κατὰ συναλιφήν, χρῆσται, ἀντὶ τοῦ χρείη ἔσται. δηλοῦται δὲ ταυτὸν τῷ δεήσει. καὶ ἐν Τριπτολέμῳ

Χρῆσται δέ σ' ἐνθένδ' αὖτις (corr. αὖθις) —.

Fallitur grammaticus de synaloepha ex χρείη ἔσται cogitans. Vera scriptura est χρῆ'σται, ut χρεὼν ἐστι et χρεὼν ἔσται dicitur: de quo dixi in annotatione ad Oed. Col. 504.

**538.** Etymolog. M. p. 395, 11. Πλίσσεσθαι τὸ βάδην διαβαίνειν, καὶ πλίγμα τὸ διάστημα τῶν ποδῶν. Σ. Τριπτολέμῳ

Δράκοντε θαιρὸν ἀμφιπλὶξ εἰληφότε.

περιβάδην. Vulgo δ' αἶρον et δράκοντα — εἰληφότες. ἀμφιπλὶξ ex Triptolemo memorant schol. Aristoph. Ach. v. 217. Suidas s. v. περιβάδην et πλίξ, Gregor. Cor. p. 548. ubi Koenius "Apud Etymolog. MS. Leidens. σοφοκλῆς, οἷον. δράκοντα δ' αἶρον ἀμφιπλὶξ εἰληφότε, pro edito εἰληφότες. Illud propius abest a Pollucis lectione 2, 172. θαιρὸν ἀμφιπλὶξ εἰληφότα. — Verior Sophoclis lectio est apud Rufum Ephes. de partib. homin. p. 32. δράκοντε θαιρὸν ἀ. εἰληφότε." Hesychius, Θαιρός: ὁ διήκων ἀπὸ τοῦ ἄνω μέρους ἕως κάτω στροφεὺς τῆς θύρας, ἢ ἄξων. Σ. Τριπτολέμῳ. Eustathius p. 914, 33. Ἐν δὲ ῥητορικῷ λεξικῷ εὕρηται καὶ ὅτι θαιρὸς ὁ ἄξων παρὰ Σοφοκλεῖ.

**539.** Hesychius, Δαίς: Σοφοκλῆς

Ἦλθεν δὲ δαὶς θάλεια, πρεσβίστη θεῶν.

ἡ δι' ἐράνων εὐωχία. ἔνιοι δὲ τὰς Μούσας. Τριπτολέμῳ. Codex θηλει . . Correxit Kusterus.

**540.** Hesychius, Ἄμαλλα: δράγματα, δέσμη (δέσμει codex, quod etiam δέσμαι esse potest) τῶν ἀσταχύων. Σ. Τριπτολέμῳ.

**541.** Pollux 10, 79. Τὴν δὲ ἀπύθμενον κύλικα ἐν Τριπτολέμῳ Σ. ἀπυνδάκωτον ὠνόμασεν

Ἀπυνδάκωτος οὐ τραπεζοῦται κύλιξ.

Sine poetae nomine attulerunt Demetrius περὶ ἑρμηνείας cap. 114. et schol. Homeri Il. 11, 634. in Crameri Anecd. Paris. vol. 3. p. 16, 11. et spectant ad hunc versum Hesychius s. v. ἀπυνδάκωτος et Suidas s. v. πύνδαξ.

**542.** Hesychius, Ἀφράδμων: ἀσύνετος, ἀμαθής. Σ. Τριπτολέμῳ. Grammaticus Bekkeri p. 472, 13. Ἀφράσμων: ἀσύνετος. Σοφοκλῆς. Formam Ἀφράσμων apud Hesychium postulat ordo literarum.

**543.** Antiatticista p. 92, 1. Εἰς ὀρθὸν φρονεῖν; ἀντὶ τοῦ καλῶς φρονεῖν. Σ. Τριπτολέμῳ. Priscianus 18, 202. p. 305, 16. ed. Hertz. "*Illi* εἰς ὀρθὸν φρονῶ *et* εἰς ταύτην πρόθεσιν."

**544.** Hesychius, Ἕλκη: λῦπαι. Σ. Τριπτολέμῳ.

**545.** Antiatticista p. 97, 33. Ζευγηλάτης: Σ. Τριπτολέμῳ.

**546.** Ἴαννα: vide fragm. 54.

**547.** Hesychius, Ἰλλυρὶς γονή: ἀντὶ τοῦ Ἰλλυρὶς γενεά. γράφεται δὲ καὶ γυνή. ὁ δὲ Καλλίστρατος γύη ἀντὶ τοῦ γῆ. χρῶνται γὰρ οὕτως. Σ. Τριπτολέμῳ. Callistratus quum γύη coniiceret, non cogitavit tragicos non τὴν γύην, sed τὸν γύην dicere.

## ΤΡΩΙΛΟΣ.

Scholiasta Hom. Iliad. 24, 257.: ἡ διπλῆ, ὅτι ἐκ τοῦ εἰρῆσθαι ἱππιοχάρμην τὸν Τρωΐλον οἱ νεώτεροι ἐφ' ἵππου διωκόμενον ὑποτίθενται· et, Ἐντεῦθεν Σοφοκλῆς ἐν Τρωΐλῳ φησὶν αὐτὸν ὀχευθῆναι ὑπὸ Ἀχιλλέως ἵππους γυμνάζοντα παρὰ τὸ Θυμβραῖον καὶ ἀποθανεῖν. Eustathius: Ὅν φασιν ἵππους ἐν τῷ Θυμβραίῳ γυμνάζοντα λόγχῃ πεσεῖν ὑπὸ Ἀχιλλέως. Ex quibus Welckerus p. 124. illud ὀχευθῆναι in λογχευθῆναι mutavit. φονευθῆναι coniecerat Heynius. Τρωΐλον comoediam scripsit Strattis: unde Meinekius Hist. com. p. 233. versum ex illa comoedia allatum ἢ μήποτ', ὦ παῖ Ζηνὸς, ἐς ταυτὸν μόλῃς ex Sophoclis tragoedia sumtum esse coniecit. Ex fragmentis nihil quod satis certum sit de compositione totius fabulae colligi potest. Tentavit tamen Welckerus p. 124—129.

**548.** Schol. Pindari Nem. 3, 60. Περὶ δὲ τῆς μεταμορφώσεως τῆς Θέτιδος καὶ Σ. φησιν ἐν Τρωΐλῳ

Ἔγημεν ὡς ἔγημεν ἀφθόγγους γάμους,
τῇ παντομόρφῳ Θέτιδι συμπλακείς ποτε.

παντομόρφῳ Heathius pro πανταμόρφῳ. Similiter Θέμις καὶ Γαῖα πολλῶν ὀνομάτων μορφὴ μία ab Aeschylo dicta est Prom. 210. De Thetidis μεταμορφώσεσι vid. Pind. Nem. 4, 62. Apollodor. 3, 13, 5. Pausan. 5, 18, 5.

**549.** Pollux 10, 165. Ξίφους δὲ ὄνομα ἔοικεν εἶναι βαρβαρικὸν ἡ σκάλμη, Σ. εἰπόντος ἐν Τρωΐλῳ

Σκάλμη γὰρ ὄρχεις βασιλὶς ἐκτέμνουσ' ἐμούς.

Correxi accentum σκαλμή et σκαλμῇ. V. Arcad. p. 110, 2.

**550.** Hesychius, Ἀμάσεται: ἀπὸ τῆς ἀμήσεως (ἄμης Nauckius), οἱονεὶ σφάξει (codex σφάξαι). Σ. Τρωΐλῳ. Verbum suspectum.

**551.** Scholiasta Pindari Pyth. 2, 121. Σοφοκλῆς ἐπὶ τοῦ Τρωΐλου

Τὸν ἀνδρόπαιδα δεσπότης ἀπώλεσα.

παῖδα μὲν τῇ ἡλικίᾳ, ἄνδρα δὲ τῷ φρονήματι. δεσπότης] δεσπότην Blomfieldus. Hesychius, Ἀνδρόπαις: ἀνδρούμενος ἤδη παῖς, ἢ ἀνδρὸς φρόνησιν ἔχων παῖς. Σ. Τρωΐλῳ. Ἀνδρόπαις ἀνήρ Aesch. Sept. 533.

**552.** Hesychius, Ἀπέσκη: τόξον (τόξα recte Ellendtius) ἀπέσκη. ἔνιοι δὲ γυμνὰ θήκαις τόξα. Σ. Τρωΐλῳ. Corrige θήκης ex Bekkeri Anecd. p. 422. 33. Ἀπέσκη: γυμνὰ θήκης τόξα. Rectum accentum ἀπεσκῆ restituit Schmidtius.

**553.** Hesychius, Ἄπιστος: ἀπαράπιστος, ἀπειθής. Σ. Τρωΐλῳ. Recte Ἄπειστος: ἀπαράπειστος Nauckius, collata Lobeckii annot. ad Soph. Ai. p. 139. Quam certam esse emendationem ostendit adiectivum ἀπαράπιστος, quod nihili est.

**554.** Hesychius, Ἄσας: βλάψας, ἔβλαψας. Σ. Τρωΐλῳ. ἔβλαψας recte delere videtur Nauckius.

**555.** Hesychius, Ἀσόλοικον: ἥμερον, προσηνὲς, οὐ βάρβαρον. Σ. Τρωΐλῳ.

**556.** Hesychius, Ἐλαιοῦται θρίξ: Σ. Τρωΐλῳ. Ἀρίσταρχος, ῥυπαίνεται. βέλτιον δὲ, λαμπρύνεται.

**557.** Hesychius, Ἕρκη: ὅπλα. Σ. Τρωΐλῳ.

**558.** Ἰαί: vide fragm. 54. Hesychius, Ἰήιος: — ἀλλὰ καὶ θρῆνον σημαίνει, ὡς Σ. Τρωΐλῳ.

**559.** Hesychius, Καταρβύλοις χλαίναις: ποδήρεσιν, ὥστε καὶ ἐπὶ τὰς ἀρβύλας χαλᾶσθαι. Σ. Τ. Huc fortasse referenda glossa Καθάρβυλος.

**560.** Etymolog. M. p. 597, 44. Ναρόν: τὸ ὑγρόν. — Σ. Τρωΐλῳ

Πρὸς ναρὰ δὲ κρηναῖα χωροῦμεν ποτά.

Conf. Orionem p. 110, 3. Etym. Gud. p. 627, 14. et Havn. in Sturzii annot. 1. p. 978. Pro δὲ scribendum δή, aut καὶ ex cod. Veneto Gaisfordi.

**561.** Ὀροσάγγαι: vide fragm. 193.

**562a.** Photius p. 497, 3. et Anecd. Bachmanni vol. 1. p. 361, 9. Σακοδερμίτης (σακοδερμήτης ap. Bachm.): Σ. Τρωΐλῳ. οἱ μὲν τὸν ὄφιν, οἱ δὲ σκώληκα τὰ δέρματα διεσθίοντα. ἄμεινον δὲ τὸν ἐπὶ τῷ δέρματι χαλκὸν ἔχοντα, παρ' ὅσον τὰ σάκη ἐπίχαλκα. Conf. Hesychium in σακοδερμιστής et fragm. 397.

**562b.** Suidas s. v. Ἐμασχαλίσθη: Σοφοκλῆς ἐν Τρωΐλῳ πλήρη μασχαλισμάτων εἴρηκε τὸν μασχαλισμόν, καὶ ἐν Ἠλέκτρᾳ. Verba καὶ ἐν Ἠλέκτρᾳ spectant ad ἐμασχαλίσθη, quod legitur Electr. 445. Harlesius in Praefat. ad Fabricii B. Gr. vol. 2. p. XVI. ex schedis Siebenkeesii protulit "Electra et Troilus citantur in MS. Angelicae bibliothecae "μασχαλισθήσῃ ποτέ."

**562c.** Plato Rep. 8. p. 566. τί δ' οὐ μέλλει; ad quem locum schol. p. 417. ed. Bekk. μέλλει: ἔοικεν, φαίνεται, δοκεῖ, ὡς νῦν. παρὰ δὲ Σοφοκλεῖ ἐν Τρωΐλῳ μένει. Hesychius, Μέλλει: φαίνεται, ἔοικε, δοκεῖ. ἢ μένει.

## ΤΥΜΠΑΝΙΣΤΑΙ.

"Eiusdem tituli comoediam scripsit Autocrates: v. Meinek. Com. vol. 1. p. 270. vol. 2. p. 891. De argumento non constat. Fuerunt qui huc referrent glossam Hesychii, Κομίζεται: νομίζεται, λέγεται. ὅπερ ἐστὶν ἐν (ἡ codex) Τυμπανιστρίαις." Nauck-Welckeri de hac fabula coniecturam ad Phinei fragmenta memorabimus.

**563.** Stobaeus 59, 12.

Φεῦ φεῦ, τί τούτου χάρμα μεῖζον ἂν λάβοις
τοῦ γῆς ἐπιψαύσαντα κᾆθ' ὑπὸ στέγῃ
πυκνῆς ἀκοῦσαι ψακάδος εὑδούσῃ φρενί;

V. 1. affert Plutarchus V. Aemilii Pauli c. 1. p. 255c. 2. Cicero Ep. ad Atticum 2, 7. *Cupio istorum naufragia ex terra intueri: cupio, ut ait tuus amicus Sophocles*, κἂν ὑπὸ στέγῃ πυκνῆς ἀκούειν ψεκάδος εὑδούσῃ φρενί. V. 1. Φεῦ φεῦ om. Stobaeus. λάβοις] ποτὲ addit Stobaeus. 2. κᾆθ'] καὶ Stobaeus. κἂν Cicero.

**564.** Stephanus s. v. Χαλδαῖοι. — Εἰσὶ δὲ Χαλδαῖοι ἔθνος πλησίον τῆς Κολχίδος. Σ. Τυμπανισταῖς

Κόλχος τε Χαλδαῖός τε καὶ Σύρων ἔθνος.

**565.** Scholiasta Sophoclis Antig. v. 980. Φινεὺς — μετὰ τὸν Κλεοπάτρας θάνατον ἐπέγημεν Ἰδαίαν τὴν Δαρδάνου, κατὰ δέ τινας Εἰδοθέαν τὴν Κάδμου ἀδελφήν, ἧς καὶ αὐτὸς Σοφοκλῆς μνημονεύει ἐν Τυμπανισταῖς.

**566.** Hesychius, Ἄδημον: οὐκ ἔνδημον ὄντα. Σ. Τυμπανισταῖς.

**567.** Hesychius, Ἀνετῶς: ἀνατεταμένως. Σ. Τυμπανισταῖς.

**568.** Hesychius, Ἀντιστρέφω: ἀνταξιῶ. Σ. Τυμπανισταῖς.

**569.** Etymolog. M. p. 287, 14. Δράκαυλος: Σ. Τυμπανισταῖς. ἐπεὶ ἡ Ἀθηνᾶ δοκεῖ παρ' αὐταῖς αὐλίσαι τὸν δράκοντα ταῖς Κέκροπος θυγατράσιν. ἢ ὅτι συναυλίζονται κατὰ τὸ εἰκὸς Κέκροπι ὄντι διφυεῖ,

ἢ ὅτι συναυλίζεται μία τῷ ἐν τῇ ἀκροπόλει δράκοντι, προσημερεύουσα τῇ θεῷ. Conf. Hesychium et Suidam.

**570.** Ἔλυμοι αὐλοί: vide fragm. 398.

**571.** Herodianus περὶ μονήρους λέξεως p. 9, 9. Σαρπηδὼν πέτρα παρὰ Σοφοκλεῖ — ἐν Τυμπανισταῖς

Ἡμεῖς δ' ἐν ἄντροις, ἔνθα Σαρπηδὼν πέτρα.

ἄντροις] ἄστροις codex. Correxit Bergkius.

## ΤΥΝΔΑΡΕΩΣ.

Fabula ab solo memorata Stobaeo, qui personam loquentis pro fabulae nomine, qui frequens grammaticorum error est, accepisse videtur. Fortasse igitur fragmentum ad Ἀλήτην est referendum, in qua Tyndarei partes fuisse probabilis Welckeri coniectura est p. 216.

**572.** Stobaeus 105, 3.

Οὐ χρή ποτ' εὖ πράσσοντος ὀλβίσαι τύχας
ἀνδρός, πρὶν αὐτῷ παντελῶς ἤδη βίος
διεκπερανθῇ καὶ τελευτήσῃ βίον.
ἐν γὰρ βραχεῖ καθεῖλε κὠλίγῳ χρόνῳ
πάμπλουτον ὄλβον δαίμονος κακοῦ δόσις,
ὅταν μεταστῇ καὶ θεοῖς δοκῇ τάδε.

V. 2. βίος] χρόνος Blomfieldus. 4. κὠλίγῳ] κὀλίγῳ Vindob. κἂν ὀλίγῳ A. καὶ ὀλίγῳ Scor. Eusebius Demonst. Ev. 3. p. 89a. οἱ ἐν ὀλίγῳ καὶ βραχεῖ χρόνῳ τὴν πᾶσαν περιδραμούμενοι οἰκουμένην. 5. πάμπλουτον Gesnerus pro πᾶν πλοῦτον.

## ΤΥΡΩ Α. Β.

Fabulam de Tyrone narrat Apollodorus 1, 9, 8. Ποσειδῶν εἰκασθεὶς Ἐνιπεῖ συγκατεκλίθη αὐτῇ (Τυροῖ), ἡ δὲ γεννήσασα κρύφα διδύμους παῖδας ἐκτίθησιν — ἱπποφορβὸς ἀμφοτέρους τοὺς παῖδας ἀνελόμενος ἔθρεψε καὶ τὸν μὲν — Πελίαν ἐκάλεσε, τὸν δὲ ἕτερον Νηλέα. τελειωθέντες δὲ ἀνεγνώρισαν τὴν μητέρα καὶ τὴν μητρυιὰν ἀπέκτειναν Σιδηρώ· κακουμένην γὰρ γνόντες ὑπ' αὐτῆς τὴν μητέρα ὥρμησαν ἐπ' αὐτήν, ἡ δὲ φθάσασα εἰς τὸ τῆς Ἥρας τέμενος κατέφυγε, Πελίας δὲ ἐπ' αὐτῶν τῶν βωμῶν αὐτὴν κατέσφαξε. De ἀναγνωρίσει illa v. Fragm. 575. 576. De persona Tyronis Pollux 4, 141. ubi describit tragicas personas, Τυρὼ πελιδνὴ τὰς παρειὰς παρὰ Σοφοκλεῖ. Dixit de hac fabula Welckerus p. 312.—316. recteque monuit Τυρὼ δευτέραν, quae in locis aliquot grammaticorum memoratur, non diversam fabulam, sed retractatam prioris editionem fuisse. De quo fabularum genere diximus ad Athamantis fragm. 1. Ad alteram editionem quum Aristophanes in Avibus respexisse dicatur (v. Fragm. 578.), ante olymp. 91, 3. editam fuisse liquet.

**573.** Aristoteles de Rhetorica 2, 25. Ἄλλος τόπος, τὸ ἀπὸ τοῦ ὀνόματος κατηγορεῖν, οἷον ὡς ὁ Σοφοκλῆς

Σαφῶς Σιδηρὼ καὶ φοροῦσα τοὔνομα.

Sidero Tyronis noverca. Scholiasta Aristot. fol. 47a, 16: Ἃ φησιν ὁ βιάζων πρὸς τὴν Σιδηρώ

Αὕτη δὲ μάχιμός ἐστιν ὡς κεχρημένη
σαφῶς σιδήρῳ καὶ φέρουσα τοὔνομα.

Eustathius p. 158, 24. Κατὰ τὴν παροιμιαζομένην Σιδηρὼ θρασεῖαν ἐκείνην γυναῖκα φορεῖν τὸ οἰκεῖον ὄνομα. Φέρουσι τοὔνομα, non φοροῦσι, est in Oed. Col. 60.

**574.** Aristophanes Lysistrata v. 138.

Οὐκ ἐτὸς ἀφ' ἡμῶν εἰσιν αἱ τραγῳδίαι·
οὐδὲν γάρ ἐσμεν πλὴν Ποσειδῶν καὶ σκάφη.

ubi scholiasta, Εἰς τὴν Σοφοκλέους δὲ Τυρὼ ταῦτα συντείνει, ἐκθεῖσαν τὰ τέκνα εἰς σκάφην. Alius: Εἰς τὴν Τυρὼ δὲ Σοφοκλέους αἰνίττεται καθεῖσαν τὰ τέκνα εἰς σκάφος — ὁ γὰρ Ποσειδῶν ἐμίγη Τυροῖ, καὶ ἐγέννησε Νηλέα καὶ Πελίαν.

**575. 576.** Scholiasta Euripidis ad Orestem in fine: Ἡ κατάληξις τῆς τραγῳδίας ἢ εἰς θρῆνον, ἢ εἰς πάθη καταλύει, ἡ δὲ τῆς κωμῳδίας εἰς σπονδὰς καὶ διαλλαγάς. ὅθεν ὁρᾶται τόδε τὸ δρᾶμα κωμικῇ καταλήξει χρησάμενον· διαλλαγαὶ γὰρ πρὸς Μενέλαον καὶ Ὀρέστην. ἀλλὰ καὶ ἐν τῇ Ἀλκήστιδι ἐκ συμφορῶν εἰς εὐφροσύνην καὶ ἀναβιοτήν, καὶ ὁμοίως καὶ ἐν Τυροῖ (Τύροις codices tres) Σοφοκλέους ἀναγνωρισμὸς κατὰ τὸ τέλος γίνεται. (κατὰ τὸ ἀναγνώρισμα γέλως γ. Tyrwhitt ad Aristot. Poet. c. 26.) Aristoteles de Poetica cap. 16. Εἴδη δὲ ἀναγνωρίσεως, πρώτη μὲν ἡ διὰ σημείων. τούτων δὲ τὰ μὲν σύμφυτα, τὰ δὲ ἐπίκτητα· καὶ τούτων τὰ μὲν ἐν τῷ σώματι, οἷον οὐλαί· τὰ δὲ ἐκτός, τὰ περιδέραια. καὶ οἷον ἐν τῇ Τυροῖ διὰ τῆς σκάφης.

**577.** Scholiasta Aeschyli Prom. 128. Μηδὲν φοβηθῇς· φιλία γὰρ ἥδε τάξις] ὁ ῥυθμὸς Ἀνακρεόντειός ἐστι κεκλασμένος πρὸς τὸ θρηνητικόν. — ἐχρῶντο δὲ αὐτοῖς οὐκ ἐν παντὶ τόπῳ, ἀλλ' ἐν τοῖς θρηνητικοῖς, ὡς καὶ Σοφοκλῆς Τυροῖ β'.

**578.** Scholiasta Aristophanis Avium v. 276. Ἔξεδρον χώραν ἔχων: ἐκ τῆς Σοφοκλέους δευτέρας Τυροῦς ἀρχή

Τίς ὄρνις οὗτος ἔξεδρον χώραν ἔχων;

Conf. Herodian. p. 435. ed. Piers. ἔξεδρος . . . καὶ μὴ ἔστω πῶς ὢν εἰς ἡμᾶς ἔξεδρον χώραν . . . . ἐν σατύροις. Quorum extrema Nauckius sic corrigit, ἔξεδρον χώραν ἔχων· Σοφοκλῆς ἐν Τυροῖ.

**579.** Athenaeus 3. p. 99 f. Σοφοκλῆς τε ἐν Τυροῖ

Σίτοισι παγχόρτοισιν ἐξενίζομεν.

Σίτοισι Porsonus pro οἷ τοῖσι.

**580.** Athenaeus 11. p. 475a. Μνημονεύει δὲ τῶν καρχησίων καὶ — Σοφοκλῆς Τυροῖ

Προστῆναι μέσην
τράπεζαν ἀμφὶ σῖτα καὶ καρχήσια.

πρὸς τὴν τράπεζαν φάσκων προσεληλυθέναι τοὺς δράκοντας, καὶ γενέσθαι περὶ τὰ σιτία καὶ τὰ καρχήσια. Proferuntur haec etiam a Macrobio Saturn. 5, 21. ex quo σῖτα restitutum pro σιτία τά. Apud eundem πρὸς ΓΗΝΔΕΙΜΙ ΤΡΑΠΕΖΑ, unde προσπτῆναι μέσην τράπεζαν Bergkius.

**581.** Stobaeus 20, 29.

Πόλλ' ἐν κακοῖσι θυμὸς εὐνηθεὶς ὁρᾷ.

**582.** Stobaeus 46, 6.

Ἄκων δ' ἁμαρτὼν οὔ τις ἀνθρώπων κακός.

**583a.** Stobaeus 87, 3.

Πολλῶν δ' ἐν πολυπληθίᾳ πέλεται
οὔτ' ἀπ' εὐγενέων ἐσθλὸς οὔτ' ἀχρείων
τὸ λίαν κακός· βροτῷ δὲ πιστὸν οὐδέν.

Non potuerunt haec sic ab Sophocle scribi. ἀχρείων τὸ] ἀχρείων ἄπο Iacobsius. τὸ λίαν] πάλιν Meinekius.

**583b.** Stobaeus 105, 21. Σοφοκλῆς Τυροῖ (sic codices: Τηρεῖ Trincav.)

Μήπω μέγ' εἴπῃς πρὶν τελευτήσαντ' ἴδῃς.

Sine nomine poetae et fabulae affertur ab Cicerone Epist. ad Atticum 4, 8. (ubi libri nonnulli μέγαν, ut apud Stobaeum), schol. Homeri Il. 8, 5., Ioanne Chumno Epist. 5. in Boisson. Anecd. nov. p. 215. Alludunt ad hunc versum quos Nauckius indicavit, Plutarchus Mor. p. 184b., ubi μὴ σπεῦδε γῆμαι, πρὶν τελευτήσαντ' ἴδῃς, et Gregor. Naz. vol. 2. p. 157d.

μηδὲν μέγ᾽ εἴπῃς εὐπλοῶν πρὸ πείσματος, et p. 6 b. μηδὲν μέγ᾽ εἴπῃς συντόμως ἄνθρωπος ὤν.

**584.** Stobaeus 99, 99.

Τίκτουσι γάρ τοι καὶ νόσους δυσθυμίαι.

Antiatticista p. 89, 19. Δυσθυμία: Σ. Τυροῖ.

**585.** Stobaeus 109, 2. Σοφοκλέους Τυροῦς β'.

Μὴ σπεῖρε πολλοῖς τὸν παρόντα δαίμονα·
σιγώμενος γάρ ἐστι θρηνεῖσθαι πρέπων.

V. 2 πρέπων B. πρέπον ceteri. πλέον Trincav.

**586.** Stobaeus 115, 8.

Γῆρας διδάσκει πάντα καὶ χρόνου τριβή.

**587. 588.** Aelianus de N. A. 2, 10. Μάλιστα δὲ κομῶσα ἵππος ἁβρότατόν τέ ἐστι καὶ θρυπτικώτατον. ἀτιμάζει γοῦν ἀναβῆναι τοὺς ὄνους αὐτήν, ἵππῳ δὲ γαμουμένη ἥδεται, καὶ ἑαυτὴν ἀξιοῖ τῶν μεγίστων. ὅπερ οὖν συνειδότες οἱ βουλόμενοι ἡμιόνους σφίσι γενέσθαι, ἀποθρίσαντες τῆς ἵππου τὴν χαίτην εἰκῆ καὶ ὡς ἔτυχεν, εἶτα μέντοι τοὺς ὄνους ἐπάγουσιν· ἡ δὲ ὑπομένει τὸν ἄδοξον ἤδη γαμέτην, πρῶτον (πρότερον Herch.) αἰδουμένη. καὶ Σοφοκλῆς δὲ ἔοικε μεμνῆσθαι τοῦ πάθους. Cf. Plut. Mor. p. 754 a.) Morem equas tondendi, quo facilius asinos admittant, tangit rursus 12, 16. versusque Sophoclis profert 11, 18. Θήλειαν δὲ ἵππον εἰς ἀφροδίσια λυττήσασαν πάνυ σφόδρα παῦσαι ῥᾳδίως ἔστιν, ὡς Ἀριστοτέλης λέγει, εἴ τις αὐτῆς ἀποκείρειε τὰς κατὰ τοῦ τένοντος τρίχας. αἰδεῖται γάρ, καὶ οὐκ ἀτακτεῖ, καὶ παύεται τῆς ὕβρεως καὶ τοῦ σκιρτήματος τοῦ πολλοῦ, κατηφήσασα ἐπὶ τῇ αἰσχύνῃ. τοῦτό τοι καὶ Σοφοκλῆς αἰνίττεται ἐν τῇ Τυροῖ τῷ δράματι. πεποίηται δέ οἱ αὕτη λέγουσα, καὶ ἃ λέγει ταῦτά ἐστι

Κόμης δὲ πένθος λαγχάνω πώλου δίκην,
ἥτις συναρπασθεῖσα βουκόλων ὕπο
μάνδραις ἐν ἱππείαισιν ἀγρίᾳ χερὶ
θέρος θερισθῇ ξανθὸν αὐχένων ἄπο,
σπασθεῖσα δ᾽ ἐν λειμῶνι ποταμίων ποτῶν
ἴδῃ σκιᾶς εἴδωλον αὐγασθεῖσ᾽ ὑπὸ
κουραῖς ἀτίμως διατετιλμένης φόβης.
φεῦ, κἂν ἀνοικτίρμων τις οἰκτείρειέ νιν
πτήσσουσαν αἰσχύναισιν οἷα μαίνεται
πενθοῦσα καὶ κλάουσα τὴν πάρος φόβην.

V. 3. μάνδραις ἐν Brunckius pro μάνδραισιν. 5. σπασθεῖσα] πλαθεῖσα Reiskius. 6. αὐγασθεῖσ᾽ ὑπὸ] αὐγασθεῖσά που Meinekius. 9. αἰσχύναισιν] αἰσχύνῃσιν libri. 10. κλάουσα scripsi pro κλαίουσα.

**589.** Photius p. 17, 7. Ἐρρηνοβοσκός: ὁ προβατοβοσκὸς ἐν Τυροῖ β' Σοφοκλέους. ἴσως ἀπὸ τοῦ ἀρήν. Conf. Etymolog. M. p. 377, 22. ubi illud ἴσως ἀπὸ τοῦ ἀρήν non legitur. Hesychius Ἀρηνοβοσκός: προβατοβοσκός. Σ. Τυροῖ. καὶ γράφεται δὲ ἐρρηνοβοσκός. Eustath. p. 799, 36. ἀρηνοβοσκός, ὁ π. κατὰ Παυσανίαν — ἐν δὲ ἀνωνύμῳ ῥητορικῷ λεξικῷ καὶ ἐρενοβοσκός ὁ αὐτὸς φέρεται διὰ τοῦ ε̄.

**590. 591.** Hesychius, Ἔχθιμα: μισήματα. Σ. Τυροῖ. Codex τυράννοις, correctum ab Piersono ad Moeridem p. 436. recte, nisi quod fortasse Τυροῖ ά scribere debebat, ut Nauckius. Ἔχθιμα autem vitiose scriptum videtur pro ἐχθήματα. Idem Hesychius, Καρπομανής: εἰς κόρον ἐξυβρίζουσα. Σ. τυριλάω.
αι
Fortasse Τυροῖ β (δευτέρᾳ) vel ᾱ, vel Τρωίλῳ.

**592.** Antiatticista p. 98, 11. Ἤνεγκον: ἐπὶ πρώτου προσώπου. Σ. Τυροῖ (adde Oed. Col. 521.), Ἀριστοφάνης Θεσμοφοριαζούσαις (743.)

**593.** Hesychius, Θεανὴ νῆσος: ἡ ἐκ θεοῦ θεία. Σ. Τυροῖ ά. (τυροία ροιτοῦ codex). νῆσος ex νόσος corruptum esse vidit Sopingius, sed non vidit totam glossam sic esse in ordinem redigendam, Θεία νόσος: ἡ ἐκ θεοῦ. Σ. Τ. ά. Θεία νόσος legitur etiam Ai. 136. et Antig. 421. Haec monui in Thesauro vol. 4. p. 275.

**594.** Etymolog. M. p. 747, 49. Ταυροφάγον: τὸν Διόνυσον. Σοφοκλῆς ἐν Τυροῖ, ὅτι τοῖς τὸν διθύραμβον νικήσασι βοῦς ἐδίδοτο. ἢ τὸν ὠμηστήν. Conf. schol. Aristoph. Ranar. v. 360. Photium p. 571, 13. et Suidam in Ταυροφάγον.

## ΥΒΡΙΣ (ΣΑΤΥΡΙΚΗ.)

**595.** Stobaeus 26, 3. Σ. Ὕβρεως σατύρου

Λήθην τε τὴν ἅπαντ᾽ ἀπεστερημένην
κωφήν, ἄναυδον.

ἅπαντ᾽ Wagnerus pro πάντ᾽.

**596.** Athenaeus 14. p. 657 a. Δέλφακα δὲ ἀρσενικῶς εἴρηκε Σ. Ὕβρει "Ἐσθίειν ἐθέλων (θέλων?) τὸν δέλφακα."

## ΥΔΡΟΦΟΡΟΙ.

Aeschyli tragoedia fuit Σεμέλη ἢ Ὑδροφόροι, de qua scholiasta Apollonii Rh. 1, 636. τὴν Σεμέλην Θυώνην καλοῦσιν, ἐπειδὴ Αἰσχύλος ἔγκυον αὐτὴν παρεισήγαγεν οὖσαν καὶ ἐνθεαζομένην, ὁμοίως δὲ καὶ τὰς ἐφαπτομένας τῆς γαστρὸς αὐτῆς ἐνθεαζομένης. Ex his et Apollodori (3, 4, 3.) et Hygini (Fab. 179.) narrationibus de Semele natoque ex ea Dionyso idem et Aeschyleae et Sophocleae fabulae argumentum fuisse recte, ut videtur, coniecit Welckerus.

**597.** Scholiasta Sophocl. Antig. v. 1. Τὸ δὲ κοινὸν ὁ Σοφοκλῆς συνεχῶς ἐπὶ τοῦ ἀδελφοῦ τίθησιν, οἷον καὶ ἐν ταῖς Ὑδροφόροις τέταχεν "Πολύκοινον Ἀμφιτρίταν" ἀντὶ τοῦ πολυάδελφον. Attulit Hesychius s. v. κοινός, ubi Ἀμφιτρίτην.

**598.** Schol. Sophocl. Philoct. v. 1199. Ἐν Ὑδροφόροις τὸν Διόνυσον εἶπε Βακχᾶν ἀντὶ τοῦ Βακχευτάν.

**599.** Photius p. 366, 13. Ὄχος Ἀκεσσαῖος: ἐδόκουν αἱ Σικελικαὶ ἡμίονοι εἶναι σπουδαῖαι· ἡ γὰρ Ἄκεσσα Σικελικὴ πόλις. Σοφοκλῆς Ὑδροφόροις

Ὄχοις Ἀκεσσαίοισιν ἐμβεβὼς πόδα.

Qui versus in codice traiectus est p. 365, 1. ad glossam Ὄχανον: unde eodem loco habet Suidas. Veram scripturam Ἀκεσταίοισιν restituit Nauckius ex tribus glossis Hesychii, Ἀκεσταῖοι ὄχοι: Σικελικὰ ὀχήματα. Ἀκεσταὶ φρένες ἐσθλῶν: — λέγεται δὲ καὶ ὀχήματα Σικελικὰ, ἀπὸ πόλεως Σικελίας. Ὄχος Ἀκεσταῖος: ἐπεὶ αἱ Σικελικαὶ ἡμίονοι σπουδαῖαι. ἦν δὲ Ἄκεστος Σικελίας. Confirmat Stephanus Byz. Ἀκέστη: πόλις Σικελίας — τὸ ἐθνικὸν Ἀκεσταῖος.

## ΦΑΙΑΚΕΣ.

Argumentum ex Homeri Odyssea sumtum, ut non dubitandum sit quin primariae in hac fabula partes Ulixis fuerint. Fragmenta duo a Brunckio ad Νίπτρα relata (407. 408.) rectius fortasse Phaeacum fabulae adscripsit Welckerus p. 231. 232.

**600. 601.** Antiatticista p. 82, 32. Ἀρτύματα οὐχ ἡδύσματα. Σ. Φαίαξιν. Athenaeus 2. p. 67 f. Ὅτι ἀρτύματα εὕρηται παρὰ Σοφοκλεῖ "Καὶ βορᾶς ἀρτύματα." — τὸ δὲ ῥῆμα κεῖται παρὰ Σοφοκλεῖ "Ἐγὼ μάγειρος ἀρτύσω σοφῶς." Conf. fragm. 305.

**602.** Antiatticista p. 83, 21. Ἀποσημῆναι: ἀντὶ τοῦ δηλῶσαι. Σ. Φαίαξιν.

## ΦΑΙΔΡΑ.

Argumentum idem quod in Hippolyto tractavit Eu-

ripides. Welckero (p. 394—402.) hanc tragoediam eandem esse videri atque Theseum supra diximus.

**603. 604.** Stobaeus Eclog. phys. 1, 6. p. 174. Σ. ἐκ Φαίδρας

α. Ἔζης ἄρ' οὐδὲ γῆς ἔνερθ' ᾤχου θανών;
β. οὐ γὰρ πρὸ μοίρας ἡ τύχη βιάζεται.

Hoc lemma in aliquot codicibus adscriptum est poetae fortasse alius loco ibidem p. 172. "Περιώσι' ἄφυκτά τε μήδεα παντοδαπᾶν βουλᾶν ἀδαμαντίναις ὑφαίνεται κερκίσιν Αἶσα."

**605.** Stobaeus 17, 2.

Οὐ γὰρ δίκαιον ἄνδρα γενναῖον φρένας
τέρπειν, ὅπου μὴ καὶ δίκαια τέρψεται.

V. 2. μὴ καὶ] γε Orion in Gnomologio cod. Vindob. ap. Schneidew. Coniect. crit. p. 49. unde ὅπου γε μὴ Schneidewinus. τέρψεται] τέρπεται Orion.

**606.** Stobaeus 43, 5. et omisso nomine fabulae scholiasta Luciani vol. 2. p. 336.

Οὐ γάρ ποτ' ἂν γένοιτ' ἂν ἀσφαλὴς πόλις,
ἐν ᾗ τὰ μὲν δίκαια καὶ τὰ σώφρονα
λάγδην πατεῖται, κωτίλος δ' ἀνὴρ λαβὼν
πανοῦργα χερσὶ κέντρα κηδεύει πόλιν.

V. 1. Alterum ἂν om. Stobaei codex A. Euripides ab Nauckio comparatus Suppl. 447. πῶς οὖν ἔτ' ἂν γένοιτ' ἂν ἰσχυρὰ πόλις; Arist. Av. 829. καὶ πῶς ἂν ἔτι γένοιτ' ἂν εὔτακτος πόλις; 4. χερσὶν schol. Luciani. χεροῖν vel χειροῖν Stobaei codices. κέντρα] ἔργα schol. Luciani.

**607.** Stobaeus 63, 25.

Ἔρως γὰρ ἄνδρας οὐ μόνους ἐπέρχεται,
οὐδ' αὖ γυναῖκας, ἀλλὰ καὶ θεῶν ἄνω
ψυχὰς χαράσσει κἀπὶ πόντον ἔρχεται.
καὶ τόνδ' ἀπείργειν οὐδ' ὁ παγκρατὴς σθένει
Ζεύς, ἀλλ' ὑπείκει καὶ θέλων ἐγκλίνεται.

Tres primos versus Euripidi tribuit Clemens Alex. Strom. 6. p. 745. et v. 3. ταράσσει praebet.

**608.** Stobaeus 69, 14.

Οὕτω γυναικὸς οὐδὲν ἂν μεῖζον κακὸν
κακῆς ἀνὴρ κτήσαιτ' ἄν, οὐδὲ σώφρονος
κρεῖσσον· παθὼν δ' ἕκαστος ὧν τύχῃ λέγει.

**609.** Stobaeus 74, 16.

Σύγγνωτε κἀνάσχεσθε σιγῶσαι. τὸ γὰρ
γυναιξὶν αἰσχρὸν σὺν γυναικὶ δεῖ στέγειν.

V. 2. σὺν γυναικὶ] ἐν γυναικὶ Vindob. et Scor. Grotius ἐν γυναιξί. Nauckius εὖ γυναῖκα. δεῖ] χρὴ Scor.

**610.** Stobaeus 105, 39.

Τὸ δ' εὐτυχοῦν πᾶν ἐξαριθμήσας βροτῶν
οὐκ ἔστιν ὄντως ὄντιν' εὑρήσεις ἕνα.

V. 1. πᾶν ἐξαριθμήσας Nauckius pro πάντ' ἀριθμήσαι (ἀριθμήσας Grotius). 2. ὄντως] οὗτος A. B. et Scor.

**611.** Stobaeus 108, 53.

Αἴσχη μέν, ὦ γυναῖκες, οὐδ' ἂν εἷς φύγοι
βροτῶν ποθ', ᾧ καὶ Ζεὺς ἐφορμήσῃ κακά.
νόσους δ' ἀνάγκη τὰς θεηλάτους φέρειν.

V. 2. ἐφορμήσῃ] ἐφορμήσοι A.

**612.** Bekkeri Anecd. p. 338, 15. Ἄγκυραι: ἐκ μεταφορᾶς αἱ ἀσφάλειαι. Σοφοκλῆς

Ἀλλ' εἰσὶ μητρὶ παῖδες ἄγκυραι βίου.

Nomen fabulae, Φαίδρᾳ, addunt Hesychius s. v. ἄγκυραι et Suidas s. v. χαλάσω, sed versum omittunt.

**613.** Hesychius, Ἄγος: ἅγνισμα θυσίας. Σ. Φαίδρᾳ.

**614.** Etymolog. M. p. 19, 53. Καὶ ἀελλάδες φωναὶ παρὰ Σοφοκλεῖ ἐν Φαίδρᾳ. Ita codex Leidensis apud Valckenar. ad Hippol. p. 291. Vulgo ἄελλαι, quod ἀελλαί scriptum in cod. Dorvill.

**615.** Hesychius, Ἄκλεπτοι: οὐ παραλογιζόμενοι, ἀληθεῖς. Σ. Φαίδρᾳ.

**616.** Hesychius, Ἀπέπτυσεν λόγους: ἀπεμύξατο τοὺς λόγους. ἀντὶ τοῦ ἀπεστράφη. Σ. Φαίδρᾳ. Phrynichus in Bekkeri Anecd. p. 28, 8. Ἀποπτύσαι λόγους: ἀπορρῖψαι καὶ μὴ προσέσθαι.

**617.** Hesychius, Αὐτομόλως: προδοτικῶς. Σ. Φ.

**618.** Hesychius: Ἀψεφές: ἀφρόντιστον. Σ. Φαίδρᾳ. Nomen fabulae om. grammaticus Bekkeri p. 476, 1.

**619.** Hesychius, Κυλλαίνων κάτω: Σ. Φαίδρᾳ. τὰ ὦτα καταβαλών, ὅπερ (codex ἅπερ) οἱ σαίνοντες (κύνες add. Hemsterh.) ποιοῦσιν

Ἔσαιν' ἐπ' οὐρὰν ὦτα κυλλαίνων κάτω.

Codex ἔσται ἐποὐρανῶτικυθλάννων καὶ τό.

**620.** Hesychius, Μῶλυς: ὁ ἀμαθής. Σ. Φαίδρᾳ, μεμωλυσμένη, παρειμένη.

## ΦΘΙΩΤΙΔΕΣ.

Tragoediam hanc Welckero eandem fuisse videri quae Πηλεύς supra diximus.

**621.** Aristoteles Poet. c. 18. Τραγῳδία — ἡ μὲν πεπλεγμένη — ἡ δὲ παθητική — ἡ δὲ ἠθική, οἷον αἱ Φθιώτιδες καὶ ὁ Πηλεύς.

**622.** Ioannes Damasc. in Gaisfordi Append. ad Stobaeum vol. 4. p. 35. Σοφοκλέους Φθιωτίδων (codex φοιωτ)

Νέος πέφυκας· πολλὰ καὶ μαθεῖν σε δεῖ
καὶ πόλλ' ἀκοῦσαι καὶ διδάσκεσθαι μακρά.
Ἀεί τι βούλου χρήσιμον προσμανθάνειν.

V. 1. Menander monost. 373. νέος πεφυκὼς πολλὰ χρηστὰ μάνθανε. Versum 3. aliunde sumtum esse monet Nauckius.

**623.** Gellius N. A. 13, 11. *Sed etiam ille versus non minus notus*

Γέρων γέροντα παιδαγωγήσω σ' ἐγώ,

*et in tragoedia Sophocli scriptus est, cui titulus* Φθιώτιδες, *et in Bacchis* (193.) *Euripidi.* Φθιώτιδες correctio Casauboni est. Vulgo φυλετίδες, quod alii aliter correxerunt.

**624.** Bekkeri Anecd. p. 128, 3. Ἂν (συντάσσεται) παρακειμένοις καὶ ὑπερσυντελίκοις. Σ. Φθιώτισιν "Ἡ πατροκτόνος δίκη | κέκλητ' ἂν αὐτῷ." κέκλητ'] κεκλῆτ' Cobetus Nov. Lect. p. 224. recte.

**625.** Strabo 9. p. 433. Οὕτω καὶ Σοφοκλῆς τὴν Τραχινίαν Φθιῶτιν εἴρηκεν. Ad Phthiotides refert Elmsleius ad Eurip. Heraclid. v. 194. et corrigit τὴν Τραχῖνα. De quo dissentit Welckerus p. 205.

## ΦΙΛΟΚΤΗΤΗΣ ΕΝ ΤΡΟΙΑΙ.

Proclus Chrestom. p. 459. Ὀδυσσεὺς λοχήσας Ἕλενον λαμβάνει, καὶ χρήσαντος περὶ τῆς ἁλώσεως τούτου Διομήδης ἐκ Λήμνου Φιλοκτήτην ἀνάγει. ἰαθεὶς δὲ οὗτος ὑπὸ Μαχάονος καὶ μονομαχήσας Ἀλεξάνδρῳ κτείνει. καὶ τὸν νεκρὸν ὑπὸ Μενελάου καταικισθέντα ἀνελόμενοι θάπτουσιν οἱ Τρῶες. Haec partim praedicta reperiuntur in superstite Philoctetae Lemnii tragoedia in oratione Herculis v. 1407—1427.

**626.** Stobaeus 121, 7. Σ. Φιλοκτήτου

Ἀλλ' ἔσθ' ὁ θάνατος λοῖσθος ἰατρὸς νόσων.

λοῖσθος] λῷστος Nauckius.

**627.** Priscianus 18. vol. 2. p. 180. ed. Krehl. (vol. 2. p. 284. ed. Hertz.) Βαρύνομαι τούτου καὶ ὑπὸ τούτου καὶ τοῦτο (recte corrigitur τούτῳ). Σοφοκλῆς ἐν Φιλοκτήτῃ τῷ ἐν Τροίᾳ

Ὀσμῆς μου ὅπως μὴ βαρυνθήσεσθέ μου.

ἀντὶ τοῦ, ὑπὸ τῆς ὀσμῆς. Ita fere codex Monacen-

sis: unde trimeter confici potest, Ὀσμῆς ὅπως μου μὴ βαρυνθήσεσθέ που, quem quibus aliis modis restituerint viri docti ex Dobraei Aristoph. p. 183. 184. cognosci potest. In codicibus Paris. et Vossiano est ΟΙΤΩC pro ὅπως vitio manifesto. Alii dubitant an haec ex fabulae superstitis versu 890. conficta sint, Μὴ βαρυνθῶσιν κακῇ ὀσμῇ πρὸ τοῦ δέοντος.

**628.** Hesychius, Δράκοντα: τὸ κηρύκιον. Σ. Φ.

**629.** Hesychius, Δρυοπαγῆ στόλον: τὸν πάσσαλον. Σ. Φιλοκτήτῃ.

**630.** Hesychius, Ζηλῶ: μακαρίζω. Σ. Φιλοκτήτῃ τῷ ἐν Τροίᾳ.

**631.** Hesychius, Ῥακτηρίοις κέντροισιν: ἀντὶ τοῦ ταῖς κώπαις, διὰ τὸ ἀράττεσθαι. καὶ ἐν Φιλοκτήτῃ τῷ ἐν Τροίᾳ

Μέλη βοῶν ἄναυλα καὶ ῥακτήρια

ἀντὶ τοῦ ψοφώδη καὶ θορυβώδη. ἄναυλα Bergkius. Legebatur ἄναυδα.

**632.** Ad hanc fabulam, quam satyricam fuisse coniicit, Hermannus in praefat. ad Philoct. p. X. refert versus duo quos ad Philoctetam dictos sine poetae nomine attulit Plutarchus Vit. p. 89 e. Moral. p. 789 a.

Τίς δ' ἄν σε νύμφη, τίς δὲ παρθένος νέα
δέξαιτ' ἄν; εὖ γοῦν ὡς γαμεῖν ἔχεις τάλας.

Ex Strattidis Philocteta haec sumta esse coniecit Matthiae ad Fragm. Eurip. p. 289. consentiente Welckero p. 139.

## ΦΙΝΕΥΣ Α. Β.

**633.** Scholiasta Apollonii Rhodii 2, 178. Ἐπηρώθη δὲ τὰς ὄψεις ὁ Φινεὺς κατὰ μὲν ἐνίους ὑπὸ τοῦ Ἡλίου, διὰ τὸ πολὺν χρόνον αἰτῆσαι μᾶλλον ζῆν ἢ βλέπειν· κατὰ δὲ ἐνίους, ὅτι ἐπεβούλευσε Περσεῖ. Σοφοκλῆς δέ, ὅτι τοὺς ἐκ Κλεοπάτρας υἱοὺς ἐτύφλωσεν Ὄαρθον (ἐτύφλωσε Παρθένιον H. Keilius) καὶ Κράμβιν, πεισθεὶς διαβολαῖς Ἰδαίας τῆς αὐτῶν μητρυιᾶς. Scholiasta Sophoclis ad Antig. 970. aliis nominibus Cleopatrae filios appellat. Non improbabilis Dobraei coniectura est ex hac fabula sumtam esse Hesychii glossam, Κηρίωμα (sic Salmasius: codex κηρίομα): ὁμίλημα. (Fortasse corruptum ex ἢ λήμη.) ἔστι γὰρ τὸ κηρίον ᾧ (ὃν codex) προσεικάζει τοὺς ὀφθαλμοὺς τῶν Φινειδῶν. Ad duplicem fabulae editionem quod attinet, speciosa Welckeri coniectura est alteram editionem Τυμπανισταί inscriptam fuisse, cuius inter reliquias plura sunt quae Phinei fabulae conveniant, ut Welckerus ostendit p. 331—333.

**634.** Aristophanes Pluto v. 635.

Ἐξωμμάτωται καὶ λελάμπρυνται κόρας.

ubi scholiasta, Ἐκ Φινέως Σοφοκλέους ὁ στίχος. In codice Veneto ad versum proximum Ἀσκληπιοῦ παιῶνος εὐμενοῦς τυχὼν adscriptum est ἀντὶ τοῦ εὐμενεστάτου. ταῦτα δὲ ἐκ τοῦ Φινέως Σοφοκλέους ἔλαβεν. Incertum igitur manet utrum unum an duo versus ab Sophocle sumserit Aristophanes. Utriusque versus tragicum esse colorem manifestum est. Si unus tantum Sophoclis versus est, codici Veneto potius fides erit habenda quam editioni Aldinae.

**635.** Pollux 7, 193. Τὸ δὲ τῶν καπήλων ἐργαστήριον καπηλεῖον εἰρήκασιν οἱ κωμῳδοδιδάσκαλοι, καὶ τὸ κωμῳδούμενον ἐν Σοφοκλέους Φινεῖ

Βλέφαρα κέκληταί γ', ὡς καπηλείου θύραι.

γ'] δ' codex Paris. A.

**636.** Athenaeus 3. p. 119 c. Σοφοκλῆς τ' ἐν Φινεῖ ἔφη

Νεκρὸς τάριχος εἰσορᾶν Αἰγύπτιος.

**637.** Stephanus, Βόσπορος — Σοφοκλῆς δ' ἐν Φινεῖ πρώτῳ διὰ διφθόγγου τὴν πρὸ τέλους φησὶ τὸ κύριον (recte κτητικὸν corrigitur).

Οὐδ' ἂν τὸ Βοσπόρειον ἐν Σκύθαις ὕδωρ.

Versum omisso fabulae nomine affert Etym. Voss. p. 590 E. ed. Gaisf.

**638.** Hesychius, Ἀπενώτισαν: ἀπέστρεψαν τὰ νῶτα. Σ. Φινεῖ.

**639.** Hesychius, Ἀρτύμασι: τοῖς πρὸς τὴν θυσίαν εὐτρεπιζομένοις. Σ. φιμεί (ω superscr.). Ita codex, ut dubitari possit utrum Φινεῖ α an β restituendum sit. (ω ω superscr.)

**640.** Hesychius, Ἀχάλκευτα τρύπανα: τὰ Φρύγια πυρεῖα. Σ. Φινεῖ δευτέρῳ. Codex φηνεὶ βω.

**641.** Hesychius, Καταρράκτης: ὀχετὸς, ῥύαξ. καὶ ὁ ἀετός. Σ. Λαοκόωντι. καὶ τὰς Ἁρπυίας ἐν Φινεῖ. Codex καὶ ταρπυίας ἐν φίνη.

**642.** Eustathius p. 1496, 53. Ἐν δὲ ῥητορικῷ λεξικῷ εὕρηνται καὶ μάστακες αἱ ἀκρίδες. καὶ λέγεται κεῖσθαι τοῦτο παρὰ Σοφοκλεῖ ἐν Φινεῖ. Photius p. 248, 18. Μάστακας: τὰς ἀκρίδας. Σοφοκλῆς.

## ΦΟΙΝΙΞ.

Phoenicem etiam Euripides scripsit, cuius de argumento dixit Valckenarius in Diatribe Euripidea c. 24. idoneis usus scriptorum testimoniis. De Sophoclea tragoedia omnia incerta. Welckero hanc tragoediam eandem quam Δόλοπες esse videri supra diximus.

**643.** Athenaeus 2. p. 70 b. Κινάρα. ταύτην Σοφοκλῆς ἐν Κολχίσι κυνάραν καλεῖ, ἐν δὲ Φοίνικι κύναρον

Κύναρος ἄκανθα πάντα πληθύει γύην.

Excerpsit Eustath. p. 1822, 17. Athenaeus p. 70 c. Δίδυμος δ' ὁ γραμματικὸς ἐξηγούμενος παρὰ τῷ Σοφοκλεῖ τὸ "κύναρος ἄκανθα" μήποτε, φησί, τὴν κυνόσβατον λέγει διὰ τὸ ἀκανθῶδες καὶ τραχὺ εἶναι τὸ φυτόν.

**644.** Socrates Hist. eccles. 3, 7. ubi de voc. ὑπόστασις agit, Εἰρηναῖος ὁ γραμματικὸς ἐν τῷ κατὰ στοιχεῖον Ἀττικιστῇ καὶ βάρβαρον ἀποκαλεῖ τὴν λέξιν· μηδὲ γὰρ παρά τισι τῶν παλαιῶν εἰρῆσθαι. εἰ δέ που καὶ εὕρηται, μὴ ταῦτα σημαίνειν ἐφ' ὧν νῦν παραλαμβάνεται· παρὰ μὲν γὰρ Σοφοκλεῖ ἐν τῷ Φοίνικι ἐνέδραν σημαίνειν τὴν ὑπόστασιν —. Quae excerpsit Iulius Pollux Hist. phys. p. 376.

**645.** Eustathius p. 1088, 36. Φορβὰς γυνὴ παρὰ Σοφοκλεῖ, φασίν, ἐν Φοίνικι ἡ πολλοῖς προσομιλοῦσα τροφῆς χάριν.

## ΦΡΙΞΟΣ.

De Phrixo Athamantis filio videnda quae ad Athamantis fragm. 1. allata sunt. Sed tragoedia quae ab eo nomen habet quomodo composita fuerit nescimus. De quo incertas coniecturas protulit Welckerus p. 318.

**646.** Etymolog. Gud. p. 330, 43. et cod. Paris. in Crameri Anecd. Paris. vol. 4. p. 73, 22. Κνυζῶ: — Σοφοκλῆς Φρίξῳ "Κυνηδὸν ἐξέπραξαν κνυζούμενον." Blomfieldus, Κυνηδὸν ἐξέκραξαν ὡς κνυζώμενοι. ἐξέπραξαν ex ἐσπάραξαν corruptum esse coniecit Dobraeus. Photius p. 187, 4. Κυνηδόν: ὡς κύων.

**647.** Stephanus s. v. Ἄστυ. — προάστιος. οὕτω γὰρ καὶ τὸ θηλυκὸν εὑρίσκεται, προαστία γῆ, ἐν Φρίξῳ Σοφοκλέους

Ὅρια κελεύθου τῆσδε γῆς προαστίας.

**648.** Antiatticista p. 83, 23. Ἀφελής: Σ. Φρίξῳ.

## ΦΡΥΓΕΣ.

**649.** Stobaeus 8, 5. Σοφοκλέους Φρυγῶν

Τοὺς εὐγενεῖς γὰρ κἀγαθούς, ὦ παῖ, φιλεῖ
Ἄρης ἐναίρειν· οἱ δὲ τῇ γλώσσῃ θρασεῖς,
φεύγοντες ἄτας ἐκτός εἰσι τῶν κακῶν.
Ἄρης γὰρ οὐδὲν τῶν κακῶν ληΐζεται.

"Tragoediam hoc titulo fecit etiam Aeschylus, ad quam pertinet observatio scholiastae eiusdem tragici ad Prometheum 435. in qua mentio fit Phrygum Sophoclis ex librarii errore." Brunck. "Non librarii, sed scholiastae." Dobr. De Phrygibus Sophoclis non dubitat Welckerus p. 135. 136. Versum 4. omisso poetae fabulaeque nomine affert schol. Homeri Il. 2, 833. 4. οὐδὲν] οὐδένα schol. Homeri. ληΐζεται] λογίζεται Stobaeus. Recte λωτίζεται C. Keilius.

## ΧΡΥΣΗΣ.

"Sophoclis vestigia legisse videtur Pacuvius in Chryse, cuius dramatis argumentum Naekius Opusc. vol. 1. p. 91. coniecit ab Hygino Fab. 121. traditum esse." Nauck. Consentit Welckerus, qui de hac fabula dixit p. 210—215.

**650a.** Schol. Aristoph. Ranar. 193. Ὅτι δὲ καὶ κρέας τὸ σῶμα καὶ παρὰ Σοφοκλεῖ ἐν Χρύσῃ

Τοιοῦτος ὢν ἄρξειε τοῦδε τοῦ κρέως.

ἄρξειε codex Flor. ἄρξει Rav. et Ven. ἄρξεις Ald. Brunckius ἄρξεις σύ.

**650b.** Schol. Aristoph. Vesp. 842. ex cod. Veneto, Σοφοκλῆς ἐν Χρύσῃ

Ὦ πρῷρα λοιβῆς Ἑστία, κλύεις τάδε;

Ἑστία] ἐστὶ codex. Correctum ex schol. Pindari Nem. 11, 7. verba ὦ π. λ. Ἑστία afferente omisso nomine fabulae.

**651.** Pollux 6, 83. Ἔστι μέντοι καὶ τὸ τῆς μαγίδος ὄνομα παρὰ Σοφοκλεῖ ἐν Χρύσῃ

Τὰς Ἑκαταίας μαγίδας δόρπων.

Χρύσῃ correxi pro χρήσει: Brunckius Κρίσει. Ad hunc locum spectat Helladius apud Photium Bibl. p. 533b, 19. ἡ μαγὶς ἀντὶ τῆς τραπέζης Αἰγύπτιον δόξει καὶ παντελῶς ἔκθεσμον· Ἐπίχαρμος δὲ ὁ Δωριεὺς καὶ Κερκιδᾶς ὁ μελοποιὸς ἐπὶ τῆς αὐτῆς διανοίας ἐχρήσαντο τῇ λέξει, καὶ μὴν καὶ ὁ Ἀττικὸς Σ.

**652.** Ammonius p. 34. Παρὰ Εὐριπίδῃ ἐσχάρα ἀντὶ τοῦ βωμοῦ κεῖται. — καὶ Σοφοκλῆς ἐν Χρύσῃ. Eadem Eustathius p. 1564, 32.

**653.** Apollonius Lexic. Homer. Ἰονθάδος: — τὰς γὰρ τῶν τριχῶν ῥίζας ἰόνθους λέγει Σ. ἐν Χρύσῃ

Ἐγὼ μέλαιναν ἐξιονθίζω τρίχα.

Ex hoc versu Hesychii glossa Ἐξιονθίζω τρίχα. μέλαιναν scripsit Lehrsius in libro de Aristarcho p. 154. Legebatur μίαν μέν.

## ΩΡΕΙΘΥΙΑ.

**654.** Hanc fabulam memorat Ioannes Siceliota (schol. in Hermog. vol. 6. p. 225.), cuius verba ad Aeschyli Orithyiam attulimus. De utriusque tragici fabula dixit Welckerus p. 299.

**655.** Strabo 7. p. 295. Σ. περὶ τῆς Ὠρειθυίας λέγων ὡς ἀναρπαγεῖσα ὑπὸ Βορέου κομισθείη

Ὑπέρ τε πόντον πάντ' ἐπ' ἔσχατα χθονὸς
νυκτός τε πηγὰς οὐρανοῦ τ' ἀναπτυχὰς
Φοίβου παλαιὸν κῆπον —.

V. 3. Φοίβου π.] Libri Φ. τε π.

## ΑΔΗΛΩΝ ΔΡΑΜΑΤΩΝ.

**656.** Stobaeus Eclog. phys. 1, 4. p. 106. Heer. sine lemmate

Θεοῦ δὲ πληγὴν οὐχ ὑπερπηδᾷ βροτός.

Sophoclis esse constat ex Theophilo ad Autolycum p. 110. ed. Wolf. Legitur etiam inter monosticha Menandri 251.

**657.** Stobaeus Eclog. phys. 1, 9. p. 222.

Πάντ' ἐκκαλύπτων ὁ χρόνος εἰς τὸ φῶς ἄγει.

τὸ additum a Brunckio. Inter monosticha Menandri 459. πάντ' ἀνακαλύπτων ὁ χρόνος πρὸς (εἰς τὸ Meinekius) φῶς φέρει. Vita Aesopi p. 48, 5. πάντα δὲ τὰ καλυπτόμενα ὁ χρόνος εἰς φῶς ἄγει.

**658.** Stobaeus Eclog. phys. 1, 9. p. 230.

Χρόνος αὖ χρόνος ἅμα κραταιᾷ
τερμοσύνᾳ βίου
πόλλ' ἀνευρίσκει σοφὰ μαιομένοις.

Corruptum τερμοσύνᾳ, a Brunckio in ἀρχημοσύνᾳ mutatum, cui Ellendtius in Lexico vol. 2. p. 966. χρημοσύνᾳ praetulit. βίου fortasse pro βιότου scriptum. Sophoclis hos versus esse incertum videtur.

**659.** Stobaeus Eclog. phys. 2, 1. p. 6.

Ἀλλ' οὐ γὰρ ἂν τὰ θεῖα κρυπτόντων θεῶν
μάθοις ἄν, οὐδ' εἰ πάντ' ἐπεξέλθοις σκοπῶν.

**660.** Stobaeus Florileg. 2, 18.

Σκαιοῖσι πολλοῖς εἷς σοφὸς διόλλυται.

**661.** Stobaeus 3, 14.

Ἐσθλοῦ γὰρ ἀνδρὸς τοὺς πονοῦντας ὠφελεῖν.

Lemma in sola ed. Trincavelli.

**662.** Stobaeus 3, 15.

Ἀλλ' ἡ φρόνησις ἀγαθὴ θεὸς μέγας.

Lemma om. codices, habent Trincav. et Arsenius. ἀγαθὴ] ἡ ἀγαθὴ libri.

**663.** Stobaeus 4, 1. 5. 17.

Ἀλλ' οἱ κακῶς πράσσοντες οὐ κωφοὶ μόνον,
ἀλλ' οὐδ' ὁρῶντες εἰσορῶσι τἀμφανῆ. —
Ὡς δυσπάλαιστόν ἐστιν ἀμαθία κακόν. —
Ἡ δὲ μωρία
μάλιστ' ἀδελφὴ τῆς πονηρίας ἔφυ.

V. 3. δυσπάλαιστον, quo adiectivo Aechylus et Euripides usi sunt, restituit Nauckius pro δυσπέλαστον, quo nemo usus est. Tum ἐστιν Grotius pro ἡ, quod in libris melioribus non legitur.

**664.** Plutarchus Moral. p. 27f. Οὐ πάνυ ἀληθὲς τὸ τοῦ Σοφοκλέους λέγοντος

Οὐκ ἔστ' ἀπ' ἔργων μὴ καλῶν ἔπη καλά.

Legitur sine lemmate apud Stobaeum 5, 5.

**665.** Stobaeus 5, 14.

Χαίρειν ἐπ' αἰσχραῖς ἡδοναῖς οὐ χρή ποτε.

χρὴ libri meliores. Alii δεῖ.

**666.** Stobaeus 8, 11.

Οὐ τοῖς ἀθύμοις ἡ τύχη ξυλλαμβάνει.

**667.** Stobaeus 13, 9. Σοφοκλέους (Σοφίλου apud Ioann. Damasc. in Gaisfordi Append. ad Stob. Ecl. p. 844.)

Αἰδὼς γὰρ ἐν κακοῖσιν οὐδὲν ὠφελεῖ·
ἡ γὰρ σιωπὴ τῷ λαλοῦντι σύμμαχος.

V. 2. τῷ λαλοῦντι] I. e. adversario verba facienti, nisi τὢγκαλοῦντι scribendum cum Cobeto Var. Lect. p. 19.

**668.** Stobaeus 18, 1.

Τί ταῦτ' ἐπαινεῖς; πᾶς γὰρ οἰνωθεὶς ἀνὴρ
ἥσσων μὲν ὀργῆς ἐστι, τοῦ δὲ νοῦ κενός·
φιλεῖ δὲ πολλὴν γλῶσσαν ἐκχέας μάτην
ἄκων ἀκούειν οὓς ἑκὼν εἶπεν λόγους.

Hi versus citantur partim a Plutarcho Moral. p. 89b, et Clemente Al. p. 181. Verbum οἰνωθείς notavit schol. Homeri Il. 7, 472. (in Crameri Anecd. Par. vol. 3. p. 228, 15.) Οὐκ ἐπαινετὸν δὲ τὸ οἰνοῦσθαι — ὡς δηλοῖ καὶ παρὰ Σοφοκλεῖ τὸ οἰνωθείς. Quae excerpsit Eustathius p. 692, 12. V. 3. γλῶσσαν]

γλῶτταν apud Plut. et Clem. et Gregoram Hist. Byz. 31, 28. vol. 3. p. 366, 6. ed. Bekk. μάτην ἐκχέας κατὰ τὸν σοφὸν Σοφοκλέα τὴν ἄτοπον γλῶτταν αὐτοῦ κατ' αὐτῆς. 4. εἶπεν λόγους] εἴπῃ λόγους Plut. εἶπεν κακῶς Stob. (ubi tamen codex Par. B. εἶπεν λόγους) et Clem.

**669.** Stobaeus 24, 4.

Κλέπτων δ' ὅταν τις ἐμφανῶς ἐφευρεθῇ,
σιγᾶν ἀνάγκη, κἂν καλὸν φέρῃ στόμα.

**670.** Stobaeus 24, 6. Σοφοκλέους

Ἦ δεινὸν ἆρ' ἦν, ἡνίκ' ἄν τις ἐσθλὸς ὢν
αὑτῷ συνειδῇ.

αὑτῷ συνειδῇ] αὐτῷ σὐνείδῃ libri.

**671.** Stobaeus 28, 1.

Ὅρκοισι γάρ τοι καὶ γυνὴ φεύγει πικρὰν
ὠδῖνα παίδων, ἀλλ' ἐπὰν λήξῃ κακοῦ,
ἐν τοῖσιν αὐτοῖς δικτύοις ἁλίσκεται,
πρὸς τοῦ παρόντος ἱμέρου νικωμένη.

V. 1. ἐπὰν] ἐπὴν Hermannus.

**672.** Stobaeus 28, 5.

Ὅρκος γὰρ οὐδεὶς ἀνδρὶ φηλήτῃ βαρύς.

φηλήτῃ ex cod. Paris. B. a m. sec.: nam pr. φιλήτῃ, ut ceteri libri.

**673.** Stobaeus 41, 3.

Μή μοι κρυφαῖον μηδὲν ἐξείπῃς ἔπος·
κλῇθρον γὰρ οὐδέν. ὡς δ' ἂν εὐπετὲς λάβοις,
γλώσσης κρυφαῖον οὐδὲν οὐ διέρχεται.

V. 1. μηδὲν Trinc. οὐδὲν Par. A. B. 2. κλῇθρον] Libri κλεῖθρον. Verba versus extrema corrupta. Collato Apollodori comici loco in Floril. 6, 28. καὶ κλείεθ' ἡ θύρα μοχλοῖς, ἀλλ' οὐδὲ εἷς | τέκτων ὀχυρὰν οὕτως ἐποίησεν θύραν | δι' ἧς γαλῆ καὶ μοιχὸς οὐκ εἰσέρχεται, Sophoclis verba sic restituit Cobetus Mnemos. 9. p. 89.

κλῇθρον γὰρ οὐδὲν ὧδ' ἂν εὐπαγὲς λάβοις
γλώσσης δι' οὗ κρυφαῖον οὐ διέρχεται.

**674a.** Stobaeus 43, 11.

Ὅπου γὰρ οἱ φύσαντες ἡσσῶνται τέκνων,
οὐκ ἔστιν αὕτη σωφρόνων ἀνδρῶν πόλις.

V. 1. φύσαντες Piersonus. φυλάσσοντες libri.

**674b.** Stobaeus 43, 25.

Νόμοις ἕπεσθαι τοῖσιν ἐγχώροις καλόν.

τοῖσιν ἐγχώροις Grotii coniectura est. τοῖσιν ἐγχωρίοις codd. Scorial. et Vindob. τοῖς ἐγχωρίοις ceteri, ut est in monost. Menandri 372. Menandri versus si fuit, τοῖς ἐπιχωρίοις verum esse potest, quod coniecit Bentleius. Similiter Aristoph. Pl. 47. ἀσκεῖν τὸν υἱὸν τὸν ἐπιχώριον τρόπον.

**675.** Stobaeus 45, 11.

Πολλῶν καλῶν δεῖ τῷ καλῶς τιμωμένῳ·
μικροῦ δ' ἀγῶνος οὐ μέγ' ἔρχεται κλέος.

V. 1. Πολλῶν πόνων δεῖ τῷ καλόν τι μωμένῳ Nauckius. Sic χρηστὰ μωμένη Trach. 1136.

**676.** Stobaeus 54, 3.

Γνῶμαι πλέον κρατοῦσιν ἢ σθένος χερῶν.

**677.** Stobaeus 62, 33.

Εἰ σῶμα δοῦλον, ἀλλ' ὁ νοῦς ἐλεύθερος.

Similiter Gregorius Naz. vol. 2. p. 215 A. εἶναι γὰρ εἶναι τἀνδρός, ὡς ἀκούομεν, | τὸ σῶμα δοῦλον, τὸν τρόπον δ' ἐλεύθερον.

**678.** Stobaeus 63, 6.

Ὦ παῖδες, ἥ τοι Κύπρις οὐ Κύπρις μόνον,
ἀλλ' ἐστὶ πολλῶν ὀνομάτων ἐπώνυμος.
ἔστιν μὲν Ἅιδης, ἔστι δ' ἄφθιτος βίος,
ἔστιν δὲ λύσσα μαινάς, ἔστι δ' ἵμερος
ἄκραντος, ἔστ' οἰμωγμός. ἐν κείνῃ τὸ πᾶν,
σπουδαῖον, ἡσυχαῖον, ἐς βίαν ἄγον.
ἐντήκεται γὰρ πλευμόνων ὅσοις ἔνι
ψυχή. τίς οὐχὶ τῆσδε τῆς θεοῦ βορά;
εἰσέρχεται μὲν ἰχθύων πλωτῷ γένει,
ἔνεστι δ' ἐν χέρσου τετρασκελεῖ γονῇ·
νωμᾷ δ' ἐν οἰωνοῖσι τοὐκείνης πτερόν,
ἐν θηρσίν, ἐν βροτοῖσιν, ἐν θεοῖς ἄνω.
τίν' οὐ παλαίουσ' ἐς τρὶς ἐκβάλλει θεῶν;
εἴ μοι θέμις, θέμις δὲ τἀληθῆ λέγειν,
Διὸς τυραννεῖ πλευμόνων· ἄνευ δορός,
ἄνευ σιδήρου πάντα τοι συντέμνεται
Κύπρις τὰ θνητῶν καὶ θεῶν βουλεύματα.

V. 1—4. οὐ Κύπρις — μαινάς affert Plutarchus Moral. p. 757a. ex quo v. 2. correcta Stobaei scriptura πάντων pro πολλῶν. Sic Aeschylus Prom. 210. καὶ Γαῖα πολλῶν ὀνομάτων μορφὴ μία. πολλῶν δυνάμεων Meinekius in Fleckeiseni Annal. a. 1863. vol. 87. p. 377. 3. βίος Bothius. βία Plut. et Stob. 4. μαινὰς] μανιὰς Porsonus. 5. ἄκραντος Bothius pro ἄκρατος. κείνῃ Scor. ἐκείνῃ ceteri. 6. ἡσυχαῖον] ἡσύχιον A. ἐς Scor. εἰς ceteri. 7. ἐντήκεται] ἀνθάπτεται Meinekius. πλευμόνων] πνευμόνων B. 8. ψυχή] πνοή Meinekius. οὐχὶ — βορά Grotius pro οὔτι — βορός. 9. πλωτῷ] πλωτῶν apud Arsenium. Ceterum Plutarchus versus 1—4. poeta non nominato attulit, his verbis usus, ἀλλ' ἀπὸ μιᾶς σκηνῆς ἀκούομεν "Ἔρως γὰρ ἀργὸν κἀπὶ τοιούτοις ἔφυ" (haec ex Danae Euripidis) καὶ πάλιν αὖ ὧδε "οὐ Κύπρις — μαινάς," ut utrumque fragmentum ex Danae Euripidis sumtum esse videri possit, quae Nauckii sententia est (in Schneidewini Philologo vol. 4. p. 542.), licet diversorum poetarum fragmenta similiter coniunxerit Clemens Alex. Strom. 5. p. 717. ὁ μὲν Σοφοκλῆς — ἐκβοᾷ, et mox Εὐριπίδης δὲ ἐπὶ τῆς αὐτῆς σκηνῆς τραγῳδῶν.

**679.** Stobaeus 67, 5.

Τίς δ' οἶκος ἐν βροτοῖσιν ὠλβίσθη ποτέ,
γυναικὸς ἐσθλῆς χωρίς, ὀγκωθεὶς χλιδῇ;

**680.** Stobaeus 73, 54.

Κατ' ὀρφανὸν γὰρ οἶκον ἀνδρόφρων γυνή.

**681.** Stobaeus 96, 9.

Πενία δὲ συγκραθεῖσα δυσσεβεῖ τρόπῳ
ἄρδην ἀνεῖλε καὶ κατέστρεψεν βίον.

Male huic fragmento lemma Διφίλου, proximo vero (10), quod manifesto comici poetae est, Σοφοκλέους praescriptum. Transposuit Brunckius. V. 1 συγκραθεῖσα] δυσκραθεῖσα A. et Vind.

**682.** Stobaeus 98, 1.

Ὦ θνητὸν ἀνδρῶν καὶ ταλαίπωρον γένος·
ὡς οὐδέν ἐσμεν πλὴν σκιαῖς ἐοικότες,
βάρος περισσὸν γῆς ἀναστρωφώμενοι.

V. 1. θνητὸν] Libri optimi θνητῶν et v. 3. ἀναστρεφόμενοι.

**683.** Stobaeus 98, 43.

Οὐ γὰρ θέμις ζῆν πλὴν θεοῖς ἄνευ κακῶν.

κακῶν] κακοῦ in Menandri monost. 692.

**684.** Stobaeus 116, 28.

Πάντ' ἐμπέφυκε τῷ μακρῷ γήρᾳ κακά,
νοῦς φροῦδος, ἔργ' ἀχρεῖα, φροντίδες κεναί.

Praecedit apud Stobaeum Σοφοκλέους Σκυρίων versus (fragm. 500), post quem hi duo versus sequuntur sine lemmate, quod suppleri potest ex Clem. Alex. p. 73. qui versum alterum attulit, ἕπεται τοιγαροῦν ὑμῖν κατὰ τὸν Σοφοκλέα τὰ ἐπίχειρα τῆς ἐκλογῆς "νοῦς φροῦδος, ὦτ' (nam sic apud eum legitur) ἀχρεῖα, φροντίδες κεναί."

**685.** Stobaeus 126, 8.

Χρόνος δ' ἀμαυροῖ πάντα κἀς λήθην ἄγει.

Versus vulgo sine lemmate positus. Σοφοκλέους est in Scor. Legitur inter Menandri monost. 545. Κὰς scripsi pro κείς.

**686.** Stobaeus 108, 51.

Στέργειν δὲ τἀκπεσόντα καὶ θέσθαι πρέπει
σοφὸν κυβευτὴν, ἀλλὰ μὴ στένειν τύχην.

V. 1. τἀκπεσόντα A. et Vind. τἀμπεσόντα Trincavelli editio. καὶ θέσθαι] κἀνθέσθαι (i. e. κἀναθέσθαι), *retractare fortunam*, Meinekius in Fleckeiseni Annal. a. 1863. vol. 87. p. 378. 2. Versum alterum sine poetae nomine attulit Hesychius, Κυβευτήν: "σοφὸν κυβευτὴν, ἀλλὰ μὴ στενὴν τυχεῖν." τὸν τοῖς κύβοις χρώμενον· ἐπιστήμην γάρ τινα ἐδόκουν τὸ δεξιῶς χρῆσθαι· ἐπιστημονικωτέραν τὴν πεττείαν τῆς κυβείας ἐνόμιζον.

**687.** Stobaeus 110, 14.

Ἐλπὶς γὰρ ἡ βόσκουσα τοὺς πολλοὺς βροτῶν.

Omisso poetae nomine ab schol. Eurip. Phoen. 396. ad verba poetae αἱ δ' ἐλπίδες βόσκουσι φυγάδας, ὡς λόγος proverbium memoratur αἱ δ' ἐλπίδες βόσκουσι τοὺς κενοὺς βροτῶν. qui versus inter monost. Menandri 42. legitur.

**688.** Stobaeus 117, 4.

Οὐκ ἔστι γῆρας τῶν σοφῶν, ἐν οἷς ὁ νοῦς
θείᾳ ξύνεστιν ἡμέρᾳ τεθραμμένος.
προμηθία γὰρ κέρδος ἀνθρώποις μέγα.

V. 2. θείᾳ corruptum.

**689.** Stobaeus 121, 9.

Ὅστις γὰρ ἐν κακοῖσιν ἱμείρει βίου,
ἢ δειλός ἐστιν, ἢ δυσάλγητος φρένας.

**690.** Stobaeus 122, 11.

Α. Θανόντι κείνῳ συνθανεῖν ἔρως μ' ἔχει.
Β. ἥξεις, ἐπείγου μηδὲν, ἐς τὸ μόρσιμον.

Addidi personarum notas. V. 2. ἥξεις] ἔρξεις A. ἐπείγου μηδὲν interpositum ut εὖ φύλαξαι Oed. Col. 161. ἐς scripsi pro εἰς.

**691.** Stobaeus 118, 12.

Ὅστις δὲ θνητῶν θάνατον ὀρρωδεῖ λίαν,
μῶρος πέφυκε· τῇ τύχῃ μέλει τάδε.
ὅταν δ' ὁ καιρὸς τοῦ θανεῖν ἐλθὼν τύχῃ,
οὐδ' ἂν πρὸς αὐλὰς Ζηνὸς ἐκφύγοι μολών.

Lemma Σοφοκλέους in solo servatum cod. Vindob. Totum locum om. A. V. 2. μῶρος] μωρὸς libri. 3. δ' Grotius pro γάρ. 4. ἐκφύγοι Halmius pro ἐκφύγῃ. Malim ἐκφύγοις.

**692.** Ioannes Damasc. in Gaisfordi Append. ad Stobaeum vol. 4. p. 76. (s. in Append. ad Stob. Ecl. p. 772, 24.) Σοφοκλέους

Τἀληθὲς ἀεὶ πλεῖστον ἰσχύει λόγου.

**693.** Porphyrius de antro Nympharum cap. 18. Πηγαὶ δὲ καὶ νάματα οἰκεῖα ταῖς ὑδριάσι Νύμφαις, καὶ ἔτι γε μᾶλλον Νύμφαις ταῖς ψυχαῖς, ἃς ἰδίως μελίσσας οἱ παλαιοὶ ἐκάλουν, ἡδονῆς οὔσας ἐργαστικάς. ὅθεν καὶ Σ. οὐκ ἀνοικείως ἐπὶ τῶν ψυχῶν ἔφη

Βομβεῖ δὲ νεκρῶν σμῆνος, ἔρχεταί τ' ἄλη.

ἄλη Bergkius. Legebatur ἄλλη.

**694.** Helladius Chrestom. ap. Phot. Bibl. p. 530, 15. Ὅτι ὁ στίχος ὁ καὶ παροιμιαζόμενος

Ὅρκους ἐγὼ γυναικὸς εἰς ὕδωρ γράφω

ἔστι μὲν Σ., τοῦτον δὲ παρῳδήσας ὁ Φιλωνίδης ἔφη

Ὅρκους δὲ μοιχῶν εἰς τέφραν ἐγὼ γράφω.

οἱ δὲ τὰς γυναῖκας σκώπτοντές φασιν

Ὅρκους ἐγὼ γυναικὸς εἰς οἶνον γράφω.

Sic ultimum versum, qui Xenarchi comici est, recitat Athenaeus p. 441e. Ad versum Sophoclis respicit Phrynichus in Bekkeri Anecd. p. 55, 17. ὅρκον γυναικὸς εἰς ὕδωρ χρὴ γράφειν: ὅτι ἀπιστεῖν γυναικὶ δεῖ ὀμνυούσῃ.

**695.** Athenaeus 1. p. 23. Κατακεῖσθαι δὲ λέγεται καὶ κατακεκλίσθαι — ἔστι δὲ εὑρεῖν καὶ ἐπὶ ἐννοίας ταύτης σπανίως τὸ ἀνακεῖσθαι. σάτυρος παρὰ Σοφοκλεῖ τοῦτό φησιν "Ἐπικαιόμενος (ἐπικείμενος Ellendtius) τῷ Ἡρακλεῖ ἀνακειμένῳ μέσον εἰς τὸν αὐχέν' εἰσαλοίμην." "Videntur ista derivata ex Hercule ad Taenarum." Brunck. Verba poetae metro soluta attulit Athenaeus. Nauckio huc respicere videtur Aristides vol. 2. p. 405. ἤδη δέ τις καὶ σάτυρος τῶν ἐπὶ σκηνῆς κατηράσατο τῷ Ἡρακλεῖ, εἶτά γ' ἔκυψε προσιόντος κάτω.

**696.** Athenaeus 1. p. 33c.

Ὦ γλῶσσα σιγήσασα τὸν πολὺν χρόνον,
πῶς δῆτα τλήσει πρᾶγμ' ὑπεξελθεῖν τόδε;
ἢ τῆς ἀνάγκης οὐδὲν ἐμβριθέστερον,
ὑφ' ἧς τὸ κρυφθὲν ἐκφανεῖς ἀνάκτορον.

V. 2. τλήσει] τλήσῃ ap. Athen. Tum ἐπεξελθεῖν Brunckius. 4. ἀνακτόρων Welckerus.

**697.** Athenaeus 2. p. 40a. Ἀπὸ τῆς ἀλλοιούσης τὴν γνώμην καὶ πρὸς τὸ ψευδὲς τρεπούσης εὐθυμίας, ἣ γίνεται κατὰ τὴν μέθην — Σοφοκλῆς φησι "Τὸ μεθύειν πημονῆς λυτήριον." Ἔστιν τὸ μεθύειν — Herwerdenus p. 29.

**698. 699.** Athenaeus 3. p. 99d. et ex eo Eustathius p. 1944, 26. Καὶ Σοφοκλῆς δέ που ὁ ποιητὴς τὸν φύλακα μοχλόν που ὠνόμασεν ἐν τούτοις

Θάρσει· μέγας σοι τοὐδ' ἐγὼ φόβου μοχλός.

κἂν ἄλλοις δὲ τὴν ἄγκυραν Σοφοκλῆς ἰσχάδα κέκληκεν, διὰ τὸ κατέχειν τὴν ναῦν

Ναῦται δ' ἐμηρύσαντο νηὸς ἰσχάδα.

**700.** Athenaeus 7. p. 277b.

Χορὸς δ' ἀναύδων ἰχθύων ἐπερρόθει,
σαίνοντες οὐραίοισι τὴν κεκτημένην.

V. 1. ex tragico affert Clemens Alex. p. 787. Probabilis Bergkii coniectura est χορὸς δὲ μύνδων ἰχθύων —, collato Etym. M. p. 595, 1. Μύνδος· μύνδος ἰχθύς, Σοφοκλῆς, ὁ μὴ αὐδῶν. Scribendum autem μυνδῶν. Nam oxytonum esse annotarunt Stephanus Byz. s. v. Βάλδος et Arcadius p. 48, 11., uterque ex Herodiano. 2. Legebatur σαίνουσιν. Correxit Brunckius.

**701.** Athenaeus 10. p. 428a. Καὶ Σοφοκλῆς ἐν * * σατυρικῷ φησιν ὡς ἄρα

Τὸ πρὸς βίαν
πίνειν ἴσον πέφυκε τῷ διψῆν κακόν.

Legebatur κακὸν πέφυκε τῷ διψῆν βίᾳ. Correxit Meinekius.

**702.** Athenaeus 10. p. 433e. Τὸ δίψος γὰρ πᾶσιν ἰσχυρὰν ἐπιθυμίαν ἐμποιεῖ τῆς ἀπολαύσεως. διὸ καὶ Σοφοκλῆς φησι

Διψῶντι γάρ τοι πάντα προσφέρων σοφὰ
οὐκ ἂν πλέον τέρψειας ἢ 'μπιεῖν διδούς.

V. 1. προσφέρων σοφά] Hac locutione utuntur Eurip. Med. 298. et Arist. Thesm. 1130. 2. ἢ 'μπιεῖν Porsonus pro μὴ πιεῖν. Casaubonus ἢ πιεῖν.

**703.** Athenaeus 11. p. 783f. Ἀρύβαλλος — λέγουσι δὲ καὶ πρόχουν ἄρυστιν. Σοφοκλῆς (haud dubie in fabula satyrica)

Κακῶς σὺ πρὸς θεῶν ὀλουμένη,
ἣ τὰς ἀρύστεις ὧδ' ἔχουσ' ἐκώμασας.

Hesychius, Ἀρύστεις: τὰς ἀπνευστὶ πόσεις. τὰ δὲ αὐτὰ καὶ ἀρυστῆρας καὶ ἀρυστίχους ἐκάλουν. V. 1. Κακῶς] Κακὴ κακῶς Herwerdenus p. 28.

**704.** Athenaeus 15. p. 688a. Καὶ ὁ Σοφοκλῆς δὲ τὰς ἀπολελυμένας τοῦ φόβου πεποίηκε λεγούσας

Θυμῷ δ' οὔτις φαιδρὰ χορεύει
τάρβους θυγάτηρ.

V. 1. οὔ τις Epitome. οὔ τι codex.

**705.** Etymol. M. p. 601. extrema, Νεῖκος: ἡ φιλονεικία, παρὰ τὸ νέοις ἐοικέναι. ἡ γὰρ φιλονεικία τοῖς νεαροῖς ἁρμόζει. Σοφοκλῆς

Ὕβρις δέ τοι
οὐπώποθ' ἥβης ἐς τὸ σῶφρον ἵκετο,
ἀλλ' ἐν νέοις ἀνθεῖ τε καὶ πάλιν φθίνει.

V. 2. ἥβης εἰς (debebat ἐς) τὸ σῶφρον Piersonus pro ἡβήσει τῷ σώφρονι. 3. πάλιν φθίνει libri meliores. Vulgo φθίνει πάλιν.

**706.** Clemens Alex. Paedag. 3. p. 286. Ἀβροδίαιτον ἐπονειδίζων νεανίαν ὁ Σοφοκλῆς λέγει

Γυναικομίμοις ἐμπρέπεις ἐσθήμασιν.

ἐμπρέπεις Piersonus pro ἐμπρεπεῖς. Similis Euripidis in Antiopa versus fuit γυναικομίμῳ διαπρέπεις μορφώματι.

**707.** Clemens Strom. 5. p. 659.

Καὶ τὸν θεὸν τοιοῦτον ἐξεπίσταμαι,
σοφοῖς μὲν αἰνικτῆρα θεσφάτων ἀεί,
σκαιοῖς δὲ φαῦλον κἂν βραχεῖ διδάσκαλον.

V. 2. 3. profert Plutarchus Moral. p. 406f.

**708.** Grammaticus in Crameri Anecd. Oxon. vol. 4. p. 329, 20. Τὸ ἐτήρ παρὰ τὸ ἔτος· Σοφοκλῆς

Ἐτῆρας ἀμνοὺς θεοῖς ἔρεξ' ἐπακτίοις.

γράφεται δὲ καὶ εὐείρας. Apud Cramerum ἐρέξας et εὐείρας. Correxit L. Dindorfius in Thesauro vol. 3. p. 2150.

**709.** Clemens Strom. 2. p. 494. Εὖ γοῦν ἡ τραγῳδία ἐπὶ τοῦ Ἅιδου γράφει

Πρὸς δ' οἷον ἥξεις δαίμον' ὡς ἔρωτα,
ὃς οὔτε τοὐπιεικὲς οὔτε τὴν χάριν
οἶδεν, μόνην δ' ἔστερξε τὴν ἁπλῶς δίκην.

V. 1. δαίμον' ὡς ἔρωτα] δαίμον', ὦ γέρον, τάχα Herwerdenus p. 29. 2. Plutarchus Mor. p. 761f. μόνῳ θεῶν ὁ Ἅιδης Ἔρωτι ποιεῖ τὸ προσταττόμενον, καίτοι πρός γε τοὺς ἄλλους, ὥς φησι Σοφοκλῆς "οὔτε — δίκην." 3. οἶδε, μόνην δὲ στέρξαι Plut. ᾔδει, μόνην δ' ἔστεργε Clemens.

**710.** Plutarchus Vit Timol. c. 36. p. 253. Τῶν δὲ Τιμολέοντος ἔργων οὐδέν ἐστιν ᾧ μὴ τὰ τοῦ Σοφοκλέους (τιμοκλέους duo codices), ὥς φησι Τίμαιος, ἐπιφωνεῖν ἔπρεπεν

Ὦ θεοί, τίς ἄρα Κύπρις, ἢ τίς ἵμερος
τοῦδε ξυνήψατο;

**711.** Plutarchus Vit. Pompeii c. 78. p. 661.

Ὅστις γὰρ ὡς τύραννον ἐμπορεύεται,
κείνου 'στὶ δοῦλος, κἂν ἐλεύθερος μόλῃ.

Affert etiam Mor. p. 33d. 204e. et Appian. B. Civ. 2, 85. et omisso poetae nomine Dio Cassius 42, 4. Diog. L. 2, 82. Zonaras Annal. 10, 10. Macarius Prov. 6, 43. V. 1. γὰρ ὡς] δὲ πρὸς ap. Plutarchum.

**712.** Plutarchus Vit. Alexandri c. 7. p. 667.

Πολλῶν χαλινῶν ἔργον οἰάκων θ' ἅμα.

Omisso poetae nomine Mor. p. 767f.

**713.** Plutarchus Vit. Demetrii c. 45. p. 911. Ἦν ὁ Σοφοκλέους Μενέλαος εἰκόνα ταῖς αὐτοῦ τύχαις παρατίθησιν

Ἀλλ' οὑμὸς ἀεὶ πότμος ἐν πυκνῷ θεοῦ
τροχῷ κυκλεῖται καὶ μεταλλάσσει φύσιν.
ὥσπερ σελήνης δ' ὄψις εὐφρόνα δύο
στῆναι δύναιτ' ἂν οὔποτ' ἐν μορφῇ μιᾷ,
ἀλλ' ἐξ ἀδήλου πρῶτον ἔρχεται νέα
πρόσωπα καλλύνουσα καὶ πληρουμένη,
χὤτανπερ αὑτῆς εὐγενεστάτη φανῇ,
πάλιν διαρρεῖ κἀπὶ μηδὲν ἔρχεται.

V. 4. εὐφρόνας Brunckius pro εὐφρόναις. Restitui numerum dualem εὐφρόνα. 5—8. attulit Moral. p. 282b. 517d. v. 5. 6. Tzetzes ad Hesiodi Ἔργ. v. 780. 8. κἀπὶ] καὶ εἰς vel κεἰς τὸ ap. Plut. in Vita Demetr.

**714.** Plutarchus Vit Artax. c. 28. p. 1025.

Ταχεῖα πειθὼ τῶν κακῶν ὁδοιπορεῖ.

**715.** Plutarchus Moral. p. 16a. Ἀρχὴ γὰρ αὕτη παιδεύσεως

Ἔργου δὲ παντὸς ἤν τις ἄρχηται καλῶς,
καὶ τὰς τελευτὰς εἰκός ἐσθ' οὕτως ἔχειν,

κατὰ τὸν Σοφοκλέα. Antiphontis sententiam ap. Ioann. Damasc. in Gaisfordi Append. ad Stobaei Ecl. p. 730, 12. comparavit Nauckius, πρῶτον, οἶμαι, τῶν ἐν ἀνθρώποις ἐστὶ παίδευσις· ὅταν γάρ τις πράγματος κἂν ὁτουοῦν τὴν ἀρχὴν ὀρθῶς ποιήσηται, εἰκὸς καὶ τὴν τελευτὴν ὀρθῶς γίγνεσθαι.

**716.** Plutarchus Moral. p. 17c.

Στενωπὸς Ἅιδου καὶ παλιρροία βυθοῦ.

παλιρροία pro παλίρροια mutato accentu dictum metri caussa, ut ἀγνοία et alia huiusmodi apud Sophoclem aliosque.

**717.** Plutarchus Moral. p. 21a. Τοῦ Σοφοκλέους

Τὸ κέρδος ἡδύ, κἂν ἀπὸ ψευδῶν ἴῃ.

καὶ μὴν σοῦ γε ἀκηκόαμεν ὡς

οὐκ ἐξάγουσι καρπὸν οἱ ψευδεῖς λόγοι.

ἐξάγουσι] ἐκφέρουσι Meinekius.

**718.** Plutarchus Moral. p. 21b. Τὰ Σοφοκλέους, ὧν καὶ ταῦτά ἐστι

Γένοιτο κἂν ἄπλουτος ἐν τιμαῖς ἀνήρ.

καὶ

Οὐδὲν κακίων πτωχός, εἰ καλῶς φρονοῖ.

Quibus tertium addit fragmentum, de quo diximus supra ad fragm. 519.

**719.** Plutarchus Moral. p. 21f.

Ὡς τρισόλβιοι
κεῖνοι βροτῶν, οἳ ταῦτα δερχθέντες τέλη
μόλωσ' ἐς Ἅιδου· τοῖσδε γὰρ μόνοις ἐκεῖ
ζῆν ἐστι, τοῖς δ' ἄλλοισι πάντ' ἐκεῖ κακά.

"In fabulae loco, unde haec derivata, mentio erat forte τοῦ λειμῶνος τοῦ τοῖς μύσταις ἀνακειμένου, cuius Sophoclem auctorem laudat scholiasta comici ad Ranas 347." Brunck. Scholiastae verba sunt, λειμὼν γὰρ ἀνάκειται καὶ ἄνθη ἀνειμένα τοῖς μύσταις ἐν τῷ πεδίῳ. δηλοῖ δὲ καὶ Σοφοκλῆς. Ad Triptolemum rettulit Welckerus. V. 4. πάντ' ἐκεῖ] πάντα δὴ Herwerdenus p. 17.

**720.** Plutarchus Moral. p. 23c. et omisso poetae nomine p. 757b.

Τυφλὸς γάρ, ὦ γυναῖκες, οὐδ' ὁρῶν Ἄρης
συὸς προσώπῳ πάντα τυρβάζει κακά.

**721.** Plutarchus Moral. p. 77b. et 619a.

Ὅτῳ δ' ἔρωτος δῆγμα παιδικοῦ προσῇ.

παιδικοῦ Valckenarius pro παιδικόν. Vocabulum altero loco excidit.

**722.** Plutarchus Moral. p. 84b. Ἡ δὲ προκοπὴ τὰς ὑπερβολὰς πρότερον καὶ τὰς ὀξύτητας τῶν παθῶν ἀνίησι,

Πρὸς ἅσπερ οἱ μαργῶντες ἐντονώτατοι,

κατὰ τὸν Σοφοκλέα.

**723.** Plutarchus Moral. p. 98a.

Τὰ μὲν διδακτὰ μανθάνω, τὰ δ' εὑρετὰ
ζητῶ, τὰ δ' εὐκτὰ παρὰ θεῶν ᾐτησάμην.

V. 2. τὰ δ' εὐκτὰ] τὰ δ' ἕτερα codices Parisini.

**724.** Plutarchus Moral. p. 99a. Clemens Protreptico p. 78.

Βᾶτ' εἰς ὁδὸν δὴ πᾶς ὁ χειρῶναξ λεώς,

οἱ τὴν Διὸς γοργῶπιν Ἐργάνην στατοῖς
λίκνοισι προστρέπεσθε.

V. 1. Hinc Hesychius χειρῶναξ λεώς et Pollux 2, 151. χειρώνακτες παρὰ Σοφοκλεῖ. 3. Hesychius, Λείκνοισι προτρέπεσθε· λεῖκνα ἱστάντες προσάγεσθε· ἅ ἐστι κανᾶ, ἐφ' οἷς τὰ λήια ἐπετίθετο, ἅπερ εἰσὶ καρποὶ πύρινοι. Ex eodem loco fabulae (Pandorae, ut probabiliter coniecit Hermannus Opusc. vol. 7. p. 331.) sumta sunt quae partim metro soluta attulit Plutarchus Mor. p. 802 b. τὴν γὰρ Ἐργάνην οὗτοι μόνον θεραπεύουσιν, ὥς φησι Σοφοκλῆς, οἱ παρ' ἄκμονι τυπάδι βαρείᾳ καὶ πληγαῖς ὑπακούουσαν ὕλην ἄψυχον δημιουργοῦντες. Ex quo loco intelligitur Sophoclis hos versus esse; nam Plutarchus supra et Clemens omiserunt nomen poetae.

725. Plutarchus Morsl. p. 107 b.

Σὺ δ' ἄνδρα θνητὸν, εἰ κατέφθιτο, στένεις,
εἰδὼς τὸ μέλλον οὐδὲν εἰ κέρδος φέρει;

726. Plutarchus Moral. p. 141 e. Ταῖς Λυσάνδρου θυγατράσιν ὁ τύραννος ὁ Σικελικὸς ἱμάτια καὶ πλόκια τῶν πολυτελῶν ἔπεμψεν. ὁ δὲ Λύσανδρος οὐκ ἔλαβεν, εἰπὼν "Ταῦτα τὰ κόσμια καταισχυνεῖ μου μᾶλλον ἢ κοσμήσει τὰς θυγατέρας." πρότερος δὲ Λυσάνδρου Σοφοκλῆς τοῦτο εἶπεν

Οὐ κόσμος, οὐκ, ὦ τλῆμον, ἀλλ' ἀκοσμία
φαίνοιτ' ἂν εἶναι, σῶν τε μαργότης φρενῶν.

727. Plutarchus Moral. p. 280 f. Διὰ κόρον καὶ πλησμονὴν ἐξυβρίζουσι καὶ βόες καὶ ἵπποι καὶ ὄνοι καὶ ἄνθρωποι, ὥς που καὶ Σοφοκλῆς πεποίηκε

Σὺ δὲ σφαδᾴζεις πῶλος ὣς εὐφορβίᾳ·
γαστήρ τε γάρ σου καὶ γνάθος πλήρης.

V. 1. σφαδᾴζεις] Scribebatur σφαδάζεις sine iota subscripto: de quo v. quae in Thesauro dicta sunt. 2. πλήρης] πλήρης βορᾶς E. A. I. Ahrensius.

728. Plutarchus Moral. p. 394 b.

Οὐ νάβλα κωκυτοῖσιν, οὐ λύρα, φίλα.

Φίλα si scripsit, generis est neutrius. Sed probabilius est φίλη, ut Nauckius. Νάβλα, εἶδος ὀργάνου, Phot. p. 285, 7.

729. Plutarchus Moral. p. 414 e. Πολλὰ καλὰ τοῦ θεοῦ διδόντος ἀνθρώποις, ἀθάνατον δὲ μηδέν· ὥστε θνήσκειν καὶ τὰ θεῶν, θεοὺς δὲ οὔ, κατὰ τὸν Σοφοκλέα. Fortasse respicitur locus Oed. Col. 607. μόνοις οὐ γίγνεται | θεοῖσι γῆρας, οὐδὲ κατθανεῖν ποτε, | τὰ δ' ἄλλα συγχεῖ πάνθ' ὁ παγκρατὴς χρόνος. Monuit Nauckius.

730. Plutarchus Moral. p. 417 f. Ὁ Σοφοκλέους Ἄδμητος (εἶπε περὶ Ἀπόλλωνος)

Οὑμὸς δ' ἀλέκτωρ αὐτὸν ἦγε πρὸς μύλην.

731. Plutarchus Moral. p. 458 e. Καὶ τὸν Νεοπτόλεμον Σοφοκλῆς καὶ τὸν Εὐρύπυλον ὁπλίσας, Ἐκόμπασ' ἀλοιδόρητα, φησίν,

Ἐρρηξάτην ἐς κύκλα χαλκέων ὅπλων.

Μεσομφάλοις δόρη | ἐρρηξάτην κύκλοισι χαλκέων ὅπλων Herwerdenus p. 28.

732. Plutarchus Moral. p. 463 d. Ὁ δὲ Σοφοκλῆς λέγων ὅτι

Τὰ πλεῖστα φωρῶν αἰσχρὰ φωράσεις βροτῶν,

ἄγαν ἔοικεν ἡμῖν ἐπεμβαίνειν καὶ κολούειν. Iterum affert p. 481 f.

733. Plutarchus Moral. p. 468 b. Ὥσπερ οἱ Σοφοκλέους ἰατροὶ

Πικρὰν χολὴν κλύζουσι φαρμάκῳ πικρῷ.

P. 463 f. scriptum πικρῷ πικρὰν κλύζουσι φαρμάκῳ χολήν. Et p. 923 a. πικρὰν πικροῖς κλύζουσι φαρμάκοις χολήν. Quae scriptura probabilior duabus prioribus.

734. Plutarchus Moral. p. 504 c. (et p. 810 c.) Ὁ μὲν γὰρ Σοφοκλέους Νέστωρ τὸν Αἴαντα τραχυνόμενον τῷ λόγῳ πραΰνων ἠθικῶς τοῦτο εἴρηκεν

Οὐ μέμφομαί σε· δρῶν γὰρ εὖ κακῶς λέγεις.

Ad Ἀχαιῶν σύνδειπνον refert Brunckius.

735. Plutarchus Moral. p. 511 f. Πρῶτον μὲν οὖν ἐν ταῖς τῶν πέλας ἐρωτήσεσι σαυτὸν ἔθιζε σιωπᾶν, μέχρι οὗ πάντες ἀπείπωνται τὴν ἀπόκρισιν.

Οὐ γάρ τι βουλῆς ταὐτὸ καὶ δρόμου τέλος,

ὥς φησιν ὁ Σοφοκλῆς.

736. Plutarchus Moral. p. 530 a. Κακὴ δὲ (ἡ δυσωπία) θαλάμου καὶ γυναικωνίτιδος ἐπίτροπος, ὥς φησιν ἡ παρὰ τῷ Σοφοκλεῖ μετανοοῦσα πρὸς τὸν μοιχὸν "Ἔπεισας, ἐξέθωψας."

737. Plutarchus Moral. p. 625 d. Σοφοκλῆς περὶ τῶν γερόντων

Βραδεῖα μὲν γὰρ ἐν λόγοισι προσβολὴ
μόλις δι' ὠτὸς ἔρχεται τρυπωμένου,
πόρρω δὲ λεύσσων, ἐγγύθεν δὲ πᾶς τυφλός.

V. 1. Βραδεῖα] Βαρεῖα Herwerdenus p. 29. 2. τρυπωμένου] ῥυπωμένου Meinekius in Fleckeiseni Annal. a. 1863. p. 379. 3. πόρρω aut Plutarchus aut librarius posuit. Sophocles πρόσω scripserat.

738. Plutarchus Moral. p. 640 a. Καὶ Σοφοκλῆς εἴρηκέ που περὶ τῶν Τρώων ὡς "Φίλιπποι καὶ κερουλκοί, σὺν σάκει δὲ κωδωνοκρότῳ παλαισταί." δὲ post κωδωνοκρότῳ transposuit Bergkius metri indicio.

739. Plutarchus Moral. p. 732 d. Τοῦ Σοφοκλέους ἐπὶ τῶν, ὅτι μὴ πρότερον ἦν, ἀπιστουμένων εἰ γέγονε νῦν, οὐ φαύλως εἰπόντος

Ἅπαντα τἀγέννητα πρῶτον ἦλθ' ἅπαξ.

Ita Valckenarius Diatrib. p. 222. Vulgo ἅπαντα τὰ γένη τὸ πρῶτον ἦλθεν. Artemidorus 4, 59. Τοῦτο τὸ ἰαμβεῖον "Ἅπαντα τἀδόκητα πρῶτον ἦλθ' ἅπαξ."

740. Plutarchus Moral. p. 758 f. Ἐνθουσιασμοῦ δὲ τὸ μαντικὸν ἐξ Ἀπόλλωνος ἐπιπνοίας καὶ κατοχῆς· τὸ δὲ βακχεῖον ἐκ Διονύσου "Κἀπὶ Κυρβάντεσσι χορεύσατε," φησὶ Σοφοκλῆς. Κυρβάντεσσι pro Κορυβάντεσσι praebuerunt codices Parisini apud Duebnerum. De qua forma pluribus dixi in Thesauro vol. 4. p. 2136.

741. Plutarchus Moral. p. 768 f.

Φίλων τοιούτων οἱ μὲν ἐστερημένοι
χαίρουσιν, οἱ δ' ἔχοντες εὔχονται φυγεῖν.

Omisso poetae nomine omissisque verbis φίλων τοιούτων haec affert p. 94 d.

742. Plutarchus Moral. p. 788 b. 792 a. 1129 d.

Λάμπει γὰρ ἐν χρείαισιν ὥσπερ εὐπρεπὴς
χαλκός, χρόνῳ δ' ἀργῆσαν ἤμυσε στέγος.

V. 1. εὐγενὴς p. 1129.

743. Plutarchus Moral. p. 854 f. Ἀλλὰ "Δεινὸν τὸ τᾶς Πειθοῦς πρόσωπον," ὥς φησιν ὁ Σοφοκλῆς.

744. Plutarchus Moral. p. 959 e. Ἔλαφοι δὲ — ἐσθιόμενοι προβάτων καὶ κυνῶν ἐνιαχοῦ καὶ ἵππων κρέα προυξένησαν· "Τιθασὸν δὲ χῆνα καὶ περιστερὰν ἐφέστιον οἰκέτιν (sic H. Stephanus pro οἰκέτην) τε," Σοφοκλῆς (ὡς Σοφοκλῆς Nauckius) οὐχ ὡς γαλαῖ καὶ αἴλουροι τροφῆς ἕνεκα διὰ λιμὸν, ἀλλ' ἐφ' ἡδονῇ — κατακόπτοντες ὅσον ἐστὶ τῇ φύσει φονικὸν καὶ θηριῶδες ἔρρωσαν. Pollux 3, 82. οἱ μέντοι ποιηταὶ καὶ τοὺς ἄλλους οἰκείους οἰκέτας ὠνόμαζον, ὅπου γε καὶ "περιστερὰν οἰκέτιν."

745. Plutarchus Moral. p. 985 c. Ἀλλὰ ἡμῖν γε πάλαι τὸ τοῦ Σοφοκλέους δεδογμένον ἐστὶν

Εὖ γὰρ καὶ διχοστατῶν λόγος
σύγκολλα τἀμφοῖν ἐς μέσον τεκταίνεται.

τ' ἀμφοῖν ἐς μέσον unus codex. Ceteri τ' ἐς μέσον ἀμφοῖν.

**746.** Plutarchus Moral. p. 1100c. Ὑπὸ χαρᾶς ἤρθη κατὰ τὸν Σοφοκλέα

Γραίας ἀκάνθης πάππος ὣς φυσώμενος.

Huc spectat Hesychii glossa Πάππος ἀκάνθης.

**747.** Scholiasta Eurip. Rhesi 105. Εἴθ' ἦσθ' ἀνὴρ εὔβουλος: ἔμπαλιν ὁ Σοφοκλῆς φησιν

Εἴθ' ἦσθα σώφρων ἔργα τοῖς λόγοις ἴσα.

Σοφοκλῆς pro σοφὸς Cobeti emendatio est. τἄργα τοῖς λόγοις ἴσος coniecit Nauckius. Ἔργα θ' οἷς λέγεις ἴσα (vel ἴσος) Meinekius. Fortasse sequebatur δρῶν.

**748.** Scriptor vitae Homeri in Opuscul. Mythol. Thom. Gale p. 367. (Plutarchi vol. 5. p. 1197. ed. Wytt.) Πάλιν δὲ τὸ Ὁμήρου (Il. 3. 65.) "Οὔ τοι ἀπόβλητ' ἐστὶ θεῶν ἐρικυδέα δῶρα," Σοφοκλῆς παρέφρασεν εἰπὼν

Θεοῦ τὸ δῶρον τοῦτο· χρὴ δ' ὅσ' ἂν θεοὶ
διδῶσι, φεύγειν μηδέν, ὦ τέκνον, ποτέ.

**749.** Schol. Homeri Iliad. 1, 423. Χρῶνται δὲ καὶ πλείονες ἄλλοι τῶν ποιητῶν τῇ κατά ἀντὶ τῆς ἐπί. Σοφοκλῆς

Ἐγὼ κατ' αὐτὸν, ὡς ὁρᾷς, ἐξέρχομαι.

**750.** Schol. Homeri Iliad. 9, 453. Σοφοκλῆς

Ὃς μὴ πέπονθε τἀμὰ μὴ βουλευέτω.

**751.** Eustathius p. 1237. Διαγνωμονοῦντος Ἀχιλλέως ὅτι τε εὐψύχως ἔτι διάκειται καὶ διερῷ ποδὶ, καθ' Ὅμηρον, ἢ χλωρὸν γόνυ κατὰ Θεόκριτον ἔχων, βαίνει, καὶ οὔπω δέος εἰς ἀλίβαντα καταπεσεῖν αὐτὸν, ζῶντι ποδὶ χρώμενον, ὥς φησι Σοφοκλῆς. Conf. fragm. 831.

**752.** Eustathius p. 1538. Λέγει δέ που καὶ Σ. τὸ, Τηροῦντα τοὺς λέγοντας καὶ συνάγοντα ὀφρῦς καὶ τὰς ἀκάνθας ἐπεγείροντα· εἰπὼν τοῦτο ἐκεῖνος ὡς ἀπὸ ἰχθύων, οἳ τὰς ἀκάνθας ὀρθοῦσι καιρῷ θυμοῦ. "Fefellit procul dubio memoria Eustathium: quae tanquam Sophoclis profert, tragicum minime redolent; Aristophanis potius esse crediderim." Brunck.

**553.** Cicero ad Atticum 2, 16. Cneus quidem noster iam plane quid cogitet nescio:

Φυσᾷ γὰρ οὐ σμικροῖσιν αὐλίσκοις ἔτι,
ἀλλ' ἀγρίαις φύσαισι φορβειᾶς ἄτερ.

Longinus περὶ ὕψους c. 3, 2. Γελᾶται ἔτι μᾶλλον τὰ Κλειτάρχου. φλοιώδης γὰρ ὁ ἀνὴρ καὶ φυσῶν, κατὰ τὸν Σοφοκλέα, οὐ σμικροῖς μὲν αὐλίσκοις, φορβειᾶς δ' ἄτερ.

**754.** Dionysius Halic. de Comp. Verb. c. 9. p. 66. edit. Upton. (vol. 5. p. 50. Reisk.)

Μύω τε καὶ δέδορκα κἀξανίσταμαι,
πλέον φυλάσσων αὐτὸς ἢ φυλάσσομαι.

V. 2. πλέον correxi pro πλεῖον.

**755.** Scholiasta Pindari Olymp. 1, 97. Ἔνιοι δὲ ὅτι τρία λέγεται κοινῶς καὶ τὰ πρὸς τὸν θάνατον συνεργοῦντα, ξίφος, ἀγχόνη, κρημνός. Σοφοκλῆς

Λύσω γὰρ, εἰ καὶ τῶν τριῶν ἓν οἴσομαι.

**756.** Scholiasta Pindari Pyth. 2, 125. Οἱ γὰρ Φοίνικες παλιγκάπηλοι. καὶ Σοφοκλῆς

Ὠνὴν ἔθου καὶ πρᾶσιν, ὡς Φοῖνιξ ἀνὴρ,
Σιδώνιος κάπηλος.

**757.** Scholiasta Pindari Pyth. 4, 213. Γίνεται τοῦτο, ἐπειδὰν ὑπέρμετρος χαρὰ ἐπιπέσῃ, ὥστε ἀκουσίως δακρύειν. Σοφοκλῆς

Χῶρος γὰρ οὗτός ἐστιν ἀνθρώπου φρενῶν,
ὅπου τὸ τερπνὸν καὶ τὸ πημαῖνον φύει·
δακρυρροεῖ γοῦν καὶ τὰ καὶ τὰ τυγχάνων.

**758.** Scholiasta Pindari Pyth. 4, 221. Ὑπέρεια κρήνη ἐν ταῖς Φεραῖς, ὡς Σοφοκλῆς

Ὦ γῆ Φεραία, χαῖρε, σύγγονόν θ' ὕδωρ,
Ὑπέρεια κρήνη, νᾶμα θεοφιλέστατον.

**759.** Scholiasta Pindari Nem. 10, 59. Καὶ γὰρ τὸ πρῶτον ἔσχατον ποτὲ δύναται γενέσθαι καὶ τὸ ἔσχατον πρῶτον. κέχρηται καὶ Σοφοκλῆς τῷ ἐσχάτῳ ἀντὶ τοῦ πρώτου

Ἤδη γὰρ ἕδρα Ζεὺς ἐν ἐσχάτῳ θεῶν.

Brunckius ἔχει γὰρ ἕδραν.

**760.** Scholiasta Aeschyli Persar. v. 181. Ἐδοξάτην μοι δύο γυναῖκ' εὐείμονε — εἰς ὄψιν μολεῖν: ἐντεῦθεν ὁ Σοφοκλῆς τὸ

Ἐδοξάτην μοι τὼ δύ' ἠπείρω μολεῖν.

Quae corrupta apud Herodianum Pierson. p. 434. τὼ pro τὰ correxit Blomfieldus. "Suspicor non Sophoclis hunc esse versum, sed comici poetae, qui Aeschylea verba δύο γυναῖκ' εὐείμονε, quibus significantur δύο ἠπείρω Europa et Asia, in risum verterit." Nauck.

**761.** Scholiasta Euripidis Orest. v. 480.

Ὀργὴ γέροντος ὥστε μαλθακὴ κοπὶς
ἐν χειρὶ θήγει, σὺν τάχει δ' ἀμβλύνεται.

V. 1. κοπὶς ex codicibus restitutum pro νοτίς. 2. χειρὶ] χρωτὶ Ribbeck. ad Trag. Lat. p. 287. qui versus hos de Telamone dictos esse in Teucro tragoedia coniicit. θήγει] θηκτὴ Herwerdenus p. 29. σὺν Matthiae pro ἐν.

**762.** Scholiasta Euripidis Orest. v. 592.

Ἀεὶ γὰρ εὖ πίπτουσιν οἱ Διὸς κύβοι.

"Proverbialis est senarius sine auctoris nomine saepe citatus. Vide Erasmi Adagia chil. 1. cent. 3, 9." Brunck. Affertur ab Zenobio Prov. 2, 44. Diogeniano 1, 58. scholiasta Aeschyli Agam. 33. Stobaeo Ecl. 1, 3, 32. p. 122. Suida s. v. Ἀεί. Proverbium tragicum appellat Eustathius p. 1084, 1. 1397, 18.

**763. 764.** Scholiasta Euripidis Med. v. 33. Ἀτιμάσας ἔχει: Ἀττικῶς ἀντὶ τοῦ ἠτίμησε. καὶ Σοφοκλῆς

Παῖδας γὰρ οὓς ἔφυσ' ἀναλώσας ἔχει

καὶ πάλιν

Εὐφημίαν μὲν πρῶτα κηρύξας ἔχω.

"Horum senariorum prior de Thyeste dictus videtur." Brunck.

**765.** Scholiasta Aristophanis Nub. v. 1162. exscriptus ab Suida s. v. Λυσανίας, Λυσανίας πατρῴων μεγάλων κακῶν: λύων τὰς τοῦ πατρὸς ἀνίας — τὸν Σοφοκλέα μυκτηρίζει λέγοντα

Ζεὺς νόστον ἄγοι τὸν νικομάχαν
καὶ παυσανίαν καὶ ἀτρείδαν.

κατ' Ἀτρειδᾶν Bentleius, quo nihil proficitur, quum de sensu horum verborum non constet, de quo valde incerta coniectura Meinekii est (in Fleckeiseni Annal. a. 1863. p. 379.) ἀτρείδαν pro ἄτρεστον dictum accipientis.

**766.** Schol. Aristoph. Avium v. 515. Δέον εἰπεῖν ἐπὶ τοῦ σκήπτρου εἶπεν ἐπὶ τῆς κεφαλῆς. οὕτω γὰρ Πίνδαρος "εὕδει δ' ἀνὰ σκάπτρῳ Διὸς αἰετός." καὶ Σοφοκλῆς

Ὁ σκηπτροβάμων αἰετὸς, κύων Διός.

**767.** Schol. Aristoph. Avium v. 1240. Ὅπως μὴ σὸν γένος πανώλεθρον | Διὸς μακέλλῃ πᾶν ἀναστρέψῃ Δίκη: τοῦτό φησι παρὰ τὸ Σοφόκλειον

Χρυσῇ μακέλλῃ Ζηνὸς ἐξαναστραφῇ.

**768.** Schol. Aristoph. Lysistratae v. 8. Τοξοποιεῖν τὰς ὀφρῦς: ἀντὶ τοῦ ἐσκυθρωπακέναι. ἀπὸ τοῦ παρακολουθοῦντος. τοιοῦτο γὰρ τὸ πρόσωπον τῶν ἐν μερίμνῃ ὄντων. Ὅμηρος (Il. 15, 102.) "Οὐδὲ μέ-

τωπον ἐπ᾽ ὀφρύσι κυανέησιν ἰάνθη." καὶ Σοφοκλῆς (κατὰ τὸ ἐναντίον add. Suidas s. v. τοξοποιεῖν)

Ὡς ἂν Διὸς μέτωπον ἐκταθῇ χαρᾷ.

Codex ἐκτανθῇ. Suidas ἰάνθη, quod ex versu Homerico irrepsit. Veram scripturam habet schol. Homeri Il. 15, 101.

**769.** Philo Iudaeus vol. 2. p. 448. Τὸν ἀψευδῶς ἐλεύθερον ἀναζητῶμεν, ᾧ μόνῳ τὸ αὐτοκρατὲς πρόσεστι — ἀναφθέγξεται γὰρ ἐκεῖνο τὸ Σοφόκλειον, οὐδὲν τῶν Πυθοχρήστων διαφέρον, Θεὸς ἐμοὶ ἄρχων, θνητῶν δὲ οὐδὲ εἷς. Sophoclis versus, non nominato poeta, servavit Aristoteles Eth. Eudem. 7, 10. p. 1242, 37. Ἡ δὲ τῶν ἀδελφῶν (φιλία) πρὸς ἀλλήλους ἑταιρικὴ μάλιστα ἡ κατ᾽ ἰσότητα,

Οὐ γάρ τι νόθος τῷδ᾽ ἀπεδείχθην,
ἀμφοῖν δὲ πατὴρ αὐτὸς ἐκλήθη.
Ζεὺς ἐμὸς ἄρχων, θνητῶν δ᾽ οὐδείς.

V. 1. ἀπεδείχθην — αὐτὸς Nauckius pro ἀπεδείχθη — αὐτός. 3. Verba θνητῶν δ᾽ οὐδεὶς ab Aristotele omissa ex Philone addidit Bergkius.

**770. 771.** Achilles Tatius Isagoges ad Arati Phaenom. cap. 1. initio p. 122.:

Μισῶ μὲν ὅστις τἀφανῆ περισκοπεῖ,

φησὶν ὁ Σοφοκλῆς. et paullo post ubi de astronomiae inventoribus, Σοφοκλῆς δὲ εἰς Ἀτρέα τὴν εὕρεσιν ἀναφέρει λέγων "Πᾶς προσκυνεῖ δὲ τὸν στρέφοντα κύκλον ἡλίου." Cum loci prioris sententia Nauckius comparavit Ennii verba p. 35. ed. Ribbeck. *Quod est ante pedes nemo spectat, caeli scrutantur plagas.* Eupolidis fragmentum apud Diog. L. 9, 50. ἀλαζονεύεται μὲν ἀλιτήριος | περὶ τῶν μετεώρων, τὰ δὲ χαμᾶθεν ἐσθίει. et Platon. Theaet. p. 174a. Antip. Sidon. Anth. Pal. 7, 172.

**772.** Scriptor vitae Arati apud Petavium p. 151. (vol. 2. p. 437. Buhl.) Οἱ δὲ Δία τὸν ἥλιον νοήσαντες λέγουσιν ὅτι καὶ Σοφοκλῆς Δία τὸν ἥλιον καλεῖ λέγων,

Ἠέλιος οἰκτείρειέ με,
ὃν οἱ σοφοὶ λέγουσι γεννητὴν θεῶν
καὶ πατέρα πάντων.

V. 1. ἥλιος οἰκτείρειέ με πάντων Brunckius pro ἠελίοιο κτείρειε ἐμέ· οἱ σοφοὶ λέγουσι γεννητὴν θεῶν πατέρα πάντων. Ἥλιος ἐποικτείρειέ με Wagnerus. Sophoclis hos versus esse incertum videtur Bernhardyo Hist. lit. Gr. vol. 2. p. 797. (309. ed. sec.).

**773.** Scholiasta Aristidis vol. 3. p. 681, 33. Καὶ τὸ

Φίλου κακῶς πράξαντος ἐκποδὼν φίλοι,

Σοφοκλέους ὄν, παροιμιῶδες γέγονε. Ex Sophoclis Oedipo affertur ibidem p. 85, 23. sine poetae nomine ab schol. Sophoclis Electr. v. 188. et schol. Eurip. Phoen. 403. ubi recte ἀνδρὸς pro φίλου, ut apud Zenobium 1, 90. Diogenian. 1, 79. Spectat ad h. v. Aristides vol. 1. p. 112, 5. 268, 11. Iebb.

**774.** Stephanus, Αἶα: πόλις Κόλχων — ἔστι δὲ καὶ Θετταλίας ἄλλη, ὧν μέμνηται Σοφοκλῆς· τῆς μὲν προτέρας λέγων "Εἰς Αἶαν πλέων," τῆς δὲ δευτέρας οὕτως

Ἔστιν τις Αἶα Θεσσαλῶν παγκληρία.

**775.** Stephanus, Ἀνακτόριον: Ἀκαρνανίας πόλις — τὸ ἐθνικὸν Ἀνακτόριος, καὶ θηλυκὸν Ἀνακτορία, ἡ γῆ· καὶ Ἀνακτοριεύς. Σοφοκλῆς δέ φησι διὰ διφθόγγου

Ἀνακτόρειον τῆσδ᾽ ἐπώνυμον χθονός.

Similiter Etym. Voss. ap. Gaisford. p. 267 D.

**776.** Stephanus, Ἀρτάκη: πόλις Φρυγίας — τὸ ἐθνικὸν Ἀρτακηνός· Σοφοκλῆς δὲ Ἀρτακεὺς εἶπε

Τί μέλλετ᾽ Ἀρτακῆς τε καὶ Περκώσιοι;

Apud Stephanum Ἀρτακεῖς.

**777.** Scholiasta Hesiodi Theogon. v. 30. Καί μοι σκῆπτρον ἔδον, δάφνης ἐριθηλέος ὄζον: παρόσον ἡ δάφνη ἐνεργεῖ πρὸς τοὺς ἐνθουσιασμούς. Σοφοκλῆς

Δάφνην φαγὼν ὀδόντι πρῖε τὸ στόμα.

**778.** Dicaearchus de statu Graeciae p. 16. edit. Hudson. (vol. 1. p. 103. ed. Mueller.): Αἱ δὲ γυναῖκες τῶν Θηβαίων τοῖς μεγέθεσι, πορείαις, ῥυθμοῖς εὐσχημονέσταταί τε καὶ εὐπρεπέσταται τῶν ἐν τῇ Ἑλλάδι γυναικῶν. μαρτυρεῖ Σοφοκλῆς

Θήβας λέγεις μοι τὰς πύλας ἑπταστόμους,
οὗ δὴ μόνον τίκτουσιν αἱ θνηταὶ θεούς.

**779.** Ioannes Damasc. in Gaisfordi Append. ad Stobaeum vol. 4. p. 34. (sive post Stob. Ecl. p. 725, 16.) Σοφοκλέους

Ἐπεὶ πέπρακται πᾶν τὸ τοῦ θεοῦ καλῶς,
χωρῶμεν ἤδη, παῖδες, ἐς τὰ τῶν σοφῶν
διδασκαλεῖα, μουσικῆς παιδεύματα.
προσλαμβάνειν δὲ δεῖ καθ᾽ ἡμέραν ἀεί,
ἕως ἂν ἐξῇ μανθάνειν βελτίονα.
παῖς δ᾽ ὢν κακὸν μὲν δρᾶν τι προῖκ᾽ ἐπίσταται,
αὐτὸς παρ᾽ αὑτοῦ μανθάνων ἄνευ πόνου·
τὰ χρηστὰ δ᾽, οὐδ᾽ ἢν τὸν διδάσκαλον λάβῃ,
ἐμνημόνευσεν, ἀλλὰ κέκτηται μόλις.
ταῦτ᾽ οὖν φυλαξώμεσθα, καὶ μοχθητέον,
ὦ παῖδες, ὡς ἂν μήτ᾽ ἀπαιδεύτων βροτῶν
δοκῶμεν εἶναι κἀποδημοῦντος πατρός.

V. 2. ἐς scripsi pro εἰς. 4. προσλαμβάνειν] προσμανθάνειν G. A. Hirschigius. 5. μανθάνειν] λαμβάνειν Nauckius. 6. ὢν] οὖν Nauckius. ἐπίσταται] ἐπίστασθαι codex. 7. αὑτοῦ Bergkius. αὐτῶν codex. 8. τὰ — διδάσκαλον Brunckius. τὴν — διδακτὸν codex. ἢν] ἂν codex. 12. κἀποδημοῦντος corruptum videtur. μήτ᾽ ἀδημοῦντος Nauckius in Leutschii Philologo vol. 12. p. 193. Idem recte iudicat versus hos non Sophoclis esse, sed poetae aliquanto inferioris.

**780.** Ioannes Damasc. l. c. p. 31. (= 721, 15.)

Ἀμνήμονος γὰρ ἀνδρὸς ἀπόλλυται χάρις.

Scribendum ὄλλυται.

**781.** Strabo 9. p. 399. Τὸ Ἀμφιάρειον — ὅπου φυγόντα τὸν Ἀμφιάρεων, ὥς φησι Σοφοκλῆς

Ἐδέξατο ῥαγεῖσα Θηβαία κόνις
αὐτοῖσιν ὅπλοις καὶ τετραόρῳ δίφρῳ.

V. 2. libri τετραορίστῳ, τετραρίστῳ, τετρωρίστῳ: unde τετραόρῳ restituit Herwerdenus p. 16.

**782.** Strabo 15. p. 687. Παρὰ Σοφοκλεῖ δέ τίς ἐστι τὴν Νῦσαν καθυμνῶν ὡς τὸ Διονύσῳ καθιερωμένον ὄρος

Ὅθεν κατεῖδον τὴν βεβακχιωμένην
βροτοῖσι κλεινὴν Νῦσαν, ἣν ὁ βούκερως
Ἴακχος αὑτῷ μαῖαν ἡδίστην νέμει,
ὅπου τις ὄρνις οὐχὶ κλαγγάνει

καὶ τὰ ἑξῆς. Ad Triptolemum rettulit Welckerus.

**783.** Plutarchus Moral. p. 75b. Εἰ μηδεμίαν αἱ προσκοπαὶ ποιοῦσι τῆς ἀφροσύνης ἄνεσιν, ἀλλ᾽ ἴσῳ σταθμῷ πᾶσιν ἡ κακία περιθεμένη

Μολιβδὶς ὥστε δίκτυον κατέσπασεν.

Etymolog. M. p. 590, 8. Μόλιβος καὶ μόλυβδος. εἰ μὲν ι ἔστιν, τὸ δ οὐκ ἔστιν, οἷον "Καὶ μόλιβος ὥστε δίκτυον κατῆγε (codex unus κατῆ, i. e. κατήγαγε, ut Sylburgius)" Σοφοκλῆς. Conf. Pierson. ad Moer. p. 257.

**784.** Schol. Theocriti 15, 48. Σοφοκλῆς

Τὸ πάνσοφον κρότημα Λαέρτου γόνος.

Τὸ additum.

**785.** Priscianus vol. 2. p. 415. Krehl. *Aeschylus in* Ἑπτὰ ἐπὶ Θήβας (488.)

Ἱππομέδοντος σχῆμα καὶ μέγας τύπος.

*In principio enim trochaeum posuit, quem imitans Sophocles, teste Seleuco, profert quaedam contra legem metrorum, sicut in hoc*

Ἀλφεσίβοιαν, ἣν ὁ γεννήσας πατήρ.

De huiusmodi productionibus plura dixi in edit. Oxoniensi vol. 8. p. 175.

**786.** Crameri Anecd. Oxon. vol. 1. p. 223, 11. Κρίκος — ἔστι δ' ὅτε καὶ ἐν ὑπερθέσει κίρκος· "Ῥήξασα κίρκους" παρὰ Σοφοκλεῖ.

**787.** Herodianus περὶ μονήρους λέξεως p. 34, 3. Παρὰ Σοφοκλεῖ "Ὁ (οὐ Blochius) σκέπαρνος οὐδὲ πριόνος πληγαί". ὅτι γὰρ καὶ ὁ τραγικὸς λέγει σκέπαρνος ἐπ' εὐθείας ἀρσενικῆς ἐν ἑτέροις ἐδήλωσα.

**788.** Ibidem p. 42, 23. Μάτη, ἔνθεν καὶ γενικὴ παρὰ Σοφοκλεῖ "Οὔ τί τοι μέτρον μάτας."

**789. 790.** Bekkeri Anecd. p. 128, 27. Ἂν — τρὶς ἐν μιᾷ συντάξει — παρὰ Σοφοκλεῖ "Πῶς ἂν οὐκ ἂν ἐν δίκῃ | θάνοιμ' ἄν;" Vereor ne grammaticum vitiosa deceperit codicis sui scriptura πῶς ἂν οὐκ pro πῶς ἄρ' οὐκ.

**791.** Plutarchus Lycurgi et Numae Comp. c. 3. p. 77a. ubi de φαινομηρίσι Lacaenis agit, Τῷ γὰρ ὄντι τοῦ παρθενικοῦ χιτῶνος αἱ πτέρυγες οὐκ ἦσαν ἀνερραμμέναι κάτωθεν, ἀλλ' ἀνεπτύσσοντο καὶ συναπεγύμνουν ὅλον ἐν τῷ βαδίζειν τὸν μηρόν. καὶ σαφέστατα τὸ γιγνόμενον εἴρηκε Σοφοκλῆς ἐν τούτοις

Καὶ τὰν νέορτον, ἇς ἔτ' ἄστολος χιτὼν
θυραῖον ἀμφὶ μηρὸν
πτύσσεται, Ἑρμιόναν.

V. 1. νέορτον Valckenarius pro νεοργὸν, quod in uno cod. νευοργὸν scriptum. Ad Hermionam rettulit Valckenar. Diatr. p. 221., ad Ἑλένης ἀπαίτησιν Brunckius.

**792.** Grammaticus ms. in Actis Monac. 2. p. 515, Ἔστι δὲ τὸ φενακίζειν εἰπεῖν καὶ περὶ τοὺς φήληκας· Σοφοκλῆς ἐν ἰάμβῃ· καὶ φήληκας δὲ φαμὲν τοὺς πλανῶντας τὴν ὄψιν ὡς πεπείρους. Hermannus Opusc. vol. 3. p. 41. suspicatur ἐν Νιόβῃ.

**793.** Scholiasta Soph. Oedip. Col. 793. Δοκεῖ γὰρ ὁ Ἀπόλλων παρὰ Διὸς λαμβάνειν τοὺς χρησμοὺς, ὡς καὶ ἐν Ἰφικλείᾳ (Ἰφιγενείᾳ aut Οἰκλεῖ?) φησί.

**794.** Crameri Anecd. Oxon. vol. 1. p. 268, 24. Τὸ παθητικὸν λέλημμαι· Σ. "Οἴμοι, λέλημμαι."

**795.** Etymol. M. p. 207, 17. Βουθοίη: πόλις τῆς Ἰλλυρίδος. Σοφοκλῆς Ὀνομακλεῖ (σοφὸς ὀνο^μ^ κλεῖ codex unus) "Βουθοίη Δρίλωνος ἐπὶ προχοῆσιν ἐνάσθη." Non videtur Sophoclis esse, sed Alexandrini potius poetae, velut Euphorionis, de quo cogitavit Meinekius ad Euphor. p. 168., aut Callimachi, de quo Otto Schneiderus.

**796.** Pollux 6, 39. Ἄβρωτος (corrige ἀβρὼς cum Cobeto Mnemos. vol. 8. p. 244.): ὁ νῆστις, παρὰ Σοφοκλεῖ, καὶ ἀβρωσία ἡ ἀσιτία.

**797.** Bekkeri Anecd. p. 336, 6. Ἀγάζεις: ἀντὶ τοῦ θρασύνεις. Σοφοκλῆς.

**798.** Ibid. p. 336, 7. Ἀγάμετος: ἀντὶ τοῦ ἄγαμος. Σοφοκλῆς.

**799.** Suidas et Bekkeri Anecd. p. 325, 22. Ἀγάσματα: σεβάσματα, ἃ ἄν τις ἀγάσαιτο. Σοφοκλῆς κέχρηται. Sine nomine poetae Hesychius.

**800.** Bekkeri Anecd. p. 340, 22. Ἄγχαζε: ἀντὶ τοῦ ἀναχώρει. οὕτως Σοφοκλῆς.

**801.** Photius p. 6, 8. et Bekkeri Anecd. p. 340, 26. Ἀγωγεύς: ὁ ἱμὰς τῶν κυνηγετικῶν κυνῶν. οὕτως Σοφοκλῆς.

**802.** Pollux 3, 141. Σοφοκλῆς τὴν ἀγωνοθεσίαν ἀγωνοθήκην μοχθηρῶς ἐκάλεσεν. Comparandum νομοθήκη, quod metri caussa pro νομοθεσία dixit Timo Sill. ep. 35: εἰκαίης νομοθήκης.

**803.** Bekkeri Anecd. p. 343, 11. Ἀδικόχειρας: ὡς Σοφοκλῆς.

**804.** Hesychius, Ἀδρέπανον: ἄδρεπτον, θεοῖς ἀνακείμενον. Σοφοκλῆς.

**805.** Bekkeri Anecd. p. 345, 13. Ἁδρῦναι: ἁδρὸν καὶ μέγα ποιῆσαι. Σοφοκλῆς.

**806.** Ibid. p. 347, 25. Ἀείζων — Σοφοκλῆς δὲ τὴν εὐθεῖαν εἶπεν "Ἀείζως γενεά." ἀπὸ δὲ τῆς ζωὸς δισυλλάβου εὐθείας φιλόζωος εἶπεν.

**807.** Ibid. p. 347, 30. Ἀείζων πένθος ἐρεῖς, ὡς Σοφοκλῆς ἀείζων (codex ἀείζωον) ἕλκος.

**808.** Ibid. p. 348, 17. Ἄζειν: τὸ στένειν. Σοφοκλῆς. Hesychius, Ἄζειν: στενάζειν ἢ ἐκπνεῖν διὰ στόματος.

**809.** Bekkeri Anecd. p. 348, 26. Ἀζησία: οὕτως ἡ Δημήτηρ παρὰ Σοφοκλεῖ καλεῖται· οἱ δὲ τὴν εὐτραφῆ. Vid. Lobeck. Aglaoph. p. 822.

**810.** Ibid. p. 353, 4. Ἀθαυμάστως: Σοφοκλῆς εἶπεν.

**811.** Ibid. p. 353, 5. Ἀθέμιστα καὶ ἀνόσια δρᾶν Δείναρχος εἶπε καὶ Σοφοκλῆς.

**812.** Ibid. p. 352, 16. Ἄθρακτος: ἀτάραχος. καὶ τὸ συνεχύθη ἐθράχθη Σοφοκλῆς λέγει.

**813.** Ibid. p. 362. 21. Αἱματορρόφον: Σοφοκλῆς

Τίσις δ' ἄνωθεν εἶσιν αἱματορρόφος.

εἶσιν Bekkerus. Codex ἐστὶν ἡ.

**814.** Ibid. p. 360, 18. Αἱματῶσαι: ἀντὶ τοῦ φονεῦσαι. Σοφοκλῆς.

**815.** Ibid. p. 361, 2. Αἰολίζειν: τὸ ποικίλλειν. οὕτως Σοφοκλῆς. Schol. Theocriti 1, 56. Αἰολίζω τὸ ἀπατῶ. καὶ Ἱεροκλῆς (Σοφοκλῆς Toupius) "Μηδ' αἰόλιζε ταῦτα."

**816.** Bekkeri Anecd. p. 367, 15. Ἀκληρία: ἀντὶ τοῦ ἀτυχία. οὕτως Σοφοκλῆς.

**817.** Ibid. p. 367, 20. Ἀκόλαστος ὄχλος Εὐριπίδης (Hec. 607.) εἶπεν, ἀκόλαστον δὲ σῶμα Σοφοκλῆς. Nisi στόμα scribendum cum Cobeto Nov. Lect. p. 428.

**818.** Ibid. p. 367, 32. Ἀκολουθία: ἡ ἀκολούθησις. Σοφοκλῆς.

**819.** Ibid. p. 372, 13. Ἄκουε σῖγα: — καὶ Σ.

Ἄκουε σῖγα· τίς ποτ' ἐν δόμοις βοή;

**820.** Bekkeri Anecd. p. 369, 13. Ἀκουσείων: ἀντὶ τοῦ ἀκουσόμενος. Σοφοκλῆς. Ibid. p. 372, 14. Ἀκουσέτην Σοφοκλῆς ἔφη, ἀκούσεσθαι δὲ Ἀριστοφάνης. Nihili est ἀκουσέτην. Fortasse scribendum ἀκουσείειν cum Dobraeo. Apud Hesych. Ἀκουστιῶν· ἀκουστικῶς ἔχων. ubi Ἀκουσείων Nauckius.

**821.** Schol. Aristoph. Pac. 1164. Καὶ Σοφοκλῆς "Οὔτ' ἄλλο (σπέρμα addit codex Ven., quod ex superioribus repetitum delevit Bergkius) φίτυ πρῷον" λέγει, ὅ ἐστι πρώϊμον καὶ ὥριμον.

**822.** Bekkeri Anecd. p. 373, 13. Ἀκουσία: τὸ πρᾶγμα. Σοφοκλῆς

Ἐξαίρετον τίθημι τὴν ἀκουσίαν.

**823.** Ibid. p. 373, 1. Ἀκουσίμη: ἀντὶ τοῦ ἀκουστή. Σοφοκλῆς

Σπουδὴ γὰρ ἡ κατ' οἶκον ἐγκεκρυμμένη,
οὐ πρὸς θυραίων οὐδαμῶς ἀκουσίμη.

δύναται καὶ φωνὴ ἀκουσίμη λέγεσθαι. V. 1. Σπουδὴ] Σπονδὴ Brunckius. Ποῦ δὴ Nauckius. 2.

πρὸς θυραίων Brunckius. προσθυραῖον codex. Adiectivum ἀκούσιμος, metri caussa fictum pro ἀκουστός, non magis aliunde cognitum est quam ἀρνήσιμος, quo usus est Philoct. 74., et ἀτήσιμος pro ἀτηρός Antig. 4. si recte sic conieci pro ἄτης ἄτερ.

**824.** Bekkeri Anecd. p. 373, 15. Ἀκροφύσιον: τὸ τῇ χώνῃ προστιθέμενον. Σοφοκλῆς.

**825.** Ibid. p. 383, 4. Ἀλεύσω: ἀντὶ τοῦ φυλάξω. Σοφοκλῆς.

**826.** Ibid. p. 383, 11. Ἀλίνουσι: ἀντὶ τοῦ λεπτύνουσι. Σοφοκλῆς.

**827.** Ibid. p. 383, 31. Ἀλκάθω καὶ ἀλκάθειν: Σοφοκλῆς καὶ Αἰσχύλος. σημαίνει δὲ τὸ βοηθεῖν. Nullum est praesens ἀλκάθω, sed aoristus ἀλκαθεῖν, de quo verborum genere dixi in annot. ad Electr. 396. et Cobetus Mnemos. vol. 8. p. 415. qui ne Iuliano quidem hoc aoristorum genus ignotum fuisse ostendit.

**828. 829.** Suidas (cum eoque Zonaras p. 134.) et Bekkeri Anecd. p. 376, 31. Ἀλλάχθητε: ἀντὶ τοῦ διαλλάχθητε. Σοφοκλῆς. Ex dittographia huius glossae ortum videtur quod sequitur apud grammaticum Bekkeri, Ἀλλά: ἀντὶ τοῦ ὅταν. Σοφοκλῆς.

**830.** Schol. Hom. Il. 18, 274. Σθένος τὴν δύναμιν, ὅ ἐστι τὴν στρατιάν. οὕτω καὶ οἱ συγγραφεῖς δύναμιν καλοῦσι τὸ στράτευμα. καὶ Σοφοκλῆς

Ἐν τοῖσιν ἵπποις τοῖσιν ἐκλελειμμένος
ἴδιον εἰ χωρῶμεν ἢ παντὶ σθένει.

quae Heckerus in Comment. de Anthologia p. 320. sic correxit,

Ἐνετοῖσιν ἵπποις τοῖσιν ἐκλελεγμένοις
ἤδιον, εἰ χωρῶμεν, ἢ παντὶ σθένει —.

partim praeeunte Schneidewino in Coniect. crit. p. 101. qui Ἐνέταισιν potius scribendum fuisse monet in Ephemerid. Gotting. a. 1844. p. 1807. Manifeste corruptum εἰ χωρῶμεν. εἰ χωροῖμεν Nauckius.

**831.** Hesychius, Ἀλύβας (Ἀλίβας): ὄρος παρὰ Σοφοκλεῖ. ἡ πόλις. οἱ δέ, λίμνη ἐν Ἰταλίᾳ, καὶ ἐν Τροίᾳ. "Videtur hoc nomine appellasse Sophocles inferorum paludem aut fluvium. Vide fragm. 751." Brunck.

**832.** Phrynichus Bekkeri p. 14, 20. Ἄμισθος: χωρὶς μισθοῦ. Σοφοκλῆς "Ἄμισθος ὁ ξένος πορεύεται." Conf. Hesych. s. v. ἄμισθος.

**833.** Suidas et grammaticus Coislin. p. 231. Ἀμύνασθαι: — Σοφοκλῆς δὲ ἀντὶ τοῦ ἀπαλεξῆσαι. Non videtur spectare ad Oedip. Col. 873. ἔργοις πεπονθὼς ῥήμασίν σ' ἀμύνομαι.

**834.** Suidas, Ἀμυχνόν: τὸ μὴ μυσαρόν, ἀλλ' ἁγνὸν καὶ καθαρόν. οὕτω Σοφοκλῆς. γράφεται δὲ καὶ ἀμυχρόν. Idem, Ἀμυγνόν: τὸ μὴ μυσαρὸν, ἀλλ' ἁγνὸν καὶ καθαρόν. οὕτω Σοφοκλῆς. Ἀμυσκαρόν: τὸ ἁγνόν. Apud Zonaram p. 155. Ἀμυχρὸν καὶ ἀμυχνόν, τὸ καθαρὸν καὶ ἀμύσκαρον. ubi pro ἀμυχνὸν duo codices ἀμυγνόν. Ex his intelligitur duas tantum formas probari posse, Ἄμυσχνος et Ἀμυσχρός, unde natae et conflatae sunt glossae Suidae. Ἀμυσχρός autem confirmatur feminino ab Etym. M. p. 87, 26. posito ἀμυσχρά. Conf. Lobeck. Pathol. Elem. vol. 1. p. 227. Monuit L. Dindorfius in Thesauro vol. 1. P. 2. p. 186.

**835.** Eustathius p. 1405, 30. Ἀμφώβολα: παρὰ Σοφοκλεῖ αἱ διὰ σπλάγχνων μαντεῖαι. Sic etiam Hesychius explicat.

**836.** Hesychius, Ἀναστρέφων: ἀρνούμενος. Σ.

**837.** Hesychius, Ἀναψύχουσα: ξηραίνουσα. Σ.

**838.** Pollux 3, 107. Τὸν δὲ ἄνοσον καὶ ἀνόσητον Σοφοκλῆς.

**839.** Suidas et Bekkeri Anecd. p. 407, 12. Ἀντάρης νυκτερὶς ὄψεσι, φησὶ Σοφοκλῆς. Ἀντήρης νυκτεραῖς Ellendtius parum probabiliter.

**840.** Bekkeri Anecd. p. 414, 2. Ἄορνος λίμνη — εἶναι δὲ καὶ νεκυομαντεῖον ἐν τῇ Τυρσηνίᾳ λίμνῃ (λίμνῃ recte delet L. Dindorfius) Σοφοκλῆς ἱστορεῖ. Eadem usque ad νεκυομαντεῖον in Etymol. M. p. 115. extr.

**841.** Hesychius (coll. Bekkeri Anecd. p. 419, 13.) Ἀπαιόλημα: ἀποκάθαρμα, ἢ ἀποπάτημα, ἢ ἀποπλάνημα. Σοφοκλῆς.

**842.** Hesychius, Ἀπάνθρωπος: σκληρὸς, ἀνόητος, ἄφρων, ἀνελεήμων. Σοφοκλῆς. Post Σοφοκλῆς codex ἀπανί . . . . addit, quod ex ἀπανθρωπία, ab Cyrillo per σκληρότης explicato, corruptum esse conicit Schmidtius.

**843.** Etymolog. M. p. 123, 13. Ἀπληγίς: τὸ ἁπλοῦν ἱμάτιον, ὅπερ Ὅμηρος ἁπλοΐδα καλεῖ. Σοφοκλῆς

Τρύχει καλυφθεὶς Θεσσαλικῆς ἀπληγίδος.

Quidni Θεσσαλῆς? Frequentem huius vestimenti usum in tragoedia testatur Strabo 11. p. 530. ab Nauckio in Leutschii Philologo vol. 12. p. 193. comparatus.

**844.** Pollux 7, 43. Ἀποδῦσαι καὶ ἀπολωπίσαι, ὡς Σοφοκλῆς, καὶ περιλωπίσαι. Verbo ἐκλωπίσαι usus est Trach. 925. ἐκ δ' ἐλώπισε πλευράν.

**845.** Bekkeri Anecd. p. 432, 6. Ἀπόμορφα: ξένα, οὐκ ἐοικότα τοῖς ἤθεσιν. οὕτως Σοφοκλῆς.

**846.** Ibid. p. 439, 10. Ἀποφανῶσαι: εἰς τὸ φανερὸν καταστῆσαι. οὕτως Σοφοκλῆς. Exspectes ἀποφανερῶσαι, quum frequens sit, etsi non apud veteres Atticos, φανερόω, inauditum vero φανόω. Similis est glossa Hesychii quam supra posuimus (fragm. 76.), Ἀποφανθείς: ἐν τῷ φανερῷ καταστάς. Σοφοκλῆς Ἀκρισίῳ.

**847.** Hesychius, Ἀρραγὲς ὄμμα: οὐ δακρῦον. ᾧ τρόπῳ φαμὲν, κατερράγη μου δάκρυον. Σοφοκλῆς * * σατυρικῷ (σατυρίκῳ codex).

**848.** Bekkeri Anecd. p. 447, 5. Ἄρταμος: κρεουργὸς, μάγειρος. τάττει αὐτὸ Σοφοκλῆς ἐπὶ τοῦ φονέως. Hinc versum sine nomine poetae allatum in Etym. M. p. 149, 56. ἡ γὰρ βέβηκε χεῖρας ἀρτάμων φυγών Sophoclis esse conjecit Gaisfordus.

**849.** Pollux 7, 36. Σπάθη: ὅθεν καὶ τὸ σπαθᾶν καὶ τὸ Ἀσπάθητος χλαῖνα παρὰ Σοφοκλεῖ. Ad hunc locum spectat Hesychii glossa Ἀσπάθητον χλαῖναν: τὴν δορὰν, παρόσον οὐχ ὕφανται. Per ἀνύφαντον explicant Eustath. p. 787, 7. e lexico Pausaniae et grammaticus in Bekk. Anecd. p. 453, 18.

**850.** Bekkeri Anecd. p. 459, 31. Ἀτιμαγέλης: ὁ ἀποστάτης τῆς ἀγέλης ταῦρος. οὕτως Σοφοκλῆς.

**851.** Hesychius, Αὐλῶπιν: αὐλοὺς ἔχουσαν. Σοφοκλῆς δὲ τὴν λόγχην τὴν μακρὰν αὐλῶπιν εἶπεν.

**852.** Phrynichus Bekkeri p. 28, 28. Ἀχανές: τὸ μὴ ἔχον στέγην, ἢ ὄροφον, ἐπὶ τοῦ λαβυρίνθου Σ.

**853.** Pollux 7, 70. Ἡ δὲ βαίτη ἐστὶ μὲν προμήκης χιτών. οὕτω δὲ Σοφοκλῆς καὶ τὰς σκηνὰς τὰς βαρβαρικὰς καλεῖ.

**854a.** Athenaeus 15. p. 690. Παρὰ πολλοῖς δὲ τῶν κωμῳδιοποιῶν ὀνομάζεταί τι μύρον βάκκαρις — μνημονεύει τῆς βακκάριδος καὶ Σοφοκλῆς.

**854b.** Harpocratio, Βάσανος· λίθος ἐστὶν ἡ τὸ χρυσίον παρατριβόμενον δοκιμάζουσα. οὕτως Ἀντιφῶν καὶ Πίνδαρος καὶ Σοφοκλῆς. Pindari et Sophoclis nomina servata in Epitome.

**855.** Hesychius, Βάσκανος: φθονερός, ἀχάριστος,

συκοφάντης. Σ. δὲ ἰδίως τὸ βάσκανος (sic Nauckius. Codex βάσκανον.) ἐπὶ τοῦ (codex ἔπειτα) ἀχάριστος.

**856.** Etym. Voss. ap. Gaisf. p. 577 F. Λαμβάνεται δὲ ἡ λέξις (βλίττειν) καὶ ἐπὶ τοῦ τὰ κηρία τῶν μελισσῶν τρυγᾶν, ὡς Ἀριστοφάνης (Eq. 794.) "ἀλλὰ καθείρξας αὐτὸν βλίττεις." καὶ Σοφοκλῆς

Ἡ σφηκιὰν βλίττουσιν εὑρόντες τινά.

Dialectus tragica postulat βλίσσουσιν. Comparandum autem cum his scholion ad Hippocratem ex codice editum ab Darembergio in *Notices et Extraits des Manuscr. méd.* 1. p. 214. ἐβλιμάσθη — παρὰ τὸ βλίσσειν, ὅ ἐστι μαλάττειν, ὡς Ἀριστοφάνης ἐν Ὄρνισί φησιν (v. 529.) "εἶτα λαβόντες πωλοῦσ' ἀθρόους· οἱ δ' ὠνοῦνται βλιμάζοντες." ὁμοίως καὶ Σοφοκλῆς μέμνηται τῆς λέξεως ἐν Πανδώρᾳ. Quae ad verbum βλίσσειν ex Sophocle memoratum in Etym. Voss. recte referre videtur Schneidewinus.

**857.** Athenaeus 9. p. 409 c. Βοῖκλεψ (codex βοοίκλεψ, epitome ex eaque Eustathius p. 1401, 15. βοόκλεψ) παρὰ Σοφοκλεῖ ὁ Ἑρμῆς.

**858.** Zenobius Proverb. 2, 65. Βοιώτιος νόμος: ἐπὶ τῶν τὰς μὲν ἀρχὰς ἠρεμούντων, ὕστερον δὲ τοῖς κακοῖς ἐπιτεινόντων, ὥς φησι Σοφοκλῆς

Ὅταν τις ᾄδῃ τὸν Βοιώτιον νόμον.

**859.** Eustathius p. 1625, 42. Ἀριστοφάνης ὁ γραμματικὸς ἐν τῷ περὶ ὀνομασίας ἡλικιῶν λέγει ὅτι κατὰ τὴν δάμαλιν Σοφοκλῆς ἔφη γηγενῆ βούβαλιν.

**860.** Etymol. M. 213, 26. Βρίακχος: θηλυκῶς ἡ βάκχη ἡ βριαρῶς ἰακχάζουσα. Σοφοκλῆς "Ἔχω δὲ χερσὶν ἀγρίαν βρίακχον." ἔχω Hemsterhusius, ἀγρίαν Brunckius, pro ἐγὼ — ἄγραν.

**861.** Hesychius, Βωλόναι: οἱ μὲν κολώνας, οἱ δὲ τὸ Κίλλαιον ἀκούουσι, διὰ τὸ ἀνακεχῶσθαι, παρὰ Σ.

**862.** Eustathius p. 1923, 61. Γέρων, παλαιός. λέγει δέ, φασί, καὶ Σοφοκλῆς πληθυντικῶς "Σὺ γὰρ γέροντα βουλεύεις." ἤγουν παλαιά, ἀρχαῖα. Probabilis Nauckii coniectura σὺ γὰρ γέρων γέροντα βουλεύεις: quo audacia dictionis mitigatur.

**863.** Hesychius, Γλοιάς: ἡ κακοήθης ἵππος καὶ πολυδίκ (sic codex), παρὰ Σ. καὶ γλοίης τὸ αὐτό.

**864.** Hesychius, Γνώμων: συνετός. Σοφοκλῆς.

**865.** Trypho περὶ τρόπων vol. 8. p. 741. ed. Walz. ὅταν ἐπὶ συνθέτων ἐναλλάξῃ ὀνομάτων τις τὸ καθωμιλημένον, ὡς παρὰ Σοφοκλεῖ

Οἱ γὰρ γύνανδροι καὶ λέγειν ἠσκηκότες.

ἀντὶ τοῦ ἀνδρόγυνοι. Similiter Polybius Sardianus ibid. p. 612.

**866.** Etymol. M. p. 254, 53. Δελήτιον: τὸ δέλεαρ. Σοφοκλῆς "Ἔχε τὸ δελήτιον." ἢ Σώφρων. Sunt haud dubie Sophronis verba.

**867.** Schol. Apollonii Rh. 3, 281. Δενδίλλειν: — Σ. ἐπὶ τοῦ περιβλέπειν τέθεικε τὴν λέξιν.

**868.** Pollux 3, 73. Δέσποινα — οὐ γὰρ προσίεμαι τὴν Σοφοκλέους δεσπότειραν ἢ τὴν Εὐριπίδου δεσπότιν. Δεσπότιν non erat cur reprehenderet: δεσπότειραν Sophocles metri caussa finxisse videtur, ut alias non paucas vocabulorum formas. Quod Falckenburgius scriptum affert δεσποτηρίαν fortrasse pro δεσπότριαν scriptum est. Κυρίαν καὶ δεσπότρειαν legitur in scholio Thomae Mag. ad Eurip. Hec. 397. vol. 1. p. 318, 22. ed. Oxon. ubi δεσπότριαν scripsit Matthiae. Simile est δυνάστειρα in tabula plumbea Alexandrina quam edidit Lenormant in Museo Rhenano a. 1854. vol. 9. p. 371, 11 et 27.

**869.** Etymol. M. p. 265, 23. Δημόκοινος: δημόσιος βασανιστής· ἢ ὁ δήμιος, ἤγουν ὁ ἐκ τοῦ δήμου τὸ φονεύειν κληρωθείς. Σοφοκλῆς

Οἷος γὰρ ἡμῶν δημόκοινος οἴχεται.

ἡμῖν Bothius.

**870.** Pollux 9, 158. Ὁ ἀνὴρ φυγάς, ἐξόριστος· τραγικὸς (τραγικὸν Nauck.) γὰρ ὁ παρὰ Σ. διωκτός.

**871.** Hesychius, Ἐγκότημα: ὀργή, μανία, εἰ μὴ ἄρα ἰσοδυναμεῖ τῷ κότῳ. καὶ ἐνεκότουν παρὰ Σ.

**872. 873.** Etym. p. 313, 1. Ἔγχος: τὸ δόρυ. ἰστέον ὅτι ἔγχος καὶ ξίφος καὶ δόρυ τὸ αὐτὸ οἶδεν Ὅμηρος. ὁ δὲ Σοφοκλῆς τὴν σφαῖραν ἔγχος κέκληκεν, οἷον "Τὸ δ' ἔγχος ἐν ποσὶν κυλίνδεται." καὶ τὸ πῦρ, οἷον "Ἔγχος ἱέμενον," τὸ τὴν ὁρμὴν ἔχον. Conf. ad fragm. 389.

**874.** Etymol. M. p. 333, 40. Ἔλυτρον: κάλυμμα, ἐκπέτασμα, ἐνείλημα. ὁμοίως καὶ ἡ θήκη τοῦ τόξου. καὶ πληθυντικῶς Σοφοκλῆς ἔλυτρα.

**875.** Etymol. M. p. 344, 40. Ἐνολμίς: ἦν τι γένος μάντεων οὕτω καλούμενον, διὰ τὸ τοὺς ἐν ὅλμῳ κοιμηθέντας μαντικοὺς γίνεσθαι. ὅλμοι δὲ λέγονται οἱ τρίποδες τοῦ Ἀπόλλωνος. — Σ. ἐνόλμιος ἀντὶ τοῦ μαντικός. Zenobius Proverb. 3, 63. Ἀπόλλων ὑπὸ Σ. ἔνολμος.

**876.** Etymol. M. p. 346, 15. Ἀττικῶς μὲν ἔξπουν καὶ ἔξκλινον λέγεται, ὥσπερ καὶ παρὰ Σοφοκλεῖ ἐξπηχυστί. καὶ παρὰ Πλάτωνι τῷ κωμικῷ ἔξπουν. Codex Voss. ἔξπηχυς. Grammaticus fortasse ἔξπηχυ posuerat, ut reliqua genere neutro.

**877.** Eustathius p. 1562, 38. Ἔπηλις: ἡ ἐπὶ τοῦ προσώπου μελανία, καὶ τὸ πῶμα τῆς λάρνακος, ὥς φασιν οἱ παλαιοὶ κατὰ τὸν Σοφοκλῆν. ἡ δ' αὐτὴ καὶ ἔφηλις κοινῶς, ὡς ἀπὸ τοῦ ἥλου. Hesychius, Ἔπηλις: τὸ πῶμα τῆς λάρνακος.

**878.** Pollux 3, 145. Τὸ βραβεύειν, ἐπιστατεῖν Σ.

**879.** Plutarchus Moral. p. 144 b. (et 756 e.) Εὔκαρπον Κυθέρειαν καλῶς ὁ Σοφοκλῆς τὴν Ἀφροδίτην προσηγόρευσε. Ζείδωρον Ἀφροδίτην dixerat Empedocles, ut Plutarchus loco altero memorat.

**880.** Bekkeri Anecd. p. 1376. Εὐνούχους δὲ Σοφοκλῆς καὶ τοὺς ὀφθαλμοὺς τοὺς εὔνεις καὶ μὴ μετασχόντας ὕπνου, τουτέστι τηροῦντας (πηροὺς ὄντας Nauckius) "Οὐχ ὅπου λαμπάδες εὐνούχοις ὄμμασιν."

**881.** Photius p. 37, 9. Εὐορνιθίαν: Σοφοκλῆς ἐπὶ οἰωνῶν. Eustathius p. 1439, 34. Εὐορνιθία κατὰ τοὺς παλαιοὺς παρὰ Σοφοκλεῖ τὸ ἀγαθὸν οἰώνισμα.

**882.** Etym. M. p. 462, 25. Εὐτυχία: εὕρηται καὶ εὐτύχεια παρὰ Σοφοκλεῖ. Hac forma propter metri necessitatem usus est, ut ἐπινύμφειος, ἐπινίκειος, Ἐφέσειος, Ἀνακτόρειον per diphthongum in syllaba penultima dixit contra communem usum: de quo dixi in annot. ad Antig. 814.

**883.** Pollux 7, 185. Βοηλάται — ζευγηλάται. Σ. δὲ ἔφη "Ποππύζεται ζευγηλατρίς." Ζευγηλάτης ex Triptolemo attulit Antiatt. Bekkeri p. 97, 33.

**884.** Photius p. 53, 25. et sine poetae nomine Antiatticista p. 98, 7. Ζημίαν λαβεῖν: ἀντὶ τοῦ ζημιωθῆναι. οὕτως Σοφοκλῆς. Sententiam ἄμεινόν ἐστι ζημίαν λαβεῖν ἢ κέρδος κακόν ex grammatico codicis Vindob. affert Bergkius in *Zeitschrift f. d. Alterthumsw.* a. 1855. p. 110. Verba ἄμεινόν ἐστιν post λαβεῖν transponit Meinekius.

**885.** Pollux 6, 161. Ἡμίκακον Εὐκλείδης λέγει καὶ Σ. Ἀριστοφάνης δὲ καὶ ἡμικάκως (Thesmoph. 449.)

**886.** Hesychius, Ἡρακλεία λίθος· ἣν ἔνιοι Μαγνῆτιν λέγουσιν, οὐκ ὀρθῶς· διαλλάτουσι γάρ, καὶ ἡ μὲν ἐπισπωμένη τὸν σίδηρον Ἡρακλεία ἐστίν, ἡ δὲ ἑτέρα παραπλήσιος ἀργύρῳ. — κέκληται δὲ οὕτως ἀπὸ Ἡρακλείας τῆς ἐν Λυδίᾳ πόλεως. διὸ καὶ Σοφοκλῆς Λυδίαν λίθον αὐτὴν καλεῖ. Idem, Λυδία λίθος· ἡ βασα-

νίζουσα τὸν χρυσόν. Λυδικὴ λίθος σίδηρον τηλόθεν προσηγάγου. αὕτη γὰρ τὸν σίδηρον ἐπισπᾶται· ἡ δὲ Μαγνῆτις διασπᾶται (διαπατᾷ Heindorfius) τὴν ὄψιν, ὡς δοκεῖν ἀργύριον εἶναι. Unde Sophoclis haec fuisse verba coniecit Buttmannus, Λυδία λίθος σίδηρον τηλόθεν προσηγάγου.

**887.** Etymol. M. p. 450, 48. Θήλεια: ἐκ τοῦ θῆλυς. ἢ παρὰ τὸ θάλλειν καὶ γεννᾶν. ὅθεν καὶ ἡ ὑπομβρος νὺξ παρὰ Σοφοκλεῖ θήλεια καλεῖται. Similiter Etym. Gud. p. 261, 15. et omisso poetae nomine Zonaras p. 1042.

**888.** Choeroboscus p. 219, 5. ed. Gaisf. Τὸ θηλυδος παρὰ τῷ Σοφοκλεῖ κλιθὲν διὰ τοῦ δος ἡμάρτηται.

**889.** Etymol. M. p. 42, 40. Ἴδρις — ἄϊδρις. ἡ γενικὴ ἀΐδρεως, ὡς ὄφις ὄφεως· καὶ ἀΐδρεϊ καὶ ἀΐδρει. οὐ γὰρ δεῖ διὰ τοῦ δ. — ὥστε ἁμάρτημα τὸ παρὰ τῇ Σαπφοῖ πολυΐδριδι καὶ παρὰ Σοφοκλεῖ ἴδριδα, καὶ παρὰ Φρυνίχῳ ἴδριδες. Eadem fere in schol. ad Homeri Il. 3, 219. et apud Eustath. p. 407, 38.

**890.** Choeroboscus p. 278, 26. ed. Gaisf. Ἴκτινος ἡ εὐθεῖα, ὡς παρὰ Σοφοκλεῖ

Ἴκτινος ὡς ἔκλαγξε παρασύρας κρέας.

Etym. M. p. 470, 103. (1345 ed. Gaisf.) Zonaras p. 1100. ἴκτινος ἔκραξε (ἔκλαγξε Etym., sed ἔκραξε in cod. Havn.) παρασύρας κρέας.

**891.** Pollux 7, 185. Ἱπποφορβοὶ ἱπποφορβία καὶ ὡς Σοφοκλῆς ἱπποβουκόλοι, ἱπποφορβεῖς. Ἱπποβουκόλοι est apud Eurip. Phoen. 28.

**892.** Athenaeus 2. p. 52b. Κάρυα — τὸ δὲ δένδρον καρύα παρὰ Σοφοκλεῖ "Καρύαι μελίαι τε."

**893.** Athenaeus 13. p. 592b. Σοφοκλῆς δ' ὁ τραγῳδοποιὸς ἤδη γέρων ὢν ἠράσθη Θεωρίδος τῆς ἑταίρας — τῆς δὲ Θεωρίδος μνημονεύει ἔν τινι στασίμῳ (στασίμως codex) οὕτως "Φίλη γὰρ ἡ Θεωρίς." Narratio suspecta, de qua dixi in commentatione de Vita Sophoclis p. XII. ed. Oxon. Nam ab Sophocle tale quid neque in tragoedia neque in fabula satyrica dici potuit.

**894.** Grammaticus cod. Ambros. in H. Keilii Anal. Gr. (Halis 1848.) p. 8, 15. Τὰ μεγάλα Μολοσσικὰ ἐκάλουν. Σοφοκλῆς

Μολοσσικαῖσι χερσὶν ἐκτείνων χεῖρας.

Metrum correxit Keilius χεῖρας in χέρας mutato. Sed aliud quid scripsisse Sophoclem intelligitur ex scholio ad Hephaest. apud Gaisford. vol. 1. p. 170. τοὺς δὲ μηκίστους τὸ παλαιὸν μολοσσοὺς ἐκάλουν, ὡς Σοφοκλῆς "μολοσσῇσι χερσὶν ἐκτείνων πέλας." unde Nauckius in Leutschii Philologo vol. 12. p. 642. coniecit, Μολοσσικαῖσι χερσὶν ἐντείνων πέδας, vel Μολοσσικαῖσι χεῖρας ἐντείνων πέδαις.

**895.** Photius p. 151, 14. Καυρός: κακός. οὕτως Σ. Scribendum καῦρος: vid. Arcad. p. 69, 21.

**896.** Etymol. M. p. 500, 54. Κέκονα: παρὰ Σοφοκλεῖ. ἀπὸ τοῦ κτείνω, ἔκτονα, κέκονα.

**897.** Etymol. M. p. 511, 52. Κηρύκειον: ἔστι προσηγορικὸν, καὶ σημαίνει πᾶσαν ῥάβδον κήρυκος. ἔστι καὶ κτητικὸν, σημαῖνον τὸ τοῦ κήρυκος, ὡς παρὰ Σοφοκλεῖ, Γράμμα κηρύκειον.

**898.** Etymol. M. p. 513, 43. Κιμμερίους φησὶν Ἡρακλείδης ὁ Ποντικὸς ὑποκάτω τοῦ Πόντου εἶναι. γράφεται καὶ Κερβερίων (apud Hom. Od. 11, 14.). καὶ ἔοικε καὶ Σ. περιπεπτωκέναι τῇ τοιαύτῃ γραφῇ· ὁμοίως καὶ Ἀριστοφάνης ἐν Βατράχοις (v. 187.).

**899.** Etymol. M. p. 514, 27. Κινάκη: ὁ ἀκινάκης, κινάκης παρὰ Σοφοκλεῖ.

**900.** Eustathius p. 1479, 44. ubi de verbo κοκκύζειν agit, ὑποβάλλει δὲ τοιοῦτον νοῦν καὶ Σοφοκλῆς, φασὶν, ἐν τῷ "κοκκοβόας (κοκκυβόας Bothius) ὄρνις"

**901a.** Schol. Aristoph. Acharn. v. 75. Κραναὰ πόλις: τοῦτο τέτριπται ὑπὸ τῶν παλαιῶν. καὶ Αἰσχύλος γὰρ καὶ Σοφοκλῆς ἐχρήσαντο τῇ λέξει.

**901b.** Pollux 7, 24. Τὸ μέντοι ὑπερεμπεπλῆσθαι — κριθιᾶν ἀπὸ τῶν ὑποζυγίων. Αἰσχύλος μὲν γὰρ εἴρηκε — Σοφοκλῆς δὲ "Ἕως ὅτου (ὅτε cod. Paris. Bekkeri) κριθώσῃς ὄνου." ψαύσειε post ὅτου excidisse coniecit Hermannus.

**902.** Eustathius p. 1493, 32. Λαίθαργος, δηλοῖ μὲν κύνα, τροπικῶς δὲ σημαίνει καὶ ἐπίβουλον ἄνθρωπον κρύφα βλάπτοντα. καὶ ἔστιν ἐκεῖνος ὡσπερεὶ φασι λαθροδήκτης, ἀπὸ κυνῶν. Σοφοκλῆς

Σαίνουσα δάκνεις καὶ κύων λαίθαργος εἶ.

Proverbio dici σαίνεις δάκνουσα καὶ κύων λαίθαργος εἶ annotavit scholiasta Aristoph. Eq. 1028. et 1065. Et sic fortasse Sophocles quoque scripserat, non σαίνουσα δάκνεις.

**903.** Eustathius p. 1761, 27. Λέγει δὲ καὶ (Ἀριστοφάνης ὁ γραμματικὸς) λαπίζειν παρὰ Σοφοκλεῖ τὸ συρίζειν. Λαπίζειν grammatici alii, quorum locos v. in Thesauro, per ἀλαζονεύεσθαι et ψεύδεσθαι explicant: quo indicio συρίζειν apud Eustathium in ὑβρίζειν mutandum esse coniecit Nauckius.

**904.** Photius p. 216, 16. Λευγαλέα, διάβροχος. οὕτω Σ. Etymol. M. p. 516, 28. Λευγαλέον: τὸ ὑγρόν. Σ. "Μύρῳ λευγαλέα." ubi λευγαλέῳ scriptum, quod ex Photio correxit Nauckius.

**905.** Photius p. 219, 25. et Suidas, Ληκυθιστής: ὁ μικρόφωνος (μακρόφωνος Meinekius). οὕτως Σοφοκλῆς. Per κοιλόφωνος explicat Hesychius.

**906.** Phrynichus p. 187. ed. Lobeck. Λίβανον λέγε τὸ δένδρον, τὸ δὲ θυμιώμενον λιβανωτόν, εἰ καὶ διὰ τὴν ποιητικὴν λίβανον καὶ τοῦτο Σ. λέγει.

**907.** Photius p. 227, 18. (et gramm. in Bachmanni Anecd. vol. 1. p. 291, 20.) Σοφοκλῆς δὲ λιτροσκόπον φησὶ τὸν ἀργυραμοιβόν, ἀπὸ τοῦ νομίσματος. Hesychius, Λιτροσκόπους: ἀργυραμοιβούς, ἀπὸ τοῦ Σικελικοῦ νομίσματος ὃ καλεῖται λίτρα.

**908.** Photius p. 247, 17. Μαρείνη (μαρίλη): ἡ μεμαρασμένη ὕλη, καὶ τοὺς ἀνθρακευτάς. Σοφοκλῆς. Scribendum καὶ μαριλοκαύτας τοὺς ἀνθρακευτὰς Σοφοκλῆς, collata gl. Hesychii, Μαριλοκαυτῶν· ἀνθρακευτῶν, haud dubie ex Sophocle sumta, ut monuit Nauckius.

**909.** Aristophanes Plut. 541. στιβάδα σχοίνων κόρεων μεστὴν, ἢ τοὺς εὕδοντας ἐγείρει. ubi scholiasta ex cod. Veneto ab me suppletus, Σοφοκλέους τὸ ἡμιστίχιον "Ἐπειγομένων (ἐπεγειρομένων Bergkius) κερκίδος ὕμνοις (codex οὐ κερκίδοις ὕμνους), ἢ τοὺς εὕδοντας ἐγείρει." Cum altera versus parte Meinekius comparavit Eupolidis verba apud Athen. 9. p. 397b. μήποτε θρέψω | παρὰ Περσεφόνῃ τοιόνδε ταῶν, ὃς τοὺς εὕδοντας ἐγείρει.

**910.** Pollux 3, 45. Μελλόποσιν τὸν ἄνδρα ὠνόμασε Σοφοκλῆς. V. ad Antig. 628.

**911.** Eustathius p. 877, 51. Μῆλα. Σοφοκλῆς, φησὶν ὁ γραμματικὸς Ἀριστοφάνης, δόξειεν ἄν που καὶ τὰ θηρία πάντα μῆλα καλεῖν. τὸν γοῦν Ἀχιλλέα τραφῆναί φησιν ἐν τῷ Πηλίῳ πᾶν μῆλον θηρῶντα. Idem p. 1648, 60. Σοφοκλῆς γοῦν, φασὶ, τὸν Ἀχιλλέα τραφῆναι εἰπὼν ἐν τῷ Πηλίῳ πᾶν μῆλον θηρῶντα, δόξοι ἂν τὰ θηρία πάντα μῆλα καλεῖν.

**912.** Pollux 3, 10. Μήτηρ, ἡ τεκοῦσα — ἡ μαστὸν ἐπισχοῦσα, ὡς Σοφοκλῆς.

**913.** Photius p. 269, 9. Μιαίνεσθαι καὶ ἐκμιαίνεσθαι, τὸ ὀνειρώττειν. Σοφοκλῆς.

**914.** Aristoph. Lys. 1259. πολὺς δ' ἀμφὶ τὰς γένυας ἀφρὸς ἤνσει. ubi scholiasta, πρὸς τὸ παρὰ τῷ Ἀρχιλόχῳ "Πολλὸς δ' ἀφρὸς ἦν περὶ στόμα." καὶ Σοφοκλῆς. Αἰσχύλος δὲ "Ἀφρὸς | βορᾶς βροτείας ἐρρύη κατὰ στόμα." Haec notatio quum neque ad θρομβώδεις ἀφροὺς Trach. 702. nec, quae Porsoni sententia erat, ad ἀφρίζειν de equis dictum Electr. 719. referri posse videatur, alium scholiasta putandus est locum in mente habuisse, in quo περὶ (s. κατὰ) στόμα vel simile quid additum erat.

**915.** Pollux 7, 30. Ξάσμα Σοφοκλῆς. Sumtum fortasse ex Trach. 838. ubi nunc φάσματι legitur: de quo dixi in Praefat. ed. Lipsiensis quartae p. LXI.

**916.** Photius p. 312, 23. Ξυνῶνα: τὸν κοινωνόν. Σ.

**917.** Photius p. 326, 13. Ὀκριάζων: τραχυνόμενος. Σοφοκλῆς.

**918.** Photius p. 329, 15. Ὁλοσπάδες: ὅλαι καταπινόμεναι. Σοφοκλῆς.

**919.** Pollux 7, 32. Τὰς δὲ ὁλοστημόνους ταινίας τολύπας Σοφοκλῆς ὠνόμασεν.

**920.** Appendix Vatic. Proverb. 3, 36. Ὀπισάμβων: ταύτην Χρύσιππος τάττει κατὰ τῶν χεῖρον ἐν τοῖς πράγμασι προβαινόντων, παρὰ τὸ ἀεὶ ὀπίσω βαίνειν. μέμνηται δὲ τοῦ ὀνόματος Σοφοκλῆς. Eustathius p. 862, 5. Ἐν δὲ τῷ κατὰ στοιχεῖον λεξικῷ καὶ ὀπισαμβὼ εὕρηται ἡ εἰς τοὐπίσω ἀναχώρησις. Quae vera est vocabuli forma: v. Schneidew. vol. 1. p. 321.

**921.** Photius p. 346, 5. Ὀρθόκερως: ὀρθόθριξ. (Sic etiam Hesychius.) Σοφοκλῆς. Pollux 2, 31. Καὶ παρὰ Σοφοκλεῖ "Ὀρθόκερως φρίκη," οἷον ὀρθόθριξ.

**922.** Photius p. 346, 23. Ὀρθόφρων: ἀνατεταμένος καὶ μετέωρος ταῖς φρεσίν. οὕτως Σοφοκλῆς.

**923.** Etymol. M. p. 441, 24. Θαλαμίδιοι κῶπαι, αἱ ἠρέμα ἐλαύνουσαι. ὁ κατώτατος ἐρέτης θαλαμιὸς λέγεται, Σοφοκλῆς (poetae nomen vulgo omissum addunt codices tres: scribendum autem ὡς Σοφοκλῆς), ὁ δὲ μέσος ζύγιος, ὁ δὲ ἀνώτατος θρανίτης. Rectus vocabuli accentus est θαλαμιός, non θαλάμιος, ut plerumque scribitur: de quo dixi in Thesauro s. h. v.

**924.** Photius p. 361, 16. Οὐράν: αἰδοῖον. Σ.

**925.** Photius p. 363, 19. Ὄφελμα: αὔξημα. Σ.

**926a.** Harpocratio, Παρακρούεται: ἀντὶ τοῦ ἐξαπατᾷ — μετῆκται δὲ τοὔνομα ἀπὸ τοῦ τοὺς ἱστάντας τι ἢ μετροῦντας κρούειν τὰ μέτρα καὶ διασείειν ἕνεκα τοῦ πλεονεκτεῖν. καὶ Σοφοκλῆς που

Ὡς μήτε κρούσῃς μήθ' ὑπὲρ χεῖλος βάλῃς.

ὑπὲρ χεῖλος Porsonus. Vulgo ὑπὸ χεῖρα: sed codices tres ὑπὸ χειρός. Hesychius, Ὡς μήτε κροῦσαι μήθ' ὑπὲρ χεῖλος βαλεῖν: παροιμία ἐπὶ τοῦ συμμέτρου τασσομένη. ubi Hemsterhusius in Addendis (ad vol. 2. p. 1598.) "Mens Sophoclis est, sic animum institue ut in metiendo nec nimium vel parcus sis et alium defraudes, vel profusus et aequo largior, quod tibimetipsi damnum ferat. Hoc dictum, quum venit in proverbii consuetudinem, monet medium inter opposita vitia utrimque reductum debere servari."

**926b.** Apollonius de synt. p. 4, 18. et Phoebamm. in Rhet. vol. 8. p. 516. poetae non nominati verba afferunt βαρὺς βαρὺς σύνοικος, versum totum βαρὺς βαρὺς σύνοικος, ὦ φίλοι, βαρύς Ioann. Sicel. ib. vol. 6. p. 338.: quae Sophoclis esse nunc novimus ex Philodemo in Volum. Hercul. Collect. novae vol. 4. p. 120, 21. παρὰ Σοφοκλεῖ.

βαρὺς βαρὺς σύνοικος, ὦ ξένοι, βαρύς.

**927.** Etymol. M. p. 490, 3. (coll. Suida s. v. κάπηλος) Κάπηλος, ὁ μεταβολεύς, καὶ οἰνοπώλης. παρὰ τὸ χέειν τὸν πηλόν, ἤγουν τὸν οἶνον. τινὲς οἴονται ἓν ἀνθ' ἑνὸς εἶναι, πηλὸν καὶ οἶνον, ἐκ τοῦ παρὰ Σ.

Πολὺς δὲ πηλὸς ἐκ πίθων τυρβάζεται.

ὁ μὲν οὖν Σοφοκλῆς εὐεπίφορος εἰς τὸν πηλόν. Eadem fere in Crameri Anecd. Oxon. vol. 2. p. 455, 29.

**928.** Phrynichus Bekkeri p. 21, 27. Αἰκάλλοντες· σημαίνει τὸ σαίνοντες, ὅπερ οἱ κύνες ποιοῦσιν. ὁ μέντοι Σοφοκλῆς καὶ προσσαίνειν. αἰκάλλουσι, ab librariis in ἐκκαλοῦσι corruptum, legitur Oed. T. 597.

**929.** Photius p. 470, 2. Πτέρυγας: τὰ πηδάλια. Σ.

**930.** Eustathius p. 948, 19. Τὸ πτύον καὶ πτέον ἔλεγον οἱ Ἀττικοὶ ὕστερον, ὡς Αἴλιος Διονύσιός φησι· πτύον δὲ Σοφοκλῆς, ἀκολουθῶν δηλαδὴ τῷ ποιητῇ.

**931.** Etymol. M. p. 695, 50. Πύγαργος: εἶδος ἀετοῦ. Σοφοκλῆς ἐπὶ τοῦ δειλοῦ, ἀπὸ τῆς λευκῆς πυγῆς, ὥσπερ ἐναντίως μελάμπυγος ἀπὸ τῆς ἰσχυρᾶς.

**932.** Strabo 8. p. 364. Σοφοκλῆς δὲ καὶ Ἴων τὸ ῥᾴδιον (λέγουσι) ῥᾴ. Eustathius p. 295, 5. Καὶ Σοφοκλῆς τὸ ῥᾴδιον ῥᾴ. Hoc nihil aliud esse videtur quam ῥᾶ contractum ex ῥέα. Monuit Nauckius.

**933.** Photius p. 480, 15. Ῥαικούς: οἱ βάρβαροι τοὺς Ἕλληνας. Σοφοκλῆς τῇ λέξει κέχρηται. Eustathius p. 890. Γραικούς, ἡ μὲν συνήθεια καὶ Σοφοκλῆς δέ που κατὰ τοὺς παλαιούς, καὶ ὁ Λυκόφρων δὲ διὰ τοῦ ἐν ἀρχῇ γ προφέρουσιν ἐπὶ Ἑλλήνων. οἱ βάρβαροι δὲ Ῥαικούς φασι δίχα του γ, ὡς ἐν παλαιῷ εὕρηται ῥητορικῷ λεξικῷ. Conf. fragm. 455.

**934.** Etym. M. p. 702, 54. Πᾶς ὁ πετρώδης αἰγιαλὸς ῥαχίας καλεῖται. καὶ γῆ δέ τις ἐν τοῖς μετάλλοις οὕτω καλουμένη. παρὰ τῷ Σοφοκλεῖ ῥαχία λέγεται ἡ τοῦ ὄρους.

**925.** Photius p. 484, 12. Ῥάχοι: αἱ μυρίκιναι ῥάβδοι· "Ῥάχοισιν ὀρχάδος στέγης." Σ. δὲ τοὺς φραγμοὺς ποίμνης. Ad Ποιμένας rettulit Welckerus.

**936.** Photius p. 485, 10. Ῥειτά: ἐν Ἐλευσῖνι δύο ναμάτια φερόμενα ἐκ μιᾶς πηγῆς, καλούμενα Ῥειτά. οὕτως Σ. Eodem fortasse referenda glossa proxima, Ῥειτῶν τόπος· ἱερῶν ῥευμάτων. Glossam ex Triptolemo sumtam esse coniecit Welckerus.

**937.** Photius p. 488, 12. et Suidas, Ῥήτωρ: συνήγορος, δικολόγος. καὶ ὁ τὴν ἰδίαν ἀποφαίνων γνώμην κριτὴς παρὰ Σοφοκλεῖ.

**938.** Hesychius, Ῥυτῆρι κρούων: ὁ Κύκνος λέγει

Καὶ μὴ ὑβρίζων αὐτίκ' ἐκ βάθρων ὅλῳ
ῥυτῆρι κρούων γλουτὸν ὑπτίου ποδός.

ἔνιοι δὲ οὐκ ἐπὶ τοῦ κύκνου, ἀλλ' ἐπὶ τῶν πολεμίων, ὥστε εἶναι τὸν λόγον, φεύγοντας αὐτοὺς τῷ ὑπτίῳ ποδὶ τοὺς γλουτοὺς ποιήσω τύπτειν. V. 1. ὅλῳ pro ἕλω correctum ex Apostolio 14, 35. qui ὅλῳ ποδί cum ὅλῳ ῥυτῆρι comparat. Brunckius καὶ μὴν — σ' ἕλω. Versum 2. ex Sophocle affert Photius p. 493, 13. ex quo correctum quod in codice Hesychii legitur κρούων (omisso γλουτὸν) ὑπτίου πόλος.

**939.** Suidas, Σάγμα: ἡ θήκη τοῦ ὅπλου· σάγη δὲ τὸ ὅπλον. Σοφοκλῆς. (Qui sequitur versus Euripidis est Androm. 617. quo etiam gramm. in Crameri Anecd. Oxon. vol. 2. p. 465, 23. utitur.)

Κάλλιστα τεύχη δ' ἐν καλοῖσι σάγμασι.

Apollonius Lex. Homer. Σάκος: ἀσπίς. ἀφ' οὗ καὶ οἱ νεώτεροι σάγην τὴν ὅλην πανοπλίαν λέγουσιν, ὡς Σ.

**940.** Photius p. 497, 12. 22. et Lex. in Bachmanni Anecd. vol. 1. p. 361, 20. Σαλάβην: Σοφοκλῆς τὴν ὀπήν. Σαλάμβη: ὀπή, καπνοδόκη. οὕτως Σ. Hesychius, Σαλάβη: καὶ θύρας ὀπή. Σαλάβους: θυρῶν ὀπάς. Σαλάμβη ἡ ὀπὴ δι' ἧς τὸ σέλας βαίνει, ἢ πύλη,

καπνοδόχη, θυρίς. Vera una vocabuli forma est σαλάμβη, ut Lycophronis versus docet 98. δισσὰς σαλάμβας κἀπὸ Γυθίου πλάκας. ad quem Tzetza, σαλάμβαι αἱ θύραι λέγονται παρὰ τὸ ἐν σάλῳ βαίνειν, ἢ παρὰ τὸ σείειν καὶ λαμβάνειν τοὺς βαίνοντας. σαλάμβαι δὲ οἱ φανόπται ἤτοι οἱ φεγγῖται ἰδιωτικῶς παρὰ τὸ σέλας δι᾽ αὐτῶν βαίνειν. Eadem fere leguntur in Etym. M. p. 707, 45. memorato Lycophrone, omisso vero Sophocle, quem non neglexit Eustathius p. 1908, 49. Ἰστέον ὅτι σέλας οὐ μόνον πυρὸς, ἀλλὰ καὶ ἡλίου. ὅθεν παρὰ Σοφοκλεῖ ἡ ὀπὴ, ὡς ἐν ῥητορικῷ εὕρηται λεξικῷ, παρὰ τὸ σέλας, φασὶν, ἐμβιβάζειν. ἡ δὲ χρῆσις καὶ παρὰ Λυκόφρονι. ubi manifestum est post Σοφοκλεῖ (typothetae Romani, ut opinor, culpa) excidisse σαλάμβη.

**941.** Hesychius, Σειρίου κυνὸς δίκην: Σοφοκλῆς τὸν ἀστρῷον κύνα· ὁ δὲ Ἀρχίλοχος τὸν ἥλιον, Ἴβυκος δὲ πάντα τὰ ἄστρα.

**942.** Photius p. 488, 22. Ῥικνός· ὁ πεφρικὼς, παρὰ Σοφοκλεῖ.

**943.** Hesychius, Σεμνὰ τῆς σῆς παρθένου μυστήρια: Σοφοκλῆς τὰ ἄρρητα καὶ ἀνεξήγητα μυστήρια. Photius p. 503, 22. Σεμνά: τὰ ἄρρητα μυστήρια· οἱ δὲ ἐπὶ τοῦ ἡσύχου καὶ καταστύγνου.

**944.** Photius p. 511, 15. Σίκλος (σίγλος grammaticus Bachmanni 1. p. 364, 9.): καὶ τὸ ἐνώτιον, καὶ σταθμὸς βαρβαρικὸς δυνάμενος ὀκτὼ ὀβολοὺς Ἀττικούς. οὕτως Σ. Imo Xenophon Anab. 1, 5, 6.

**945.** Hesychius, Σιλφίου λειμών: Σοφοκλῆς περὶ γῆς ἐν Λιβύῃ τὸ σίλφιον φερούσης.

**946.** Schol. Pindari Isthm. 5, 36. Σοφιστὰς μὲν καὶ σοφοὺς ἔλεγον τοὺς ποιητάς. Σοφοκλῆς "Μέν᾽ εἰς σοφιστὴν τὸν ἐμόν." Eustathius p. 1023, 13. Οἱ παλαιοὶ σοφοὺς ἐκάλουν ἅπαντας τοὺς τεχνίτας. καὶ Σοφοκλῆς δὲ, φασὶ, τὸν κιθαρῳδὸν σοφιστὴν λέγει. Hesychius, Σοφιστήν: πᾶσαν τέχνην σοφίαν ἔλεγον. καὶ σοφιστὰς τοὺς περὶ μουσικὴν διατρίβοντας καὶ τοὺς μετὰ κιθάρας ᾄδοντας. Confer schol. Hom. Il. 15, 410. (ap. Cramer. Anecd. Paris. vol. 3. p. 286, 14.) Athenaeum 14. p. 632. Corruptum μέν᾽ εἰς.

**947.** Pollux 2, 101. Στομώδη: τὰ εὔστομα καὶ εὔφημα. Σοφοκλῆς.

**948.** Pollux 2, 23. οὐλοκόμος, οὐλοκέφαλος. τὸν δὲ τοιοῦτον στραβολοκόμαν (corrige στραβαλοκόμαν) Σοφοκλῆς ὠνόμασεν. Hesychius, Σταβαλοκόμαν (codex στάβαλος κομᾶν): οὐλοκόμην. Στραβαλοκομᾶν· οὐλοκομᾶν. Στροβαλοκομᾶς· οὐλοκομᾶς. Quae omnia nihil aliud sunt quam diversae eiusdem vocabuli corruptelae. Nam vetus glossa fuit Στραβαλοκόμας· οὐλοκόμης, vel casu accusativo Στραβαλοκόμαν· οὐλοκόμην.

**949.** Photius p. 593, 3. Suidas et Zenobius 6, 19. Τὸ θερμὸν τοῦ ὀβελοῦ: ἐπὶ τῶν ἀναιρουμένων (αἱρουμένων Suidas) τὰ χείρονα ἀντὶ τῶν κρειττόνων ἡ παροιμία, ἀπὸ τῶν ἀπείρως δρασσομένων κατὰ τὸ πεπυρωμένον τῶν ὀβελίσκων. μέμνηται αὐτῆς Σοφοκλῆς.

**950.** Photius p. 602, 6. Etymol. M. p. 766, 40. et grammaticus Bachmanni Anecd. vol. 1. p. 390, 8. Τριπαία (τρίπαια ap. Photium): ἡ ἐναντία πνοή. οὕτως Σοφοκλῆς. Apud Etymol. M. τριπαῖα. Brunckius τροπαία. Non minus singulare est τερθρία πνοή, quod ex Sophoclis Cedalione affertur: vid. fragm. 304.

**951.** Hesychius, Τυφῶ: ἀντὶ τοῦ Τυφῶνος. Σοφοκλῆς. Hac genitivi forma usi sunt etiam Aeschylus Suppl. 560. et Aristoph. Nub. 336.

**952.** Eustathius p. 1496, 35. Ὕπουλον εἶπε Σοφοκλῆς τὸν δούρειον ἵππον, παρενεγκὼν αὐτὸ ἐκ τοῦ σκωπτικῶς λεγομένου ὑπούλου ἤθους, τοῦ κατ᾽ ἄνθρωπον μὴ ὑγιῶς ἔχοντα τοῦ τρόπου, ὡς ἀπὸ ἑλκῶν, ἃ δοκοῦντα ὑγιάσθαι οὐκ εἰς παντελὲς, φασὶ, καθαρεύει, ἀλλὰ δηλαδὴ ὑπὸ τὴν προφαινομένην οὐλὴν κακόν τι κρύπτει.

**953.** Hesychius et Phrynichus Bekkeri p. 68, 4. (coll. Photio p. 635, 12. et Suida) Ὑψαυχεῖν: μεγαλαυχεῖν (ὑψηλοφρονεῖν Phot. et Suidas). Σοφοκλῆς.

**954.** Photius p. 637, 1. Φαικῷ: ἀκμάζοντι καὶ λαμπρῷ. οὕτως Σοφοκλῆς. Hesychius, Φαικῷ: ἐνεργῷ, ἀκμάζοντι.

**955.** Photius p. 640, 18. et grammaticus Bachmanni vol. 1. p. 404, 1. Φαρκίδα: τὴν ἐκ τοῦ γήρως (γένους Phot.) ῥυτίδα. οὕτως Σ. Vitiosum φαρμακίδα correxit Brunckius. Rectus accentus φαρκῖδα.

**956.** Hesychius, Ἀφάρμακον χρῶμα Οἰδίποδος· ἄνευ ἄνθους· ἄνθη γὰρ τὰ φάρμακα. Καὶ τὰ βαφεῖα φαρμακῶνας (φαρμακῶντας codex) Σοφοκλῆς ἔφη. Sophoclis verba fortasse sunt ἀφάρμακον χρῶμα.

**957.** Etymol. M. p. 803, 3. Φυτάλμιος: Σοφοκλῆς

Προσῆλθε μητρὶ καὶ φυταλμίῳ πατρί.

**958.** Grammaticus Bachmanni 1. p. 415, 5. (et sine Sophoclis nomine Hesychius) Χειμάμυνα παρὰ Σοφοκλεῖ ἡ παρ᾽ Ὁμήρῳ ἀλεξάνεμος.

**959.** Suidas, Χλωρανθείς: ἀντὶ τοῦ χλωρὸς γενηθείς. οὕτως Σοφοκλῆς.

**960.** Schol. Aristoph. Ran. 1065. Μουσαῖος — ὁ δὲ Σοφοκλῆς χρησμολόγον αὐτόν φησι.

**961.** Herodianus περὶ μονήρους λέξεως p. 14, 25. Τὰ εἰς ους λήγοντα ὀνόματα μονοσύλλαβα ἀρσενικὰ πέφυκεν εἶναι — Γλοῦς ὁ λῃστὴς, χνοῦς παρὰ Σοφοκλεῖ.

**962.** Eustathius p. 777, 62. (et similiter schol. Homeri Il. 9, 601. in Crameri Anecd. Paris. vol. 3. p. 242, 33.) Ψάκαλα, τὰ ἔμβρυα, καὶ τὰ ἄρτι δὴ γεγονότα, ὅθεν καὶ ψακαλοῦχοι μητέρες παρὰ Σοφοκλεῖ. Idem p. 1625, 49. ex Aristophanis grammatici libro περὶ ὀνομασίας ἡλικιῶν, Ἔμβρυα δέ τινα καὶ ἀρτιγενῆ δὴ ψάκαλα λέγει καλεῖσθαι καὶ ὀρταλίχους. ὅθεν φησὶ παρὰ Σοφοκλεῖ

Ψακαλοῦχοι
μητέρες αἶγές τ᾽ ἐπιμαστίδιον
γόνον ὀρταλίχων ἀναφαίνοιεν.

Apud Eustathium αἶγες μητέρες τ᾽. Hesychius, Ψακαλοῦχοι· ψακάλας ἔχουσαι. εἰσὶ δὲ ἔμβρυα. Versus ad Ποιμένων fabulam rettulit Welckerus.

**963.** Suidas, Ὧς: λίαν. Σοφοκλῆς

Θαυμαστὰ γὰρ τὸ τόξον ὡς ὀλισθάνει.

δ

**964.** Stobaeus 114, 6. Σοφοκλέους Οἰδίποδι (οι cod. Vindob.)

Τοὺς δ᾽ αὖ μεγίστους καὶ σοφωτάτους φρενὶ
τοιούσδ᾽ ἴδοις ἂν, οἷός ἐστι νῦν ὅδε,
καλῶς κακῶς πράσσοντι συμπαραινέσαι·
ὅταν δὲ δαίμων ἀνδρὸς εὐτυχοῦς τὸ πρὶν
μάστιγ᾽ ἐρείσῃ τοῦ βίου παλίντροπον,
τὰ πολλὰ φροῦδα καὶ καλῶς εἰρημένα.

Cicero Tuscul. 3, 29. "*Itaque Oïleus ille apud Sophoclem, qui Telamonem antea de Aiacis morte consolatus esset, is quum audisset de sui, fractus est. De cuius commutata mente sic dicitur*

*Nec vero tanta praeditus sapientia*
*quisquam est, qui aliorum aerumnam dictis allevans*
*non idem, quum fortuna mutata impetum*
*convertat, clade subita frangatur sua;*
*ut illa ad alios dicta et praecepta excidant.*"

In nomine fabulae (Οἰδίποδι) erratum apud Stobaeum. Ad Teucrum hos versus rettulit Welckerus. V. 1. αὖ cod. B., ceteri ἄν. 4. δὲ] δ᾽ ὁ B. 5. μάστιγ᾽] πλάστιγγ᾽ Lobeckius apud Ellendtium in Lexico, recte, ut videtur. παλίντροπον] παλίρροπον Meinekius.

Non minus incertum nomen fabulae in alio fragmento apud Stobaeum 121, 3. ubi codex Vindob. Σοφ. (i. e. Σοφοκλέους) ταντᾶ,

Βιοτῆς μὲν γὰρ χρόνος ἐστὶ βραχὺς,
κρυφθεὶς δ᾽ ὑπὸ γῆς κεῖται θνητὸς
τὸν ἅπαντα χρόνον.

Literis ταντᾶ nomen Ταντάλου significari potest, ut Aristarchus et Aristias Tantalum scripserunt. Totum

locum om. cod. Paris. A., habet Trincavellus cum lemmate Σιμωνίδου. Versui primo in Vindob. praefixum $\overset{o}{\chi}$, quae est chori personae nota. Conf. ad Fr. 58. 2. θνητὸς] τεθνεὼς Cobetus Mnemos. vol. 9. p. 147.

**965.** Libanius vol. 3. p. 365. Τὴν αὐτὴν τῷ Σοφοκλεῖ φωνὴν ἀφιείς· λέγει γὰρ δή που κἀκεῖνος "Ὅ τι γὰρ φύσις ἀνέρι δῷ, τόδ' οὔποτ' ἂν ἐξέλοις."

**966.** Menander Rhetor vol. 9. p. 156. ubi de ὕμνοις διαπορητικοῖς agit: Ὥσπερ καὶ τὴν Τύχην Σοφοκλῆς ὕμνησε διαπορῶν γένει.

**967.** Scholiasta Apollonii Rh. 4, 269. Καὶ Αἰσχύλος δὲ καὶ Σοφοκλῆς ὑπέλαβον τοὺς ὑπὲρ (sic H. Keilius pro ὑπὸ) τὴν Αἴγυπτον χιονίζεσθαι τόπους καὶ τηκομένης τῆς χιόνος τὴν χύσιν εἰς τὸν Νεῖλον ἐκδίδοσθαι. Seneca Natur. Quaest. 4, 2, 16. *Anaxagoras ait ex Aethiopiae iugis solutas nives ad Nilum usque decurrere — hoc Aeschylus et Sophocles tradunt.* Ioannes Lydus de mensibus 4, 68. περὶ τῆς ἐν θέρει τῶν ὑδάτων ἐπιδόσεως Ἀναξαγόρας φησὶ τὰς τῆς Αἰθιοπίας τηκομένας χιόνας ἀποστέλλειν τὸν Νεῖλον. καὶ ταύτης ἐστὶ τῆς δόξης ὅ τ' Αἰσχύλος καὶ Σοφοκλῆς καὶ Εὐριπίδης. Quibus addit alia plura e loco Senecae excerpta.

**968.** Scholiasta Homeri Il. 2, 649. Νῦν μὲν ἑκατόμπολιν τὴν Κρήτην, ἐν Ὀδυσσείᾳ δὲ ἐνενηκοντάπολιν — ἐν Ὀδυσσείᾳ δὲ τὸ ἀκριβὲς ἐξενήνοχεν, ὡς παρὰ Σοφοκλεῖ.

**969a.** Scholiasta Homeri Il. 16, 142. ἐπίστατο] ἠδύνατο. καὶ Σοφοκλῆς

Οὐπώποθ' ὑμᾶς συμβαλεῖν ἐπίσταμαι.

**969b.** Photius p. 9, 22. Ἀδηφάγοι· ἀγωνισταὶ ἵπποι οὕτως ἐκαλοῦντο — ἔφη δὲ καὶ ἀδηφαγοῦσα Σοφοκλῆς καὶ ἀδηφαγεῖν Ἕρμιππος. Corrigendum videtur ἀδηφάγον νόσον, quod legitur Phil. 313. Nam verbo ἀδηφαγεῖν si usus esset Sophocles, dixisset καὶ ἀδηφαγεῖν Σοφοκλῆς καὶ Ἕρμιππος.

**970.** Stephanus Byz. Αἰανῖτις Ναβαταίων χώρα. Οὐράνιος Ἀραβικῶν β'. τὸ ἐθνικὸν Αἰανῖται· προκατελήφθη γὰρ ἐν πρωτοτύπῳ. διὰ διφθόγγου. Σοφοκλῆς δὲ Αἰαντία γράφει δίχα τοῦ ῑ. Αἰαντίς γράφει δίχα τοῦ ῑ coniecit Westermannus. Mirum vero hoc nomen ex Sophocle afferri, nisi grammaticus intelligendus.

**971.** Stephanus Byz. Ἄβροι — βαρύνεται ὡς Κίμβροι — Σκόμβροι, καὶ οὗτοι ἔθνος, ὡς Σοφοκλῆς.

**972.** Grammaticus in Crameri Anecd. Paris vol. 4. p. 60, 21. Ἀργειφόντης· ὁ Ἑρμῆς παρ' Ὁμήρῳ καὶ παρὰ Σοφοκλεῖ. Similiter Etym. Gud. p. 72, 52.

**973.** Stephanus Byz. Τεγέα, πόλις Ἀρκαδίας — ἔστι καὶ Τεγέα ἐν Κρήτῃ ὑπὸ Ταλθυβίου κτισθεῖσα. ὁ πολίτης Τεγεάτης ὡς Ἐλεάτης, καὶ θηλυκὸν Τεγεᾶτις — λέγεται καὶ Τεγεάς ὡς Ἰλιάς, ὀξύνεται, ὡς Σοφοκλῆς. Fortasse Telephi mater Τεγεάς dicta fuit in Aleadis: quae Meinekii coniectura est.

**974.** Scholiasta Sophoclis Phil. 1108. οὐ φορβὰν ἔτι προσφέρων] ἀντὶ τοῦ προσφερόμενος. ἐνίοτε δὲ ἔμπαλίν φησι διακονούμενος ἀντὶ τοῦ διακονῶν καὶ στιβαδοποιούμενος ἀντὶ τοῦ στιβαδοποιῶν. διακονεῖσθαι legitur Phil. 287.

**975.** Suidas, Τέως· ἀντὶ τοῦ πρὸ τοῦ — Σοφοκλῆς δὲ ἀντὶ τοῦ πρότερον ἢ πρὸ μικροῦ.

**976.** Etym. Gudianum p. 564, 25. Χειροβοσκός· ὁ διὰ χειρὸς ζῶν, ὥς φησι Σοφοκλῆς. Annotarunt etiam Pollux 7, 7. et Hesychius s. h. v., sed omisso poetae nomine.

**977.** Athenaeus 2. p. 68a. Τὸ δὲ ῥῆμα (ἀρτύειν) κεῖται παρὰ Σοφοκλεῖ

Ἐγὼ μάγειρος ἀρτύσω σοφῶς.

Potuit in dramate satyrico dici. Sed probabilius est comici illa verba esse, fortasse Sophili, quae Valckenarii coniectura est.

**978.** Antiphanes ap. Athen. 9. p. 396b.

Καὶ πρῶτα μὲν
αἴρω ποθεινὴν μᾶζαν, ἣν φερέσβιος
Δηὼ βροτοῖσι χάρμα δωρεῖται φίλον·
ἔπειτα πνικτὰ τακερὰ μηκάδων μέλη
χλόην καταμπέχοντα, σάρκα νεογενῆ.

ubi alteri personae quaerenti τί λέγεις; respondetur, τραγῳδίαν περαίνω Σοφοκλέους. Sunt igitur in versibus illis locutiones quaedam Sophocleae.

## ΕΛΕΓΕΙΑΙ.

Sophoclem ἐλεγείαν τε καὶ παιᾶνας scripsisse auctor est Suidas s. v. Σοφοκλῆς Σοφίλλου, quemadmodum idem Sophoclis ex Aristone filio nepotem cognominem non solum tragoedias, sed etiam ἐλεγείας scripsisse tradit s. v. Σοφοκλῆς Ἀρίστωνος, quasi Sophocles maior unam scripserit elegiam, minor vero plures. De priore tantum constat, si quid loco Plutarchi Mor. p. 785b. tribuendum, scripsisse eum ἐπιγραμμάτιον in Herodotum ab verbis incipiens, ᾠδὴν Ἡροδότῳ τεῦξεν Σοφοκλῆς ἐτέων ὢν | πέντ' ἐπὶ πεντήκοντα: de quo dixi in Vita Sophoclis in ed. Oxon. vol. 8. p. xl. Porro epigramma in Euripidem scriptum, ex duobus distichis constans, ex Hieronymi Rhodii ὑπομνήμασιν ἱστορικοῖς memorat Athenaeus 13. p. 604. quem locum integrum apposuimus in Vita Sophoclis p. xxxviii. Incertiora etiam sunt reliqua quae ex Sophoclis elegiis ita afferuntur ut ne hoc quidem appareat, utrum Sophocles maior an Sophocles nepos sit intelligendus. Ex quo genere tres sunt loci:

1°. Hephaestio c. 1. p. 8. ed. Gaisf. Τὸ τοῦ Ἀρχελάου ὄνομα Σοφοκλῆς ἐν ταῖς ἐλεγείαις οὐκ ᾤετο ἐγχωρεῖν οὔτε εἰς ἔπος οὔτε εἰς ἐλεγείαν. φησὶ γοῦν,

Ἀρχέλεως· ἦν γὰρ σύμμετρον ὧδε λέγειν.

Ex Trachiniis memoriae errore attulit Eustathius p. 264, 21. τοιοῦτον δὲ καὶ τὸ Ἀρχέλεως ἐν Τραχινίαις.

2°. Erotianus p. 390. (p. 135, 4. ed. Klein.) Χάριτες· αἱ χαραί, ὡς καὶ Σοφοκλῆς ἐν ἐλεγείᾳ. Quod ex nomine tragoediae alicuius, velut Ἑλένη, corruptum esse posse monuit Maur. Schmidtius, etsi nullius momenti est quod in codice Vindob. recentissimo $\overset{\gamma}{\text{ἐλε}}$ scriptum est. Nam id nihil aliud est quam ἐλεγεία.

3°. Harpocratio, ἀρχὴ ἄνδρα δείκνυσι· Δημοσθένης προοιμίοις δημηγορικοῖς. Σοφοκλῆς μὲν οὖν ἐν ταῖς ἐλεγείαις Σόλωνός φησιν αὐτὸ εἶναι ἀπόφθεγμα, Θεόφραστος δ' ἐν τῷ παροιμιῶν καὶ Ἀριστοτέλης Βίαντος. Alios aliorum scriptorum de hoc proverbio locos collegerunt editores Diogeniani Proverb. 2, 94. Respicit ad id Sophocles Antig. 175—177: unde fuerunt qui coniicerent Harpocrationis notationem ad locum Antigonae spectare, post quem alius excidisse nomen scriptoris, qui Solonis memoraverit sententiam.

De paeanibus, quos Sophocli tribuit Suidas, nihil ab aliis proditum est, nisi quod paeanem in Aesculapium scripsisse dicitur: de quo diximus in Vita Sophoclis p. xvii.

Denique Sophocli τραγῳδοποιῷ Clemens Alex. Strom. 5. p. 726. duos tribuit hexametros, memoriae, ut videtur, errore,

— ◡ ◡ οὐδὲ θεοῖς αὐθαίρετα πάντα πέλονται
νόσφι Διός· κεῖνος γὰρ ἔχει τέλος ἠδὲ καὶ ἀρχήν.

Multo gravius errarunt Clemens, Iustinus Martyr, Cyrillus Alexandrinus, Eusebius aliique quum fragmenta nonnulla versibus senariis scripta, quae Sophocli, ut Aeschylo et Euripidi, supposuerunt falsarii Iudaei, pro genuinis haberent: de quibus Valckenarius in Dissertatione de Aristobulo Iudaeo et Boeckhius in libro de Graecae tragoediae principibus p. 146. seqq. disseruerunt, quos tamen fugerat eiusdem generis esse fragmentum Sophocleum illud quo Clemens Strom. 5. p. 716. et Eusebius Praep. Ev. 13. p. 680. (vol. 3. p. 680. ed. Gaisf.) usi sunt. Quae fraus ab L. Dindorfio demum est animadversa in Thesauro vol. 2. p. 21.